CONTENTA VOLUMINIS XVIII. PARTIS I.

I. Hipp. aphoriſmi et Galeni in eos commentarii p. 1
II. Galeni adverſus Lycum libellus 196
III. Galeni adverſus ea, quae Juliano in Hippocratis aphoriſmos enunciata ſunt, libellus . . . 246
IV. Hippocratis de articulis liber et Galeni in eum commentarii quatuor 300
V. Galeni de faſciis liber 768
VI. Ex Galeni commentariis de faſciis libellus . 828

ΙΠΠΟΚΡΑΤΟΥΣ ΑΦΟΡΙΣΜΟΙ ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟΥΣ ΥΠΟΜΝΗΜΑΤΑ.

Ed. Chart. IX. [245.] Ed. Baſ. V. (300.)

α'.

[245] (300) Ἐν τῇσι λειεντερίῃσιν ὀξυρεγμίη ἐπιγενομένη μὴ πρότερον γινομένη σημεῖον ἀγαθόν.

Ἡ λειεντερία ταχεῖα διὰ τῆς κοιλίας καὶ τῶν ἐντέρων διέξοδός ἐστι τῶν ἐσθιομένων τε καὶ πινομένων, τοιούτων ὑποχωρούντων ὁποῖα κατεπόθη. συντομώτερον δ' ἄν τις

HIPPOCRATIS APHORISMI ET GALENI IN EOS COMMENTARII.

I.

In diuturnis lienteriis ſi ructus acidus qui prius non extitit oboriatur, ſignum bonum eſt.

Lienteria celer eſt per ventrem et inteſtina tum eſculentorum tum potulentorum transitus, qua talia dejiciuntur, qualia devorata fuere. Quod ſi quis ipſam brevius

Ed. Chart. IX. [245. 246.] Ed. Baſ. V. (300. 301.)

αὐτὴν ἀφοριζόμενος εἴ- [246] ποι στέρησιν πέψεως, οὔτε κατὰ χροιὰν οὔτε κατὰ σύστασιν ἢ ὀσμὴν ἢ ὅλως ἡντιναοῦν ποιότητα (301) γενομένης ἐν τῇ γαστρὶ μεταβολῆς σιτίων. ὠνομάσθη δὲ τὸ πάθος οὕτως ὑπονοησάντων τῶν πρώτως θεμένων τὴν προσηγορίαν αὐτῷ διὰ λειότητα γεγονέναι τῆς ἔνδον ἐπιφανείας τῶν ἐντέρων, δι' ἣν οὐκέτι ἀντιλαμβάνεται τῶν ἐμπεριεχομένων ἐν αὐτοῖς, ὡς ἂν ὅτε κατὰ φύσιν εἶχε τῇ τραχύτητι κατεχόντων αὐτά. πολλὰ μὲν οὖν καὶ ἄλλα τῶν πρώτως ὀνομασάντων τὰ πράγματα δίκαιον ἐπαινεῖν, οὐ μὴν ἐπί γε ταῖς λειεντερίαις ἀποδέχομαι τοὺς ἄνδρας, ἀγνοήσαντας ὅτι τῆς γαστρὸς αὐτῆς ἔργον ἐστὶ περιπτύσσεσθαί τε τὰ σιτία ἔν τινι χρόνῳ, ὡς σφιγγούσης τε καὶ κατεχούσης αὐτὰ καὶ αὖθις ὠθεῖν κάτω καὶ ὡς ἡ κατὰ τὴν κύστιν γίνεται στραγγουρία, μὴ περιμενούσης ἀθροισθῆναι τὸ οὖρον, ἀλλ' εὐθὺς ἀποτριβομένης αὐτῆς ἢ ὡς δακνῶδες ἢ ὡς βαρῦνον, οὕτω δὴ καὶ κατὰ τὴν γαστέρα αἱ ταχεῖαι διέξοδοι.

definire velit, diceret coctionis privationem eſſe, nulla neque ſecundum conſiſtentiam neque ſecundum colorem aut odorem aut nullam aliam omnino qualitatem in ventriculo ciborum mutatione facta. Ita vero morbus hic appellatus eſt exiſtimantibus illis qui primum ipſi talem appellationem impoſuerunt, propter interioris inteſtinorum ſuperficiei laevitatem fieri, ob quam non amplius ipſa retineant in ſe contenta cibaria, ſed celerrime praeterlabi ſinant; quaſi vero ſua, quum ſecundum naturam ſe habebant, aſperitate ipſa retinerent. Quum itaque in multis aliis eos laudandos aequum ſit qui primum rebus impoſuerunt nomina, in lienteria tamen eos viros minime probare poſſum, quum ipſius ventriculi munus eſſe ignoraverint, cibos circumplecti aut ipſos conſtringendo quodam tempore retinere rurſusque deorſum propellere. Et rurſus quemadmodum in veſica ſit urinae ſtillicidium patienter non ferente urinam colligi, ſed ſtatim ut mordentem aut gravantem expellente, ſic et in ventriculo cele-

Ed. Chart. IX. [246.] Ed. Baſ. V. (301.)

αὗται γὰρ αἱ αἰτίαι κοιναὶ ἁπάσης εἰσὶν ἐκκρίσεως. ἃς εἴπερ οἱ πρῶτοι θέμενοι τοὔνομα τῷ πάθει λειεντερίαν ἠπίσταντο, τὴν μὲν περὶ τῆς λειότητος τῶν ἐντέρων ὑπόνοιαν οὐκ ἂν ἐπήνεσαν, ἀντ' αὐτῆς δὲ τὴν ἀῤῥωστίαν τῆς γαστρὸς ὅλης καὶ τῶν ἐντέρων ἠτιάσαντο δι' ἣν αἰτίαν βαρυνόμενα ταῦτα τὰ μύρια πρὸς τῶν καταποθέντων ἀποτρίβεται διὰ ταχέων αὐτά. δυνατὸν δέ ποτε καὶ διά τινας χυμοὺς δακνώδεις ἐπιπολῆς ἑλκωθέντων αὐτῶν γενέσθαι τὸ πάθος, εἰ καὶ μὴ μεγάλως πεπόνθοι τὰ τῆς δυνάμεως. ἀναγκαῖον γάρ ἐστι καὶ τότε διεξερχομένων τῶν σιτίων ἀνιώμενα τὰ ἠλκωμένα προωθεῖν αὐτὰ κάτω καὶ πέμπειν ἀφ' ἑαυτῶν ὅτι τάχιστα. τούτου δὲ διὰ πάντων τῶν μορίων γενομένου τό τε τάχος ἀκολουθήσει τῆς διεξόδου καὶ τὸ μηδ' ἀρχήν τινα πέψεως εἰληφέναι. ἀλλὰ τῇ μὲν τοιαύτῃ λειεντερίᾳ δήξεώς τινος αἴσθησις ἔσται. τῇ δὲ δι' ἀῤῥωστίαν τῆς κατὰ γαστρὸς καὶ τὰ ἔντερα, χωρὶς ἁπάσης ἀνιαρᾶς αἰσθήσεως γίνεσθαι τὴν ὑποχώρησιν. ὑπάρχει δέ τι τοῦτο διά-

res cibariarum tranſitus. Hi enim ſunt omnium excretionum communes cauſae; quas ſi illi ſciviſſent qui primi huic affectui lienteriae nomen indiderunt, talem de ea inteſtinorum laevitate opinionem improbaſſent, ac ejus vice totius ventriculi et inteſtinorum imbecillitatem cauſam ſtatuiſſent, ob quam hae corporis partes cibis aſſumptis gravatae ipſos citiſſime propellunt. Poteſt etiam interdum quorundam humorum mordacitate et acrimonia in ſuperficie exulceratis inteſtinis haec affectio accidere, etiamſi vires ipſorum non magnopere laborent. Tum enim neceſſarium fuerit, ut permeantibus cibis partes exulceratae dolorem inferant, atque ideo deorſum illos propellant et a ſe ipſis quam citiſſime omittant, quo per omnes partes facto tanta ſequetur tranſitus celeritas, ut nullum fiet coctionis rudimentum. Verum tali lienteriae morſus cujusdam ſenſus inerit. In ea vero quae propter ventriculi et inteſtinorum imbecillitatem accidit, citra omnem doloris ſenſum fient dejectiones. Ceterum hoc non par-

Ed. Chart. IX. [246.] Ed. Baf. V. (301.)

φορον οὐ μικρὸν τῇ ἑτέρᾳ τῶν λειεντεριῶν. ἡ μὲν γὰρ ὑπὸ δριμέων χυμῶν ἐξεσμένης ἐπιπολῆς τῆς τε γαστρὸς ὅλης καὶ τῶν ἐντέρων γιγνομένη, εἰ μὲν ἡ κακοχυμία παύσαιτο, τάχιστα θεραπεύεται διὰ τῶν στυφόντων ἐδεσμάτων τε καὶ πομάτων. εἰ δ' ἐπὶ πλείονα παραμείνῃ χρόνον, εἰς δυσεντερίαν μεταπίπτει. ἡ δὲ δι' ἀῤῥωστίαν της καθεκτικῆς δυνάμεως ἐπὶ δυσκρασίᾳ μὲν πάντως ἐγγίνεται, ἤτοι δ' αὐτῶν ἐστι τῶν σωμάτων διάθεσις ἕξιν ἤδη τινὰ ἔχουσα δύσλυτον ἢ διὰ χυμόν τινα περιεχόμενον ἐν τῇ κοιλίᾳ καὶ τοῖς ἐντέροις, εἷς δὲ ἐκ τούτων τῶν χυμῶν ἐστι καὶ τὸ φλέγμα. διὸ καὶ ὀξεῖαι τοῖς κάμνουσιν ἐρυγαὶ συμβαίνουσιν, ἃς ὀξυρεγμίας ὀνομάζουσι, γινομένας καὶ χωρὶς φλέγματός τινος ἐπὶ ψυχροτέρᾳ γαστρί. καί τισί γε τῶν λειεντεριῶν, ὅσαι διὰ ψυχρότητα γίνονται, συνεισβάλλουσι μὲν ὀξυρεγμίαι, περιουσῶν δὲ παύονται. κατ' ἀρχὰς μὲν γὰρ ὀλίγον τινὰ χρόνον ἐν τῇ γαστρὶ μένει τὰ σιτία, προϊόντος δὲ καὶ ἐπαυξανομένου τοῦ πάθους οὐδὲ τοῦτον. ἐφ' οἷς μὲν οὖν ὀλιγοχρόνιός ἐστιν ἡ μονὴ γίνεταί τις οἷον ἀρχὴ πέψεως καὶ

vum quoddam eſt utrique lienteriarum diſcrimen. Nam quae ab humorum ſit acrimonia totius ventriculi et inteſtinorum abraſa ſuperficie, ſiquidem humorum pravitas ceſſaverit, adſtringentibus tum eduliis tum potibus citiſſime curatur. Si vero longiore tempore perſeveret, in dyſenteriam tranſit mutaturque. At quae propter retentricis facultatis imbecillitatem ſit ab intemperie plane conciliatur, quae vel ipſorum corporum diſpoſitio eſt aliquem jam habitum ſolutu difficilem non ſequuta vel quae propter humorem aliquem in ventriculo atque inteſtinis contentum evenit, ex quibus humoribus unus eſt pituita, qua aegrotantibus acidi ructus eveniunt, quas oxyregmias appellitant, etiam citra pituitae cujusdam conſortium ventriculo frigidiore obortas. Et ſane cum quibusdam lienteriis ex frigiditate ortum ducentibus una invadunt acidi ructus, ſed temporis progreſſu ceſſant. Nam per initia exiguo quodam tempore cibi in ventriculo retinentur; procedente autem atque aucto morbo, ne hoc qui-

Ed. Chart. IX. [246. 247.] Ed. Baſ. V. (301.)

διὰ τοῦτο ἀποτυχία. μεμαθήκαμεν δὲ τὰς διὰ ψυχρὰν αἰτίαν ἀποτυχίας τῆς πέψεως ὀξυρεγμίαν [247] ἐργαζομένας. ἐφ' οἷς δὲ οὐκ ἄρχεται πέττεσθαι τὰ σιτία τὴν ἀρχὴν, οὐδὲ μεταβολή τις αὐτῶν γίνεται κατὰ ποιότητα, ὥστε οὐδ' ὀξυρεγμίαι, πλὴν εἰ μὴ φλέγμα καὶ μάλιστα ὀξὺ πλεονάζοιτο κατὰ τὴν γαστέρα. διὰ τοῦτ' οὖν ὁ Ἱπποκράτης οὐχ ἁπλῶς εἶπε τὴν ὀξυρεγμίαν σημεῖον ἀγαθὸν εἶναι ταῖς λειεντερίαις, ἀλλὰ πρῶτον μὲν ἐν ταῖς χρονίαις προσέθηκεν, ὡς ταῖς γε ἀρχομέναις, ὡς εἴρηται, συνεισβάλλει πολλάκις, εἶτα πρόσθεν οὐ γινομένη, φησίν. ὅσαι γὰρ ὑπὸ φλέγματος καταψύξαντος τὴν γαστέρα γίγνονται λειεντερίαι, σύνεστιν αὐταῖς ἡ ὀξυρεγμία διὰ παντὸς ὥς τι σύμπτωμα. ταῖς μὲν οὖν μήτε ἀρχομέναις ἔτι μήτε διὰ φλέγμα γινομέναις οὐ σύνεστιν ὀξυρεγμία, γιγνομένη δέ ποτε σημαίνει διαμένειν μὲν τοσοῦτον ἤδη χρόνον ἐν τῇ γαστρὶ τὴν τροφὴν ὡς ἀρχὴν μεταβολῆς λαμβάνειν, ἀναμιμνήσκεσθαι δὲ τῶν

dem accidit. Ubi igitur in ventriculo brevis eſt cibi mora, tum quaedam fit coctionis inchoatio, proindeque ejusdem fruſtratio. Nos autem a frigida cauſa profectas coctionis fruſtrationes ructus acidos gignere didicimus. In quibus autem per initia cibi nullum ſubeunt coctionis rudimentum, nulla quoque fit ipſorum ſecundum qualitatem mutatio, ac proinde neque ructus acidus, niſi pituita eaque potiſſimum in ventriculo exuberet. Propterea Hippocrates in lienteriis acidum ructum bonum ſignum eſſe non abſolute pronunciavit, verum primum in diuturnis addidit: nam quum incipientibus, ut dictum eſt, ſaepe ſimul acidi ructus oboriuntur, deinde qui prius, inquit, non extiterunt. Quae namque a pituita ventriculum refrigerante fiunt lienteriae, ſemper cum ipſis tanquam ſymptoma quoddam oxyregmia eſt. Cum illis igitur quae neque etiamnum incipiunt, neque a pituita procreantur, non ſunt acidi ructus. Si quando vero fiant, tantum jam temporis cibum in ventriculo permanere, quoad mutationis principium conſequantur et naturam ſuorum ope-

Ed. Chart. IX. [247.] Ed. Baſ. V. (301.)

οἰκείων ἔργων τὴν φύσιν. ἐμοὶ μὲν ἱκανῶς, ὡς νομίζω, πεπλήρωται τὰ τῆς ἐξηγήσεως. εἰ δέ τις ἐπιστημονικῶς ἐκμαθεῖν βούλεται τὰ κεφάλαια τῶν εἰρημένων, ἐν μὲν τῇ τῶν φυσικῶν δυνάμεων πραγματείᾳ περὶ τῶν τῆς γαστρὸς ἔχει δυνάμεων ἀποδείξεις οὐκ ὀλίγας, ἐν δὲ ταῖς τῶν συμπτωμάτων αἰτίαις περὶ τῶν ταχέως ἀποκρινομένων ἁπάντων. ἐπεὶ δ' Ἐρασίστρατος ἐν τῷ δευτέρῳ περὶ κοιλίας κατεψεύσατό τε τῶν ἑαυτοῦ πρεσβυτέρων, ἐπῆρξέ τε καὶ συνέχει τὴν ἔννοιαν τῆς λειεντερίας, ἄμεινον εἶναί μοι δοκεῖ καὶ ταῦτα προσθεῖναι, καὶ πρῶτά γε αὐτὴν τὴν Ἐρασιστράτου παραγράψαι ῥῆσιν ἔχουσαν οὕτως· περὶ δὲ τῆς καλουμένης λειεντερίας ῥητέον. οἱ μὲν οὖν πρότερον ἰατροὶ εἰς τρία μέρη διῄρουν τὸ πάθος, λειεντερίαν, δυσεντερίαν, τεινεσμόν. καί τινες μὲν ἐν τοῖς ἐκκρινομένοις τὰς διαφορὰς του πάθους θεωροῦντες καὶ λέγοντες. ὅτε μὲν γὰρ αἱματώδη τε καὶ μυξώδη προχωροίη τὰ ἀπὸ τῆς κοιλίας, τότε μὲν δυσεντερίαν τὸ πάθος ἐκάλουν. εἰ δ' ἄπεπτα εἶεν τὰ διαχωρούμενα, μεμιγμένα δὲ τοῖς αἱματώδεσί τε καὶ μυξώδεσι, λειεν-

rum reminiſci ſignificabit. Atque mihi videor quae ad textus explicationem ſpectant, ea ſatis expleviſſe. Si quis autem eorum quae dicta ſunt capita ſcienter diſcere velit, is in opere de naturalibus facultatibus et in libris de ſymptomatum cauſis omnium quae celeriter excernuntur explicatas cauſas habet. Quoniam vero Eraſiſtratus ſecundo de ventriculo ſuperiorum medicorum auctoritatem ementitus eſt ac de lienteria notionem turbavit confuditque, melius eſſe mihi viſum eſt haec etiam ſuperaddere, ac primum ipſius Eraſiſtrati textum ita ſe habentem ſubſcribere: *de lienteria vocata dicendum eſt, ſuperiores enim medici inteſtinorum affectum in tres partes diviſerunt, lienteriam, dyſenteriam et teneſmum. Atque ex his nonnulli in ipſis excretis morbis differentias ſpectantes dicunt. Quum enim ex alvo et cruenta et mucoſa prodeunt, tum hunc affectum dyſenteriam vocabant; ſi vero quae excernuntur, cruda fuerint, ſed cruentis et mucoſis permixta lienteriam, quum vero bilioſa ſanguinolentis atque*

Ed. Chart. IX. [247.] Ed. Baſ. V. (301.)

τερίαν, ὅτε δὲ ὑπίη χολώδεα τοῖς αἱματώδεσι καὶ μυξώδεσι μεμιγμένα, τεινεσμὸν προσηγόρευον τὸ πάθος. ταυτὶ μὲν οὖν ὁ Ἐρασίστρατος εἶπεν, οὐκ οἶδα τί ὀΐξαν αὐτῷ προσθεὶς τοῖς ἀπέπτοις διαχωρήμασιν αἱματώδη τε καὶ μυξώδη. τοῦτο γὰρ οὐδεὶς προσέθηκεν οὔτε τῶν κατὰ τὸν αὐτὸν αὐτῷ γεγονότων χρόνων ἐπιφανεστάτων, οἷον Φιλότιμος, Ἡρόφιλος, Εὔδημος, οὔτε τῶν μετ' αὐτὸν γενομένων τις ἄχρι τῶν νεωτέρων τούτων τῶν περὶ τὸν Ἀρχιγένην, οὐ μὴν οὐδ', ὡς αὐτὸς εἶπεν, οἱ πρότεροι ἰατροὶ, τουτέστιν ὅσοι πρεσβύτεροι τῶν Ἐρασιστράτου χρόνων. Διοκλῆς μὲν γὰρ ἐν τῷ περὶ πάθους αἰτίας θεραπείας βιβλίῳ ταῦτα γράφει· τὸ δὲ τρίτον γίνεται μὲν ὡς τὰ πολλὰ ἐκ δυσεντερίας, καλεῖται δὲ λειεντερία. ἕπεται δ' αὐτῇ καὶ διαχώρησις ὑγρὰ καὶ ἀφρίζουσα καὶ ὠμὴ καὶ πολλὴ καὶ ταχεῖα μετὰ τὸ πιεῖν καὶ φαγεῖν. Πραξαγόρας δ' ἐν τῷ δευτέρῳ τῶν συνεδρευόντων· τοῖς δὲ λειεντερικοῖς, φησὶν, ἐπειδὴ ὀλισθον ἔχει τὸ ἔντερον καὶ οὐχ ἥκιστα τὸ περὶ τὴν νῆστιν, ἀνάγκη ταχέως φέρεσθαι τὰ ἀπὸ τῶν σιτίων διαχωρήματα. εἶθ' ἑξῆς ὅτι τοῖς ταχέως διεξερχομένοις ἀναγκαῖόν ἐστιν ἀπέ-

mucoſis permixta ſubeunt, teneſmum affectum appellabant. Haec igitur Eraſiſtratus protulit, neſcio qua ductus opinione crudis dejectionibus mucoſa et cruenta addiderit. Hoc enim nullus appoſuit, neque eorum qui iisdem temporibus claruerunt medici, quales Philotimus, Herophilus et Eudemus, neque eorum qui poſteri aduſque recentiores iſtos Archigenis ſectatores extiterunt, ſed nec quod ipſe dicit medicorum ſuperiorum, hoc eſt eorum qui ante Eraſiſtrati ſeculum fuerunt, ullus affirmavit. Diocles ſiquidem in libro de cauſae morbi curatione haec ſcribit: *tertium morbi genus plerumque dyſenteriam excipit, vocatur autem lienteria, quam ſequitur humida, ſpumans, cruda, multa et cita ab adſumpto cibo ac potu dejectio.* Praxagoras autem ſecundo de ſignis adſidentibus inquit: *lientericis quia lubrica ſunt inteſtina, inprimisque jejunum, cito ferri neceſſario ciborum dejectiones.* Praeterea

Ed. Chart. IX. [247. 248.] Ed. Baſ. V. (301. 302.)

πτοις εἶναι παν- [248] τάπασιν, ὁ Πραξαγόρας γράφει· τὸ μὲν ἰδιαίτατον τοῦ πάθους ἐν τῇ ταχείᾳ διεξόδῳ τιθέμενος, τὸ δὲ μὴ πέπτεσθαι τῶν ἐξ ἀνάγκης ἀκολουθούντων τι ποιούμενος. οὐ γὰρ ὅτι παντάπασιν ἄπεπτα μένει τὰ σιτία, διὰ τοῦτ' ἐκκρίνεται ταχέως, ἀλλ' ὅτι ταχέως ἐκκρίνεται, διὰ τοῦτο οὐδ' ὅλως πέπτεσθαι, καὶ διὰ τοῦτο καὶ ἡμεῖς καὶ ἄλλοι πολλοὶ τῶν ἰατρῶν τα- (302) χεῖαν διέξοδον ἀπέπτων παντάπασι τῶν σιτίων φαμὲν εἶναι τὴν λειεντερίαν. οὕτως δὲ περὶ αὐτῆς ἐοίκασι γινώσκειν καὶ ἄλλοι παλαιοί. ἐν μὲν γὰρ τῷ περὶ παθῶν Ἱπποκράτους, εἴτ' οὖν αὐτοῦ τοῦ Ἱπποκράτους ἐστὶ τὸ βιβλίον εἴτε Πολύβου τοῦ μαθητοῦ αὐτοῦ, ταυτὶ γέγραπται περὶ τῆς λειεντερίας· τὰ σιτία διαχωρέει ἄσηπτα, ὑγρὰ, ὀδύνη οὐ κινέει, λεπτύνεται δὲ τὸ σῶμα. δηλονότι παλαιά τις ἦν συνήθεια τούτοις τοῖς ἀνδράσιν ἄσηπτα καλεῖν ἅπερ ἡμεῖς ἄπεπτα λέγομεν. ἐν δὲ τῷ διαιτητικῷ τῷ ὑγιεινῷ, τῷ Ἱποκράτει μὲν ἐπιγεγραμμένῳ καὶ αὐτῷ, τοῖς δ' ἀπο-

Praxagoras deinceps ſcribit: *cibaria quae cito permeant, omnino cruda eſſe oportere;* qui maximam affectionis proprietatem in celeri dejectionum transitu ſtatuit et quod cibi coctionis expertes permaneant, quiddam eorum efficit quae neceſſario conſequuntur. Non enim certe quia omnino crudi permanent, propterea cito dejiciuntur, ſed quia confeſtim excernuntur, nullam propterea coctionem ſubeunt. Quamobrem tum nos, tum alii medici plerique lienteriam definimus citam eſſe ciborum nullam prorſus coctionem habentium pervaſionem. Sic de ipſa veteres quoque medici ſentire videntur: nam in libro Hippocratis de morbis, ſive ipſius ſit Hippocratis liber ſive Polybi ejus diſcipuli, haec de lienteria ſcripta ſunt: *cibaria dejiciuntur imputrida, humida, dolorem non concitantia, corpus autem extenuatur.* Nimirum hiſce viris fuit conſuetudo jam olim recepta appellandi imputrida quae nos cruda et coctionis expertia vocamus. In libro quoque de victu ſalubri, qui et ipſe Hippocrati adſcribitur, licet qui

Ed. Chart. IX. [248.] Ed. Baſ. V. (302.)

ξενοῦσιν αὐτὸ, τισὶ μὲν εἰς Φιλιστίωνα, τισὶ δ' εἰς Ἀρίστωνα, τισὶ δ' εἰς Φερεκύδην ἀναφέρουσι, γέγραπται ταυτί. πάσχουσι δέ τινες καὶ τοιαῦτα διαχωρέει αὐτοῖς τὸ σιτίον ὑγρὸν ἄπεπτον, οὐ διὰ νόσημα, οἷον λειεντερίαν, οὐδὲ πόνον οὐδένα παρέχει. οὗτοι μὲν οὖν οἱ ἄνδρες ἅπαντες Ἐρασιστράτου πρεσβύτεροι, μυριοι δ', ὡς ἔφην, ἄλλοι πάντες κατ' αὐτὸν τὸν Ἐρασίστρατον ὕστεροι γεγονότες ὡσαύτως τοῖσδε περὶ τῆς λειεντερίας ἔγραψαν, ὥστ' οὐκ οἶδ' ὅ τι παθὼν Ἐρασίστρατος καταψεύδεται τῶν πρεσβυτέρων αἱματώδη καὶ μυξώδη τοῖς ἀπέπτοις μεμίχθαι λέγων ὑπολαμβάνειν αὐτοὺς ἐν ταῖς λειεντερίαις.

β'.

Οἷσι ῥῖνες ὑγρότεραι φύσει καὶ ἡ γονὴ ὑγροτέρη, ὑγιαίνουσι νοσηρότερον, οἷσι δὲ τἀναντία, ὑγιεινότερον.

---

adulterinum cenſent, nonnulli ad Ariſtonem, nonnulli ad Philiſtionem, quidam ad Pherecydem referant, haec ſcriptis patent: *Haec nonnulli patiuntur: cibus eis dejicitur humidus, non coctus, non propter morbum, verbi gratia, lienteriam, neque aliquem dolorem affert.* Hi quidem viri omnes Eraſiſtrato ſunt ſeniores, milleque alii, ut dixi, tum qui Eraſiſtrati aetate floruerunt, tum qui poſt eum fuerunt, in eandem omnes ſententiam de lienteria ſcripſerunt. Quare quod Eraſiſtrato in mentem venerit neſcio, ut de majoribus mentiretur, dum in levitate inteſtinorum cruenta et mucoſa cibis non coctis permiſceri ſententiam eorum eſſe praedicat.

II.

Quibus nares humidiores natura ſunt et humidior genitura, ii morboſiore ſunt valetudine; at quibus contraria ſunt, ſalubriore.

Ed. Chart. IX. [248. 249.] Ed. Baf. V. (302.)

Ἐν μὲν ταῖς ξηροτέραις φύσει κράσεσιν οὐδὲν ὅλως ἐρεῖ διὰ τῶν ῥινῶν ἐξ ἐγκεφάλου περίττωμα σαφὲς οὐδ' αἰσθητὸν, ὥσπερ οὐδὲ διὰ τοῦ δέρματος ἱδρὼς, ἀλλ' ἡ καλουμένη πρὸς τῶν ἰατρῶν ἄδηλος διαπνοὴ τὰ λελεπτυσμένα τῶν περιττωμάτων ἀτμοειδῶς ἐκκενοῖ. ταῖς δ' ὑγροτέραις φύσεσιν αἰσθητὰ γίνεται περιττώματα καὶ μάλιστα κατὰ τὸν ἐγκέφαλον, ὅτι φύσει ψυχρότερός ἐστι. ταῖς δ' αὐταῖς ταύταις καὶ τὴν γονὴν, τουτέστι τὸ σπέρμα, γίνεσθαί φησιν ὑγροτέραν ὥσπερ καὶ ἐν ταῖς ξηροτέραις ἀναλισκομένης τῆς ὑδατώδους ὑ- [249] γρότητος, παχύτερόν τε καὶ ξηρότερόν ἐστι τὸ σπέρμα. τοὺς οὖν ὑγροτέρους, εἴτ' οὖν μόνον τὸν ἐγκέφαλον εἴτε καὶ τὸ σύμπαν σῶμα τὴν ὑγιεινὴν διαγωγὴν οὐκ ἄμεμπτον ἔχειν συμβέβηκεν, ἀλλὰ κατάῤῥοις τε συνεχῶς ἐπὶ σμικραῖς αἰτίαις ἁλίσκεσθαι, κἂν δι' ὑπερῴας αὐτοῖς κάτω ῥέπῃ τὸ περίττωμα, κακοῦσθαι τὰ ὑποκείμενα φάρυγγα καὶ λάρυγγα καὶ τραχεῖαν ἀρτηρίαν καὶ πνεύμονα καὶ στόμαχον καὶ γαστέρα καὶ βῆχάς τε αὐτοῖς γίνεσθαι καὶ δυσπνοίας καὶ συνάγχας, ἀπεψίας τε καὶ διαῤῥοίας.

Siccioribus natura temperamentis nullum e cerebro per nares manifeſtum aut ſenſibile excrementum effluit, quemadmodum neque per cutem ſudor, ſed quae abdita medicis cutis perſpiratio vocata extenuata excrementa vaporis inſtar evacuat. Humidioribus vero naturis ſenſibilia fiunt excrementa, praeſertimque cerebri, quod natura ſit frigidius, his ipſis genituram, hoc eſt ſemen ipſum, humidiorem eſſe pronunciat, ut ſiccioribus aquoſa humiditate exhauſta tum craſſius tum ſiccius ſemen eſt. Qui igitur ſive ſolo cerebro ſive univerſo corpore ſunt humidiores, hi ſalubrem vitae ſtatum ac illaeſum habere nequeunt; verum continuo catarrhis leves ob cauſas corripiuntur. Quod ſi per palatum ipſis deorſum redundans humor feratur, ſubjectas partes male affici neceſſe eſt, fauces, guttur, aſperam arteriam, pulmonem, ſtomachum et ventrem, tuſſes etiam ipſis oboriri, dyſpnoeas, anginas,

Ed. Chart. IX. [249.] Ed. Baſ. V. (302.)

ἔστι δ' ὅτε καὶ δυσεντερίας, ὅταν ἁλμυρώτερόν πως γένηται τὸ καταῤῥέον, ἀναγκαῖόν ἐστιν. εἴρηται δ' αὐτῷ κἀν τῷ περὶ ὑδάτων καὶ τόπων καὶ ἀέρων βιβλίῳ περὶ τυύτων, ὥσπερ γε κἀν τοῖς περὶ νούσων τε καὶ παθῶν.

γ'.

Ἐν τῇσι μακρῇσι δυσεντερίῃσιν αἱ ἀποσιτίαι κακὸν, καὶ ξὺν πυρετῷ κάκιον.

Αἱ δυσεντερίαι γίνονται μὲν ὑπὸ δριμέων χυμῶν, ἑλκώσεις δ' εἰσὶν ἐντέρων, ἐν ἀρχῇ μὲν ἐπιπολῆς ξυομένων, τῷ χρόνῳ δὲ βαθύτερα καὶ σηπεδονώδη τοὐπίπαν ἰσχόντων τὰ ἕλκη, καθ' ὃν μάλιστα χρόνον ἡ γαστὴρ αὐτοῖς συμπάσχουσα βλάπτεται περὶ τὰς πέψεις. ἐπανιούσης δ' ἀεὶ καὶ μᾶλλον ἀνωτέρω τῆς κακώσεως, ἐπειδὰν καὶ τὸ στόμα συμπάθῃ τῆς κοιλίας, ἀπόσιτοι γίνονται, τουτέστιν ἀνόρεκτοι. γίγνονται μὲν γὰρ ἐνίοτε καὶ κατ' ἀρχὰς ἀπόσιτοι διὰ τοὺς συῤῥεόντας ἰχῶρας ἐξ ἥπατος, ἐφ' ὧν ἔφαμεν ἐξύσθαι τὰ

cruditates, diarrhoeas, interdum etiam dyſenterias, quum deſtillans humor ſalſior quodammodo fuerit. Porro de his ipſis egit libro de aëre, locis et aquis, quemadmodum et libris de morbis et affectibus.

III.

In longis dyſenteriis cibi faſtidia malum et cum febre pejus denunciant.

Dyſenteriae exulcerationes ſunt inteſtinorum ab acutis humoribus factae. Nam initio abraditur extima eorum ſuperficies; deinde temporis ſpatio profundiora et putria habent ulcera, quo maxime tempore ventriculi per conſenſum affecti coctione laeduntur, qua noxa magis ac magis ſemper ſurſum evecta ſimul ventriculi os eſt affectum, cibos faſtidiunt, hoc eſt non appetunt. Nam per initia etiam interdum cibum averſantur propter defluentes ab hepate ichoras, a quibus inteſtina abradi dicebamus,

Ed. Chart. IX. [249. 250.] Ed. Baf. V. (302.)

ἔντερα καὶ μάλισθ' ὅταν ὦσιν οὗτοι πικρόχολοι, μέρος γὰρ αὐτῶν ἐπιπολάζον ἀναφέρεται πρὸς τὸ στόμα τῆς γαστρός. κατὰ δὲ τὰς χρονίας δυσεντερίας, ὅταν ἐπιγένηται τοῦτο τὸ σύμπτωμα, νέκρωσιν ἤδη τινὰ σημαίνει γεγονέναι τῇ γαστρὶ κατὰ συμπάθειαν, ἐφ' ᾗ τελέως ἀπολωλεκέναι ἀναγκαῖον τὸ εἰς τὴν ζωὴν ἔργον. εἰ δ' ἅμα τῇ ἀνορεξίᾳ καὶ πυρετὸς ἐπιγένοιτο τῇ δυσεντερίᾳ, δυοῖν θάτερον, ἢ σηπεδών τίς ἐστι περὶ τὰ ἕλκη, ἢ ἀξιόλογος φλεγμονή· καὶ οὕτως, ὡς εἴρηται, συμπασχούσης ὅλης αὐτῆς ἤδη τῆς γαστρὸς ὀλεθρίως ἔχουσιν οἱ κάμνοντες.

δ'.

Τὰ περιμάδηρα ἕλκεα κακοήθεα.

---

[250] *Ὅταν ἤτοι τὰς τρίχας ἐκπιπτούσας ἴδῃς τῶν περικειμένων τῷ ἕλκει χωρίων ἢ καὶ τὸ δέρμα λεπίδας ἐπιπολῆς ἀφιέν, ἴσθι τοῖς οὕτως ἔχουσι μοχθηροὺς χυμοὺς ἐπιῤῥεῖν τῷ μέρει ἀκριβῶς ἀναβιβρώσκοντας τὸ ἕλκος. οὐ*

si praesertim hi picrocholi fuerint: nam eorum pars supernatans ad os ventriculi effertur. Longis vero dysenteriis quum hoc symptoma supervenerit, quandam jam per consensum ventriculo mortificationem adveniisse indicat, qua appetentiam aboleri prorsus necesse est opus ad vitam necessarium. Si vero una cum inappetentia dysenteriae febris accesserit, ex duabus altera, vel aliqua ulcerum putredo vel ingens inflammatio adest, atque ita, ut dictum est, toto per consensum ventre affecto, perniciose habent aegroti.

IV.

Circumglabra ulcera maligna sunt.

Quum vel pilos a circumjectis ulceri regionibus defluere vel cutem squamulas e summa parte amittere videris, scito qui ita se habent, iis pravos humores in partem affluere, qui vehementer ulcus erodunt. Non enim

Ed. Chart. IX. [250.] Ed. Bas. V. (302.)

γὰρ δήπου τὰς μὲν ῥίζας τῶν τριχῶν διαφθείρειν δύναται, τὸ δ' ἡλκωμένον ἐᾶν συνεπουλοῦσθαι.

ε'.

Τῶν ὀδυνέων καὶ ἐν πλευρῇσι καὶ ἐν στήθεσι καὶ ἐν τοῖσιν ἄλλοισιν, εἰ μέγα διαφέρουσι καταμαθητέον.

Καταμανθάνειν οὐ μόνον χρὴ τὸν ὀδυνώμενον τόπον ὁποῖός ἐστιν, ἀλλὰ καὶ τὸ μέγεθος τῆς κατ' αὐτὸν ὀδύνης τηλίκον ἐστί. χρήσιμον οὖν τοῦτο πρός τε διάγνωσιν τοῦ πεπονθότος τόπου καὶ πρόγνωσιν τῶν γενησομένων περὶ τὸν κάμνοντα καὶ προσέτι τὴν τῆς θεραπείας εὕρεσιν ἐν τῇ γοῦν πλευρᾷ ὅταν ἄλγημα ᾖ μέγα, πρῶτον μὲν οὐκ ἀκίνδυνον, εἶτα καὶ θεραπείας δεήσεται πλείονος. εἰ μὲν εἰς κλεῖδι ἡ ὀδύνη διατείνοι, φλεβοτομίας, εἰ δ' εἰς ὑποχόνδριον, καθάρσεως, ὡς αὐτὸς ἐν τῷ περὶ διαίτης ὀξέων ἐδίδαξεν.

certe pilorum radices corrumpere queunt et ulceratum locum non prohibere cicatrice obduci.

V.

Dolores tum laterum tum pectoris ceterarumque partium an multum differant perdiſcendum.

Perdiſcere non modo oportet locum dolentem qualis ſit, ſed et in eo doloris magnitudinem quanta ſit. Haec autem tum ad loci affecti dignotionem, tum ad praenotionem eorum quae laboranti eventura ſunt tum praeterea ad curationis inventionem confert. Quum ergo in latere magnus dolor fuerit, primum is eſſe non poteſt, quin membrana coſtas ſuccingens vocata patiatur; ſecundo non vacat periculo; deinde majore etiam indiget curatione. Nam ſi ad claviculam dolor porrigatur, venae ſectione utendum erit; ſi vero ad hypochondrium, purgatione, quemadmodum in libro de victu acutorum ipſe docuit.

Ed. Chart. IX. [250. 251.] Ed. Baſ. V. (302. 303.)

εἰ μέντοι μέτριον εἴη τὸ ἄλγημα καὶ προσέτι μηδὲ νυγματῶδες, οἷόν περ ἦν καιὰ τὸν ὑπεζωκότα, μήτε διατεῖνον πρὸς ὑποχόνδριον ἢ κλεῖν, ἐγχωρεῖ καὶ τῶν σαρκωδῶν μορίων ἐπὶ ταῖς πλευραῖς πεπονθότων αὐτὸ γίνεσθαι καὶ διὰ τοῦτο μήτε κινδυνώδες εἶναι μήτε μεγάλου δεῖσθαι βοηθήματος. οὕτω δὲ καὶ καθ' ἕκαστον τῶν ἄλλων μορίων ἐπισκεπτέον ἐστὶ τὸ μέγεθος τῆς ὀδύνης, οἷον ἐπὶ νεφρῶν, εἰ τύχοι. τοῦ σαρκώδους μὲν αὐτὸν φλεγμαίνοντος, ἔσται βαρεῖα ἡ ὀδύνη, καθάπερ αὐτὸς ἐν ἐπιδημίαις εἶπε, τὴν οἷον βάρους τινὸς ἐγκειμένου κατὰ τὸ χωρίον αἴσθησιν ἐπάγουσαν οὕτως ὀνομάσας. τῶν δ' ἄλλων μερῶν τῶν κατὰ τοὺς νεφροὺς πασχόντων ὀξεῖα ἡ ὀδύνη. λέγω δ' ἄλλα μέρη τόν τε περιέχοντα χιτῶνα τούτων καὶ τὴν ἔνδον κοιλίαν καὶ τὰς εἰς αὐτὴν περαινούσης (303) ἀρτηρίας τε καὶ φλέβας καὶ προσέτι τὰς ἐκφύσεις τῶν οὐρητήρων. οὕτως δ' ἔχει καὶπὶ τοῦ ἥπατος, αὐτοῦ μὲν τοῦ σαρκώδους φλεγμαίνοντος ὀδύνη γίνεται βαρεῖα, [251] τοῦ δὲ περικειμένου χιτῶνος ἢ τῶν ἀγγείων ὀξεῖα, καὶ αὐτῆς δὲ τῆς ὀξείας ἔνδειξιν φέρει τὸ μᾶλ-

Si vero mediocris dolor extiterit et praeterea minime punctorius, qualis in membrana erat ſuccingente, neque ad claviculam aut hypochondrium pertingat, tum ipſum carnoſis coſtarum partibus affectis fieri contingit, atque ideo neque eſſe periculoſum, neque magno auxilio indigere. Sic et in ſingulis aliis partibus doloris magnitudo conſideranda eſt, veluti in renibus, ſi forte carnoſa eorum pars inflammationem ſubeat, dolor gravis erit, quemadmodum ipſe in epidemiis tradidit, ita eum dolorem appellans, qui veluti ponderis cujusdam affecto loco incumbentis ſenſum invehit. Aliis vero renum partibus affectis acutus dolor cruciabit. Alias dico partes tunicam renes obtegentem, internum ventriculum et in hunc definentes tum arterias tum venas, ac praeterea ureterum exortus. Sic etiam in jecore ſe res habet, parte ſiquidem ejus carnoſa inflammata dolor gravis oritur, obtegente vero tunica aut vaſis inflammatis acutus. Atque ipſius doloris acuti indicium affert major minorve efficien-

Ed. Chart. IX. [251.] Ed. Baſ. V. (303.)

λον καὶ ἧττον τοῦ ποιοῦντος αἰτίου. χολώδης μὲν γὰρ καὶ δριμὺς χυμὸς ἐπιτείνει τὴν ὀδύνην, οὕτω δὲ καὶ φυσώδες πνεῦμα διέξοδον οὐκ ἔχον, ἐκλύει δὲ ὁ φλεγματώδης· οὐ μόνον δὲ ποιότητός τινος μέγεθος ὀδύνης ἔνδειξίν τινα ἡμῖν δίδωσιν, ἀλλὰ καὶ ποσότητος. ἐπιτείνεται γὰρ ἑκάστου τῶν ὁτιοῦν ἐργαζομένων αἰτίων ἡ ἐνέργεια τῆς οὐσίας αὐξανομένης. εἰ μὲν οὖν τὸ μέγεθος ἑκάστης ὀδύνης ἀξιῶν ἐπισκέψασθαι τοῦτον ἔγραψε τὸν ἀφορισμὸν Ἱπποκράτης, αὐτάρκως ἐξήγημαι τὴν χρείαν αὐτοῦ· εἰ δ' οὐ μόνον τὴν κατὰ μέγεθος διὰ τῶν ὀδυνῶν ἐπισκέπτεσθαί φησι δεῖν, ἀλλ' ἔτι γενικώτερον καὶ οἷον καθολικώτερον ἐνδείκνυται, συμβουλεύων ἁπάσας τὰς ἀξιολόγους ἐν ταῖς ὀδύναις ἐπισκέπτεσθαι διαφοράς, ἔτι μείζονα χρείαν ἐξ αὐτοῦ καρπωσόμεθα. γενήσεται γὰρ ὁ λόγος τοιοῦτος, οὐχ ἁπλῶς χρὴ σκοπεῖσθαι τὴν ὀδύνην τῶν μορίων, οὐδ' ἡγεῖσθαι τὴν αὐτὴν ἐπὶ παντὸς εἶναι διάθεσιν· οἷον εἰ ἔμπροσθεν μὲν Δίωνι, νυνὶ δὲ Θέωνι ἀλγεῖ πλευράν, ὑπολαμβάνειν ὡσαύτως ἔχειν αὐτούς,

tis cauſae magnitudo. Bilioſus ſiquidem et acris humor dolorem intendit, ſicut et ſpiritus flatulentus exitum non habens, remittit pituitoſus. Non ſolum autem qualitatis cujusdam magnitudo nobis aliquam dat doloris ſignificationem, ſed etiam quantitatis: intenditur enim cujusvis cauſae efficientis actio aucta ejus ſubſtantia. Si itaque Hippocrates quia doloris magnitudinem conſiderandam eſſe vellet, hunc aphoriſmum ſcripſit, ſatis ipſius uſum expoſuimus: ſi vero non ratione magnitudinis dumtaxat dolorum differentias ſpectandas eſſe pronunciat, ſed generalius etiamnum quiddam ac veluti univerſalius indicat, qui omnes effatu dignas dolorum differentias animadvertendas eſſe conſulit, multo etiam majorem ex ipſo utilitatis fructum percepturi ſumus. Erit enim oratio hujusmodi: non ſimpliciter partium dolorem conſiderare oportet, neque eandem eſſe in omnibus affectionem arbitrari oportere, ut ſi exempli gratia antea quidem Dioni, poſtea vero Theoni latus doluerit, non eodem modo utrumque ſe ha-

Ed. Chart. IX. [251.] Ed. Baſ. V. (303.)

ἀλλὰ καταμαθητέον εἴτε μεγάλα διαφέρουσιν ἀλλήλων εἴτε παραπλήσιοί πώς εἰσι. γίνεται δὲ τοῦτο ἐκ δυοῖν καταφανὲς, ἰδέας τε τῆς ὀδύνης καὶ σφοδρότητος· ἰδέας μὲν εἰ νυγματώδης ἢ τονώδης ἢ ναρκώδης ἢ μετὰ βάρους ἐμφάσεως ἢ οἱονεὶ κεντοῦντός τινος ἢ διαβιβρώσκοντος ἢ διηνεκοῦς ἢ διάλειμμα ἔχοντος ἢ ὁμαλοῦ ἢ ἀνωμάλου τινός. κατὰ δὲ τὰς σφοδρότητας τοὺς μᾶλλόν τε καὶ ἧττον σκοπεῖν, ὅπερ ὀλίγον ἔμπροσθεν ἡ κατὰ μέγεθος ἐν ταῖς ὀδύναις ὠνομάζετο διαφορά. σύνηθες γάρ ἐστι τοῖς ἰατροῖς καταχρωμένοις τὸ σφοδρότερον ἅπαν ὀνομάζειν μεῖζον, εἰ καὶ μὴ ποσὸν, ἀλλὰ καὶ ποιὸν ὑπάρχει. τὸν μὲν γὰρ πυρετὸν οὐδὲ παύονται μέγαν ἢ μικρὸν ἢ μέτριον ἅπανιες ὀνομάζοντες, ἐν θερμασίᾳ τὴν ὕπαρξιν ἔχοντα. θαυμαστὸν οὖν οὐδὲν, εἰ καὶ τὸν σφοδρότερον πόνον μείζονα προσαγορεύουσιν. ἔτι δὲ μᾶλλον οὐδὲν θαυμαστόν ἐστιν ὅσα κεχώρισται ταῖς ἰδέαις ἀλλήλων μέγα διαφέρειν αὐτὰ λέγειν, οἷον τὸν μετὰ

bere exiſtimandum; ſed num multum inter ſe dolore differant an quodammodo exiſtant ſimiles cognoſcendum. Id vero ex duobus fit perſpicuum, doloris tum ſpecie tum vehementia. Ex ſpecie quidem, ſi punctorius, ſi tenſivus aut torpidus aut phantaſia gravis aut tanquam lancinans aut erodens aut pertundens aut continuus aut cum intermiſſione aut aequabilis aut inaequabilis. Ex vehementia etiam qui vehementior remiſſiorve ſit ſpectare oportet, quae paulo ſupra ſecundum magnitudinem in doloribus dicebatur differentia. Conſuetum enim erat medicis vocabulo abutentibus quidquid vehementius eſt majus nominare, etiam ſi id non quantum, ſed quale exiſtat. Febrem enim quae ſuam habet in calore eſſentiam, magnam aut parvam aut mediocrem omnes nominare non ceſſant. Quare mirum non eſt ſi dolorem etiam vehementiorem majorem vocitent. Imo vero magis admiratione dignum non eſt, ſi quae ſpeciebus ſeparata ſunt, ea inter ſe multum differre dicantur; veluti ſi dolorem qui ponderis cujusdam phantaſiam refert, ab eo qui lan-

Ed. Chart. IX. [251. 252.] Ed. Baſ. V. (303.)

βάρους ἐμφάσεως πόνον, τοῦ μετὰ τοῦ τιτρώσκεσθαι δοκεῖν ἢ τι τῶν ἄλλων πάσχειν τῶν προειρημένων.

στ'.

Τὰ νεφριτικὰ καὶ ὁκόσα κατὰ τὴν κύστιν ἀλγήματα ἐργωδῶς ὑγιάζεται τοῖσι πρεσβύτῃσιν.

[252] Τοῖς γέρουσι μόγις ὑγιάζεσθαί φησι, τουτέστι μετὰ πολλῆς πραγματείας καὶ χρόνου μακροῦ τὰ κατὰ νεφροὺς καὶ κύστιν, ὅτι δὴ τοὔργον αὐτῶν ἄπαυστόν ἐστιν, ἡσυχίας δὲ δεῖ τοῖς ὁτιοῦν μέλλουσι θεραπευθήσεσθαι, καὶ ὅτι περίττωμα δι' αὐτῶν κενοῦται θριμὺ παροξύνειν ἐπιτήδειον, εἴθ' ἕλκος εἴτε φλεγμονή τις ἐν αὐτοῖς εἴθ' ὁτιοῦν ἄλλο συσταίη πάθημα. πολὺ δὲ δὴ μᾶλλον τῶν πρεσβυτικῶν σωμάτων ἐργαδῶς ὑγιάζεται τὰ κατὰ τὴν κύστιν, ὅτι καὶ τἄλλα σύμπαντα νοσήματα καὶ μάλισθ' ὅσα ἦ χρόνια, τὰ γὰρ τοιαῦτα καὶ αὐτὸς ἔφη πρόσθεν συναποθνήσκειν.

cinare et pertundere partem, qui aliud quidpiam ex iis quae ſupra dicta ſunt facere videtur, diverſum eſſe dixeris.

VI.

Renum et veſicae affectiones ac dolores ſenibus operoſe ſanantur.

Affectus renum et veſicae ſenibus vix ſanari pronunciat, hoc eſt multo negotio ac longo tempore. Quod certe earum partium actio irrequieta ſit; quiete autem opus eſt, quodcunque ſanari debeat, quodque excrementum, quod per eos vacuatur, acre ſit, quod irritandi ſive ulceris, ſive inflammationis, ſive alterius cujuspiam affectionis in ipſis conſiſtentis vim habet. Multo vero difficilius ſanantur in ſenibus veſicae affectus, quoniam alii etiam morbi omnes, praecipue longi in ipſis vix medelam admittunt: tales enim ſenes uſque ad mortem comitari ſupra dixit.

Ed. Chart. IX. [252.] Ed. Baf. V. (303.)

ζ'.

Τὰ ἀλγήματα τὰ κατὰ τὴν κοιλίην γινόμενα τὰ μὲν μετέωρα κουφότατα, τὰ δὲ μὴ μετέωρα ἰσχυρότερα.

Μετέωρα νῦν ἀκουστέον οὐ κατὰ τὸ μῆκος τοῦ σώματος, ἀλλὰ κατὰ τὸ βάθος. ὁρίζει δὲ ταῦτα ἐπὶ τῶν κατὰ τὴν γαστέρα χωρίων τὸ περιτόναιον· ὥσθ' ὅσα μὲν ἐν τοῖς ἐπικειμένοις τῷδε γίνεται κεκλῆσθαι μετέωρα. τὰ δ' ἐν τοῖς ὑποκειμένοις, τουτέστιν ἐν αὐτοῖς τοῖς ἐντέροις καὶ τῇ γαστρὶ καὶ τὰ ἐν τῷ βάθει, ταῦτα λέγει μὴ μετέωρα. πρόδηλον δ' ὅτι τὰ τοιαῦτα καλῶς κέκληκεν ἰσχυρότερα.

η'.

Τοῖσι ὑδρωπικοῖσι τὰ γενόμενα ἕλκεα ἐν τῷ σώματι οὐ ῥηϊδίως ὑγιάζεται.

Ἐδίδαξεν αὐτὸς ἐν τῷ περὶ ἑλκῶν οὐ πρότερον ἐπουλώμενα τὰ ἕλκη, πρὶν ἀκριβῶς ξηρανθῆναι. τοῦτο δ' οὐ ῥᾴ-

VII.

Qui dolores in ventre concitantur, ſublimes quidem leviores, non ſublimes vero vehementiores.

Sublimes nunc ſecundum corporis longitudinem, ſed profunditatem intelligendi ſunt. Hos autem circumſcribit in ventris regione peritonaeum, ita ut qui in partibus hoc elatioribus fiunt, ſublimes vocentur, qui vero partibus huic ſubjacentibus, hoc eſt inteſtinis ipſis atque ventriculo et alto corpore conſiſtunt, non ſublimes dicantur. Porro liquet ejusmodi dolores vehementiores Hippocratem merito vocaſſe.

VIII.

Orta hydropicis in corpore ulcera non facile ſanantur.

Docuit ipſe libro de ulceribus non prius ad cicatricem ulcera perduci quam plane exſiccata ſint. Hoc au-

Ed. Chart. IX. [252. 253.] Ed. Baſ. V. (303.)

διον ἐπὶ τῶν ὑδρωπικῶν ἐργάζεσθαι διὰ τὴν ἀμετρίαν τῆς ὑγρότητος.

ϑ'.

[253] *Τὰ πλατέα ἐξανθήματα οὐ πάνυ τι κνησμώδεα.*

Καθάπερ τῶν φυμάτων ἁπάντων διττή τίς ἐστιν ἡ διαφορὰ, τῶν μὲν ἀνατεινομένων εἰς ὀξὺ καὶ ὑψηλῶν γινομένων, τῶν δ' ἐκτεινομένων μὲν ἐπὶ πλέονα τόπον, οὐ μὴν εἰς ὕψος αἰρομένων. οὕτως καὶ τῶν ἐξανθημάτων ἔνια μὲν ὑψηλὰ γίνεται, τινὰ δὲ πλατέα. τὰ μὲν οὖν ὑψηλότερα φύματα καὶ ἐξανθήματα ϑερμότερος ἐργάζεται χυμὸς, τὰ δὲ ταπεινότερα ψυχρότερος, ὥσιε διὰ διττὴν τὴν αἰτίαν οὐ πάνυ τι κνησμώδεα γίνεται τὰ πλατῆ. διαπνεῖται γὰρ εἰς πλάτος ἐκτεταμένα καὶ τὸν ἐργαζόμενον αὐτὰ χυμὸν ἧττον ἔχει δριμύν.

---

tem in hydropicis ob humiditatis immoderationem non facile fieri.

IX.

Latae puſtulae raro pruriginoſae.

Quemadmodum tuberculorum omnium duplex eſt differentia: quaedam enim in acutum faſtigiantur et ſublimia extenduntur, non tamen in altum attolluntur: ſic et puſtularum nonnullae ſublimes acuminantur, nonnullae humiles latae fiunt. Elatiora autem tubercula ſublimioresque puſtulas calidior humor procreat, humiliora vero frigidior. Quare ob duplicem cauſam latae puſtulae non admodum pruriunt: cutis enim perſpiratu in latitudinem exhalant extenſae et efficientem ipſas humorem minus acrem obtinent.

Ed. Chart. IX. [253.] Ed. Baf. V. (303.)

ι'.

Κεφαλὴν πονέοντι περιωδυνέοντι πῦον ἢ ὕδωρ ἢ αἷμα ῥυὲν κατὰ τὰς ῥῖνας ἢ κατὰ τὰ ὦτα ἢ κατὰ τὸ στόμα λύει τὸ νόσημα.

Πολλὰ καὶ ἄλλα οὕτω δέδεικται λέγων ὁ Ἱπποκράτης, ἐφ' ὧν ἐὰν μὴ προσέχῃ τις τὸν νοῦν, δοκεῖ μόνον εἶναι τὸ λεγόμενον ὑπ' αὐτοῦ θεραπευτικὸν τοῦ πάθους, ἄλλο δὲ οὐδέν. ὁ δὲ οὐ τοῦτο μόνον φησὶν, ἀλλ' ἁπλῶς ὅτι πῦον ἢ ὕδωρ ῥυὲν, ἤτοι διὰ τῶν ὤτων ἢ τῶν ῥινῶν λύει τὸ νόσημα. καὶ εἴ γε οὕτως ἀντιστρέφων εἰρήκει, καθάπερ ἐγὼ νῦν, ἀνέγκλητος ἂν ἦν ὁ λόγος. ἐπειδὰν ἤτοι διὰ φλεγμονὴν ἢ ὑγρῶν ἀπέπτων πλῆθος ἠθροισμένον ἐν τῇ κεφαλῇ τὴν ὀδύνην συμβαίνει γίνεσθαι, τηνικαῦτα τῆς φλεγμονῆς διαπνησάσης ἢ τῆς ὑγρότητος ἐκκριθείσης λύσιν γίνεσθαι τῆς ὀδύνης. ἐὰν δὲ διὰ πνεῦμα φυσῶδες ἢ αἵματος πλῆθος ἢ

X.

Capite dolenti ac vehementer laboranti pus aut aqua aut ſanguis per nares vel os vel aures effluens morbum ſolvit.

Plura et alia ſic Hippocratem pronunciare demonſtravimus, quibus niſi quis animum advertat, videatur quod ab ipſo dicitur ſolum et unicum eſſe affectionis propoſitae remedium, aliud vero nullum. Verum ipſe non hoc duntaxat eſſe dicit, ſed ſimpliciter, quod pus vel aqua per aures aut nares effluens morbum ſolvit. Quod ſi inverſo ordine dixiſſet, quemadmodum ego nunc *feci*, oratio reprehenſione vacaſſet. Quum vel propter inflammationem vel humorum crudorum multitudinem in capite acervatam fieri dolorem contigerit, tunc inflammatione ſuppurata aut excreto humore morbi fiet ſolutio. Si vero propter flatulentum ſpiritum aut ſanguinis copiam

Ed. Chart. IX. [253. 254.] Ed. Baſ. V. (303. 304.)
δάκνουσαν χολὴν ἢ ὅλως κατὰ δυσκρασίαν ἢ ὀδύνη γίνεται, δι' ἄλλων ἰαθήσεται.

ια'.

[254] *Τοῖσι μελαγχολικοῖσι καὶ τοῖσι νεφριτικοῖσιν αἱμορῤῥοΐδες ἐπιγινόμεναι ἀγαθόν.*

Οὐ τῷ τῆς κενώσεως μόνον λόγῳ αἱμορῤῥοΐδες ἰῶνται τὰ τοιαῦτα τῶν παθῶν, ἀλλὰ καὶ αὐτὴ ἡ ποιότης τοῦ κενουμένου. παχὺ γὰρ εἰώθασιν αἱ τοιαῦται κενοῦν αἷμα μεστὸν τοῦ μελαγχολικοῦ χυμοῦ, παραπλησίαν ἔχοντος ἐν αἵματι δύναμιν, οἵαν περ ἐν τοῖς οἴνοις ἡ τρυξ, ὥστ' οὐδὲν θαυμαστὸν καὶ μελαγχολίαν καὶ νεφρῖτιν ἰᾶσθαι διὰ τῶν αἱμορῤῥοΐδων, ἐκκενοῦν πεφυκυιῶν τὴν οἷον ἰλὺν τοῦ αἵματος.

ιβ'.

(304) *Αἱμορῤῥοΐδας ἰηθέντι χρονίας, ἢν μὴ μία διαφυλαχθῇ, κίνδυνος ὕδρωπα ἐπιγενέσθαι ἢ φθίσιν.*

---

aut bilem mordacem aut denique ob intemperiem dolor acciderit, per alia remedia ſanabitur.

XI.

Melancholicis et nephriticis ſuccedentes haemorrhoides bonum.

Non vacuationis ratione ſolum, ſed ipſa etiam humoris vacuandi qualitate ejusmodi affectus haemorrhoides ſanant. Hae namque craſſum ſanguinem profundere ſolent humoris melancholici plenum, talem in ſanguine vim obtinentis, qualem in venis faex habet. Quare nihil mirum et melancholiam et nephritin per haemorrhoides curari, utpote quae ſanguinis veluti faecem vacuare ſoleant.

XII.

Diuturnas haemorrhoides curanti, niſi una ſervata ſit, hydropem aut tabem ſuccedere.

Ed. Chart. IX. [254.] Ed. Baſ. V. (304.)

Τὰς αἱμορῤῥοΐδας ἀδύνατον γενέσθαι χωρὶς τοῦ διὰ πλῆθός τε καὶ πάχος αἵματος ἀναστομωθῆναί τινας φλέβας, ἀποτιθεμένου τοῦ ἥπατος εἰς αὐτὰς ἰλυώδές τε καὶ μελαγχολικὸν αἷμα. ἐὰν οὖν ἀποκλείσῃ τις αὐτὸ τῆς ἐντεῦθεν φορᾶς, ἅμα μὲν σκιῤῥώδες ἐργάζεται τὸ ἧπαρ, ἅμα δὲ καὶ τῷ πλήθει καὶ τῷ πάχει βαρυνόμενον ἀποσβέννυσι τὴν ἐν αὐτῷ θερμασίαν, ὁμοίου τοῦ συμβαίνοντος ὄντος τῷ κατὰ τὰς ἐκτὸς φλόγας, ὑφ' ὧν κακῶς ξύλα πολλὰ σωρευθέντα πνίγει τε καὶ σβέννυσι τὸ πῦρ. εἴπερ οὖν ὑπὸ τῆς ἐμφύτου θερμασίας γεννᾶται τὸ αἷμα, πρόδηλον ὡς οὐκέτι γεννηθήσεται σβεννυμένης αὐτῆς, ὁ δὲ ὕδερος ἀποτυχίᾳ τῆς αἱματώσεως γίνεται. ἐὰν δέ ποτε δυνηθῇ τὸ ἧπαρ ἀπώσασθαι τὸ πλῆθος ἐπὶ τὰς ἐν τῷ πνεύμονι φλέβας, ἀγγείου ῥαγέντος ἐνταῦθα φθινώδεις γίνονται. εἰκότως οὖν συμβουλεύει κἂν μίαν φυλάττειν αἱμορῤῥοΐδα, ὡς διὰ ταύτης ἐκκενοῦσθαι τὴν ἰλυώδη κακοχυμίαν τοῦ ἥπατος καὶ μάλιστα ἐφ' ὧν ἐμελέτησε χρόνῳ πλείονι διὰ τούτων ἐκκρίνειν αὐτὰς φλεβῶν.

Haemorrhoides citari eſt impoſſibile, quin propter ſanguinis multitudinem et craſſitudinem venarum ora quaedam aperiantur, jecore in ipſas faeculentum et melancholicum ſanguinem deponente. Si quis igitur ipſi viam praecluſerit, tum ſcirrhoſum ipſum effecerit, tum multitudine et craſſitie gravatum calorem in ipſo extinxerit; quum quid ſimile acciderit, quale flammis externis in quibus multa ligna ignem ſuffocant atque extinguunt. Itaque ſi a nativo calore generetur ſanguis, conſtat ipſo extincto non amplius procreatum iri. At vero hyderus procreationis ſanguinis fruſtratione oboritur. Quodſi quandoque jecur plenitudinem in pulmonis venas protendere queat, vaſe hic rupto tabidi fiunt. Ratione igitur unam ſaltem haemorrhoidem ſervandam eſſe conſulit, ut per hanc faeculenta jecoris cacochyma vacuetur, praeſertim quibus longo tempore per hujusmodi venas excerni conſuevit.

Ed. Chart. IX. [255.] Ed. Baſ. V. (304.)

ιγ'.

[255] Ὑπὸ λυγμοῦ ἐχομένῳ πταρμοὶ ἐπιγινόμενοι λύουσι τὸν λυγμόν.

Καθάπερ αὐτὸς εἶπεν ὑπὸ πληρώσεώς τε καὶ κενώσεως γίνεσθαι τὸν σπασμὸν, οὕτω καὶ τὸν λυγμόν. ὅταν οὖν ὑπὸ πληρώσεως γένηται, τοιοῦτον δὲ οὕτω συνίσταται, βιαίας δεῖται κενώσεως, ἵν' ὥσπερ μοχλευθέντα τὰ κατὰ τούτων ὑγρὰ διαπνεύσῃ τε καὶ κενωθῇ. τοῦτο δὲ ὁ πταρμὸς ἐργάζεται· τοὺς δὲ ἐπὶ κενώσει λυγμοὺς σπανίως ἐπιγινομένους οὐκ ἰᾶται πταρμός. ὅτι δ' ἐπὶ πληρώσει συνεχῶς γίνεται λυγμὸς, ὁρᾶται καὶπὶ τῶν παιδίων λυζόντων πολλάκις, ὅταν ὑπερπλησθῇ. καὶ τὸ κρύος δὲ καὶ ψύξις τῷ δυσδιάπνευστα ἐργάζεσθαι πάντα τὰ νευρώδη σώματα τὴν πλήρωσιν αὐτῶν ἀποτελεῖ καὶ διὰ τοῦτο λύζουσιν ἐπ' αὐτῶν.

XIII.

Singultu laboranti ſternutamenta ſuccedentia ſingultum ſolvunt.

Quemadmodum auctor convulſionem tum a plenitudine, tum vacuatione fieri docebat, ita quoque ſingultum accidere. Quum igitur a plenitudine, nam plerumque ita creatur, violento opus eſt motu, ut tanquam recte quaedam remotae humiditates ipſum efficientes perflentur vacuenturque. Hoc autem ſternutatio efficit. Qui vero ob inanitionem raro fiunt ſingultus, eos non ſanat ſternutamentum. Quod autem ob plenitudinem ſingultus frequentes oboriatur, in pueris etiam conſpicitur, qui quum ſe ſupra modum repleverint, crebro ſingultiant. Frigus et perfrigeratio nervoſa corpora omnia aegre perſpirabilia reddunt, quorum repletionem efficiunt proindeque ſingultus ipſis accidit.

Ed. Chart. IX. [255. 256.] Ed. Baf. V. (304.)

ιδ'.

Ὑπὸ ὕδρωπος ἐχομένῳ τοῦ κατὰ τὰς φλέβας ἐν τὴν κοιλίην ὕδατος ῥυέντος λύσις.

Ἓν καὶ τοῦτό ἐστι παράδειγμα τῶν αὐτομάτων γινομένων ἐπ' ὠφελείᾳ κενώσεων· αὐτομάτων δηλονότι λεγομένων οὐ τῶν χωρὶς αἰτίας, ἀλλὰ χωρὶς τῆς ἐξ ἡμῶν αἰτίας. ὅταν γὰρ δόντων ὑδραγωγὸν φάρμακον ἡ τοιαύτη κένωσις γένηται, οὐκέτ' αὐτὴν ὀνομάζομεν αὐτόματον.

ιε'.

Ὑπὸ διαῤῥοίης ἐχομένῳ μακρῆς ἀπ' αὐτομάτου ἔμετος ἐπιγινόμενος λύει τὴν διάῤῥοιαν.

---

[256] Ἓν καὶ τοῦτό ἐστιν ὡσαύτως παράδειγμα τῶν καλῶν ὑπὸ τῆς φύσεως γινομένων, ὃ χρὴ μιμεῖσθαι τὸν ἰατρόν. ἡ δὲ ὠφέλεια τῷ τῆς ἀντισπάσεως λόγῳ.

XIV.

Hydrope laboranti ſi aqua ex venis in ventrem fluxerit, morbi fit ſolutio.

Hoc etiam unum eſt exemplum vacuationum quae ſponte et utiliter oboriuntur. Spontaneas autem dicimus non quae ſine cauſa, ſed ſine opera noſtra fiunt. Si namque dato medicamento aquas ducente talis facta fuerit vacuatio, non amplius ſpontaneam appellamus.

XV.

Longo alvi profluvio laboranti ſpontanea ſuccedens vomitio alvi profluvium ſolvit.

Hoc quoque ſimiliter exemplum eſt eorum quae praeclare a natura geruntur, quod medicum imitari oportet. Ejus autem utilitas revulſionis ratione aeſtimatur.

Ed. Chart. IX. [256.] Ed. Baſ. V. (304.)

ιστ'.

Ὑπὸ πλευρίτιδος ἢ ὑπὸ περιπνευμονίης ἐχομένῳ διαῤῥοίη ἐπιγινομένη κακόν.

Τοῖς πάσχουσι μορίοις οὐχ ἁπλῶς ἕτερα συμπάσχειν πέφυκεν, ἀλλ' ὅταν ἐν ἰσχυρῷ γένωνται πάθει. κατὰ τοῦτ' οὖν καὶ τῷ ἥπατι παθόντι λυγμὸς μὲν ἐπιγίνεται, στομάχου συμπαθόντος, βῆξ δὲ καὶ δύσπνοια τῶν ἀναπνευστικῶν ὀργάνων. οὕτω γοῦν καὶ τοῖς ἀναπνευστικοῖς ὀργάνοις μεγάλως κακοπραγοῦσι τὸ ἧπαρ συμπάσχει, καὶ τοῦτό γε σαφῶς ἐνεδείξατο καὶ αὐτὸς ὁ Ἱπποκράτης οὐχ ἁπλῶς εἰπὼν ὑπὸ πλευρίτιδος ἢ περιπνευμονίας ἐκταραχθεῖσαν τὴν κοιλίαν κακὸν εἶναι σημεῖον, ἀλλὰ προσθεὶς τῷ ἐχομένῳ, ὡσεὶ κατεχομένῳ καὶ βιαζομένῳ τῷ κάμνοντι πρὸς τῶν τοιούτων παθῶν, εἰρήκει τὴν διάῤῥοιαν ἐπιγινομένην κακὸν εἶναι σημεῖον, ἐπειδὴ τοῖς οὕτως ἔχουσι διάῤῥοια γίνεται, μήθ' ἕλκειν ἔτι καλῶς εἰς ἑαυτὸ τὴν τροφὴν δυναμένου τοῦ

XVI.

Pleuritide aut peripneumonia affecto diarrhoea ſuccedens malum.

Partibus affectis aliae non ſimpliciter conſentire conſueverunt, ſed quum vehementi affectu detinentur. Hac itaque ratione et jecore graviter patiente ſingultus quidem ſupervenit per conſenſum affecto ſtomacho, tuſſis autem et ſpirandi difficultas per conſenſum affectis ſpirabilibus inſtrumentis. Sic ſane et ſpirabilibus organis magnopere affectis hepar compatitur, hocque ipſum manifeſte oſtendit ipſe Hippocrates, quum non ſimpliciter dixit: *in pleuritide aut peripneumonia turbatam et ſolutam alvum malum eſſe ſignum;* ſed adjecit, *affecto*, ac ſi detento et talibus morbis vexato laboranti diceret diarrhoeam ſupervenientem ſignum eſſe malum, quoniam his ita affectis alvi profluvium oboritur, quum jecur non amplius ad ſe

Ed. Chart. IX. [256. 257.] Ed. Baſ. V. (304.)

ἤπατος μήθ' αἱματοῦν, ἔστι δ' ὅτε καὶ τῆς κοιλίας διαφθειρούσης αὐτήν. ἐπὶ μέντοι μετρίᾳ πλευρίτιδί τε καὶ περιπνευμονίᾳ διάῤῥοια ἐπιγινομένη δύναταί ποτε τῷ λόγῳ τῆς κενώσεως ὠφελῆσαι καὶ μᾶλλον ὅταν φαίνηται τὰ τῆς πέψεως σημεῖα τοῖς πάθεσι παρόντα καὶ οὔτε φόβος ἐστὶν, ἀλλὰ καὶ ἀκινδύνως. κοινῇ δ' ἐπὶ τούτων καὶ τῶν ἄλλων ἁπάντων, ὅσα κατὰ τὸν αὐτὸν λέγεται τρόπον, ἐκείνου μεμνῆσθαι προσήκει, τοῦ διὰ μηδὲν ἄλλο πρόσκαιρόν τε καὶ πρόδηλον ἐπιγεγονέναι τὸ σύμπτωμα. καθάπερ γε καὶ νῦν τὴν διάῤῥοιαν ἐξ ἐδέσματός τινος ἢ πόματος, ἀλλὰ τῷ λόγῳ τοῦ νοσήματος. ὅσα γὰρ δι' ἄλλο τι καὶ μὴ διὰ τὸ νόσημα γέγονεν, οὐ δύναται σημαίνειν αὐτοῦ τὸ ἦθος εἴ γε συνῆφθαι χρὴ κατά τι τὸ σημεῖον τῷ δηλουμένῳ πρὸ αὐτοῦ.

ιζ'.

[257] Ὀφθαλμιῶντα ὑπὸ διαῤῥοίης ληφθῆναι ἀγαθόν.

---

attrahere alimentum, neque probe in ſanguinem convertere valeat et ventriculus etiam interdum ipſum corrumpat. Moderatae tamen pleuritidi et peripneumoniae ſuperveniens alvi ſolutio poteſt aliquando vacuationis ratio prodeſſe multoque magis poſtquam coctionis ſigna morbis ineſſe apparuerint, neque metus adeſt, ſed morbus periculo vacat. Communiter autem in his et aliis omnibus quae eodem modo efferuntur, exceptionis hujus meminiſſe decet, dum modo nulla alia extemporali et manifeſta occaſione acciderit ejusmodi ſymptoma, veluti ſi nunc diarrhoea ex cibo aut potu aliquo ſit orta, ſed morbi ratione intervenerit. Nam quae alia ex cauſa et non vi morbi eveniunt, ipſius mortem ſignificare nequeunt, ſignum ſiquidem in aliquo cum re ſignificata conjunctum eſſe oportet.

XVII.

Ophthalmia laborantem diarrhoea corripi bonum.

Ed. Chart. IX. [257.] Ed. Bas. V. (804.)

Οὐχ ὡς σημεῖον τοῦτο τῶν ὀφθαλμιώντων ἀγαθὸν, ἀλλ' ὡς αἴτιον παρ' αὐτοῦ εἴρηται, διὰ τὸ τὴν πλεονεξίαν τῶν χυμῶν ἐκκενοῦν τε ἅμα καὶ ἀντισπᾶν κάτω. ἔστι δ' αὐτῷ καὶ τοῦτο παράδειγμα ἓν τῶν αὐτομάτως ἐπ' ὠφελείᾳ κενουμένων, ἃ χρὴ τὸν ἰατρὸν μιμεῖσθαι, ἀμέλει καὶ ποιοῦσιν οὕτω πάντες ἐν ὀφθαλμίαις, τὴν γαστέρα διά τε κλυστήρων καὶ καθάρσεων ὑπάγοντες.

ιη'.

Κύστιν διακοπέντι ἢ ἐγκέφαλον ἢ καρδίην ἢ φρένας ἢ τῶν ἐντέρων τι τῶν λεπτῶν ἢ κοιλίην ἢ ἦπαρ θανατώδες.

Τὸ θανατῶδες ὄνομά πολλάκις εἴρηται ἐν ἄλλοις τε καὶ κατ' αὐτὸ τοῦτο τὸ βιβλίον, ἐπὶ τῶν ἐξ ἀνάγκης τεθνηξομένων, πολλάκις δὲ τῶν ὡς ἐπὶ τὸ πολύ. διὸ καὶ νῦν ἄδηλόν ἐστιν εἴτε πάντως ἀποφαίνεται θάνατον ἕπεσθαι ταῖς τῶν εἰρημένων μορίων διακοπαῖς, εἴτ' ἐπί τινων ἐγχω-

Hoc non tanquam bonum ophthalmia laborantibus ſignum, ſed ut cauſa ab eo pronunciatur, quod humorum redundantia ſimul vacuetur et ad inferiora reſellatur. Quod unum ipſi quoque exemplum eſt eorum quae ſponte et utiliter vacuantur et quae medicum imitari oportet; nimirum ita omnes faciunt qui in ophthalmiis alvum tum clyſteribus tum purgationibus ſubducunt.

XVIII.

Cui praeciſa veſica fuerit aut cerebrum aut cor aut ſeptum transverſum aut tenue quoddam inteſtinum aut ventriculus aut jecur, letale eſt.

Nomen letale tum aliis in libris tum hoc ipſo ſaepe de iis qui ex neceſſitate interituri ſunt, ſaepe etiam de iis qui plerumque, protulit. Quare nunc abditum eſt, utrum dictarum partium praeciſiones omnino mortem ſequi velit innuere, an in quibusdam raro hominem ſervari

Ed. Chart. IX. [257. 258.] Ed. Baf. V. (304. 305.)

ρεῖ σωθῆναι σπανίως τὸν ἄνθρωπον. ὅτι μὲν οὖν ἡ τῆς καρδίας τρῶσις ἐπιφέρει θάνατον ἐξ ἀνάγκης ἔν τι τῶν ὁμολογουμένων ἐστὶν, οὐ μὴν ἐπί γε τῶν ἄλλων ὡμολόγηται πᾶσα τρῶσις ἄφυκτον ἔχειν τὸν θάνατον, ἀλλ' ἡ μεγάλη τε καὶ μέχρι πάθους, ὅπερ εἰκός ἐστι σημαίνεσθαι πρὸς τῆς διακοπέντι φωνῆς, ἵνα ὅ τε τῆς κύστεως χιτὼν ὅλως διακοπῇ μέχρι τῆς ἐντὸς εὐρυχωρίας, ἕκαστόν τε τῶν ἄλλων. ἐπὶ μὲν οὖν τῆς κύστεως ὡμολόγηται τὸ μὴ συμφύεσθαι τὴν τοιαύτην τρῶσιν, ὥσπερ γε καὶ τοῦ νευρώδους (305) τῶν φρενῶν καὶ τῶν λεπτῶν ἐντέρων. ἐπὶ δὲ τῆς κοιλίας ἀμφισβη- [258] τεῖται. τινὲς γὰρ σεσῶσθαί φασιν ἐπ' αὐτῇ σπανίως τοὺς τρωθέντας. ἥπατος δὲ οὐ μόνον τρῶσιν βαθεῖαν ἐπὶ τῶν λοβῶν γινομένην θεραπεύεσθαί φασιν, ἀλλὰ καὶ λοβὸν ἀποτμηθέντα. ἴσμεν δ' ὅτι κἀν τῷ περὶ τῶν ὀλεθρίων τραυμάτων ἔνια τῶν εἰρημένων ἐπιχειρεῖ θεραπεύειν ὁ γράψας τὸ βιβλίον. τό γε μὴν ἀκόλλητον μένειν τὴν διακοπὴν αὐτῶν, ἐπὶ μὲν τῆς καρδίας τε καὶ τοῦ διαφράγματος ἐκ τῆς διηνεκοῦς τῶν μορίων γίνεται

contingat. Quod itaque cordis vulnus mortem neceſſario afferat ex iis quae ab omnibus conceduntur unum eſt; non tamen ab aliis conceſſum eſt quodcunque vulnus mortem invehere, ſed quod magnum atque profundum eſt, quod conſentaneum eſt per dictionem *praeciſa* ſignificari: ut tota veſicae tunica diviſa ad internam uſque capacitatem pertuſa atque aliorum unumquodque ſimiliter diviſum intelligatur. In veſica ſiquidem conceſſum eſt tale vulnus non coaleſcere, ut nec in parte etiam ſepti transverſi nervoſa ac tenuibus inteſtinis. De ventriculo vero dubitatur. Quosdam enim in eo vulneratos dicunt, aliquando, ſed raro fuiſſe ſanatos. At vero non vulnus ſolum in jecoris fibris acceptum, ſed fibram etiam abſciſſam ſanatam fuiſſe proferunt. Scimus autem libro de vulneribus exitioſis inſcripto, ex his quaedam ejus libri auctorem curare aggredi. Quod vero earum partium diacope inglutinata maneat, in corde quidem ac ſepto transverſo fit

Ed. Chart. IX. [258.] Ed. Baſ. V. (305.)

κινήσεως, ἐπὶ δὲ τῆς κύστεως ὅτι νευρώδης καὶ λεπτὴ καὶ ἄναιμος ἀμέλει καὶ τὸν τράχηλον αὐτῆς ὁρῶμεν ὑσημέραι θεραπευόμενον ἐν ταῖς λιθοτομίαις, ἐπειδὴ σαρκώδης ἐστί. τὸ δ' ἧπαρ αἱμορραγικὰς ἔχει τὰς τρώσεις, καὶ διὰ τοῦτο ἀποθνήσκειν φθάνουσιν οἱ τρωθέντες οὕτως, πρὶν αὐτὸ κολληθῆναι. τὸ δ' οὕτως εἶπον, ἵνα καὶ φλέψ τις διακοπῇ, διὰ τοῦτ' οὖν οὔτε οἱ τὰς ἐπιπολῆς αὐτοῦ τρώσεις ἰᾶσθαι λέγοντες οὔτε οἱ τοὺς λοβοὺς ἀφῃρηκέναι δοκοῦσιν ἀληθεύειν. ἐγκέφαλον δὲ τρωθέντα πολλάκις εἴδομεν ἰαθέντα καὶ ἅπαξ ἐν τῇ κατὰ τὴν Ἰωνίαν Σμύρνῃ, ἔτι γε τοῦ διδασκάλου Πέλοπος ζῶντος, ἐπ' ἀξιολόγῳ τῇ τρώσει. τοῦτο μὲν οὖν τῶν πάνυ σπανίων ἐστίν, ἀληθὲς δὲ τὸ τὰς μεγάλας τρώσεις οἵας περ ἔοικεν ὁ Ἱπποκράτης ὀνομάζειν διακοπὰς ἐπιφέρειν θάνατον. αἵ γε μὴν ἄχρι τινὸς τῶν ἐν αὐτῷ κοιλιῶν τρώσεις ὁμολογοῦνται πᾶσι θάνατον ἐπιφέρειν. ἡ δὲ τῶν λεπτῶν ἐντέρων φύσις καὶ μᾶλλόν γε ἡ τῆς κοιλίας οὐκ ὀλίγον μετέχει τῆς σαρκώδους οὐσίας, καὶ διὰ τοῦτο ἐπιπολῆς

ob perpetuum eorum motum; in veſica vero quia nervoſa, tenuis et exſanguis exiſtit. Nam ipſam cervicem, quod carnoſa ſit, in calculorum extractione quotidie ſanari conſpicimus. Hepar vero ſauciatum vulnerationes habet haemorrhoicas atque idcirco prius moriuntur qui ita vulnerati ſunt quam vulnera conglutinari queant. Hoc autem ita dixi ut perfectam venam etiam eſſe intelligatur. Ea re igitur nec qui minime ſuperficiaria jecoris vulnera ſe curaſſe, nec qui ejus lobos abſtuliſſe proferunt, veritatem proferre videntur. Vulneratum autem cerebrum ſaepe ſanatum vidimus ſemelque Smyrnae Joniae, vivente adhuc praeceptore Pelope, ex inſigni vulnere. At id ex iis eſt quae rariſſime eveniunt, verum autem eſt magnas vulnerationes, quales Hippocrates diacopas appellare videtur, mortem afferre; quae tamen aduſque aliquem ventriculum cerebri vulnera penetrant, interitum invehere concedunt omnes. Tenuium autem inteſtinorum et ventriculi magis natura carnoſae ſubſtantiae non parum par-

Ed. Chart. IX. [258. 259.] Ed. Baſ. V. (305.)

μὲν τρωθέντα κολλᾶται πολλάκις, ὅλα δὲ διακοπέντα μέχρι τῆς ἔσω κοιλίας ἐν τῷ σπανιωτάτῳ. οὐ τοῦτο δέ μοι δοκεῖ διὰ τὴν οὐσίαν αὐτῶν, ἀλλ' ὅτι φάρμακον ἐπιθεῖναι, καθάπερ τοῖς ἔξω τραύμασιν οὐ δυνάμεθα. διὸ καὶ διὰ τῶν καταπινομένων ἐπιχειρεῖ θεραπεύειν τὴν κοιλίαν ὁ περὶ τῶν ὀλεθρίων τραυμάτων γράψας, εἴτ' αὐτὸς ὁ Ἱπποκράτης εἴτ' ἄλλος τις ἕτερος.

ιθ'.

Ἐπὴν διακοπῇ ὀστέον ἢ χόνδρος ἢ νεῦρον ἢ γνάθου τὸ λεπτὸν ἢ ἀκροποσθίη, οὔτε αὔξεται οὔτε συμφύεται.

Αὔξεσθαι μὲν γὰρ λέγει τὸ γεννᾶσθαί τινα ἑτέραν οὐσίαν τοιαύτην, οἷα τοῦ διακοπέντος ἐστὶν, ὥσπερ ἐπὶ τῶν κοίλων ἑλκῶν ὁρᾶται σὰρξ βλαστάνουσα, συμφύεσθαι δὲ ὅταν τοῦ διακοπέντος σώματος τὰ χείλη κολληθῇ. τὸ μὲν οὖν μὴ γεννᾶσθαι χόνδρον ἢ ὀστοῦν [259] ὡμολόγηται,

ticipat, atque ideo ſumma parte vulnerata ſaepius agglutinantur; tota vero perfecta ad eorum cavitatem uſque rariſſime. Hoc autem mea quidem ſententia propter eorum ſubſtantiam accidere non videtur, ſed quia medicamentum ipſis internis, ut externis vulneribus imponere non poſſumus. Quapropter per aſſumpta vulneratum ventriculum auctor libri de vulneribus exitioſis inſcripti, ſive Hippocrates is fuerit ſive alius quispiam, curare aggreditur.

XIX.

Quum os perfectum fuerit aut cartilago aut nervus aut tenuis genae particula aut praeputium, neque augeſcit, neque coaleſcit.

Augeri vocat aliquam hujusmodi alteram procreari ſubſtantiam, qualis eſt perfectae partis, quemadmodum in canis ulceribus caro ſuccreſcere conſpicitur; coaleſcere autem quum diſciſſi corporis labra conglutinantur. Jam vero quod neque cartilago neque os generentur conceſſa

Ed. Chart. IX. [259.] Ed. Baſ. V. (305.)

περὶ δὲ τοῦ μὴ κολλᾶσθαί τινες ἀμφισβητοῦσιν, ἐναργῶς γὰρ ὁρᾶσθαί φασι τὰ καταγνύμενα τῶν ὀστῶν κολλώμενα. πεπλάνηνται δ' οἱ τοιοῦτοι καὶ διδάξειεν ἄν τις αὐτοὺς ἐπὶ τῶν ἀλόγων ζώων, ὅσα κατάξαντά τι μόριον ἐπωρώθη. ταῦτα γὰρ εἴτε τις ζῶντα εἴτε τεθνεῶτα βούλοιτο σκοπεῖν ἀνατεμιὼν εὑρήσει σαφῶς ὑπὸ τοῦ πώρου καθάπερ ὑπὸ δεσμοῦ τινος ἐν κύκλῳ περιγραφέντος ἐσφιγμένα τὰ κεχωρισμένα μόρια τῶν ὀστέων, ἅπερ εἰ ἀποξέσειεν, ἀκόλλητον ὄψεται τὸ βάθος τοῦ κατάγματος. οὕτω δὲ καὶ περὶ τῶν εἰρημένων ἀμφισβητοῦσί τινες, οἱ μὲν αὐξάνεσθαι λέγοντες, οὐ μὴν συμφύεσθαι, τινὲς δὲ ἐν τῷ σπανίῳ καὶ συμφύεσθαι. τοῦ μὲν οὖν αὐξηθῆναι τὰ κατὰ διάβρωσιν ἠλκωμένα δεῖται, καὶ οὐδένα τεθέαμαι τῶν οὕτω παθόντων μὴ σαρκωθέντα, τοῦ κολληθῆναι δὲ τὰ διῃρημένα καὶ οὐ τὰ διακεκομμένα. διαφέρει γὰρ ἀλλήλων ταῦτα τῶν διακεκομμένων ἐς τὸ πέρας ἐχόντων διήκουσαν τὴν διαίρεσιν, ἅπερ ἔφη νῦν ὁ Ἱπποκράτης μὴ συμφύεσθαι, οὐ μόνον ὅτι νευρώδη τέ ἐστι καὶ λεπτὰ, ἀλλ' ὅτι καὶ τοιούτων αὐτῶν

res eſt; an vero conglutinentur, nonnulli dubitant: nam perſpicue conſpici proferunt oſſa perfracta conglutinari; ſed hi aberrant idque doceri poſſunt in brutis animalibus, quorum pars quaedam fracta callum contraxit. Haec enim ſi quis viva aut mortua diſſectione velit inſpicere, manifeſto partes oſſium ſeparatas callo tanquam vinculo circumſcripto conſtrictas eſſe comperiet: quas ſi abraſerit, fracturae profundum non conglutinatum conſpicietur Sic autem et commemoratis ſententiis ambigunt, nonnulli augeri affirmantes, non tamen coaleſcere; quidam vero coaleſcere, ſed raro. Quae itaque per eroſionem ulcerata ſunt, augeri poſtulant, etiam nullum vidi ita affectorum, cui raro non regenerata ſit; conglutinari autem deſiderant quae diviſa et non perfecta ſunt. Haec enim inter ſe differunt, quia perfecta diviſionem ſortiuntur ad extremum uſque pervadentem, quae nunc Hippocrates coaleſcere non profert; non ob id tantum quod nervoſa ſint

Ed. Chart. IX. [259.] Ed. Baf. V. (305.)

ὄντων, ἀφίστανται τὰ χείλη τῆς τρώσεως ἀλλήλων οὐκ ὀλίγον.

κ'.

Ἢν ἐς τὴν κοιλίην αἷμα ἐκχυθῇ παρὰ φύσιν, ἀνάγκη ἐκπυηθῆναι.

Τινὲς μὲν χωρὶς ἄρθρου γράφουσιν ἢν ἐς κοιλίην αἷμα ἐκχυθῇ, βουλόμενοι πᾶσαν δηλοῦσθαι κοιλότητα. μαρτυρεῖ γ' αὐτοῖς ἡ τοῦ παρὰ φύσιν προσθήκη, τοιοῦτόν τι δι' αὐτῆς ἐνδεικνυμένου τοῦ Ἱπποκράτους· ἐὰν ἐκχυθῇ ποτε τῆς οἰκείας κοιλότητος τὸ αἷμα καὶ εἰς ἑτέραν κοιλότητα ἠντιναοῦν ἀφίκηται, μένειν αἵματι τούτῳ παντάπασιν ἀμήχανον. οὕτω γοῦν καὶ κατὰ τὰς φλεγμονὰς καὶ τὰς ἐκχυμώσεις ὀνομαζομένας φαίνεται γιγνόμενον ἐπὶ μὲν τῶν φλεγμονῶν κατὰ μικρὰ διασπειρομένου τοῦ αἵματος εἰς τὰς λόγῳ θεωρητὰς ἐν ταῖς μυσὶ κοιλότητας, ἐπὶ δὲ τῶν ἐκχυμώσεων εἰς τὰς περικειμένας χώρας τοῖς ἀγγείοις ἐκχεομένου.

et tenuia, ſed vulneris labra a ſe invicem non parum diſtent.

XX.

Si ſanguis in uterum praeter naturam effuſus fuerit, eum ſuppurari neceſſe eſt.

Quidam ſine articulo: *ſi in ventrem effuſus fuerit ſanguis*, ſcribunt, omnem volentes cavitatem ſignificari ipſisque teſtimonio eſt, *praeter naturam* additum, per quam adjectionem tale quid oſtendit Hippocrates. Si quando ſanguis a proprio conceptaculo in aliam quamcunque cavitatem pervenerit, ut hic ſanguis permaneat, omnino perarduum eſt. Sic igitur et in phlegmonis et in ſuggillationibus appellatis fieri conſpicitur: in phlegmonis quidem per minimas partes diſperſo ſanguine in eas muſculorum cavitates quas ſola ratione ſpeculamur; ſuggillationibus vero affuſo in ſpatia et vaſa circumjacentia ſanguine.

Ed. Chart. IX. [259. 260.] Ed. Baſ. V. (305)

τὸ δ' ἐκπυηθῆναι κακῶς εἴρηται μιᾶς μεταβολῆς ὄνομα ὑπάρχον. διὸ καί τινες εἰς τὸ γενικώτερον αὐτὸ μεταλαμβάνουσιν εἰς τὸ φθαρῆναι, τοῦτο σημαίνεσθαι λέγοντες ὑπ' αὐτοῦ. καὶ γὰρ οὕτω φαίνεται γιγνόμενον ὡς μὴ διαμένειν αἷμα τὸ τῆς κατὰ φύσιν χώρας ἐκπεσόν, ἀλλὰ ποτὲ μὲν ἐκπυΐσκεσθαι, ποτὲ δὲ μελαίνασθαι, ποτὲ δὲ θρομβοῦσθαι, καὶ μάλισθ' ὅταν εἰς μεγάλην κοιλότητα ἐκπέσῃ παρὰ φύσιν.

κα'.

[260] Τοῖσι μαινομένοισι κιρσῶν ἢ αἱμορῥοΐδων ἐπιγινομένων τῆς μανίης λύσις.

'Ενταῦθα μανίαν τὴν κυρίως μελαγχολίαν καλεῖ,' οὐχὶ τὴν ἀπὸ χολῆς. κιρσὸς γάρ ἐστιν ἀνεύρεσις τῶν φλεβῶν τῶν ἐν τοῖς μηροῖς καὶ σκέλεσιν ἀπὸ παχέος καὶ μελαγχολικοῦ γενόμενος αἵματος, ὥστε ὠθούσης τῆς φύσεως εἰς ἀκυρώτερα μόρια τοὺς τὴν μανίαν ἐργαζομένους χυμοὺς

Porro ſuppurari dictum eſt, quum nomen ſit unius in ſanguine factae mutationis; quare nonnulli ipſum ad generalius, hoc eſt ad omnem ſanguinis corruptelam transferunt idque ab ipſo dicunt ſignificari. Sic etenim fieri videtur ſanguinem non permanere, quum e ſuo naturali loco exciderit, ſed aliquando ſuppurari, aliquando nigreſcere, aliquando in grumos concreſcere, ac praeſertim quum in magnam capacitatem praeter naturam exciderit.

XXI.

Inſanientibus ſi varices aut haemorrhoides acceſſerint, inſaniae ſolutio.

Hic inſaniam proprie melancholiam vocat, non a bile furorem. Varix autem eſt venarum quae in femoribus et cruribus habentur, a craſſo et melancholico ſanguine facta dilatatio. Natura namque humores inſaniam efficientes maximeque melancholicos et craſſos ad partes

Ed. Chart. IX. [260.] Ed. Baf. V. (305.)

καὶ μάλισθ' ὅταν ὦσι μελαγχολικοὶ καὶ παχεῖς, ἥ τε τῶν εἰρημένων παθῶν ἕπεται γένεσις, ἥ τε τῆς μανίας λύσις.

κβ'.

Ὁκόσα ῥήγματα ἐκ τοῦ νώτου ἐς τοὺς ἀγκῶνας καταβαίνει, φλεβοτομία λύει.

Κάλλιον ἔνιοι γράφουσιν ὁκόσα ἀλγήματα. τὸ γάρ τοι ῥῆγμα μεταβαίνειν αὐτὸ τῶν ἀδυνάτων ἐστὶν, εἴ γε δὴ διασπωμένου τε καὶ ῥηγνυμένου κατὰ τὸ σαρκῶδες αὐτοῦ μορίου τοῦ μυὸς γίνεται τὸ ῥῆγμα. φαίνεται γοῦν ἐνίοτε πάνυ σαφῶς ἀθροιζόμενον ἐν τῇ τῆς ῥήξεως χώρᾳ τὸ αἷμα καὶ ἡ ἴασις ἐν τῷ διαφορῆσαι τοῦτο κεῖται. τὰ δ' ἄλλα τὰ κατὰ τὸν νῶτον ἀλγήματα μεθιστάμενα καταῤῥέων ἐργάζεται χυμὸς, ἐνίοτε μὲν καὶ μόνος, ὡς τὰ πολλὰ δὲ καὶ μετὰ φυσώδους καὶ παχέος πνεύματος, ὃν ἐκλαμβάνειν τε χρὴ καὶ κενοῦν διὰ τῆς κατ' ἀγκῶνα φλεβοτομίας, ὅταν ἐνταῦθα φανεῖται ῥέων· αὐτὸς γὰρ ἐκέλευσε κατὰ τὰς ῥο-

ignobiliores protrudente, dictorum affectuum tum generatio tum inſaniae ſolutio ſequitur.

XXII.

Ruptiones quae ex dorſo ad cubiti articulum deſcendunt, venae ſectio ſolvit.

Melius quidam ſcribunt, *dolores qui:* nam ruptionem ipſam deſcendere unum eſt impoſſibilium, ſiquidem divulſa ac rupta muſculi parte carnoſa ruptio. Videtur itaque nonnunquam admodum manifeſte collectus in loco ruptionis ſanguis huicque curatio in diſcuſſione ſtatuitur. Reliquos vero dorſi dolores translatitios defluens humor procreat, interdum ſolus, ſed magna ex parte cum flatulento et craſſo ſpiritu conjunctus, quem ſecta in cubito excipere et vacuare oportet, quum eo fluere apparet. Ipſe namque imperavit pro inclinationum impetu humo-

Ed. Chart. IX. [260. 261.] Ed. Baſ. V. (305. 306.)

πὰς τῶν χυμῶν τὰς κενώσεις ποιεῖσθαι. ταὐτὸ δὲ σημαίνει καὶ ἥδε ἡ λέξις, ἀκτέα γὰρ ἧ ῥέπει, διὰ τῶν συμφερόντων χωρίων. εἰ δὲ περὶ τῶν ῥηγμάτων ὁ λόγος αὐτῷ γέγραπται τὰ κατὰ συμπάθειαν ἀλγήματα γινόμενα ἀκουστέον εἰρῆσθαι καταβαίνειν εἰς τοὺς ἀγκῶνας, οὐκ αὐτὴν τὴν διαίρεσιν τοῦ σαρκώδους μορίου. καὶ μέντοι καὶ ὠφελεῖσθαι δυνατόν ἐστιν ὑπὸ τῆς φλεβοτομίας τὰ τοιαῦτα τῷ κοινῷ λόγῳ τῆς κενώσεως.

κγ'.

[261] (306) Ἢν φοβὸς καὶ δυσθυμίη πολὺν χρόνον ἔχουσα διατελέει, μελαγχολικὸν τὸ τοιοῦτον.

Ἐὰν μὴ διά τινας φανερὰς αἰτίας φοβεῖταί τις ἢ δυσθυμῇ φανερῶς ἐστι μελαγχολικὰ καὶ τὰ τοιαῦτα συμπτώματα καὶ μᾶλλον εἰ τύχῃ κεχρονικότα. διὰ μέντοι φανερὰν αἰτίαν ἀρξάμενα, κἄπειτα χρονίζοντα μὴ λανθανέτω σε μελαγχολίαν ἐνδεικνύμενα. καὶ γὰρ καὶ μανία πολλοῖς ἤδη

rum vacuationes faciendas eſſe. Idem vero hic textus ſignificat: *eo ducendum, quo vergunt per loca conferentia.* Quod ſi de ruptis ab ipſo ſcripta ſit oratio, dolores per conſenſum et ſympathiam factos exaudiendum eſt dici ab eo in cubitos deſcendere, non ipſam carnoſae partis diviſionem. Et certe talibus utilis eſſe poteſt venae ſectio communi vacuationis ratione.

XXIII.

Si metus et moeſtitia longo tempore perſeverent, ejusmodi ſymptoma melancholicum eſt.

Si quis non manifeſtam ob cauſam metuat ant moeſtus ſit, liquido conſtat melancholica eſſe ejusmodi ſymptomata, et magis ſi longum tempus perſeverarint. Si tamen propter cauſam manifeſtam orta ſint diuque poſtea perſeverent, non te lateat melancholiam ſignificare. Et-

Ed. Chart. IX. [259.] Ed. Baf. V. (306.)

φαίνεται γεγενημένη, διὰ θυμὸν ἢ ὀργὴν ἢ λύπην ἀρξαμένη, αὐτοῦ τοῦ σώματος δηλονότι πρὸς τὸ παθεῖν τὰ παθήματα ταῦτα κατὰ τὸν καιρὸν ἐκεῖνον ἐπιτηδείως ἔχοντος.

κδ'.

Ἐντέρων ἢν διακοπῇ τῶν λεπτῶν τι, οὐ ξυμφύεται.

Τοῦτο καὶ κατὰ τὸν ὀλίγον ἔμπροσθεν εἰρημένον ἀφορισμὸν ἐδήλωσεν, οὗ ἡ ἀρχὴ, κύστις ἢν διακοπῇ, ἡ ἐγκέφαλος. οὐκ οἶδα δ' ὅπως νῦν μάτην γέγραπται. καιεμάθομεν δὲ αὐτὸ τοῦτο καὶ κατ' ἄλλους τινὰς ἀφορισμοὺς, οὓς καὶ ἐξαιρεῖν ἄμεινον.

κε'.

Ἐρυσίπελας ἔξωθεν μὲν εἴσω τρέπεσθαι οὐκ ἀγαθόν· ἔσωθεν δὲ ἔξω ἀγαθόν.

---

enim jam multos in maniam incidiſſe conſtat, quae ab excandeſcentia aut ira aut moeſtitia principium habuit, ipſo ſcilicet corpore id temporis idoneo ad tales ſuſcipiendas affectiones exiſtente.

XXIV.

Si quod inteſtinorum tenuium perfectum fuerit, id non coaleſcit.

Hoc etiam paulo ante pronunciato aphoriſmo declaravit, cujus initium: *ſi cui perfecta veſica vel cerebrum fuerit*, non novi quo pacto ſcriptus ſit. Idem quoque in aliis quibusdam aphoriſmis factum eſſe certo ſcimus quos expungere fuerit melius.

XXV.

Eryſipelas foris intro verti minime bonum; intus vero foras, bonum.

Ed. Chart. IX. [262.] Ed. Baſ. V. (306.)

[262] *Οὐκ ἐρυσίπελας μόνον, ἀλλὰ καὶ πᾶν ἄλλο ὁτιοῦν μεθιστάμενον ἐκ τῶν βαθέων τε καὶ κυρίων μερῶν ἐπὶ τὸ δέρμα, τῶν ἀγαθῶν εἶναι σημείων τε ἅμα καὶ αἰτίων ὑπολητέον ἐστίν· ἔμπαλιν δὲ μεθιστάμενόν γε ἐπὶ τὸ βάθος τῶν κακῶν. ἀλλὰ καὶ ἄλλα πολλὰ φαίνεται κατὰ τὸ βιβλίον ὁμοίως εἰρηκὼς ὁ Ἱπποκράτης, ὥσπερ τινὰ παραδείγματα τῶν καθόλου λόγων, ἐφ' ὧν καὶ τὴν τοῦ συμβαίνοντος ἐμπειρίαν ἐναργεστέραν ἔχειν δυνάμεθα· τοιαῦτα γὰρ εἶναι χρὴ τὰ παραδείγματα.*

κστ'.

Οἷσιν ἂν ἐν τοῖσι καύσοισι τρόμοι γένωνται παρακοπὴ λύει.

Εἴτ' αὐτὸς ὁ Ἱπποκράτης τοὺς τοιούτους ἀφορισμοὺς ἔγραψεν, οἷον παραδείγματα λόγων γενικωτέρων τε καὶ καθολικωτέρων, εἴτ' ἄλλοι παρέθεσαν, ἐάσαντες ζητεῖν ἑτέρους, ἐκεῖνο μόνον ἐπ' αὐτῶν φυλάττοιμεν, ὅπερ καὶ πρόσθεν

Non eryſipelas ſolum, ſed et alium quemcunque affectum ex profundis ac principibus partibus ad cutem traduci et bonum ſignum et bonam cauſam eſſe exiſtimandum eſt; contra vero ad internas et profundas partes remigrare malum. Sed alia atque alia multa hoc libro ſimiliter protulit Hippocrates, quaedam veluti univerſalium ſententiarum et praeceptorum exempla, a quibus evidentiorem rei eventus experientiam habere poſſimus. Ejusmodi enim eſſe exempla oportet.

XXVI.

Quibus in febribus ardentibus tremores oboriuntur, eas delirium ſolvit.

Sive Hippocrates ipſe tales aphoriſmos ſcripſit, veluti quaedam generaliorum et univerſaliorum documentorum exempla, ſive alii addiderunt, ceteris id exquirendum relinquentes, illud dumtaxat in ipſis obſervabimus quod et

Ed. Chart. IX. [262. 263.] Ed. Baſ. V. (306.)

μὲν εἴρηται καὶ νῦν δὲ ἐπὶ τοῦ καύσου λεχθήσεται. τὰ γὰρ ποιοῦντα τὸν πυρετὸν τοῦτον αἴτια κατὰ τὸ φλεβῶδες ὑπάρχοντα γένος, ὅταν εἰς τὰ νεῦρα μεταστῇ, τρόμον μὲν πρώτως ἐργάζεται, συμπασχού : δὲ τῆς ἀρχῆς καὶ παραφροσύνας. ὡς οὖν ἐπὶ καύσου ἡ μετάστασις, οὕτω καὶπὶ παντὸς ἄλλου πυρετοῦ δύναται γενέσθαι καὶ ὅλως ἐξ ἀρτηριῶν καὶ φλεβῶν εἰς νεῦρα μετάστασις τῶν λυπούντων χυμῶν, ὥσπερ αὖ πάλιν ἐκ νεύρων εἰς αὐτά. οὐκ ἀκριβῶς οὖν εἴρηκε τὸν καῦσον ὑπὸ τῆς παραφροσι·ης λύεσθαι. ταῦτα γὰρ ὀνομάζειν εἴωθεν ὁ Ἱπποκράτης ἐπιγινόμενά τισι λύειν αὐτῶν τὴν κατασκευήν, ὅσα τελέως ἐκθεραπεύει τὸν ἄνθρωπον, οὐχ ὅσα γεννᾷ πάθος ἕτερον οὐδὲν ἧττον τοῦ πρόσθεν ἐπικίνδυνον.

κζ'.

[263] Ὁκόσοι ἔμπυοι ἢ ὑδρωπικοὶ καίονται, ἐκρυέντος τοῦ πύου ἢ τοῦ ὕδατος ἀθρόου πάντως ἀπόλλυνται.

---

antea dictum eſt et nunc in febre ardente repetetur. Quae enim hanc febrem efficiunt cauſae in venoſo genere conſiſtentes, quum ad nervos translatae fuerint, primario tremores faciunt, per conſenſum vero ardente translatio fit; ſic et in omni alia febre fieri poteſt; denique tum ex arteriis tum venis in nervos et contra ex nervis in arterias et venas noxiorum humorum fit transfluxus. Porro non plane pronunciavit febrem ardentem a delirio ſolvi: ea namque Hippocrates dicere conſuevit conſtitutionem eorum quibus ſupervenerint ſolvere, quaecunque hominem prorſus perſanant, non quae aliam affectionem generant priore non minus periculoſam.

XXVII.

Qui empyi aut hydropici uruntur aut ſecantur, pure aut aqua confertim effluente omnino intereunt.

Ed. Chart. IX. [263.] Ed. [illegible]. V. (306.)

Ἐμπύους ὀνομάζειν μάλιστα εἴωθε τοὺς ἐν τῇ μεταξὺ θώρακός τε καὶ πνεύμονος εὐρυχωρίᾳ τὸ πῦον ἔχοντας, οὓς ὅπως χρὴ καίειν εἴρηκεν ἐν τῷ μεγάλῳ περὶ παθῶν, οὗ ἡ ἀρχὴ· ἦν τοῦ πνεύμονος αἱ ἀρτηρίαι. τινὲς δ' ἐπιγράφουσι τὸ βιβλίον τοῦτο περὶ ἐμπύων. δέονται μὲν οὖν καύσεως οἱ πλεῖστον ἔχοντες πῦον, ὡς ἀπογνῶναι διὰ τῶν πτυσμάτων ἐκκαθαρθῆναι, τοῖς δ' αὐτοῖς τούτοις καὶ ἡ δύσπνοια γίνεται σφοδρὰ διὰ τὴν στενοχωρίαν, ὥστε καὶ διὰ ταύτην ἡμᾶς ἀναγκάζεσθαι καίειν αὐτούς. ἐπὶ δὲ τῶν ὑδρωπικῶν αἱ παρακεντήσεις ὀνομαζόμεναι μᾶλλον τῶν καύσεων ἐν ἔθει τοῖς ἰατροῖς εἰσιν. ἀλλὰ νῦν γε τὸ κοινὸν παρακεντήσεώς τε καὶ καύσεως, ὅπερ ἐστὶν ἀθρόα κένωσις, ὁ Ἱπποκράτης συμβουλεύει φυλάττεσθαι. φαίνεται γὰρ οὕτως ἀποβαῖνον ὡς λέγει. γέγραπται δὲ καὶ πρὸς Ἐρασιστράτου λεπτομερέστερον περὶ τῶν ὑδερικῶν ἐπὶ πλέον ὡς φάσκοντος αὐτοῦ πεπειρᾶσθαι τῆς ἀθρόας κενώσεως, πυρετούς τε φερούσης καὶ θάνατον. ὁρῶμεν δὲ ἐπὶ τῶν ἄλλων μορίων, ὥσπερ ἐπὶ θώρακος, ὅταν ὄγκος τις ἐμπυήσῃ μέγας,

Empyos maxime nominare conſuevit qui thoracis et pulmonis intermedio ſpatio collectum pus continent: quos quomodo oporteat urere tradidit in magno de morbis libro, cujus initium, *pulmonis arteriae;* quidam hunc librum *de ſuppuratis* inſcribunt. Egent igitur uſtione qui tantam puris copiam habent, ut id per ſputa expurgari poſſe deſperent, atque his ipſis vehemens ſpirandi difficultas oboritur propter loci anguſtiam, ita ut hujus ratione cogamur nos eos urere. In hydropicis autem punctiones ſeu paracenteſes appellatae quam uſtiones medicis uſitationes exiſtunt. Verum in praeſenti Hippocrates quod uſtioni et paracenteſi commune eſt, univerſam ſcilicet et confertam vacuationem vitandam eſſe conſulit: ita enim ut ipſe pronunciat, evenire apparet. Ab Eraſiſtrato etiam ſcriptum eſt de hydropicis tum ſubtilius tum copioſius; atque is experientia compertum et comprobatum habere ſe dicit, univerſim factam vacuationem febres ac mortem afferre. Sed et in aliis partibus, ut thorace,

Ed. Chart. IX. [263. 264.] Ed. Baſ. V. (306.)

ἐπισφαλῆ γινομένην τὴν ἀθρόαν κένωσιν, ἔν γε τῷ παραχρῆμα λειποψυχούντων τε καὶ καταπιπτόντων τὴν δύναμιν καὶ μετὰ ταῦτα δυσανάκλητον ἐχόντων τὴν ἀσθένειαν. ἔοικεν οὖν ἐπὶ μὲν τοιούτων ἐκ τῆς ἐπὶ πολὺ τῶν σωμάτων διαστάσεως καὶ τῆς τοῦ πύου δριμύτητος, ἀνεστομῶσθαί τινα τῶν ἀρτηριωδῶν ἀγγείων, ἃ πρότερον μὲν οἷον ἐπίπωμά τι τὸ πῦον εἶχε, κενωθέντι δ' ἀθρόως τῷ πύῳ συνέπεται καὶ συνεκκρίνεται πνεῦμα καὶ κατὰ τοῦτο ἡ βλάβη γίνεται τοῖς κάμνουσιν. κατὰ μέντοι τοὺς ὑδέρους οὐ διὰ τοῦτο μόνον βλάβη γίνεται τοῖς κάμνουσιν, ἀλλὰ καὶ ὁ τοῦ σπλάγχνου σκίῤῥος, ὡς ἂν μηκέτ' ὀχούμενος ὑπὸ τῆς ὑδατώδους οὐσίας, κατασπᾷ τό τε διάφραγμα καὶ τὰ κατὰ τὸν θώρακα σπλάγχνα.

κη'.

[264] Εὐνοῦχοι οὐ ποδαγριῶσιν οὐδὲ φαλακροὶ γίνονται,

---

quum magnus tumor aliquis ſuppuravit, confertim factam vacuationem periculoſam eſſe conſpicimus, nimirum ipſis animo defectis et viribus proſtratis, quae virium debilitatio poſtea non facile ſarciri aut refocillari queat. In talibus itaque ob magnam corporum a ſe invicem ſeparationem et puris acrimoniam, vaſa quaedam arterioſa recludi videntur, quae prius operculi vice pus habebant; quo derepente et confertim vacuato, multus ſpiritus una cum eo excernitur, unde detrimentum aegrotantibus accidit. In hyderis non ob id dumtaxat laborantes oblaeduntur, ſed etiam viſceris ſcirrhus utpote non amplius ſuſtentatus ab aquoſa ſubſtantia, deorſum tum diaphragma tum viſcera thorace contenta retrahit.

XXVIII.

Eunuchi neque podagra laborant neque calvi fiunt.

Ed. Chart. IX. [264.] Ed. Baſ. V. (306.)

Τοὺς εὐνούχους τὸ τῆς τομῆς τῶν ὄρχεων πάθος ὁμοίους ταῖς γυναιξὶ ποιεῖ. ἐκείναις οὖν ὥσπερ οὐ γίνεται φαλάκρωσις, οὕτως οὐδὲ τοῖς εὐνούχοις διὰ τὸ ψυχρὸν τῆς κράσεως. τὸ μέντοι μὴ ποδαγρικὰν αὐτοὺς ἐν μὲν τοῖς καθ' Ἱπποκράτην χρόνοις ἦν ἀληθὲς, ἐν δὲ τῷ νῦν οὐκέτι, διὰ τὴν ὑπερβάλλουσαν ἀργίαν τε ἅμα καὶ ἀκολασίαν τῆς διαίτης. ἔχει δὲ ὧδε τὸ σύμπαν ἀναγκαῖον μὲν ἀσθενεστέρους ἔχειν τοὺς πόδας, μέλλει τις ἀλῶναι ποδάγρα, καθάπερ τὸν ἐγκέφαλον, εἰ μέλλει τις ἐπιληπτικὸς ἔσεσθαι. οὐ μὴν ἀναγκαῖόν γε πάντως ἑκάτερον ἁλῶναι τῷ πάθει μηδὲν ἐν τῷ βίῳ πλημμελοῦντα. μαθήσῃ δὲ ἐναργῶς ὅτι τοῦ μέρους ἡ ἀσθένεια τὸ πάθος οὐχ ἱκανὴ ποιεῖν ἐστιν ἐν τῷ μεταξὺ χρόνῳ τῶν παροξυσμῶν, ἐν ᾧ μηδὲν ὅλως ἐνοχλοῦνται, καίτοι τῆς φυσικῆς ἀσθενείας διὰ παντὸς ὑπαρχούσης αὐτῇ. εὔδηλον δὲ καὶ τοῦτ' ἔστιν ἐπὶ τῶν ποδαγρικῶν ἐναργῶς φαινόμενον, ὡς ἐπιῤῥέοντος αὐτοῖς τινος ἐπὶ τοὺς πόδας χυμοῦ περιττοῦ συνίσταται τὸ πάθος. ἐὰν οὖν μηδέποθ' οὗτος ἐπιῤῥέει, πρόδηλον ὡς οὐδὲ τὸ πάθος

Exſectio teſticulorum eunuchos feminis eſſicit ſimiles. Quemadmodum ergo feminis calvitium non accidit, ſic nec eunuchis propter frigidum temperamentum. Ceterum eunuchos podagra laborare Hippocratis quidem temporibus verum erat, nunc vero non amplius tum propter nimium otium tum ſimul victus intemperantiam. Res autem univerſa ita ſe habet: ſi quis podagra corripi debeat, ei pedes imbecilliores eſſe neceſſe eſt, quemadmodum cerebrum, ſi quis futurus ſit epilepticus. Neutrum tamen his affectibus omnino corripi neceſſarium eſt, ſi nihil in victus inſtituto deliquerit. Quod autem partis imbecillitas ad morbi generationem idonea non ſit, ex intermedio acceſſionum tempore manifeſto didiceris, quo prorſus non infeſtantur, etiam ſi naturalis imbecillitas ipſis ſemper inſit. Hoc autem manifeſtum eſſe etiam in podagricis et aperte conſtat humore quodam ſupervacaneo in pedes defluente hunc ipſis affectum conſtitui. Si ergo hic humor nunquam affluat, liquet quoque nunquam mor-

Ed. Chart. IX. [264.] Ed. Baſ. V. (306. 307.)

ἔσται ποτέ, οὐκ ἐπιῤῥυήσεται δὲ διὰ παντὸς, εἰ τὸ σῶμα γενήσεται δ' ἀπέριττον, ἐὰν γυμνάζηται τὰ μέτρια καὶ πέττῃ καλῶς ὁ ἄνθρωπος τὴν τροφὴν, ὅθεν ἀργίαι τε καὶ ἀδηφαγίαι βλάπτουσιν αὐτούς. βλάπτουσι δὲ καὶ τῶν ἰσχυρῶν καὶ πολλῶν οἴνων αἱ πόσεις καὶ (307) μάλισθ' ὅταν ἄνευ τοῦ προεδηδοκέναι τις αὐτῶν προσφέρηται. πληροῦσι γὰρ ἑτοίμως οἵτοι τὸ νευρῶδες γένος, ὥσπερ καὶ αἱ συνουσίαι. κατὰ μὲν τοὺς Ἱπποκράτους χρόνους ὀλίγοι παντάπασιν ἐποδαγρίων, διὰ τὸ τοῦ βίου κόσμιον, ἠυξημένης δὲ τῆς τροφῆς εἰς τοσοῦτον ἐν τοῖς καθ' ἡμᾶς χρόνοις, ὡς ἂν μηδ' ἐπινοεῖν ἔστι προσθήκην αὐτῇ, ἄπειρόν τι τὸ πλῆθος τῶν ποδαγριώντων ἐστίν. ἐνίων μὲν οὖν οὔτε γυμναζομένων καὶ πρὸ τῆς τροφῆς πινόντων οἴνους ἰσχυροὺς, ἀφροδισίοις τε χρωμένων ἀμέτρως. ἐνίων δὲ, εἰ καὶ μὴ περὶ πάντα, καθ' ἓν γοῦν ἢ δεύτερον ὧν εἶπον πάντως ἁμαρτανόντων. ἀλλ' ὅταν ἡ πλημμέλεια γίνηται μεγάλη, πολλάκις ἐξαρκεῖ καὶ μόνον ἕν τι τῶν εἰρημένων ἁμαρτηθέν. διὰ τοῦτο γοῦν καὶ οἱ εὐνοῦχοι ποδαγριῶσιν, εἰ καὶ

bum futurum eſſe; non affluet autem ſi corpus perpetuo excrementis vacet. Vacat autem excrementis, ſi moderato utatur exercitio probeque cibum concoxerit: unde tum ſegnities tum edacitas ipſos laedit, laedunt etiam multorum ac vehementium vinorum potiones, ac maxime quum quis ante praeſumptum cibum ipſis utatur. Haec enim quemadmodum et coitus prompte nervoſum genus opplent. Hippocratis quidem temporibus pauci omnino podagra laborabant propter honeſtam vitae temperantiam, noſtra vero aetate aucto huc uſque epularum luxu, ut nihil ſupra addi poſſe videatur, infinita eſt podagra laborantium multitudo; quum nonnulli nunquam ſeſe exerceant, ſed et prave concoquant ſeque inebrient et ante cibum vina fortia potent, ac immoderata venere utantur; nonnulli vero etiam ſi in omnibus, in uno tamen aut altero ex enarratis delinquant. Et vero ſaepe quum peccatum magnum eſt, in uno eorum quae diximus deliquiſſe ſat eſt. Ob has igitur cauſas etiam eunuchi po-

Ed. Chart. IX. [264. 265.] Ed. Baſ. V. (307.)

ὅτι μάλιστα τῶν ἀφροδισίων ἀπέχονται. τηλικαύτη γοῦν ἔστιν ἥ τε ἀργία καὶ ἡ ἀπληστία ἐπ' αὐτῶν καὶ οἰνοφλυγία, ὥστε καὶ τῶν ἀ- [265] φροδισίων χωρὶς ἁλῶναι δύνασθαι ποδάγρᾳ. τὰ δ' αὐτὰ δηλονότι καὶπὶ τῶν ἀρθριτικῶν εἰρῆσθαι νόμιζε. τοὐπίπαν γὰρ ἅπαντες οἱ ἀρθριτικοὶ πρότεροι γίνονται ποδαγρικοί. προσελήλυθε δὲ ταῖς εἰρημέναις αἰτίαις, δι' ἃς νῦν ποδαγριῶσι πολλοί, καὶ τὸ πατέρων τοὺς πλείστους γεγονέναι καὶ πάππων ἤδη ποδαγρικῶν, ἐφ' ὧν δηλονότι τὸ σπέρμα μοχθηρότερον ἦν καὶ διὰ τοῦτο καὶ τοῖς ἐγγόνοις ἰσχυροτέραν τοῖς μορίοις εἰργάσατο τὴν ἀσθένειαν.

κθ'.

Γυνὴ οὐ ποδαγριᾷ, ἢν μὴ τὰ καταμήνια αὐτέῃ ἐκλείπῃ.

Τῷ λόγῳ τῶν κενώσεων οὐ ποδαγριῶσιν αἱ γυναῖκες. ἐδείχθη γὰρ ἐν τῷ πρὸ τούτου λόγῳ χωρὶς τῆς κατὰ του χυμοὺς περιουσίας ἐκ μόνης τῆς τῶν μορίων εὐπαθείας μὴ δυναμένη συστῆσαι ποδάγρα. ἀλλὰ κἀνταῦθα πάλιν

dagra corripiuntur, etiamſi quam maxime ſibi a rebus venereis temperent. Talis enim eſt eorum deſidia, tanta ingluvies et crapula, ut etiam absque podagra corripi poſſint. Haec eadem et de arthriticis, ſiquidem fere omnes prius podagrici fiunt. Accedit ad has cauſas quibus plerique nunc in podagras incidunt, quod multi et parentes et avos podagricos habuere, in quibus ſemen nimirum vitiatum erat, quod ideo vehementiorem partium imbecillitatem conciliavit.

XXIX.

Mulier podagra non laborat, niſi ipſam menſtrua defecerint.

Mulieres non menſtruarum vacuationum ratione podagricae fiunt. In ſuperiore ſiquidem commentario oſtenſum eſt ſine humorum redundantia, ex ſolo partium conſenſu facili podagram oboriri non poſſe. At vero hoc loco

Ed. Chart. IX. [265.] Ed. Baſ. V. (307.)
ἔμπροσθεν μὲν ἀληθὲς ἦν τὸ χωρὶς τοῦ τελέως ἐκλιπεῖν τὰ καταμήνια, διὰ τὴν σμικρότητα τῶν ἁμαρτημάτων ὧν ἔμπροσθεν ἡμάρτανον αἱ γυναῖκες. νυνὶ δὲ διὰ τὸ μέγεθος αὐτῶν ἔνιαι ποδαγριῶσι, πρὶν ἐκλιπεῖν τὰ καταμήνια, παμπόλλαις μὲν ἐλλιπῶς γινομένων, ὀλίγαις δὲ καὶ συμμέτρως.

λ'.

Παῖς οὐ ποδαγρικὸς πρὸ τοῦ ἀφροδισιάζειν.

Ὅτι μεγίστην δύναμιν εἰς ποδάγρας γένεσιν ἡ τῶν ἀφροδισίων ἔχει χρῆσις εὔδηλον καὶ ἐπὶ τῶν παιδίων, ὥσπερ ὀλίγον ἔμπροσθεν καὶ ἐπὶ τῶν εὐνούχων ἔλεγεν. εὐνούχους μὲν οὖν ἑωράκαμέν τινας ποδαγριῶντας, παῖδας δ' οὐκ εἴδομεν. ἀλλ' εἰ καί τις ἑάλω τοιούτῳ πάθει, μετὰ τοῦ καὶ τὰ γόνατα καὶ τὰ κατὰ τὰς χεῖρας ἄρθρα συνεξοιδῆσαι πέπονθεν ἀρθριτικὸν τρόπον τινὰ αἰφνίδιον, ὑπὸ πληθώρας ἐκ πολλῶν ἀπεψιῶν ἀθροισθείσης.

rurſum olim verum erat, antequam menſtrua omnino deficiſſent, *mulieres podagra non corripi*, propter errorum quos ſuperiore aetate mulieres admittebant parvitatem. Nunc vero ob eorum magnitudinem nonnullae podagra laborant, priusquam eas menſtrua deficiunt, quamplurimis ipſarum parcius, paucis vero etiam commoderate fluentibus.

XXX.

Puer ante venereorum uſum podagra non laborat.

Quod magnam vim ad podagrae generationem veneris uſus habeat manifeſtum eſt etiam in pueris, quemadmodum paulo antea de eunuchis quoque dicebat. Eunuchos certe podagra cruciari vidimus, pueros non vidimus. Verum ſi quis tali affectu correptus ſit, una cum genuum et articulorum qui in manibus habentur magno tumore id mali paſſus eſt arthritidi cuipiam derepente ortae non diſſimiliter propter plethoram multis cruditatibus acervatam.

Ed. Chart. IX. [266.] Ed. Baſ. V. (307.)

λα'.

[266] Ὀφθαλμῶν ὀδύνας ἀκρητοποσίη ἢ λουτρὸν ἢ πυρίη ἢ φλεβοτομίη ἢ φαρμακείη λύει.

Ἐκ πείρας μοι δοκεῖ μᾶλλον, οὐκ ἐκ λόγου τινὸς ἐγνωκέναι τῶν εἰρημένων ἕκαστον ὁ Ἱπποκράτης· οὐδὲν γὰρ θαυμαστὸν ὀδυνώμενον ἄνθρωπον ἐπὶ λουτρὸν ὁρμήσαντα παύσασθαι τῆς ὀδύνης ἢ κωλυόμενον οἶνον πιεῖν, εἶτ' οὐδὲν ὠνηνάμενον, ὁρμῆσαι πρὸς αὐτὸν ὄντα καὶ ἄλλως οἰνόφλυγα, κἄπειτα ὠφεληθῆναι. καθάπερ οὖν καὶ ἄλλα πολλὰ τῶν οὕτως ὁραθέντων ἐγράφη τοῖς ἰατροῖς ἀδιορίστως, οὕτω κἀνταῦθα δοκεῖ μοι γεγράφθαι, μήτε λογικῶς εἰπόντος αὐτοῦ τὰς διαθέσεις μήτ' ἐμπειρικῶς τὰς συνδρομάς. τό γε μὴν ἐκ τῶν οὕτω γραφομένων λόγων χρήσιμον ἡμῖν ἐστιν εἰς τὸ ζητῆσαι τὰς διαθέσεις ἐφ' αἷς ἀκρητοποσίη τε καὶ λουτρὸν ἕκαστόν τε τῶν εἰρημένων ἐφεξῆς ὀνίνησιν, ὅπερ κἀμοὶ συνέβη. τὸ μὲν γὰρ ὅτι πάντως εἰσί τινες τῶν ὀδυ-

XXXI.

Oculorum dolores meri potio aut balneum aut fomentum aut venae ſectio aut purgatio ſolvit.

Hippocrates pronunciatorum quodque experientia magis quam ratione aliqua cognoviſſe mihi videtur. Nihil enim mirum, ſi quis homo dolens oculis ad balneum profectus dolore liberatus fuerit aut interdicto vini potu, deinde nulla hinc percepta utilitate ad vini potionem ſe contulerit, ipſe alioqui vino et crapulae deditus poſtea melius habuerit. Quemadmodum igitur et pleraque alia quae ſic vidiſſet, medicis citra ullam diſtinctionem ſcripſit: ita haec quoque mihi tradidiſſe videtur, quum neque ut rationalis affectiones, neque ut empiricus ſymptomatum concurſus explicet. Ceterum ex aphoriſmis hoc modo ſcriptis utilitatem capiemus, ſi affectus in quibus meraca potio aut balneum, atque deinceps enumeratorum quodque conveniat exquiſiverimus; quod et mihi contigit:

Ed. Chart. IX. [266.] Ed. Baſ. V. (307.)

νομένων ὀφθαλμοὺς, οἱ μὲν ἀκρητοποσίαις, οἱ δὲ λουτροῖς ὠνηνάμενοι, πιστεύων Ἱπποκράτει ἐπεπείσμην. οὐ γὰρ ἂν ἔγραψεν αὐτὸ μὴ θεασάμενος, οὐ μὴν ὑπό γε τῶν διδασκάλων τινὸς ἐθεασάμην ποτὲ τοιοῦτον βοήθημα προσενεχθὲν κάμνοντι. ζητήσας οὖν πάσας τὰς διαθέσεις, ἐφ' αἷς ἀναγκαῖόν ἐστιν, οὐ κατὰ τὸν ὀφθαλμὸν μόνον, ἀλλὰ καὶ κατ' ἄλλα μόρια γίνεσθαι τὰς ὀδύνας, εἶτ' ἐμαυτὸν πείσας εὑρηκέναι. τοὐτεῦθεν ἐσκεψάμην αὐτῶν τὰ γνωρίσματα, κἀπειδὴ καὶ περὶ τούτων ἐπείσθην, ἐτόλμησα προσαγαγεῖν τὰ βοηθήματα τοῖς ὀδυνωμένοις· καὶ πρῶτον μὲν ἔλουσα νεανίσκον ὃν εὐλόγως ὁ θεραπεύων πεφλεβοτόμηκε κατὰ τὴν δευτέραν ἡμέραν ἀπ' ἀρχῆς, εἶθ' ἑξῆς ἐθεράπευσε τοῖς διὰ πείρας φαρμάκοις, φλεγμονῆς μόνης οὔσης κατὰ τοὺς ὀφθαλμούς. ὠδυνᾶτο δὲ κατά τινας εἰσβολὰς σφοδρότατα καθ' ἃς αὐτὸς ἔφασκεν αἰσθάνεσθαι δριμέων ὑγρῶν ἀθρόως ἐπιῤῥυέντων τοῖς ὀφθαλμοῖς, εἶτ' ἐκκριθέντων αὐτῶν ἐπαύετο τὸ σφοδρότατον τῆς ὀδύνης, οὐ μὴν παντάπασιν ἀνώδυνος ἐγίγνετο,

nam quosdam omnino eſſe oculorum doloribus affectos, quorum nonnulli meri potionibus, nonnulli balneis juvarentur, fidem Hippocrati adhibens eram perſuaſus, non enim iſtud niſi intuitus ipſe ſcripſiſſet, quum tamen a nemine praeceptorum unquam hujusmodi remedium oculorum doloribus laboranti adhibitum ſuiſſe ſpectaſſem. Indagatis itaque cunctis affectibus, quibus non in oculis dumtaxat, verum etiam ceteris in partibus dolores oboriri neceſſarium eſt; deinde ratus me ipſos inveniſſe, hinc et propria ipſorum ſigna ſpeculatus ſum, quibus adductus tum demum auxilia dolentibus afferre non dubitavi. Atque inprimis adoleſcentem lavi, cui medicus curationi incumbens, ratione duce, ſecundo ab initio morbi die venam ſecuit, ac deinceps curavit medicamentis quae per experientiam noverat, ſola inflammatione oculos obſidente. Cruciabatur autem vehementiſſimis doloribus per quosdam inſultus, quibus ipſe acres humores conſertim affluentes in oculos ſe ſentire dicebat; ipſis deinde excretis doloris

Ed. Chart. IX. [266. 267.] Ed. Baſ. V. (307.)

καὶ τοῦτο αὐτὸ συνέβη δι' ὅλης τῆς πέμπτης ἡμέρας, ἀεὶ καὶ μᾶλλον αὐξανόμενον, οὐκέτ' οὖν φέρων τὴν ὀδύνην ἐκάλεσεν ἐμέ τε καὶ τῶν ὀφθαλμικῶν ἰατρῶν τινα τῶν τότε ὄντων ἐν Ῥώμῃ τὸν δοκιμώτατον· ἐκείνῳ μὲν οὖν ἐδόκει τότε χρῆσθαί τινι κολλυρίῳ τῶν ἐμπλαστικῶν τε ἅμα καὶ ἀνωδύνων, οἷα [267] τά τε διὰ ψιμυθίου πεπλυμένου καὶ ἀμύλου καὶ μήκωνος συντιθέμενα. μάλιστα γὰρ ἂν οὕτως ἀνασταλήσασθαι τὸ ἐπιῤῥέον ἤλπιζε διὰ τῶν ἐμπλαστικῶν, ναρκωθήσεσθαί τε ἅμα διὰ τῶν ναρκωτικῶν τὴν αἴσθησιν. ἐγὼ δ' ἐξ ἀρχῆς ἀπόπτως ἔσχηκα πρὸς τὰ τοιαῦτα τῶν φαρμάκων· οὔτε γὰρ ἀναστέλλει τὰ σφοδρὰ τῶν ῥευμάτων, ἀλλ' ἐκκρίνεσθαι κωλύει καὶ διὰ τοῦτο δριμέων μὲν ὄντων αὐτῶν ἑλκοῦσθαι συμβαίνει τὸν κερατοειδῆ· πολλῶν δὲ διατείνεσθαί τε καὶ παροξύνεσθαι σφοδρῶς, ὥσπερ ῥηγνύμενον, ἐφ' οἷς εἰ μὴ καὶ μεγάλως εἴη ναρκωτικὸν τὸ φάρμακον, ἀφορήτους συμβαίνει εἶναι τὰς ὀδύνας. εἰ δ' οὕτως εἴη ναρκωτικὸν ὡς καὶ τῆς μεγίστης φλεγμονῆς ἀναι-

vehementia, non tamen prorſus doloris erat expers, et hoc ipſi quinto quoque die univerſo accidebat ſemperque magis ac magis invaleſcebat. Quum igitur dolorem diutius ferre non poſſet et me et quendam ex ocularibus medicis, qui tum Romae erant, celeberrimum accerſivit. Huic itaque videbatur collyrio quodam emplaſtico ſimulque anodyno utendum eſſe, cujusmodi ſunt collyria quae ex ceruſſa lota, amylo et papavere componuntur. Nam ſic maxime poſſe reprimi per emplaſtica id quod influebat ſimulque ſenſum ſtupefieri per narcotica ſperabat. Ego vero ab initio ſuſpecta habui talia medicamenta: neque enim vehementes fluxiones reprimunt, ſed eas excerni prohibent, ideoque ſi acres ipſi humores extiterint, corneam ulcerari accidit; ſi vero multi extendi ac vehementer irritari, quia ſi rumpantur, evenit. Quibus niſi medicamentum ſit vehementer narcoticum, dolores intolerabiles excitantur. Si vero adeo ipſos ſtupefaciat, ut oculi maximam inflammationem non ſentiant, tum viſoriam fa-

Ed. Chart. IX. [268.] Ed. Baſ. V. (307.)

σθήτους ἐργάζεσθαι τοὺς ὀφθαλμιοὺς, ἀναγκαῖόν ἐστιν ἅμα κακοῦσθαι τὴν ὀπτικὴν δύναμιν, ὡς μετὰ τοῦ παύσασθαι τὴν ὀφθαλμίαν ἢ παντελῶς ἀμυδρὸν ἢ μηδ' ὅλως αὐτοὺς ὁρᾶν, ἅμα δ' ὑπολείπεσθαί τινα σκιῤῥώδη διάθεσιν ἐν τοῖς χιτῶσι δυσίατον. ἅτε οὖν ταῦτα γινώσκων, ὁρῶν τε τὸ ἐπιῤῥέον οὐκ ὀλίγον ἰσχυρῶς τε δριμὺ καὶ θερμὸν, ἐνόησα χρήσασθαι πυρίᾳ πρότερον, ἕνεκα πείρας, ὡς ἐξ αὐτῆς ἀκριβέστερον εἰσόμενος, ὁποία τίς ἐστιν ἡ διάθεσις. εἴωθε γὰρ ἐπὶ τῶν τοιούτων ἡ πυρία παρηγορεῖν μὲν ἄχρι τινὸς, ἐπικαλεῖσθαι δ' ἕτερον ῥεῦμα. καθ' ὃν γὰρ λόγον διαφορεῖν πέφυκε τὸ περιεχόμενον ἐν τοῖς ὀφθαλμοῖς, κατὰ τὸν αὐτὸν λόγον ἕλκειν ἕτερον ἐκ τῶν πλησίων· ἀλλ' ἅμα γε τῷ κελεῦσαί με τὸ θ' ὕδωρ κομισθῆναι τὸ θερμὸν καὶ τὸν σπόγγον, αὐτὸς ὁ κάμνων ἔφη πεπειρᾶσθαι ἤδη πολλάκις δι' ὅλης ἡμέρας τοῦ βοηθήματος, παρηγοροῦντος μὲν αὐτὸν, ὀλίγῳ δ' ὕστερον ὀδύνην μείζονα ἐπιφέροντος. ἀκούσας οἶν ἐγὼ τοῦτον τὸν μὲν ὀφθαλμικὸν ἰατρὸν ἀπέλυσα, παραμένειν αὐτὸς ὑποσχόμενος καὶ ποιήσειν ἀνώδυνον τὸν κάμνοντα χω-

cultatem adeo laedi neceſſe eſt, ut poſtquam inflammatio ceſſarit aut omnino ſubobſcure aut nihil plane cernat; tum etiam quandam praeduram affectionem curatu difficilem in oculorum tunicis relinqui. Quum igitur iſta noviſſem et affluentem humorem animadverterem, non paucum valdeque acrem et calidum primum fomento utendum cenſui experientiae gratia, ut qui certius ex ea qualisnam foret affectio intellecturus eſſem. Solet enim fomentum in his aliquantiſper dolorem mitigare, ſed aliam fluxionem evocare. Qua enim ratione conſuevit contentum oculis humorem diſcutere, eadem ratione alterum quoque ex vicinis partibus attrahere. Verum ſimul atque aquam et ſpongiam afferri juſſi, aeger ipſe dixit ſe multoties jam idem remedium toto die expertum eſſe, quod primum dolorem imminuit, ſed paulo poſt dolorem majorem invehit. Quare quum ego audiviſſem, ocularium medicum abire permiſi, pollicitus ipſe me apud aegrum

Ed. Chart. IX. [267.] Ed. Baſ. V. (307. 308.)

ρὶς φαρμάκου (308) ψυκτικοῦ, τῷ λουτρῷ δὲ αὐτίκα χρησάμενος καὶ μόνῳ, οὕτως ἀνώδυνον εἰργασάμην αὐτὸν, ὡς δι' ὅλης νυκτὸς κοιμηθῆναι, μηδ' ἅπαξ καλέσαντα τῶν παρακοιμωμένων μηδένα. τοὐντεῦθεν δὲ λοιπὸν ἐφ' ὧν ἐσημειωσάμην ἐπιῤῥεῖν μὲν τοὺς ὁριμεῖς χυμοὺς τοῖς ὀφθαλμοῖς, οὐ μὴν ἔτι γε πληθωρικὸν εἶναι τὸ σῶμα, βαλανείου χρήσει τὴν ὀδύνην αὐτῶν ἰασάμην. ἄλλον δέ τινα νεανίσκον ἡμερῶν μὲν ἤδη πλειόνων ὀφθαλμιῶντα, κατ' ἀγρὸν οὐκ ἐγγὺς ὄντα τῆς πόλεως, ὕστερον δ' ὡς ἐν αὐτοῖς διέμενεν, ἀφικόμενον εἰς τὴν πόλιν ἰδὼν αὐχμηροὺς μὲν ἔχοντα τοὺς ὀφθαλμοὺς, ἰσχυρῶς δ' ὠγκωμένας καὶ πλήρεις αἵματος τὰς κατ' αὐτοὺς φλέβας, ἐκέλευσα λουσάμενον ἀκρατεστέρῳ χρῆσθαι τῷ πώματι, οὕτω πειραθῆναι καθυπνῶσαι· καὶ τοίνυν ὕπνος τε βαθὺς αὐτῷ γίνεται καὶ ἀνώδυνος ἔωθεν ἀνέστη καί μοι θάρσος ἐνεποίησεν, ἐφ' ὧν ἐστιν ἔνστασις αἵματος παχέος ἐν τοῖς τῶν ὀφθαλμῶν φλεβίοις· ἄνευ πληθωρικῆς διαθέσεως ἐν ὅλῳ τῷ σώματι, οἴνου χρῆσθαι πόσει δυναμένου καὶ κενοῦν τὸ αἷμα καὶ τῷ σφοδρῷ τῆς κινή-

commorari eumque abſque frigido medicamento dolore vacantem redditurum. Quam primum itaque ſolo balneo uſus ſic aegrotum dolore vacuum reddidi, ut tota nocte dormierit, nec aſſidentium qui juxta dormiebant quemquam ſemel appellaverit. Ab hujus curatione in poſterum in quibus acres humores in oculos influere, nec dum tamen plethoricum corpus eſſe ſignis deprehendi, balnei uſu eorum dolorem ſanavi. Sed alterum quoque quendam adoleſcentem qui ruri non prope urbem profectum conſpicatus ſqualidos quidem oculos habere et plenas ſanguine ipſorum venas admodum tumere, juſſi, ubi laviſſet, vino uti meraciore atque ita quo ſuavem ſomnum iniret contendere. Ceterum ſomnus profundus ipſum invaſit et mane dolore vacuus ſurrexit, mihique fiduciam praebuit, in quibus ſanguis craſſus oculorum venulas diſtenderet, nulla toto corpore affectione plethorica, utendi vini potione, quod quidem ſanguinem et attenuare et vacuare

Ed. Chart. IX. [267. 268.] Ed. Baf. V. (308.)

σεως ἐκφράιτειν τὰς ἐνστάσεις. ταυτὶ μὲν οὖν ἀγωνιστικὰ βοηθήματα τῆς κατ' ὀφθαλμοὺς ὀδύνης. ἀσφαλέστατον δ' ἡ πυρία καὶ πάντως τινὰ χρείαν παρέχον ἢ ὡς σημεῖον εἰς διάγνωσιν [268] ἢ ὡς αἴτιον ὑγιείας τοῖς ὀφθαλμοῖς. ὅταν μὲν γὰρ μηκέθ' ὅλως ἐπιῤῥέῃ, κατὰ μὲν τὴν πρώτην προσφορὰν, αὐτῷ τῷ θερμαίνειν μόνῳ παρηγορίαν τινὰ μετρίαν ἤνεγκεν, ὀλίγῳ δ' ὕστερον αὔξάνει τὴν ὀδύνην καὶ γίνεται τηνικαῦτα διαγνωστικὸν σημεῖον ὡς καταμαθόντας ἡμᾶς τὴν διάθεσιν ἐπί τινα κένωσιν ὅλου τοῦ σώματος ἀφικέσθαι, πληθωρικοῦ μὲν ὄντος αὐτοῦ διὰ φλεβοτομίας, κακοχύμου δὲ διὰ καθάρσεως. οὐ γὰρ δὴ χαλεπόν γέ σοι διακρῖναι κακοχυμίαν ἀπὸ πλήθους αἵματος.

λβ'.

Τραυλοὶ ὑπὸ διαῤῥοίης μάλιστα ἁλίσκονται μακρῆς.

ſuique motus vehementia obſtructiones liberare poſſit. Atque haec ſunt doloris oculorum remedia agoniſtica. Securiſſimum autem eſt fomentum quod aliquam omnino utilitatem affert vel ut ſignum ad dignotionem vel ut cauſa ſanitatis oculorum effectrix. Quum enim nihil omnino influit amplius in oculos, admotum fomentum contentum ipſis ſupervacaneum humorem diſcutit atque ita ipſis ſanitatem reſtituit. Quum vero adhuc influit ad primam admotionem ipſo ſolo calefactu quandam mitigationem affert, ſed paulo poſt dolorem amplificat, ac tunc diagnoſticum fit ſignum, unde nos affectu intellecto ad aliquam totius corporis vacuationem pervenimus. Si namque plethoricum corpus fuerit venae ſectione, ſi cacochymiam purgatione vacuabimus. Non enim profecto tibi a ſanguinis plenitudine cacochymiam diſtinguere perarduum eſt.

XXXII.

Balbi longa diarrhoea maxime corripiuntur.

Ed. Chart. IX. [268.] Ed. Bas. V. (308.)

Ὥσπερ τὸ ψελλίζεσθαι τῆς διαλέκτου πάθος ἐστὶν, οὐ τῆς φωνῆς, οὕτω καὶ τὸ τραυλίζειν μὴ δυναμένης τῆς γλώττης ἀκριβῶς ἐκείνας διαρθροῦν τὰς φωνὰς, ὅσαι διὰ τοῦ τ καὶ ρ λέγονται, καθάπερ αὐτήν τε ταύτην τὴν τραύλωσιν καὶ ὁμοίως τάσδε, τρέχει, τρέμει, τραχὺς, τροχὸς, τρυφερὸς ὅσαι τε ἄλλαι παραπλήσιαι. δέονται γὰρ αἱ τοιαῦται πᾶσαι τῆς γλώττης μετὰ τοῦ πλατύνεσθαι στηριζομένης ἐπὶ τοῖς προσθίοις ὀδοῦσιν. ὅταν οὖν ἀτονωτέρα τισὶ ὑπάρχῃ, στηρίζεται χεῖρον καὶ οὐ διαρθροῖ τὸν τοῦ τ καὶ ρ φθόγγον, ἀλλ' ἐπὶ τὸν τ καὶ λ μεταπίπτει. δύναται δ' αὐτῇ γενέσθαι τοῦτο καὶ διότι βραχυτέρα πώς ἐστι τοῦ προσήκοντος, ὅπερ ἐστὶ σπανιώτατον· ἀλλὰ καὶ διότι μαλακωτέρα τε καὶ ὑγροτέρα τὴν κρᾶσιν ἡ τραύλωσις γίνεται. οὕτω γοῦν καὶ τὰ παιδία τραυλίζει παραπλησίου τοῦ συμβαίνοντος αὐτοῖς ὑπάρχοντος οἷόν τι καὶ περὶ τὴν βάδισιν γίνεται. καὶ γὰρ καὶ ταύτην τὰ μὲν οὐδ' ὅλως, τὰ δ' οὐχ ἱκανῶς ἔχει τῶν σκελῶν αὐτοῖς διὰ μαλακότητα στηρίζεσθαι βεβαίως ἀδυνατούντων. ἐνίοις δὲ καὶ τῶν τελείων, ὅταν

Quemadmodum balbutire linguae, non vocis vitium eſt, ſic etiam traulizare, quum lingua eas voces articulate pronunciare non poteſt, quae per t et r proferuntur, qualis haec ipſa eſt traulosis et hae ſimiles, trepidat, tremit, tragula, trochus, triticum et quae ceterae ſunt his conſimiles. Omnes ſiquidem hujusmodi linguam et quae dilatetur et quae primoribus innitatur dentibus, deſiderant. Quum igitur quibusdam lingua imbecillior exiſtat, deterius innititur et quem ſonum t et r edunt, articulate efferre nequit, ſed ad t et l pronunciandum labitur. Id autem ipſi accidere poteſt, quod lingua quodammodo brevior ſit quam deceat: quod rariſſimum exiſtit; ſed et molliori et humidiori ſit temperamento, accidit balbuties; quam ob cauſam pueri balbutiunt conſimili in ipſis eventu atque ambulando fit. Etenim ex his nonnulli nequaquam prorſus incedunt, alia vero inceſſu ſunt parum firmo, cruribus prae mollitudine titubantibus et vocillantibus.

Ed. Chart. IX. [268. 269.] Ed. Baſ. V. (308.)

διαλεγόμενοι κάμνωσι, συμβαίνει τραυλίζειν, ὥσπερ καὶ τοῖς ἐπὶ τὸ πλεῖστον αὐλήσασιν, οὕτω δὲ καὶ τοῖς ἐν νόσῳ κεκμηκόσιν ἰσχυρῶς τὴν δύναμιν, ὥσπερ γε καὶ διὰ τὸ σφοδρότερον ξηρανθῆναι τὴν γλῶτταν ἐνίοις. ἀλλ' ἡ τοσαύτη ξηρότης οὐδενὶ τῶν κατὰ φύσιν ἐχόντων ὑπάρξαι δύναται. καὶ διὰ τοῦτο μόνης ὑγρότητος ἀμέτρου σύμπτωμά ἐστιν ἐν τοῖς φύσει τραυλοῖς ἢ τῆς διαλέκτου βλάβη μὴ δυναμένων τῶν μυῶν τῆς γλώττης ἐγκρατῶς στηρίζεσθαι. τοῦτο δὲ αὐτοῖς συμβαίνειν ἐγχωρεῖ μὲν καὶ διὰ τὴν οἰκείαν ἀῤῥωστίαν, ἐγχωρεῖ δὲ καὶ διὰ τὴν τῶν νεύρων, ὧν παρ' ἐγκεφάλου λαμβάνει δηλονότι. καὶ οἱ μεθύοντες οὖν ἐνίοτε τραυλίζουσι, τοῦτο μὲν ὑ- [269] γρότητι πολλῇ διαβρεχομένου τοῦ ἐγκεφάλου, τοῦτο δ' ὑπὸ πλήθους αὐτῆς βαρυνομένου. συμβήσεται γοῦν οὕτω καὶ τοῖς φύσει τραυλοῖς ἤτοι τὸν ἐγκέφαλον ὑγρὸν ὑπάρχειν ἢ τὴν γλῶτταν ἢ ἀμφότερα. τοῦ μὲν οὖν ἐγκεφάλου τοιαύτην ἔχοντος κρᾶσιν ἀπορῥεῖν μὲν εἰκός ἐστι περιττωμάτων ὑγρῶν πλῆθος, ὑποδέχεσθαι δὲ αὐτὰ καταῤῥέοντα τὴν γαστέρα, κἀντεῦθεν ἁλίσκεσθαι

Nonnullis etiam aetate integra interloquendo defeſſis balbutire contingit; quemadmodum ex iis qui plurimum tibia cecinerunt et quibus vires morbo vehementer proſtratae ſunt; et quibus demum lingua vehementius exaruit. Verum tanta ſiccitas nemini ſecundum naturam ſe habenti adeſſe poteſt. Atque ideo ſolius humiditatis immoderatae natura balbis ſymptoma eſt loquutionis laeſio, quum linguae muſculi valide ſtabiliri nequeant. Hoc autem ipſi vel propter propriam imbecillitatem accidere poteſt et propter nervorum quos videlicet e cerebro ſuſcipit infirmitatem. Quare et ebrii nonnunquam balbutiunt, tum quia multa humiditate cerebrum perfunditur, tum quia ipſius copia praegravatur. Sic itaque continget natura balbis ut vel cerebrum humidum habeant vel linguam vel utrumque. Atque cerebro quidem tale temperamentum adepto, humidorum excrementorum copiam ex eo defluere par eſt, eaque fluentia ventriculum ſuſcipere indeque lon-

Ed. Chart. IX. [269.] Ed. Baſ. V. (308.)

διαῤῥοίαις μακραῖς τὸν ἄνθρωπον. τῆς γλώττης δ' αὐτῆς ὑγροτέρας οὔσης σφόδρα φύσει καὶ τὴν κοιλίαν εἰκὸς εἶναι τοιαύτην, ὡς ἂν θατέρου τῶν χιτώνων αὐτῆς κοινοῦ πρὸς τὴν γλῶτταν ὑπάρχοντος, ἀσθενοῦς δὲ δι' ὑγρότητα, κοιλίας δ' οἰκεῖον πάθημα, χρονία διάῤῥοια.

λγ'.

Οἱ ὀξυρεγμιώδεες οὐ πάνυ τι πλευριτικοὶ γίνονται.

Τοῦς ὀξυρεγμιώδεις ὀξεῖαν ἔχοντας ἐρυγὴν σπανίως φησὶν ἁλίσκεσθαι πλευρίτισι· τὸ γὰρ οὐ πάνυ τῶν σπανίως γιγνομένων δηλωτικόν ἐστιν, οὐ τῶν οὐδ' ὅλως, ὡς ἔνιοι τῶν ἐξηγησαμένων τὸ βιβλίον ἔγραψαν. εἴρηται δ' ἡμῖν ἐν τοῖς περὶ πλευρίτιδος λόγοις ὡς ἡ μὲν ἅμα τοῖς ὠχροῖς τε καὶ ξανθοῖς πτύσμασιν ἐπὶ χολώδεσι γίνεται χυμοῖς, ἡ δ' ἅμα τοῖς ἀφρώδεσι ἐπὶ φλεγματικοῖς. ὥσπερ καὶ ἡ μὲν ἅμα τοῖς μελαντέροις ἐπὶ τοῖς μελαγχολικοῖς, ἡ δ' ἅμα

gis alvi profluviis hominem corripi. Quum vero ipſa lingua praehumidior exiſtat natura, ventriculum quoque talem eſſe conſentaneum eſt, utpote qui alteram ſui tunicam habeat cum lingua communem quae propter humiditatem imbecillis redditur; ventriculi vero familiaris affectio diuturna diarrhoea eſt.

XXXIII.

Qui acidum eructant, non admodum pleuritici fiunt.

Oxyregmiodes acidum ructum habentes raro pleuritide corripi tradit. Nam illud *non admodum* id quod raro, non quod nullo modo uſu venit declarat, ut quidam libri interpretes ſcripſerunt. In ſermonibus autem de pleuritide a nobis dictum eſt, pleuritidem quae cum pallidis et flavis ſputis eſſet, ex bilioſis humoribus ortum habere; quae vero cum ſpumoſis, ex pituitoſis: quemadmodum et quae cum nigrioribus, ex melancholicis; quae denique

Ed. Chart. IX. [269.] Ed. Baſ. V. (308.)

τοῖς ἐρυθροῖς ἐπ' αὐτῷ τῷ αἵματι. φλεγμονὴ μὲν γάρ ἐστι περὶ τὸν ὑπεζωκότα καλούμενον ὑμένα ἡ τῶν πλευριτικῶν διάθεσις. ἁπάσης δὲ φλεγμονῆς γινομένης ὑπό πλεονεξίας τινὸς χυμοῦ κατὰ τὴν ἐκείνου φύσιν, τό τε τῶν πτυσμάτων εἶδος ἐπιγίνεται τοῖς πλευριτικοῖς ἥ τε τῆς σωτηρίας, ἥ τε τοῦ θανάτου προσδοκία. καταδέχεσθαι δ' οὐχ ὁμοίως πεφύκασι τοὺς χυμοὺς οἵ θ' ὑμένες καὶ ὁ πνεύμων. πυκνὴ μὲν γὰρ καὶ ἡ τῶν ὑμένων φύσις, ἀραιὸς δὲ πάντῃ καὶ μανὸς ὁ πνεύμων ἐστὶν, ὥστε τούτῳ μὲν ἅπαντας ἕτοιμον δέχεσθαι τοὺς χυμοὺς, τῷ δ' ὑπεζωκότι τοὺς χολώδεις μᾶλλον. διὰ τοῦτο οὖν οἷς φύσει πλεονάζει τὸ φλέγμα, σπανίως ἁλίσκονται πλευρίτισι καὶ μάλιστ' ἐὰν ἁλυκότητά τινα καὶ δριμύτητα προσλάβῃ. τὸ γὰρ τοιοῦτον δάκνον τὰ ἔντερα πρὸς τὴν διαχώρησιν ἐρεθίζει καὶ συμβαίνει τηνικαῦτα μὴ μόνον τῷ φλέγματι κενοῦσθαι, συναπέρχεσθαι δ' αὐτῷ πολλὰ καὶ τῶν ἄλλων περιττωμάτων. ἔλεγε δ' αὐτὸς ἐν τῷ περὶ ὑδάτων τε καὶ τόπων καὶ ἀέρων

cum rubris ex ſanguine fieri oſtendimus. Etenim inflammatio membranae coſtas ſuccingentis appellatae pleuriticorum affectus. Quum vero omnis inflammatio ex alicujus humoris redundantia gignatur pro ejus natura, tum ſputi ſpecies pleuriticis ſupervenit, tum ſalutis aut mortis exſpectatio. Non peraeque autem membranae ac pulmo humoribus ſuſcipiendis nati ſunt; denſa ſiquidem eſt membranarum natura, pulmo vero omnem in partem rarus et laxus; quare huic quidem promptum eſt omnes humores ſuſcipere, membranae vero ſuccingenti biliosis magis. Ob hanc igitur cauſam quibus natura pituita exuberat, ii raro pleuritide corripiuntur, praeſertimque ſi ſalſedinem aliquam atque acrimoniam adſumpſerit. Talis enim pituita mordens inteſtina ad dejectionem proritat, tumque non ſolam pituitam vacuari, ſed una cum ea alia etiam multa excrementa dejici contingit. Sed ipſe in libro etiam de aquis, locis et aëre minime pleuritidi aliis-

Ed. Chart. IX. [269. 270.] Ed. V. (308.)
ἥκιστα πλευρίτισί τε καὶ τοῖς ἄλλοις νοσήμασι ἁλίσκεσθαι τοὺς ὑγρὰν ἔχοντας φύσει τὴν γαστέρα.

λδ'.

[270] Ὁκόσοι φαλακροὶ, τουτέοισι κιρσοὶ μεγάλοι οὐ γίνονται, ὁκόσοις δ' ἂν φαλακροῖς ἐοῦσι κιρσοὶ ἐπιγίνωνται, πάλιν οὗτοι γίνονται δασέες.

Ὁπόταν ἐν ἀνδρὸς φρονίμου συγγράμματι λόγος εὑρεθῇ προφανῶς ψευδὴς, εἰκότως ἀπορεῖσθαι συμβαίνει τοὺς ἀναγινώσκοντας αὐτὸν καὶ πρῶτον μὲν ἑαυτοῖς ἀπιστεῖν, ὡς μηδὲ τὰ φανερὰ γινώσκουσι, εἶθ' ἑξῆς ὑποπτεύειν, μή τι τῶν ὑποκειμένων ψευδὲς εἴη. τίς γὰρ οὐκ οἶδε ἀνίατόν τι πάθημα τὴν φαλάκρωσιν ὑπάρχουσαν; ἀλλὰ καὶ τὸ μηδέποτε ἐπιγίνεσθαι μεγάλους κιρσοὺς τοῖς φαλακροῖς οὐκ ἀληθὲς, ὥσπερ οὐδὲ τὸ γενομένων κιρσῶν παύεσθαι τὴν φαλάκρωσιν, εἰ μή τι ἄρα, καθάπερ ἔνιοί φασι, τὴν καλουμένην ὑπὸ τῶν ἰατρῶν μαδάρωσιν ὀνομάζει φαλάκρωσιν.

que morbis obnoxios esse dicebat eos qui alvum natura humidam haberent.

XXXIV.

Qui calvi sunt, iis varices magni non oboriuntur; quibus vero calvis existentibus varices succedunt, ii rursum capillati fiunt.

Quum in viri prudentis opere oratio comperitur evidenter falsa, merito lectores ipsum dubitare accidit, ac primum quidem sibi ipsis diffidere, tanquam ea non assequantur, quae etiam sint manifesta; deinde vero suspicari ne quid ex iis quae proposita sunt falsum fuerit. Quis enim non novit calvitium quendam affectum esse insanabilem? Sed neque illud verum est, magnos varices calvis nunquam supervenire, sicuti neque varicibus ortis calvitium cessare, nisi forte, ut nonnulli ajunt, vocatum a medicis capillorum defluvium calvitium nominat. Illud

Ed. Chart. IX. [270. 271.] Ed. Baſ. V. (308.)

ἐκείνη γὰρ ὑπὸ μοχθηρῶν χυμῶν γιγνομένη, καθάπερ αἵ τε ὀφιάσεις καὶ ἀλωπεκίαι ὀνομαζόμεναι, μεταστάντων εἰς τὰ σκέλη τῶν φαύλων χυμῶν ἐργάζεσθαι δύνανται κιρσοὺς, ἀνακτήσασθαί τε τὰς τρίχας. εἰ γὰρ ἔμπροσθεν ὑπὸ μοχθηρῶν χυμῶν φθειρομένων αὐταῖς τῶν ῥιζῶν ἡ διαφθορὰ συνέβαινεν, εἰκότως νῦν ἐπὶ τῇ μετασάσει τῶν χυμῶν, εἰς τὴν κατὰ φύσιν ἐπανήξουσι κατάστασιν.

λε'.

Τοῖσιν ὑδρωπικοῖσι βὴξ ἐπιγινομένη κακόν.

Ἐπιγίνεσθαι τοῖς πάθεσιν ἕτερα πάθη τε καὶ συμπτώματα τοῖς παλαιοῖς ἰατροῖς ἔθος ἐστὶ λέγειν ὅσα κατὰ τὸν αὐτοῦ πάθους λόγον αὐξανομένου συμβαίνειν εἴωθε. τοιοῦτον γάρ τι καὶ τὸ τῶν ἐπιγινομένων ἐστὶ Πραξαγόρου βιβλίον. οὕτω δὲ καὶ νῦν εἴρηται ἐπὶ τῆς βηχός· οὐ γὰρ ἐπειδὰν δι' ἄλλην τινὰ γένηται πρόφασιν, [271] ὑδερικῷ βὴξ ὀλέθριόν ἐστι σημεῖον, ἀλλ' ὅταν αὐτῷ τῷ λόγῳ τοῦ

enim quum a vitioſis humoribus ortum habeat, ut et quae ophiaſis et alopecia nominatur, iisdem pravis humoribus in crura translatis varices facere et capillos reſtituere poteſt. Si namque prius a vitioſis humoribus corruptis capillorum radicibus eorum fiat jactura, merito nunc iisdem alio migrantibus, ad naturalem ſtatum revertentur.

XXXV.

Hydropicis tuſſis ſuccedens malum.

Morbis alios morbos et ſymptomata ſupervenire medicis moris fuit dicere, quae ipſius morbi augeſcentis ratione accidere conſueverunt. Talis enim eſt Praxagorae liber de ſupervenientibus. Sic etiam nunc de tuſſi dictum eſt; non enim quum ex alia occaſione fit hydropico tuſſis, ſignum eſt exitioſum, ſed quum ipſius morbi ratione.

Ed. Chart. IX. [271.] Ed. Baſ. V. (308.)

νοσήματος. ἡνίκα γὰρ ἂν ἐς τοσοῦτον αὐξηθῇ πλῆθος ἐπὶ τῶν ὑδερικῶν παθῶν ἡ ὑδατώδης ὑγρότης, ὡς ἤδη καὶ τὰς τραχείας ἀρτηρίας καταλαμβάνειν, εἶτα βὴξ ἐπιγένηται, τότε κίνδυνος ἕπεται πνιγῆναι τὸν ἄνθρωπον οὐκ εἰς μακράν.

λστ'.

Δυσουρίην φλεβοτομίη λύει, τέμνειν δὲ τὰς εἴσω.

Οὐδ' οὗτος ὁ λόγος ὑγιὴς ἐστιν, εἰ μὴ προσλάβῃ τὸν καὶ συνδεσμὸν, ὥστε γενέσθαι τὸν ἀφορισμὸν τοιόνδε, δυσουρίην καὶ φλεβοτομία λύει. ὄντως γὰρ καὶ φλεβοτομία λύει δυσουρίαν, ἐκείνην δηλονότι τὴν διὰ φλεγμονὴν καὶ πλῆθος γεγενημένην. τὸ δὲ τέμνειν τὰς εἴσω περὶ τῶν ἐν ταῖς χερσὶ φλεβῶν λεγόμενον, οὔτ' ἀληθές ἐστιν, οὔτε ὁμολογούμενον Ἱπποκράτει. φαίνεται γὰρ ἐν ἅπασι τοῖς συγγράμμασιν ἐπὶ μὲν τῶν ἀνωτέρω τοῦ ἤπατος ἐκ τῶν χειρῶν ἀποχέων τοῦ αἵματος, ἐπὶ δὲ τῶν κατωτέρω τὰς κατὰ ἰγνὺν ἢ σφυ-

Quum enim in hydropicis affectibus aquoſa humiditas tanta copia creverit, ut jam aſperas arterias occupet, deinde tuſſis ſuperveniat, tunc ne haud id ita multo poſt homo ſuffocetur periculum imminet.

XXXVI.

Urinae difficultatem venae ſectio ſolvit, ſecundae autem ſunt interiores.

Sed neque ſana eſt haec oratio, niſi *etiam* conjunctionem aſſumpſerit, ut ejusmodi ſit aphoriſmus: *difficultatem urinae etiam venae ſectio ſolvit.* Revera enim etiam venae ſectio dyſuriam ſolvit, illam videlicet quae propter inflammationem et plenitudinem facta eſt. Illud autem, *ſecandas eſſe interiores*, ſi de manuum venis dicatur, neque verum eſt, neque ab Hippocrate conceſſum. In omnibus ſiquidem ſuis operibus, partibus ſupra jecur affectis, ex manibus ſanguinem mittere, inferioribus vero

Ed. Chart. IX. [271.] Ed. Baſ. V. (308.)

ρὸν κελεύων τέμνειν. εἰ δὲ περὶ τούτων αὐτῶν εἰρῆσθαί τις ὑπολάβοι τὸ τέμνειν τὰς ἔσω, μικρὰν τοῦτο δύναμιν ἔχει. ἀπὸ μιᾶς γὰρ ἀμφότερα πεφύκασι φλεβὸς τῆς ἐν ἰγνύι τριχῇ σχισθείσης, ὅτι καὶ μία φλὲψ εἰς τοῦθ' ἥκει τὸ κῶλον, οὐχ ὥσπερ ἐπὶ τῆς χειρὸς δύο. βέλτιον οὖν ἐστι καὶ τοῦτον τὸν ἀφορισμὸν ἕνα τῶν παρακειμένων ὑπολαβεῖν.

λζ'.

Ὑπὸ κυνάγχης ἐχομένῳ οἴδημα γενέσθαι ἐν τῷ τραχήλῳ ἀγαθόν· ἔξω γὰρ τρέπεται τὸ νούσημα.

Ἀληθὴς ὁ λόγος καὶ ἡ αἰτία πρόδηλος, εἴ γε ἐκ τῶν διὰ βάθους τε καὶ κυριωτέρων μορίων εἰς τὸ δέρμα μεθίστασθαι τὰ πάθη λυσιτελεῖ.

---

poplitis et malleoli venas ſecare jubet. De quibus ſi quis ipſum illud dixiſſe arbitretur: *ſecandas autem eſſe interiores*, parvi id eſt momenti. Ab una namque et eadem vena utraque tam interior quam exterior naſcitur in poplite trifariam diviſa, non quemadmodum in manum duae. Quare melius eſt hunc etiam aphoriſmum unum eſſe inter adſcititios opinari.

XXXVII.

Angina correpto cervicis tumorem oboriri bonum: foras enim morbus vertitur.

Vera eſt oratio et cauſa manifeſta. Ex profundis ſiquidem et principibus partibus morbos ad cutem transferri confert.

Ed. Chart. IX. [272.] Ed. Baſ. V. (309.)

λη'.

[272] *Ὁκόσοισι κρυπτοὶ καρκίνοι γίνονται, μὴ θεραπεύειν βέλτιον. Θεραπευόμενοι γὰρ ἀπόλλυνται ταχέως, μὴ θεραπευόμενοι δὲ πολὺν χρόνον διατελοῦσιν.*

Κρυπτοὺς καρκίνους εἴρηκεν ἤτοι τοὺς χωρὶς ἑλκώσεως ἢ τοὺς κεκρυμμένους, ὅπερ ἐστὶ μὴ φαινομένους ὃ πάλιν ἴσον δύναται τῷ διὰ βάθους εἶναι τοῦ σώματος. ἀλλὰ καὶ τὸ θεραπεύειν διττόν ἐστιν· ἓν μὲν τὸ πάντα πράττειν ὡς ὑγιὲς ἀποφῆναι τὸ πεπονθὸς μέρος, ἕτερον δὲ τὸ προνοεῖσθαι τὴν ἁρμόττουσαν τῷ πάθει πρόνοιαν, ὅπερ ἐστὶ παρηγορεῖν τε καὶ πραΰνειν αὐτό, καὶ μάλισθ' ὅταν ᾖ μεθ' ἑλκώσεως. ἀναγκαῖον γὰρ εἰ καὶ μηδὲν ἄλλο τηνικαῦτα τοὺς ἰχῶρας ἀποπλύνειν ὑγρῷ τινι χρώμενον, ὅπερ οὐ τὸ τυχὸν εἶναι προσήκει, ἀλλ' ὅ τί περ ἂν ἤτοι διὰ πείρας ἢ δι' ἐνδείξεως εὑρεθῇ μήτε σήπειν πεφυκὸς μήτ' ἐρεθίζειν τὸ πεπονθὸς μέρος. ταύτης μὲν οὖν τῆς θεραπείας οὔτ' ἀφίστασθαι προσήκει οὔθ' οἱ χωρὶς ἑλκώσεως δέονται καρκίνοι.

XXXVIII.

Quibus occulti cancri oriuntur, eos non curare praeſtat. Curati namque cito intereunt, non curati vero diuturniori tempore perdurant.

Occultos cancros dixit vel qui ſunt ſine ulceratione vel abditos, hoc eſt non apparentes, quod rurſus idem ſignificat, ac ſi dicatur, qui in alto ſunt corpore. Sed et curatio duplex eſt: una quidem omnia agere quo pars affecta ad ſanitatem perducatur; altera vero eam adhibere providentiam quae affectui congruat, hoc eſt ipſum mitiget ac demulceat, praeſertim ſi conjunctam habeat ulcerationem. Tunc enim ſi non aliud quidquam *agatur*, ſaniem humido quodam uſurpato abluere neceſſum eſt, non quocunque, ſed quod per experientiam aut indicationem, nec putreſcere nec irritare partem affectam compertum habeatur. Ab hac igitur curatione abſtinere non decet, neque qui ſine ulceratione cancri ſunt, eam poſtulant.

Ed. Chart. IX. [272.] Ed. Baſ. V. (309.)

τῆς δ' ἐκ τοῦ τεμεῖν καὶ καῦσαι ἃ μόνῳ καρκίνῳ γινομένῳ ἐστὶν ἰάματα, συμβουλεύει μὴ προσάγεσθαι κατὰ τοὺς κρυπτοὺς καρκίνους. ὅτι μὲν οὖν οἱ ἐν τῷ βάθει διὰ τῆς τοιαύτης ἀγωγῆς οὐ θεραπεύονται καὶ ἡ πεῖρα διδάσκει. πάντας γὰρ οἶδα τοὺς ἐπιχωρήσαντας ἰᾶσθαι καρκίνους τοιούτους παροξύναντας μᾶλλον αὐτοὺς, ἐν τάχει τε τοὺς ἀνθρώπους ἀποκτείναντας. οἵ τε γὰρ τὸν ἐν τῷ οὐρανίσκῳ συστάντα καὶ τὸν ἐν τῇ ἕδρᾳ καὶ τὸν ἐν τῷ κρυπτῷ τῷ γυναικείῳ τεμόντες καὶ καύσαντες οὐκ ἠδυνήθησαν ἀπουλῶσαι τὰ ἕλκη καὶ τῇ τῆς ἰάσεως ταλαιπωρίᾳ συνέτηξαν τοὺς ἀνθρώπους ἄχρι θανάτου, οἷς ἐνῆν μὴ θεραπευομένοις ἀλυπότερον ἄχρι πλείονος ἐξαρκέσαι χρόνου. τοὺς μὲν οὖν τοιούτους καρκίνους οὐδ' ὅλως ἐπιχειρητέον ἰᾶσθαι, τοὺς δ' ἐπιπολῆς ἐκείνους μόνους οὓς ἐκτεμεῖν οἷόν τε σὺν ταῖς ῥίζαις αὐταῖς, ὡς ἂν εἴποι τις. οὐδὲν γὰρ χεῖρον οἱονεὶ ῥίζας τινὰς ὀνομάσαι τοῦ καρκίνου τὰς διατεταμένας ἄχρι τῶν πέριξ σωμάτων πεπληρωμένας φλέβας αἵματος μελαγχολικοῦ. πολλοὶ μὲν γὰρ τῶν ἀξιολόγων ἰατρῶν οὐδὲ τού-

Altera vero quae ſecando et urendo fit, quae ſoli qui ſit cancro ſunt remedia, ne in cancris occultis adhibeamus conſulit. Quod igitur qui in profundo latent ejusmodi praeſidiis non curentur docet etiam experientia. Omnes enim novi qui hujusmodi cancros curare ſunt aggreſſi, magis irritaſſe brevique homines enecaſſe. Nam et qui cancrum in palato ortum et qui in ſede et qui in linu muliebri ſecuerunt aut uſſerunt, ulcera ad cicatricem perducere non potuerunt, ſed homines curationis cruciatu aduſque mortem excarnificarunt; qui citra curationem longiori tempore cum minore moleſtia vitam exegiſſent. Hiſce igitur cancris medendi provincia ſuſcipienda non eſt. Ex iis vero qui ſumma corporis parte conſiſtunt, eos ſolum curare tentandum eſt, quos una cum ipſis, ut ſic loquar, radicibus exſcindere et exſtirpare licet. Nihil enim deterius fit ſimilitudine quasdam cancri venas radices nominare, quae ſanguine melancholico impletae aduſque partium ambitum diſtenduntur. Multi ſiquidem inſignes me-

Ed. Chart. IX. [272. 273.] Ed. Baſ. V. (309.)

τους ἐπιτρέπουσι χειρουργεῖν, ἀλλὰ μόνους ὅσοι περ ἂν ἑλκωθέντες ἅμα μὲν ἀνιαροὶ τοῖς κάμνουσιν ὦσιν, ὡς αὐτοὺς ὀρεχθῆναι τῆς χειρουργίας, ἅμα δ' ἐν τοῖς τοιούτοις συστῶσι μορίοις ἃ μετὰ τῶν ῥιζῶν ἐκτεμεῖν καὶ καῦσαι δυνατόν ἐστιν. ἔνιοι δὲ οὐδὲ τούτοις ἀνασκευάζεσθαι ἐῶσιν, ἀλλὰ τελέως ἀφίστασθαι συμβουλεύουσι βοηθημάτων ἀγωνιστικῶν [273] ἐπὶ καρκίνου παντός. Ἱπποκράτης γοῦν ὅτι μὲν τοὺς ἐν τῷ βάθει τοῦ σώματος οὐκ ἀεὶ συνεβούλευσε θεραπεύειν ἀγωνιστικῶς ἔξ αὐτῆς τοῦ πάθους τῆς φύσεως ἔξεστι τεκμήρασθαι. εἰ δὲ καὶ τὸν ἐπιπολῆς τε καὶ χωρὶς ἑλκώσεως ἄδηλον ἐστιν, ὅσον ἐπὶ τῇ κατὰ τὸν ἀφορισμὸν λέξει. γεγράφασι δ' αὐτὸν οἱ περὶ τὸν Ἀρτεμίδωρόν τε καὶ τὸν Διοσκορίδην, ἄχρι τοῦ μὴ θεραπεύειν βέλτιον.

λϑ'.

Σπασμὸς γίνεται ἢ ὑπὸ πληρώσιος ἢ κενώσιος, οὕτω δὲ καὶ λυγμός.

---

dici ne hos quidem chirurgia curari concedunt, ſed illos ſolos qui exulcerati tum laborantibus ita ſaevi ſunt, ut ipſi ultro manum admovere deſiderent, tum in iis ſunt partibus quas una cum radicibus exſcindere et urere poſſumus. Nonnulli vero neque has exſtirpare permittunt, ſed in omni cancro remediis agoniſticis omnino abſtinendum eſſe conſulunt. Hippòcrates certe quod cancros in alto corpore deliteſcentes non ſemper agoniſtice curandos eſſe ſuaſerit, ex ipſa affectionis natura conjectare licet. An vero eos etiam qui ſumma corporis parte ſine ulceratione conſiſtunt, quantum ex aphoriſmi textu conjici poteſt, incertum eſt: quem quidem aphoriſmum Artemidorus et Dioſcorides ſcripſerunt uſque ad ea verba, *non curare praeſtat.*

XXXIX.

Convulſio aut a repletione aut vacuatione oboritur, ita vero etiam ſingultus.

Ed. Chart. IX. [273.] Ed. Baf. V. (309. 310.)

Ὁ σπασμὸς, ὡς καὶ τοὔνομα αὐτὸ δηλοῖ, σπωμένων ἐπὶ τὰς οἰκείας κεφαλὰς γίνεται τῶν μυῶν. ἐναργέστερον δ' ἂν εἴποι τις ἀνασπωμένων, ὅσπερ κἀν τῷ κατὰ φύσιν αὐτοῖς ἐστι κινήσις. ἀλλ' ἐκείνη μὲν οὐκ ἄνευ τῆς ὁρμῆς γίνεται τοῦ ζώου, πάθος δ' ἀκούσιόν ἐστιν ὁ σπασμὸς εἰς παραπλησίαν διάθεσιν ἐρχομένων τῶν νευρωδῶν μορίων ἐν αὐτοῖς, ἥνπερ κἀν τοῖς καθ' ὁρμὴν κινήσεσιν ἐλάμβανον. ὑπὸ γάρ τοι πληρώσεως γίνεται, καθάπερ ἐν ταῖς ὑπερβαλλόντως ὑγραῖς καταστάσεσι τοῦ περιέχοντος ἀέρος αἱ χορδαὶ, διὰ τοῦτο γοῦν καὶ ῥήγνυνται πολλάκις. (310) οὕτω δὲ κἀν ταῖς ξηροτέραις καταστάσεσι συμβαίνει, συνάγεται γὰρ εἰς ἑαυτὰ καὶ σπᾶται πάντα τὰ νευρώδη σώματα ξηραινόμενα βιαιότερον, ὥσπερ οἱ πρὸς τῷ πυρὶ θερμανθέντες ἄχρι πλείονος ἱμάντες. ὅμοιον δ' αὐτοῖς πάσχουσι καὶ ὅσους ἥλιος θερμὸς ἐξήρανεν. ὁ μὲν οὖν σπασμὸς ὑπὸ τῶν ἐναντίων εἰκότως γίνεται, λυγμὸς δὲ συγχωρείσθω μὲν ὀνομάζεσθαι σιομάχου πάθος, ὅταν ἕτερόν τι προσκείμενον ᾖ κατὰ λόγον. ὅταν δ' αὐτὸ μόνον τοῦτο ὑπάρχῃ σπού-

Convulſio, ut et ipſum nomen indicat, convulſis fit ad propria capita muſculis vel ut quis apertius definiat, revulſis, qualis etiam ipſis ſecundum naturam motus eſt. Verum hic quidem non ſine nativo animalis fit impetu; convulſio vero affectus eſt involuntarius nervoſis partibus ad conſimilem affectum accedentibus, quem etiam in motibus pro animi impetu editis aſſumebant. Nam idem in ſpaſmo a repletione ipſis fit, quod ambientis aëris ſtatu ſupra modum humido fidibus accidit, quo inebriatae ſaepe rumpuntur. Sic etiam ſiccioribus coeli conſtitutionibus idem oboritur. Nam in ſeſe coguntur et convelluntur omnia corpora nervoſa violentius exſiccata, quemadmodum quae ad ignem diutius excalefacta ſunt lora et quae his ſimilia patiuntur quaeque ſolis aeſtus exſiccavit. Convulſio igitur merito a contrariis fit cauſis; ſingultus vero concedatur ſtomachi convulſio dici, dum erit alterum orationis propoſitum. Quum vero hoc ipſum ſolum ſtu-

Ed. Chart. IX. [273. 274.] Ed. Baſ. V. (310.)

δασμα τὸ γνῶναι τὴν οὐσίαν τοῦ παθήματος, ἄμεινον ἴσως ἐστὶν οὐ σπασμὸν ὀνομάζειν αὐτὸ, ἀλλὰ κίνησίν τινα· ἐν μὲν γὰρ τῷ αὐτῷ γένει τῷ κατὰ τοὺς ἐμέτους, ἐπιτεταμένην δὲ καὶ σφοδροτέραν ἐκείνης. ἀπώσασθαι γάρ τι τῶν καθ' ἑαυτὸν ὁ στόμαχος ὀρεγόμενος ἐπ' ἄμφω τὰ συμπτώματα ὁρμᾷ, σφοδρότερον μὲν ἐν τοῖς λυγμοῖς, μετριώτερον δὲ ἐν τοῖς ἐμέτοις, ἐπειδὴ κατὰ μὲν τοὺς ἐμέτους τὸ περιεχόμενον ἐν τῇ τῆς γαστρὸς εὐρυχωρίᾳ μόνον ἐφίεται διώσασθαι. κατὰ δὲ τοὺς λυγμοὺς καὶ τὰ διὰ βάθους ἐν αὐτῷ τῆς γαστρὸς τῷ στόματι περιεχόμενα. στόμαχον δέ μοι νῦν ἄκουε μὴ μόνον αὐτὸν ὃν ὀνομάζουσι κυρίως, ἀλλὰ τὸ τῆς γαστρὸς στόμα. τὰ γὰρ ἐν τούτῳ περιεχόμενα τῆς γαστρὸς ὀρεχθείσης ἐκκρῖναι λίζουσιν. ὅ τι δὲ τῶν δυσεκκρίτων τε καὶ οἷον ἀναποθέν- [274] των εἰς τὸ στόμα τῆς γαστρὸς ἡ διὰ τὸν λυγμὸν ἔκκρισις γίνεται μαθεῖν ἔστι κἀκ τῶν ὁσημέραι συμβαινόντων πᾶσι σχεδὸν ἢ μᾶλλον ἢ ἧττον. ἐάν τε γὰρ αὐτὸ μόνον θριμὺ ὂν τὸ πέπερι καταπίωσιν, ἐάν τε καὶ μετὰ μέλιτος ἤ τινος ἄλλου, κἄπειτα ἐπιπίωσιν

dium exſtet, ut affectionis hujus ſubſtantiam dignoſcamus, praeſtat fortaſſis non convulſionem appellare, ſed quandam motionem quae ſit in eodem cum vomitu genere, ſed eo porrectior ac vehementior. Nam quum quid in ſe contentum ſtomachus expellere appetit, ad duo ſymptomata incitatur, unum quidem vehementius in ſingultibus, alterum moderatius in vomitionibus; quandoquidem per vomitus quae in ventriculi capacitate continentur ea tantum appetit propellere; per ſingultus vero etiam ea quae ipſo ventriculi ore penitiora comprehenduntur. Stomachum nunc a me non ſolum ipſum quem proprie appellant, ſed etiam ventriculum intellige. Quae namque in hoc continentur, appetente ventriculo excernere ſit ſingultus. Jam vero quod eorum quae difficulter excernuntur et quae veluti abſorpſerit ventriculi os, fiat per ſingultus excretio, ex iis diſcendum quae quotidie prope omnibus plus minusve uſu veniunt. Sive enim ſolum quid acre veluti piper devoraverint, ſive cum melle aut alio

Ed. Chart. IX. [274.] Ed. Baf. V. (310.)

οἶνον ὕδατι κεράσαντες θερμῷ εὐθέως λίζουσι, τῆς μὲν τοῦ πόματος θερμότητος ποδηγούσης εἰς τὸ βάθος τὸ πέπερι, τῇ δριμύτητι δὲ αὐτοῦ τῆς γαστρὸς ἀνιωμένης, ἐπιχειρούσης δὲ τῇ βίᾳ τῆς κινήσεως ἀποῤῥῖψαι τὸ λυποῦν. ἐδείχθη δ' ἐν τοῖς τῶν συμπτωμάτων αἰτίοις, ὅτι καὶ ἡ βῆξ καὶ ὁ πταρμὸς καὶ τὸ ῥῖγος ἐκ τῶν τοιούτων εἰσὶ κινήσεων.

μ'.

Ὁκόσοισι περὶ τὸ ὑποχόνδριον πόνοι γίνονται ἄτερ φλεγμονῆς, τουτέοισι πυρετὸς ἐπιγινόμενος λύει τὸν πόνον.

Ἕπεται μὲν καὶ ταῖς δήξεσι πόνος, ἀλλ' εἰθισμένοι τῷ τῆς δήξεως ὀνόματι προσαγορεύειν εἰσὶν, οὐ τῷ τοῦ πόνου τὰ τοιαῦτα συμπτώματα. γίνεται δὲ καὶ διὰ φλεγμονώδη τινὰ διάθεσιν ὁ πόνος. οὕτως δ' ὠνόμασται, διότι καὶ τοῖς ἐρυσιπέλασιν ἔζευκται ὁ πόνος. ὅταν οὖν μήτε διὰ

quopiam, poſteaque vinum ſuperbiberint calida aqua temperatum, protinus ſingultiunt: potionis quidem calore piperi viam in profundum praeeunte, ſua vero acrimonia pipere ventriculum moleſtia afficiente, unde ipſe violentiore motu quod moleſtum eſt exigere expurgare conatur. Ceterum in libris de ſymptomatum cauſis et tuſſim et ſternutationem et rigorem ex talium motionum eſſe genere a nobis demonſtratum eſt.

XL.

Quibus ad hypochondrium dolores citra inflammationem oriuntur, iis ſuccedens febris dolorem ſolvit.

Sequitur et morſus dolor. Verum conſueti ſunt morſus nomine non talia doloris ſymptomata appellare. Fit etiam dolor propter quandam phlegmonodem affectionem. Sic autem appellata eſt, quod eryſipelata etiam dolor comitetur. Quum igitur neque ob hujusmodi aliquam af-

Ed. Chart. IX. [274. 275.] Ed. Baſ. V. (310.)

τοιαύτην τινὰ διάθεσιν ὀδύνη τὶς ἢ κατὰ τὸ ὑποχόνδριον, ἢ τε τῆς δήξεως αἴσθησις αὐτὴ ἀπῇ, καταλείπεται γίνεσθαι τὸν πόνον ἢ δι' ἔμφραξιν ἢ διὰ πνεῦμα φυσῶδες, ἤ τινα δυσκρασίαν ἀνώμαλον, ἅπερ ἡ τοῦ πυρετοῦ θερμότης ἰᾶσθαι πέφυκε, τὰ μὲν τέμνουσα καὶ λεπτύνουσα καὶ διαφοροῦσα, τὰς δὲ εἰς ὁμαλότητα κράσεως ἄγουσα.

μα'.

Ὁκύσοισι διάπυόν τι ἐὸν ἐν τῷ σώματι μὴ ἀποσημαίνει, τουτέοισι διὰ παχύτητα τοῦ πύου ἢ τοῦ τόπου οὐκ ἀποσημαίνει.

---

[275] Καὶ διττῶς γέγραπται ἡ κατὰ τὸν ἀφορισμὸν ἑρμηνεία καὶ διττῶς αὐτὴν ἐξηγοῦνται καὶ λόγον ἡ ἑκατέρα τῶν τε γραφῶν ἔχει καὶ τῶν ἐξηγήσεων. καὶ γὰρ καὶ διὰ τὴν τοῦ πύου παχύτητα καὶ διὰ τὴν τοῦ τόπου κατακρύπτεται πολλάκις ἡ διάγνωσις τοῦ περιεχομένου κατά τι χωρίον πύου. δεόντως οὖν τινὲς μὲν ἔγραψαν τούτοισι διὰ

fectionem hypochondrio dolor incubuerit et morſus ipſe ſenſus abfuerit, relinquitur dolor vel propter obſtructionem vel propter flatulentum ſpiritum vel ob aliquam inaequalem intemperiem; quibus omnibus febrilis calor ſua natura mederi poteſt, quum incidat, attenuet ac diſcutiat; hanc vero ad temperamenti aequalitatem adducat.

XLI.

Quibus ſuppuratum quoddam in corpore exiſtens ſignis non proditur, iis ob puris aut loci craſſitudinem ſui ſigna non edit.

Bifariam ſcripta eſt aphoriſmi oratio et bifariam ipſam explicant interpretes et utraque rationem habet tum oratio tum interpretatio. Nam et propter puris et loci craſſitudinem ſaepe occultatur puris quodam loco contenti dignotio. Recte ergo nonnulli ſcripſerunt: *his ob loci*

Ed. Chart. IX. [275.] Ed. Baſ. V. (310.)

παχύτητα τοῦ τόπου οὐκ ἀποσημαίνει, τινὲς δὲ τούτοισι διὰ παχύτητα τοῦ πύου.

μβ'.

Ἐν τοῖσιν ἰκτερικοῖσι τὸ ἦπαρ σκληρὸν γενέσθαι πονηρόν.

Ἐνδείκνυται γὰρ ἡ σκληρότης τηνικαῦτα φλεγμονὴν ἢ σκίῤῥον εἶναι κατὰ τὸ σπλάγχνον, ὡς ἄνευ γε ταύτης ἐγχωρεῖ μὲν καὶ δι' ἕμφραξιν αὐτοῦ γεγονέναι τὸν ἴκτερον, ἐγχωρεῖ δὲ καὶ τῆς φύσεως κριτικῶς ἀπωσαμένης εἰς τὸ δέρμα τὸν ἐν ταῖς φλεψὶ πλεονάζοντα χυμόν.

μγ'.

Ὁκόσοι σπληνώδεες ὑπὸ δυσεντερίης ἁλίσκονται, τουτέοισιν ἐπιγιγνομένης μακρῆς δυσεντερίης ἢ ὕδρωψ ἐπιγίνεται ἢ λειεντερίη καὶ ἀπόλλυνται.

---

craſſitudinem ſui ſigna non edit; quidam vero: *his propter puris craſſitudinem.*

XLII.

Ictericis jecur durum fieri malum.

Icterum hic dicit ex hepatis ortum inflammatione. Tunc enim durities phlegmonem aut ſcirrhum viſcus obſidere prodit: quemadmodum et ſine hac poteſt etiam propter ejusdem obſtructionem icterus oboriri; poteſt et critico modo natura redundantem in venis humorem ad cutem protrudente.

XLIII.

Qui lienoſi dyſenteria corripiuntur, iis oborta longa dyſenteria hydrops aut lienteria ſuccedit ac intereunt.

Ed. Chart. IX. [275. 276.] Ed. Baſ. V. (310.)

Ἔχρῆν τούτου προτετάχθαι τὸν ἀφορισμὸν ἐκεῖνον, καθ' ὃν φησι· τοῖς σπληνώδεσι δυσεντερίη ἐπιγινομένη ἀγαθόν. ἀλλ' οὗτος μὲν ἐν τοῖς ἑξῆς ἐστὶ μετὰ τέσσαρας ἄλλους μέσους, ἡμῖν δ' ἀναγκαῖον αὐτοῦ ἤδη μνημονεῦσαι. ὅσοι γὰρ σπληνώδεις εἰσὶ, τουτέστι ὅσοι σπλῆνα χρονίως ἐσκληρυσμένον ἔχουσι, τούτοις ἐπιγινομένη δυσεντερία λύει τὴν διάθεσιν. ὅσον γε κατὰ τὸν λό- [276] γον τῆς μετασταάσεώς τε καὶ κενώσεως τῶν ἐμπεπλασμένων τῷ σπληνὶ παχέων τε καὶ μελαγχολικῶν χυμῶν ἀποτελεσθῇ. ἀλλ' ἐπεὶ πολλάκις ὑπὲρ τὸ σύμμετρον αἱ τοιαῦται κενώσεις ἐκτεινόμεναι βλαβεραὶ τοῖς κάμνουσι γίνονται, δεόντως ὁ Ἱπποκράτης ἐδήλωσεν ἐς ὅ τι τελευτᾷν πέφυκεν ἄμετρος δυσεντερία, τοιαύταις ἐπιγινομένη διαθέσεσι· κακωθέντων γάρ τοι τῶν ἐντέρων ὑπὸ τῆς διόδου τῶν μοχθηρῶν χυμῶν, ἥ τε δύναμις αὐτῶν κάμνει καὶ ἡ συμμετρία τῆς ἐμφύτου θερμασίας ἀπόλλυται. διὰ τοῦτο οὖν ἥ λειεντερία καὶ ὁ ὕδερος ἐπιγίνονται. λειεντερία μὲν ἐπὶ τῇ τῶν ἐντέρων κακώσει μόνῃ· ὁ δ' ὕδερος κατὰ συμπάθειάν τε ἥπατος καὶ σπληνὸς καὶ πάντως τοῦ γένους τῶν φλεβῶν.

Oportebat huic aphoriſmo illum praeponi, in quo ait, lienoſis dyſenteria ſuperveniens bonum. Verum is in ſequentibus poſt alios quatuor intermedios ſcribitur, ſed nobis nunc ipſius meminiſſe neceſſe eſt. Quicunque enim lienoſi ſunt, hoc eſt quibus jamdiu lien obduruit, iis dyſenteria ſuperveniens affectionem ſolvit quantum ratione tum translationis tum vacuationis humorum craſſorum et melancholicorum lieni infarctorum effectum ſit. Sed quoniam ſaepe hujusmodi vacuationes ſupra modum extenduntur et noxiae ſunt laborantibus, decenter Hippocrates quem exitum immoderata dyſenteria quae talibus ſucceſſit affectionibus habere ſoleat declaravit. Male ſiquidem affectis inteſtinis vitioſorum humorum transitu tum ipſorum vires laborant tum caloris innati ſymmetria deperditur. Quamobrem lienteria et hyderus ſuperveniunt: lienteria quidem ſolo inteſtinorum vitio; hyderus vero propter jecoris aut lienis et totius generis venoſi conſenſum.

Ed. Chart. IX. [276.] Ed. Baf. V. (310.)

μδ'.

'Οκόσοισιν ἐκ στραγγουρίης εἰλεὸς ἐπιγίγνεται, ἐν ἑπτὰ ἡμέρῃσιν ἀπόλλυνται οἱ τοιοῦτοι, ἢν μὴ πυρετοῦ ἐπιγινομένου ἅλις τὸ οὖρον ῥυῇ.

Κατὰ τὸν εἰλεὸν οὐδὲν μὲν διεξέρχεται κάτω, οὐδ' ἂν δριμυτέρῳ κλύσματι χρήσηταί τις, ἔμετος δὲ κόπρου ἐπιγίνεται τοῖς ὀλεθρίοις αὐτῶν εἰλεοῖς. ὅτι μὲν οὖν ἀποκεκλεισμένης τῆς κάτω διεξόδου γίνεται τὸ πάθος, ὅτι τε περὶ τὰ λεπτὰ τῶν ἐντέρων, οὐ τὰ παχέα, σχεδὸν ἅπασιν ὡμολόγηται. καὶ μὲν δὴ καὶ ὅτι διὰ φλεγμονὴν ἔμφραξις ἤτοι κόπρου σκληρᾶς ἢ γλίσχρων ὑγρῶν καὶ παχέων γίνεται λέλεκται πολλοῖς. ἐμοὶ δὲ δοκεῖ καὶ φλεγμονὴν ἢ σκίῤῥον ἢ ἀπόστημα δύνασθαι τὴν στενοχωρίαν ἐργάζεσθαι τοιαύτην, ὥστε μηδὲν κάτω διεξέρχεσθαι δύνασθαι. τὸ δ' ὑφ' ὑγρῶν παχέων ἢ γλίσχρων οὐ πάνυ τι δοκεῖ πιθανὸν εἶναι. τίθει δ', εἰ βούλει, καὶ τοῦτο καὶ εἴ τι πρὸς τούτῳ λέγοιεν ἕτερον, ἀλλ' ἐκεῖνό γε τὸ σχεδὸν ἅπασι δόξαν, ὅσοι τοὺς ἀφο-

XLIV.

Quibus ex ſtranguria volvulus ſuccedit, intra ſeptem dies intereunt, niſi oborta febre copioſa urina effluat.

In ileo nihil deorſum dejicitur, ne ſi quis etiam acriori utatur clyſtere. Stercoris autem vomitus iis accidit qui exitialiter laborant. Quod igitur intercluſo inferiore transitu in tenuibus inteſtinis et non craſſis hic morbus fiat prope ab omnibus conceſſum eſt. Quin etiam propter inflammationem et obſtructionem vel duri ſtercoris vel craſſorum et viſcidorum humorum fieri dixerunt nonnulli. Mihi vero videtur etiam inflammatio vel ſcirrhus vel abſceſſus tantam poſſe coarctationem facere, ut nihil inferne pervadat. Quod autem humores craſſi et lenti in cauſa eſſe poſſunt, non admodum mihi probabile videtur. Verum hoc etiam, ſi placet, ponito et ſi quid aliud praeterea dixerint. Illud vero, quod aphoriſmo-

Ed. Chart. IX. [276. 277.] Ed. Baſ. V. (310. 311.)

ρισμιοὺς ἐξηγήσαντο, πάνυ μοι δοκεῖ τῶν ἀπι- (311) θάνων εἶναι. λέγουσι γὰρ ὅτι τῆς κύστεως φλεγμαινούσης στενοχωρίαν ἔν τισι τῶν ἐντέρων ἐκ τῆς παραθλίψεως γινομένην ἐπιφέρειν τὸ πάθος τὸν εἰλεόν. ἐγὼ δὲ πλείστους μοι δοκῶ καθ' ὅλον ἐμαυτοῦ τὸν βίον ἑωρακέναι, τοὺς μὲν κινδυνεύσαντας μόνον, οὐκ ὀλίγους δὲ καὶ ἀποθανόντας ἐξ ἐπισχέσεως οὔρων, ἐναργῶς ἅπασι φαινομένης τηνικαῦτα κατὰ περιγραφὴν ἰδίαν μεγίστης τῆς κύστεως, ὡς διατετάσθαι μὲν ἐσχάτως, ὀδυνᾶσθαι δὲ ὡς εἰκὸς ἐπὶ τῇ διατάσει, καὶ τούτων οὐδεὶς εἰλεώδης ἐγένετο. πῶς ἂν οὖν τίς ποτε πεισθῇ διὰ φλεγμονὴν κύστεως ἐντέρου στενοχωρουμένου γίνεσθαί ποτε τὸν εἰλεὸν οὐ μᾶλλον ἢ κατὰ τὸν ὄγκον τῆς μήτρας [277] τὸν ἐν τῇ κυήσει· καίτοι μέχρι τῶν ὑποχονδρίων ὁ κατ' ἐκείνην ὄγκος ἀνατείνεται καὶ μᾶλλον θλίβειν τε καὶ στενοχωρεῖν δύναται τὰ λεπτὰ τῶν ἐντέρων. ἡ δὲ κύστις εἰς ὄγκον ἀρθεῖσα θλίβειν μόνον οἷά τ' ἐστὶ τὸ ἀπευθυσμένον. ἀτοπώτερον δ' ἔνιοι λέγουσι τὸ διὰ τὸν ἐπιγινόμενον πυρετὸν ὠφελεῖσθαι τὸν εἰλεόν. ὃ μὲν γὰρ

rum interpretibus fere omnibus viſum eſt, nullam prorſus mihi veriſimilitudinem habere videtur. Ajunt enim inflammata veſica viae anguſtiam facta in quibusdam inteſtinis compreſſione, ileum morbum afferre. Ego vero plurimos per totam meam vitam me vidiſſe videor, alios quidem periclitari tantum, non paucos vero emori etiam ex urinae ſuppreſſione, omnibus tunc luculenter ſecundum propriam circumſcriptionem maxima apparente veſica, adeo ut extreme diſtenderetur et ob eam, ut par eſt, tenſionem doleret, quorum tamen nullus ileoſus factus eſt. Quomodo igitur aliquis unquam crediderit ob veſicae inflammationem anguſtiore facto inteſtino ileum aliquando fieri potius, quam uteri tumore praegnationis tempore? Atqui uſque ad hypochondria illius tumor extenditur, atque magis premere tenuia inteſtina et coarctare poteſt; veſica vero in tumorem ſublata ſolum poteſt rectum inteſtinum premere. Abſurdius etiam nonnulli dicunt oborta febre ileum juvari. Ea namque febris ob

Ed. Chart. IX. [277.] Ed. Baf. V. (311.)

πυρετὸς ἐπί τινι φλεγμονῇ τῆς κύστεως εἰκότως ἂν γένοιτο καὶ ὅσῳ ἂν μείζων ᾖ καὶ χαλεπώτερον, τοσοῦτον εἰκὸς κἀκεῖ ἂν αὐξάνεσθαι σύμπτωμα ὑπάρχοντα τῆς φλεγμονῆς. ὁ δ' εἰλεὸς, ὡς αὐτοὶ λέγουσιν, ἐπὶ τῇ φλεγμονῇ συνέστηκε καὶ μόνην ἐλπίδα λύσεως ἔχει τὴν παῦλαν τῆς φλεγμονῆς, ᾗ καὶ τὸν πυρετὸν ἀναγκαῖόν ἐστι συμπραῦνεσθαι. σημεῖον οὖν ἀγαθὸν ἔστω τῆς λύσεως ἐπὶ τῶν κατὰ τὸν εἰλεὸν παθημάτων πραϋνόμενος ὁ πυρετὸς ἢ λυόμενος, οὔτε δέ ἐστι σημεῖον ἢ αἴτιον ἀγαθὸν ἐπιγιγνόμενος ἢ αὐξανόμενος. ἴσμεν γὰρ ἐκεῖνα μόνα τῶν νοσημάτων ὀνινάμενα πρὸς τῶν πυρετῶν, ὅσα κατὰ ψύξιν σύνεστι ποτὲ μὲν αὐτὴν μόνην, ἐνίοτε δὲ ἅμα χυμοῖς ὠμοῖς καὶ φλεγματώδεσιν ἢ φυσώδει πνεύματι βέλτιον οὖν ἀγνοεῖν ὁμολογεῖν, ὅπως εἴρηται τὰ κατὰ τὸν ἀφορισμὸν τοῦτον ὑφ' Ἱπποκράτους. οὔτε γὰρ ὁ λόγος ἐνδείκνυται τὴν ἀλήθειαν αὐτῶν οὔθ' ἡ πεῖρα διδάσκει, τρίτον δ' οὐδὲν ἔχομεν ἄλλο πρὸς πίστιν, εἴ γε μὴ ὤπταί ποτε τοιοῦτος ἄῤῥωστος οὔθ' ὑφ' Ἱπποκράτους οὔθ' ὑφ'

veſicae inflammationem merito accenderetur, quae quanto phlegmone major et gravior fuerit, tanto illam quoque augeri par eſt, quum ſit inflammationis ſymptoma. Ileus vero, ut ipſi ajunt, ex inflammatione ortum habuit et unicam ſolutionis ſpem habet inflammationis ceſſationem, cum qua etiam febrem ſecundari neceſſarium eſt. Bonum igitur ſolutionis cruciatuum et affectuum quos ileus affert febris vel remiſſa vel ſoluta. Quae vero ſupervenit febris aut augetur, neque bonum ſignum eſt neque bona cauſa. Eos enim ſolos morbos a febribus juvari novimus qui refrigeratione conſtant, interdum quidem ſola, interdum vero cum humoribus crudis et pituitoſis vel flatulentis ſpiritibus. Satius eſt itaque fateri nos ignorare quomodo accipienda ſint quae hoc in aphoriſmo ab Hippocrate pronunciata ſunt. Neque enim ratio eorum veritatem demonſtrat neque docet experientia; tertium autem nullum aliud habemus ad fidem faciendam. An talis nunquam aegrotus Hippocrati aut alteri cuipiam viſus eſt?

Ed. Chart. IX. [277.] . Ed. Baf. V. (311.)

ἄλλου τινός· οὔτε γὰρ εἰ γνήσιός ἐστιν ὁ ἀφορισμὸς εἰπεῖν ἔχω. πλῆθος οὖν ὠμῶν καὶ παχέων χυμῶν ἅμα ψύξει σφοδρᾷ βέλτιόν ἐστιν ὑποτίθεσθαι τῶν εἰρημένων συμπτωμάτων αἴτιον· οὕτως γὰρ ἂν μόνος ὅ τε πυρετὸς ἅμα γένοιτο τῆς διαθέσεως ἥ τε τῶν εἰργομένων οὔρων κένωσις. οὕτως γὰρ εἴωθε παχέα καὶ πολλὰ καὶ ἀθρόα κενοῦσθαι πεπτομένων αὐτῶν.

μέ.

Ἕλκεα ὁκόσα ἐνιαύσια γίνεται ἢ μακρότερον χρόνον ἴσχουσιν ἀνάγκη ὀστέον ἀφίστασθαι καὶ τὰς οὐλὰς κοίλας γίγνεσθαι.

Ὁκόσα χρονίζει τῶν ἑλκῶν, ἤτοι μηδ' ὅλως οὐλῆς αὐτοῖς ἐπιγιγνομένης ἢ κἂν ἐπιγένηται, πάλιν ἀναλυομένης, οὐδὲν ἁμαρτανόντων δηλονότι κατὰ τὴν θεραπείαν τῶν ἰατρῶν, ἀναγκαῖόν ἐστιν ἤτοι δι' ἐπιῤῥοήν τινα μοχθηρῶν ὑγρῶν ἢ τὴν ἐν αὐτῷ τῷ μορίῳ διάθεσιν ἐν χρόνῳ κατα-

Neque enim an legitimus ſit hic aphoriſmus profiteri poſſum. Quare crudorum humorum multitudinem una cum vehementi perfrigeratione commemoratorum ſymptomatum eſſe cauſam praeſtat ſupponere. Sic enim et ſola febris fuerit affectionis remedium et retentarum urinarum vacuatio. Sic enim hae copioſae et confertae vacuari conſueverunt ipſis concoctis humoribus.

XLV.

Ulcera annua quaecunque fuerint aut longius tempus habuerint, os abſcedere et cicatrices cavas fieri neceſſe eſt.

Quae diuturna manent ulcera aut ipſis nullo modo cicatrix obducitur aut ſi obducta ſit, rurſum reſolvatur, nihil videlicet medicis in curatione peccantibus vel propter aliquam pravorum humorum affluentiam vel propter affectionem in ipſa parte ex affluentibus humoribus diu-

Ed. Chart. IX. [277. 278.] Ed. Baſ. V. (311.)

σκευασθεῖσαν ἐκ τῶν ἐπιῤῥεόντων [278] ὑγρῶν ἢ διά τι πάθος ὀστοῦ φθειρομένου κατὰ τὸ χωρίον ἐκεῖνο γίνεσθαι δυσίατα. τὰ μὲν ἄλλα τῶν ἑλκῶν ἀεὶ μείζω καὶ χείρω γίνεται, καὶ σύμπαντα ταῦτα φαγεδαίνας ἐκάλουν οἱ παλαιοί. διορίζεσθαι δ' ὕστερον ἐπεχείρησαν ἔνιοι προσηγορίαις ἕκαστον ἰδίαις, ἔνια μὲν αὐτῶν χειρώνεια καλοῦντες, ἔνια δὲ τηλέφεια, φαγεδαίνας δ' ἄλλα, καί τινες ἔτι ἄλλας περιεργοτέρας ἐπιφέροντες προσηγορίας. ἀλλ' ἡμῖν ἀρκέσει τῶν μὲν ἐπιλαμβανομένων τι τοῦ πέριξ χωρίου τὰ μὲν ἕρπητας ὀνομάζειν, ὅταν ἐπιπολῆς ᾖ καὶ κατ' αὐτὸ τὸ δέρμα, τὰ δὲ φαγεδαίνας, ὅσα καὶ τὴν ὑποκειμένην διαφθείρει σάρκα. τὸ γὰρ σηπεδονῶδες ὑπό τινων ὀνομαζόμενον ἕλκος οὐχ ἕλκους ἐστὶ διαφορά τις ἴδιος, ἀλλ' ἐπιπλεγμένον πάθος ἐξ ἕλκους τε καὶ σηπεδόνος. ἴσμεν δ' ὅτι καὶ χωρὶς ἕλκους αὐτὴ καθ' ἑαυτὴν ἡ σηπεδὼν ἐν πολλοῖς τῶν μορίων συνίσταται. καλεῖταί δέ τι καὶ ἄνθραξ ἕλκος ἐσχαρῶδες, ἅμα πολλῇ τῇ τῶν πέριξ σωμάτων φλογώσει. ταυτὶ μὲν οὖν ἰδίαν ἔσχηκε προσηγορίαν, ὅ τε ἄνθραξ καὶ ἡ φα-

turnitate partam vel ob aliquod oſſis eo in loco corrupti vitium, curatu difficilia evadere neceſſe eſt. Cetera vero ulcera ſemper majora et deteriora fiunt; atque haec omnia phagedaenas *exedentia* priſci vacabant. Nonnulli vero poſteriores ea diſtinguere aggreſſi ſunt et proprias ſingulis appellationes indiderunt, ac ipſorum nonnulla chironia, quaedam telephia, alia phagedaenas nuncuparunt et quasdam etiamnum alias nimis curioſas appellationes attulerunt. Verum nobis ſatis fuerit ex his quae aliquam circumſtantis loci partem occupant, alia herpetas nominare, quum in ſuperficie et cute ipſa conſiſtunt; alia phagedaenas quae carnem etiam ſubjectam corrumpunt. Quod enim putridum atque depaſcens a nonnullis nominatur, non eſt propria quaedam ulceris differentia, ſed affectus ex ulcere et putredine implicitus. Scimus autem et abſque ulcere putredinem ipſam per ſe multis corporis partibus conſiſtere. Quoddam etiam vocatur carbunculus ul-

Ed. Chart. IX. [278.] Ed. Baſ. V. (311.)

γέδαινα καὶ ὁ ἕρπης. ὅσα δ' ἕλκη γίνεται χωρὶς τῶν εἰρημένων συμπτωμάτων, αὐτὰ καθ' ἑαυτὰ προσαγορεύειν ἔθος ἐστὶ τοῖς παλαιοῖς, αὐτὸ τοῦτο μόνον ἕλκη περὶ ὧν καὶ νῦν ὁ λόγος ἐστὶ τῷ Ἱπποκράτει διδάσκοντι ὡς ὅσα τοιαῦτα τῶν ἑλκῶν ἐστὶν, εἰς χρόνον ἐκπίπτει πλείονα. φαίνεται δὲ καὶ ἡ πεῖρα τῷ λόγῳ μαρτυροῦσα καὶ πολλάκις γε πολλὰ τῶν τοιούτων ἑλκῶν συνουλωθέντα. μετὰ χρόνον οὐ πολὺν ἀναφλεγμαίνειν τε καὶ αὖθις ἀναῤῥήγνυσθαι λυομένης αὐτῶν τῆς οὐλῆς. γίνεται δὲ τοῦτο διὰ τοιάνδε τινὰ αἰτίαν, ὅταν ἐκ τῶν προσφερομένων φαρμάκων ἢ κατὰ τοῦ πεπονθότος ὀστοῦ σὰρξ ἐπικειμένη ξηρανθεῖσα συνουλωθῇ, παραχρῆμα μὲν ταχέως ὑγιάζεσθαι δοκεῖ, κατὰ βραχὺ δὲ πάλιν, ἰχῶρός τινος ἐπιῤῥέοντος ἐκ τοῦ φθειρομένου κατὰ τὸ βάθος ὀστοῦ, φλεγμονή τέ τις αὖθις ἐπιγίνεται καὶ πύου γένεσις ἕπεται, διαβιβρώσκοντος μὲν τὴν ὅλην ἐπιφάνειαν, δάκνοντος δὲ τὴν σάρκα. τίς οὖν ἡ τῶν τοιούτων ἑλκῶν ἴασίς ἐστιν; οὐκ ἄλλη τις, ἀλλ' ἣν αὐτὸς μὲν εἶπεν ἐν τῷ

cus cruſtoſum cum magna vicinarum partium inflammatione. Haec igitur propriam appellationem ſortita ſunt, carbunculus, phagedaena et herpes. Quae vero ulcera ſine dictis ſymptomatibus ipſa per ſe fiunt, haec ulcera tantum appellare veteribus conſuetum erat, de quibus Hippocrati nunc eſt ſermo, qui docet quae ejusmodi ſunt ulcera in longius tempus excidere. Atque experientia rationi ſuffragari videtur multaque ſaepius hujusmodi ulcera ad cicatricem perducta non multo poſt tempore rurſum inflammantur et cicatrice ſoluta rumpuntur. Hoc autem aliquam ob cauſam oboritur. Quum admotis medicamentis caro oſſi affecto ſuperpoſita ſiccata duxit cicatricem, ſanitas quam primum reſtituta eſſe videtur; ſed rurſus ex oſſe altius corrupto ichore quopiam paulatim affluente, iterum oboritur inflammatio et puris ſubſequitur generatio, a quo cicatrix eroditur et caro exulceratur. Quaenam igitur eſt talium ulcerum curatio? Alia profecto nulla praeter eam quam libro de ulceribus tradidit

Ed. Chart. IX. [278. 279.] Ed. Baſ. V. (311.)

περὶ ἑλκῶν βιβλίῳ, ἡμεῖς δ' ἀπεδείξαμεν ἐν τῷ τρίτῳ τῆς θεραπευτικῆς μεθόδου. ξηραίνεσθαι μὲν γὰρ ἕλκη πάντα δεῖται, μάλιστα δ' ἐφ' ὧν ὀστοῦν πέπονθεν. ὅρος δέ ἐστι τῆς ξηρότητος ἀποστῆναι τὸ πεπονθὸς αὐτοῦ μέρος. εἰκότως δὲ καὶ τὰς οὐλὰς εἰς τοσοῦτον συμβαίνει γίνεσθαι κοίλας, εἰς ὅσον ἂν ἧκῃ πάχους τὸ ἀποστάν.

μστ'.

Ὀκόσοι ὗβοι ἐξ ἄσθματος ἢ βηχὸς γίνονται πρὸ τῆς ἥβης ἀπόλλυνται.

[279] Ὕβους καὶ κυφοὺς εἴωθεν ὀνομάζειν Ἱπποκράτης οὓς ἅπαντες οἱ νῦν ἄνθρωποι προσαγορεύουσι κυρτούς. καὶ γὰρ καὶ ὄντως ἡ ῥάχις αὐτοῖς εἰς τοὐπίσω γίνεται κυρτή. τῷ μὲν οὖν κυρτῷ τὸ κοῖλον ἀντικειμένως λέγεται, τῷ ὑβῷ τε καὶ κυφῷ τὸ λορδόν. ἀλλὰ ταῦτα μὲν ἐπὶ μόνης τῆς ῥάχεως, ἐκεῖνα δ' ἐπὶ πάντων λέγουσιν οἱ Ἕλληνες. ὅπως δ' ἡ κύφωσις γίνεται διῆλθεν αὐτὸς ἐν τῷ

et nos tertio therapeuticae methodi explicavimus. Exſiccari namque poſtulant omnia ulcera, praecipue vero ea in quibus os affectum eſt. Terminus autem ſiccitatis eſt affectam ipſius oſſis partem abſcedere. Et vero merito tantum cavas fieri cicatrices contingit, quantam abſceſſus craſſitudinem habuerit.

XLVI.

Qui gibbi ex aſthmate aut tuſſi fiunt ante pubertatem, intereunt.

Hybos et cyphos nominare conſuevit Hippocrates quos nunc omnes homines gibboſos appellitant. Etenim revera ipſis ſpina a tergo extuberat. Gibbo igitur cavum opponitur extuberanti et gibboſo repandum. Verum haec nomina de ſola ſpina, illa vero de omnibus Graeci efferunt. Quomodo autem cyphoſis ſeu *gibboſitas* fiat,

Ed. Chart. IX. [279.] Ed. Baſ. V. (311. 312.)

περὶ ἄρθρων βιβλίῳ, καθάπερ καὶ περὶ λορδώσεώς τε καὶ σκολιώσεως καὶ σείσεως. ἴδια γὰρ ἐξαίρετα ῥάχεως πάθη ταῦτα καὶ χρὴ τὸν βουλόμενον ἐπιστήμονα γενέσθαι τῶν παθῶν τῶνδε τοῖς ἐν ἐκείνῳ τῷ βιβλίῳ γεγραμμένοις ἐπὶ πλέον ὁμιλῆσαι. νῦν δ' ἡμεῖς ἐροῦμεν ὅσα χρήσιμά εἰσιν εἰς τὸν προκείμενον ἀφορισμόν. ὑβοῦται ῥάχις ἔστιν ὅτε μὲν καὶ διά τινα πληγὴν ἢ κατάπτωσιν, ὑβοῦται δὲ καὶ διά τινα φύματα σκληρὰ συστάντα κατὰ τὴν πρόσω χώραν, ὑφ' ὧν φυμάτων, ὅταν μὲν εἷς σπόνδυλος ἐλχθῇ πρόσω, λορδοῦται κατ' αὐτὸν ἡ ῥάχις, οὕτω δὲ κἂν πλείους ὦσιν ἐφεξῆς ἀλλήλων. ὅταν δὲ μὴ συνεχεῖς ὦσιν ἀλλήλων οἱ τεινόμενοι σπόνδυλοι, κύφωσις γίνεται τοσοῦτον χωρούντων ὀπίσω τῶν μελῶν, ὅσον εἴσω κατεκάμφθησαν οἱ ταθέντες. (312) ὁρᾶται γοῦν ἐπὶ πάντων τοῦτο τῶν σκληρῶν μετρίως γινόμενον, οἷον καλάμων καὶ λύγων καὶ ῥάβδων, ὅσα τ' ἄλλα τοιαῦτα. καὶ λέγεται περὶ αὐτῶν ἐπὶ πλέον ἐν ταῖς ἐξηγήσεσι ταῖς εἰς τὸ περὶ τῶν ἄρθρων βιβλίον. ἀλλὰ

ipſe libro de articulis differuit, ut etiam quomodo lordoſis, ſcolioſis et ſeiſis fiant, hoc eſt curvatio, obliquatio et concuſſio. Hae namque ſunt propriae ac praecipuae ſpinae affectiones, quarum affectionum peritus eſſe qui velit, iis quae eo in libro ſcripta ſunt plenius ipſum incumbere oportet. Nos autem nunc quae ad propoſitum aphoriſmum utilia videntur explicaturi ſumus. Gibba ſpina fit interdum propter ictum aut caſum; gibba etiam fit propter dura quaedam tubercula quae parte anteriore conſiſtunt: a quibus ſi quando una vertebra prorſum trahatur, ea parte ſpinae lordoſis curvatio editur, ita etiam ſi plures fuerint ſe ordine conſequentes. Quum vero tenſae vertebrae non fuerint inter ſe continuae, tum cyphoſis ſeu gibboſitas formatur tantum partibus pone cedentibus, quantum tenſae vertebrae introrſum retorquentur. Hoc enim in omnibus duris mediocriter redditis cernitur, veluti calamis, viminibus, virgis et hujusmodi ceteris. Atque de his copioſius in expoſitionibus libri de articulis

Ed. Chart. IX. [279.] Ed. Baſ. V. (312.)

νῦν γε τοὺς πρὸ τῆς ἥβης ὑβωθέντας ἐπ᾽ ἄσθματι καὶ βηχὶ διαφθείρεσθαί φησι ταχέως. οὐ γὰρ ἐθέλει τούτοις ὁ Θώραξ, ὡς αὐτὸς ἔφη, ἐφεξῆς συναύξεσθαι καὶ διὰ τοῦτο στενοχωρία πολλὴ γίνεται τοῖς ἀναπνευστικοῖς ὀργάνοις. ἅπασι μὲν κοινὸν τοῖς αὐτομάτως ὑβωθεῖσι, τουτέστιν οἷς ἄνευ πληγῆς ἢ καταπτώσεως ἔπαθεν ἡ ῥάχις, ἐπὶ φύμασι σκληροῖς ἢ δυσσέπτοις γίνεσθαι τοιούτοις. διαφορᾶς δ᾽ οὔσης πολλῆς ἐν τοῖς φύμασι κατά τε τὸν ὄγκον καὶ τὴν σκληρότητα καὶ τὸ χωρίον ἐν ᾧ συνέστη, τὰ μὲν ἐπὶ σκληροῖς τε ἅμα καὶ μεγάλοις συστάντα δυσπνουστέρους αὐτίκα τοὺς ἀνθρώπους ἐργάζεται, τὰ δὲ μεθιέντα τι τῆς ἐν αὐτοῖς ὑγρότητος εἰς τὰς τραχείας ἀρτηρίας βηχώδεις ἀποτελοῦσι τοὺς ἀνθρώπους. ἀλλὰ ταῦτα μὲν ὅσα μεθίησιν ὑγρότητος ἀκριβῶς ἐστὶ σκληρὰ καὶ διὰ τοῦτο ἀναγκαῖόν ἐστιν ἐκπυῆσαί ποτε καὶ διαφθεῖραι τὸν ἄνθρωπον· ὅσα δ᾽ οὐ μεθίησιν, ὑπὸ παχέων γίνεται χυμῶν καὶ διὰ τοῦτό ἐστιν ἄπεπτά τε καὶ σκληρὰ καὶ πολλῷ χρόνῳ μένοντα χωρὶς τοῦ διαπνῖσκειν ἐπιτρέπει ζῆν τὸν ἄνθρωπον. ὅσα δ᾽, ὡς ἔφην

differitur. Nunc vero qui ante pubertatem ex aſthmate et tuſſi gibbi facti ſunt cito interire pronunciat. Neque enim vult in his thoracem, ut ipſe ait, una cum aliis augeri, atque ideo magna anguſtia premuntur inſtrumenta ſpirabilia. Omnibus porro qui ſponte gibbi facti ſunt, hoc eſt quibus ſine ictu vel caſu ſpina affecta eſt commune exiſtit, quod tales propter tubercula dura et coctu difficilia evaſerint. Sed quum multa ſit inter tubercula pro tumore, duritie et loco in quo conſiſtunt differentia; quae dura ſimulac magna ſunt, protinus ſpiratu difficiliores homines efficiunt. Quae vero de ſua humiditate aliquid in aſperas arterias transmittunt, homines tuſſiculoſos reddunt. Verum quae de ſua humiditate aliquid transmittunt, plane dura non ſunt, atque ideo ut ſuppurent tandemque hominem ſuffocent neceſſarium eſt. Quae vero nihil transmittunt, ex craſſis humoribus ortum habent, atque ob id dura ſunt et cruda longoque tempore citra ſuppurationem manentia hominem vivere ſinunt.

Ed. Chart. IX. [279. 280.] Ed. Baſ. V. (312.)

ἅμα βηχὶ τὴν γένεσιν ἔσχεν, ἐπείγεται πρὸς τὴν διαπύησιν καὶ διὰ τοῦτό ἐστιν ὀλέθρια. οὕτω δὲ καὶ ὅσα μετὰ δυσπνοίας ἐγένετο θανατώδη τοῖς ἔτ' αὐξανομένοις· ἤτοι γὰρ μεγάλα ταῦτ' ἔστιν ἢ ἐν ἐπικαίρῳ χωρίῳ τοῦ θώρακος. ὅταν οὖν ὁ μὲν πνεύμων ἅμα τῇ καρδίᾳ τοῖς τοιούτοις αὐξάνηται, σμικρύνηται δ' ἡ περιέχουσα χώρα, μήτ' αὐξανομένων τῶν πλευρῶν, ἔν τε τῷ κάμπτεσθαι διὰ τὴν ὕβωσιν ὅλον τὸν θώρακα στενότερον ἐργαζομένων, ἀναγκαῖόν [280] ἐστιν ἐν τάχει τοιαύτην αὐτοῖς γίνεσθαι τὴν δυσπνοίαν ὡς διαφθεῖραι τὸν ἄνθρωπον. ὅπου γὰρ οὐδέπω τῆς κυφώσεως ἐπιγιγνομένης ἐπὶ μόνοις τοῖς παρὰ φύσιν ὄγκοις ἐδύσπνουν, τί χρὴ προσδοκῆσαι τῶν μὲν φυμάτων αὐξηθέντων τῷ χρόνῳ, στενωθέντος δὲ τοῦ θώρακος; ὅτι μέντοι πολλῶν οὐσῶν δυσπνοιῶν ἄσθμα προσαγορεύειν Ἱπποκράτης εἴωθεν ἐκείνην μόνην ἐν ᾗ συμβαίνει πυκνοῦσθαι τὴν ἀναπνοὴν ἱκανῶς εὔδηλον παντί. καλοῦσι γοῦν οὕτω καὶ νῦν οἱ ἄνθρωποι τὸ ἀσθμαίνειν ἐν δρόμοις τε καὶ γυμνα-

Quae vero, ut dixi, una cum tuſſi ortum habuerunt, ad ſuppurationem properant ideoque pernicioſa ſunt. Sic et quae cum difficili anhelitu fiunt, iis qui adhuc creſcunt exitioſa exiſtunt. Aut enim haec magna ſunt aut in loco thoracis vitae praeopportuno. Quum igitur pulmo una cum corde in talibus augeatur et ſpatium continens minuatur, coſtis nimirum non creſcentibus, ſed propter gibbum arctatis, totum pectus anguſtius efficientibus, tantam brevi ſpiritus difficultatem fieri neceſſe eſt ut homo ſuffocetur et pereat. Quandoquidem ſi gibboſitate nondum ſuperveniente propter ſolos praeter naturam tumores dyſpnoea laborabant, quid fore putandum auctis temporis ſpatio tuberculis, thorace vero anguſtiore reddito? Porro autem quum multae ſint ſpirandi difficultates, conſtat Hippocratem ſolam eam aſthma pro conſuetudine appellare, in qua frequentiorem et crebriorem reſpirationem fieri contingit. Ita vero nunc et in curſibus et vehementioribus exercitationibus homines anhelare dicunt. Qui vero

Ed. Chart. IX. [280.] Ed. Baſ. V. (312.)

σίοις συντόνοις γιγνόμενον. οἱ δὲ μεθ' Ἱπποκράτους καὶ πάθος τι χρόνιον ἔνιοι μὲν ἁπλῶς ἆσθμα προσαγορεύουσιν, ἔνιοι δὲ καὶ ὀρθόπνοιαν, ὅταν ἄνευ πυρετοῦ διὰ παντὸς οὕτω δυσπνέωσιν οἱ κάμνοντες.

μζ'.

Ὁκόσοισι φλεβοτομίη ἢ φαρμακείη συμφέρει τουτέους τοῦ ἦρος φλεβοτομεῖν ἢ φαρμακεύειν χρή.

Πρόδηλον ὅτι περὶ τῶν ὑγιαινόντων μὲν ἔτι, νοσησόντων δὲ εἰ μὴ κενωθείεν, ὁ λόγος αὐτῷ νῦν ἐστι. τούτους γὰρ φθάνειν χρὴ κενοῦν ἦρος εἰσβάλλοντος ἤτοι διὰ φλεβοτομίας, εἰ πληθωρικοῖς ἁλίσκονται νοσήμασιν, ἢ διὰ καθάρσεως, εἰ τοῖς κατὰ διαφθοράν. ἡμεῖς γοῦν οὕτως ἀνόσους πολλοὺς φυλάττομεν ἐτῶν ἤδη πολλῶν ἔμπροσθεν καθ' ἕκαστον ἐνιαυτὸν ἀεὶ νοσοῦντας, ἀλλὰ καὶ ποδάγραν καὶ ἀρθρῖτιν ἀρχομένην ἔτι καὶ μήπω περὶ τοῖς ἄρθροις εἰργασμένην πώρους ἐκ τῆς τοιαύτης κενώσεως ἐτῶν ἤδη

poſt Hippocratis aetatem fuere, affectum etiam quendam diuturnum nonnulli ſimpliciter aſthma, nonnulli orthopnoeam appellarunt, quum continenter citra febrem aegroti difficile ſpiritum ducunt.

LXVII.

Quibus venae ſectio aut purgatio confert, his vere venam ſecare aut purgans medicamentum exhibere convenit.

Liquet de iis qui adhuc ſani, ſed aegrotaturi ſunt, niſi vacuentur, ipſi nunc orationem eſſe. Horum enim vere ineunte, anticipanda eſt vacuatio vel per phlebotomiam, ſi phlethoricis morbis corripiantur vel per purgationem, ſi morbis ſint ab humorum corruptione pendentibus obnoxii. Nos equidem multos a morbis ita conſervamus et incolumes tuemur, qui multos jam annos antea ſemper aegrotabant; imo et podagram et arthritim adhuc incipientem nondum in articulis culto genito, per vacua-

Ed. Chart. IX. [280. 281.] Ed. Baſ. V. (312.)

πολλῶν ἐκωλύσαμεν γενέσθαι. κατά τε τὸν αὐτὸν τρόπον αἵματος πτύσιν ἐπιληψίαν, μελαγχολίαν, ἀποπληξίαν καὶ ἄλλα τὰ τοιαῦτα χρόνια πάθη διὰ τῆς εἰρημένης κενώσεως ἐπὶ πολλῶν ἀνθρώπων ἐπαύσαμεν. ἡ μὲν οὖν φλεβοτομία κοινὸν βοήθημά ἐστι τῶν πληθωρικῶν νοσημάτων, ἡ κάθαρσις δὲ, οὑτωσὶ μὲν ἀκοῦσαι, κατὰ γένος ἕν τι βοήθημά ἐστιν, οὐ μὴν κατ' εἶδός γε ἀκοῖσαι. ἐνίοις μὲν γὰρ συμφέρει τοὺς φλεγματώδεις κενοῦσθαι χυμοὺς, ἐνίοις δὲ τοὺς πικροχόλους, ἐνίοις δὲ τοὺς μελαγχολικοὺς, ἐνίοις δὲ ὀρῶδες περίττωμα κατά γε τὴν τῶν εἰθισμένων αὐτοῖς γίνεται παθῶν οὐσίαν. οἷον αὐτίκα τις μελαγχολίᾳ ἁλίσκεται καθ' ἕκαστον ἔτος, εἰ μὴ καθαρθείη, καὶ θαῦμά ἐστιν ἰδεῖν ὅπως ἤδη καὶ αὐτὸς ἀρ- [281] χομένου τοῦ πάθους διαγινώσκει τε τὴν πρώτην γένεσιν εὐθὺς καὶ καλέσας με κενοῦταί τε τὰ μέλαινα καὶ παραχρῆμα παύεται τῆς μελαγχολίας. καὶ συμβαίνει γε τούτῳ διὰ τῆς καθάρσεως ἄμφω ταῦτα χρησιμα, τό τε καθαίρεσθαι τὰ περιττὰ καὶ τὸ τῇ δριμύτητι τῶν ἐκκρινομένων ἀναστομωθεῖσαν ἐπὶ βραχὺ

tionem multos jam annos fieri prohibuimus. Eodem modo ſanguinis exſcreationem, epilepſiam, melancholiam, apoplexiam et alios ejusmodi diuturnos morbos et multis hominibus dicta vacuatione ſuſtulimus. Phlebotomia igitur commune eſt ad plethoricos morbos auxilium; purgatio vero ſi generatim quidem exaudiatur unum quoddam eſt contra morbos remedium, non tamen ſi ſpeciatim accipiatur. Nonnullis ſiquidem pituitoſorum humorum, quibusdam bilioſorum, aliis melancholicorum et quibusdam ſeroſi excrementi vacuatio conducit, pro morborum quibus tentari conſueverunt natura. Exempli gratia quidam quotannis niſi purgetur laborat melancholia, et mira viſu res eſt, quomodo jam ipſe etiam incipientis morbi primam praeſentiſcat generationem, meque protinus accerſiri jubeat, quo melancholicis humoribus expurgato, e veſtigio ceſſat melancholia, atque huic quidem ex purgatione haec duo commoda eveniunt, unum quod expurgentur ſupervacanea, alterum quia excretorum acrimonia re-

Ed. Chart. IX. [281.] Ed. Baſ. V. (312.)

τὴν αἱμορῤῥοΐδα συνεκκρίνειν τε καὶ αὐτὴν αἵματος μοχθηροῦ. συνήθους γὰρ οὔσης αὐτῷ τῆς τοιαύτης ἐκκρίσεως, εἶτ' ἐπισχεθείσης ἡ μελαγχολία συνέστηκε. καθαίρω τοιγαροῦν αὐτὸν, οὐκ ἦρος μόνον, ἀλλὰ φθινοπώρου καὶ, ὡς εἰ καταφρονήσας ἐνίοτε ἐνταῦθα μὴ φθάσειε καθαρθῆναι, τῶν τοῦ πάθους αἰσθάνεται συμπτωμάτων. οὕτω δὲ καὶ γυναῖκά τινα καθ' ἕκαστον ἔτος εἰσβάλλοντος ἦρος ὁμοίως κενῶν, καρκινώδη ποτὲ ὄγκον ἐν μαστῷ ἔχουσαν ἰασάμην, ἰσχυρῶς κενώσας, πολλάκις διὰ φαρμάκου καθαίροντος μέλανα καὶ εἰ παραλειφθείη ποτὲ ἡ κάθαρσις, ὀδύνη διὰ βάθους αὐτῇ γίνεται καὶ οὕτως αὕτη μετακαλουμένη με παραχρῆμα κελεύει καθαίρειν. ἐλέφαντα δὲ ἀρχόμενον ἑτέρῳ τὰ μὲν πρῶτα διὰ φλεβοτομίας καὶ καθάρσεως ἰασάμην. ἑκάστου δὲ ἔτους ἀρκεῖ καὶ τούτῳ μία κάθαρσις, ἐλλειφθείσης δ' αὐτῆς αὐτίκα τὸ πάθος ἐπισημαίνει. τὰ μὲν οὖν τοιαῦτα νοσήματα καθάρσεως χρῄζει μελαγχολικῶν χυμῶν, ἐπιληπτικὰ δὲ καὶ ἀσθματικὰ καὶ ἀποπληκτικὰ τῶν

cluſa, paululum haemorrhois pravi ſanguinis aliquid ipſa etiam profundat. Nam quum ſolemnis ipſi et conſueta ſit ejusmodi excretio haemorrhoica, ejus poſtea ſuppreſſione melancholia orta eſt. Ipſum itaque non vere ſolum, ſed auctumno etiam purgo, quia ſi per haec tempora propriae aliquando purgationis anticipationem neglexerit, nonnulla ſentiat ſuperioris morbi ſymptomata. Sic mulierem etiam quandam quae cancroſum in mamma tumorem habebat, quotannis vere ineunte vacuans ſanavi, ſubinde vehementi medicamento melanagogo uſus, quam quidem purgationem ſi quando praetermiſerat, dolor ipſi profundus ſentiebatur, atque illico accerſitum me purgare ſe jubebat. Elephantiam quoque in altero incipientem, primum phlebotomia et purgatione curavi, atque huic quotannis purgatio unica ſatis erat, quae ſi quando negligeretur, quam primum morbus indicationem ſui edebat. Hujuscemodi igitur morbi humorum melancholicorum egent purgatione, ut epileptici et aſthmatici et apoplectici pi-

Ed. Chart. IX. [281.] Ed. Baſ. V. (312.)

φλεγματωδῶν, ἀρθριτικὰ δὲ τὰ μὲν ἅμα θερμασίᾳ πολλῇ τῶν πικροχόλων, τὰ δὲ σὺν ὄγκοις ψυχροῖς τῶν φλεγματικῶν. ἄλλος δέ τις ὥρᾳ θέρους ἀεὶ τριταίοις ἁλισκόμενος πυρετοῖς ἤδη πολλῶν ἐτῶν οὐκ ἐπυρέξεν, ὠχρὰν χολὴν ὑφ' ἡμῶν φθάνων καθαίρεσθαι κατὰ τὴν τοῦ ἦρος τελευτήν. οὕτω γὰρ καὶ ἄμεινόν ἐστι τοὺς τοιούτους κενοῦσθαι, ὡς τοὺς ἐπιληπτικούς τε καὶ ἀποπληκτικοὺς καὶ ἀρθριτικούς τε καὶ μελαγχολικούς, ὅσοι τε ἄλλοι διὰ πάχος χυμῶν νοσοῦσιν, εἰσβάλλοντος ἦρος ἄμεινον κενοῦσθαι, περὶ ὧν ἁπάντων ἰδίᾳ μοι γέγραπται κατὰ τὴν πραγματείαν ἐκείνην, ἐν ᾗ γέγραπται περὶ τῶν δεομένων ἦρος ὥρᾳ κενοῦσθαι. μόριον δέ ἐστιν αὕτη τῆς ὅλης ὑγιεινῆς πραγματείας.

μη'.

Τοῖσι σπληνώδεσι δυσεντερίη ἐπιγινομένη ἀγαθόν.

Ὀλίγον ἔμπροσθεν ἐξηγησάμην τὸν ἀφορισμὸν τοῦτον, ἡνίκα τὸν λόγον ἐποιούμην ὑπὲρ τοῦ γεγραμμένου τόνδε τὸν τρό-

tuitoſorum purgatione gaudent. Quidam etiam alius aeſtivo tempore ſemper tertiana corripi ſolitus jam annos multos febrem non eſt expertus, bile pallida per nos ſub veris finem perpurgata. Tum enim tales vacuari multo praeſtat, quemadmodum epilepticos, apoplecticos, arthriticos et melancholicos et quotquot denique propter humorum craſſitiem aegrotant, vacuari ineunte vere melius eſt, de quibus omnibus privatim ſcripſimus in tractatu de iis qui verna vacuatione; qui quidem tractatus pars eſt totius operis quod de ſanitate tuenda inſcribitur.

XLVIII.

Lienoſis dyſenteria ſuccedens bonum.

Paulo ante hunc aphoriſmum explanavi, quum de eo verba facerem hunc in modum ſcripta: *qui lienoſi dyſen-*

Ed. Chart. IX. [281. 282.] Ed. Baf. V. (312. 313.)

πον· ὅσοι σπληνώδεες ὑπὸ δυσεντερίης ἁλίσκονται, τουτέοισιν ἐπιγιγνομένης μακρῆς τῆς δυσεντερίης ὕδροψ ἐπιγίνεται ἢ λειεντερίη καὶ ἀπόλλυνται. οὔκουν ἔτι δεήσει τῷδε τῷ νῦν προχειρισθέντι νεωτέρας ἐξηγήσεως.

μθ'.

[282] Ὁκόσα ποδαγρικὰ νοσήματα γίνεται, ταῦτα ἀποφλεγμήναντα ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀποκαθίστανται.

Αἱ κατὰ τοὺς ποδαγρικοὺς φλεγμοναὶ ῥεύματος εἰς τὰ τῶν ποδῶν ἄρθρα κατασκήπτοντος γίνονται. δέχονται (313) δὲ τὸ ῥεῦμα τοῦτο πρῶτον μὲν αἱ χῶραι τῶν διατρώσεων, ἔπειτα δὲ τὰ πέριξ πάντα μέχρι καὶ τοῦ δέρματος. οὕτω δὲ πληροῦσθαί φαμεν τὰς διαρθρώσεις, εὔδηλον ὅτι τοὺς περικειμένους αὐταῖς ἔξωθεν κύκλῳ συνδέσμους ἀναγκαῖόν ἐστι τείνεσθαι. τὰ μέντοι νεῦρα καὶ τοὺς τένοντας οὐκ εἰκὸς φλεγμαίνειν αὐτοῖς, ἀλλὰ μόνον τῷ συνεκτείνεσθαι ταῖς συναρθρώσεσιν ὀδυνᾶσθαι. δῆλον δὲ ἐκ τοῦ μηδέποτε

teria corripiuntur, iis oborta longa dyſenteria, hydrops lienteriae ſuccedit ac intereunt. Quare huic nunc expoſito nova iterum explanatione opus non eſt.

XLIX.

Qui podagrici morbi fiunt, ſedata inflammatione intra dies quadraginta deſinunt.

Podagricorum inflammationes fluxione fiunt in pedum articulos decumbente. Hanc autem fluxionem primum quidem articulationum ſpatia ſuſcipiunt; deinde quae circumſtant aduſque cutem omnia. Quum vero articulationes impleri dicimus, liquet ligamenta in orbem ipſis circumpoſita neceſſario tendi. Nervos tamen et tendines inflammari podagricis non eſt veriſimile, ſed dolere ſolum quia ſimul cum articulationibus tenduntur: quod ex eo fit manifeſtum, quia podagricus convelli nunquam viſus ſit,

Ed. Chart. IX. [282.] Ed. Baſ. V. (313.)

ὑρᾶσθαι σπασθέντα ποδαγρὸν, ὅπερ εἴωθεν ἕπεσθαι συνεχέστατα νεύρων τε καὶ τενόντων φλεγμοναῖς. ἄλλως τε τῆς ἰάσεως αὐτοῖς σκοπὸς κοινός ἐστι πρὸς τὰ φλεγμήναντα πάντα. διαφορηθῆναι γὰρ χρὴ τὸ ῥυὲν εἰς τοὺς πόδας, εἰ μὲν λεπτὸν εἴη κατὰ τὴν σύστασιν ἐλάττονι χρόνῳ, παχὺ δ' ὑπάρχον ἢ γλίσχρον πλείονι, καὶ πολὺ ἔτι μᾶλλον, εἰ γλίσχρον ἅμα τε εἴη καὶ παχὺ, δεήσεται χρόνου μακροτέρου. πορρωτέρω μέντοι τῶν μ' ἡμερῶν οὐκ ἂν ἐκταθείη τῆς φλεγμονῆς ἡ θεραπεία, τοῦ τ' ἰατροῦ δηλονότι πράττοντος ὀρθῶς ἅπαντα καὶ κάμνοντος εὐπαθοῦς ὑπάρχοντος. ἡ δ' ἐν τοῖς σαρκώδεσι μορίοις φλεγμονὴ τῷ τῶν ὀξέων ὑποπέπτωκεν ὅρῳ, τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ, ἐπειδὴ μανωτέρα τέ ἐστι καὶ μαλακωτέρα τῆς τῶν συνδεσμῶν καὶ νεύρων φύσεως ἡ τῆς σαρκὸς οὐσία. διὰ τοῦτο δὲ καὶ φλεγμαίνειν ἄρχεται βραδύτερον ἥ τε τῶν τενόντων καὶ συνδέσμων καὶ νεύρων φύσις, ὅταν τρωθῇ, καὶ πρὸς τὴν ἀκμὴν τῆς φλεγμονῆς ἀφικνεῖται χρόνῳ πλείονι καὶ θεραπεύεται βραδύτερον. ᾧ γὰρ λόγῳ μόγις εἰς ἑαυτὰ παραδέχεταί τε

id quod frequentiſſime nervorum et tendinum inflammationes ſequi conſuevit. Alias curationis indicatio ipſis communis eſt cum omnibus inflammatione laborantibus. Nam diſcuti oportet quod in pedes defluxit, breviore quidem tempore, ſi tenuiori fuerit ſubſtantia, longiore vero, ſi craſſa vel lenta; multoque longiore egebit tempore, ſi ſimul viſcidum et craſſum fuerit quod defluxit; ultra dies tamen quadraginta non prorogabitur inflammationis curatio, ſi medicus pro ſuo munere rite omnia peragat et facilis aeger obtemperet. At carnoſis partibus inſidens inflammatio morborum acutorum ſubjicitur termino, qui quartus decimus dies eſt, quandoquidem rarior et mollior eſt carnis ſubſtantia quam ligamentorum et nervorum natura. Quamobrem tardius etiam ligamentorum, tendinum et nervorum quum vulnerantur natura inflammari incipit et longiori ad inflammationis vigorem tempore pervenit tardiusque curatur. Qua enim ratione

Ed. Chart. IX. [282. 283.] Ed. Baſ. V. (313.)

τῆς ἔξωθεν ὑγρότητος, ὄντα πυκνὰ καὶ σκληρὰ τὰ τοιαῦτα μόρια, τῷ τοιούτῳ λόγῳ καὶ μεθίησι μόγις. διὰ τοῦτο οὖν καὶ ταῖς ποδαγρικαῖς φλεγμοναῖς ὁ Ἱπποκράτης ὅρον ἔθετο λύσεως παντελοῦς οὐ τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν, ἀλλὰ τὴν τεσσαρακοστήν. ἐπειδὴ τά τε ἐν ταῖς διαρθρώσεσιν ὑγρὰ διὰ τῶν περιεχόντων αὐτὰ συνδέσμων ἀτμοειδῶς ἐκκενωθῆναι χρὴ καὶ τοὺς συνδέσμους κατὰ τὰ ἐμπεσόντα αὐτοῖς. μέμνηται δὲ κἀν τῷ προγνωστικῷ τῆς τεσσαρακοστῆς ἡμέρας, ὡς ἂν αὐτῇ κρινομένων ὅσα μήτ' ἀκριβῶς ἐστιν ἤδη χρόνια καὶ τὸν τῶν ὀξέων ὑπερεκπέπτωκεν ὅρον. εἴρηται δ' ἐπὶ πλεῖστον ὑπὲρ τῶν τοιούτων ἁπάντων ἐν τῇ περὶ τῶν κρισίμων ἡμερῶν πραγματείᾳ.

ν'.

[283] Ὁκόσοισιν ὁ ἐγκέφαλος διακοπῇ, τουτέοισιν ἀνάγκη πυρετὸν καὶ χολῆς ἔμετον ἐπιγίνεσθαι.

---

vix aliquid in ſe humoris alieni ſuſcipiunt, quum denſae ſint ac durae hujuscemodi partes ac ipſa ratione aegre quoque dimittunt. Quapropter Hippocrates podagricis inflammationibus terminum integrae ſolutionis non diem quartum decimum, ſed quadrageſimum ſtatuit, quia tum qui articulationibus inſunt humores per ligamenta ipſos continentis vaporis in ſpeciem vacuari oportet, tum qui in ipſa ligamenta inciderunt. Meminit autem et in prognoſtico quadrageſimi diei, ut in quo morbi judicantur qui non ſunt plane diuturni, acutorum tamen terminum exceſſerunt. Sed de his omnibus in opere de diebus judicatoriis quam ampliſſime dictum eſt.

L.

Quibus perfectum fuerit cerebrum, iis febrem et bilis vomitum ſuccedere neceſſe eſt.

Ed. Chart. IX. [283.] Ed. Baſ. V. (313.)

Εἰκότως πυρέττουσιν ἐγκεφάλου διακοπέντος, τῷ κοινῷ λόγῳ, καθ' ὃν ἅπαντος μορίου κυρίου φλεγμήναντος ἕπεται πυρετός. ὁ δὲ τῆς χολῆς ἔμετος γίνεται διὰ τὴν πρὸς τὸν ἐγκέφαλον κοινωνίαν συμπασχούσης τῆς γαστρὸς καὶ μάλιστα τοῦ στόματος αὐτῆς, εἰς ὃ καταπέφυκεν ἐξ ἐγκεφάλου συζυγία τις ἀξιολόγων νεύρων. εἴωθε μὲν οὖν καὶ ἄλλως ἐπί γε μεγάλοις ἀλγήμασι καὶ λύπαις ἰσχυραῖς συρρεῖν εἰς τὴν γαστέρα χολῶδες περίττωμα, πολὺ δ' ἔτι μᾶλλον ὅταν ἀῤῥωστήσῃ. φέρεται γὰρ εἰς τὰ τοιαῦτα τῶν γειτνιώντων αὐτοῖς μορίων τὰ περιττώματα καὶ μάλισθ' ὅσα λεπτὰ ταῖς συστάσεσίν ἐστιν, οἷόνπερ αὐτὸ τὸ χολῶδες ὑπάρχον ὑγρὸν καὶ σὺν αὐτῷ πᾶν ὅσον ὀῤῥῶδες ὑγρὸν, ὃ δὴ καὶ μίγνυται πολλάκις ἐμούντων τῇ χολῇ καὶ πάνυ σπάνιόν ἐστιν, ἀκριβῆ χολὴν ἄνευ περιττώματος ὀῤῥώδους ἐμουμένην θεάσασθαι. φαίνεται δὲ καὶ ἐν τοῖς ὑγιαίνουσιν, ὅταν ἐπὶ πλέον ἀσιτήσωσι καὶ μάλισθ' ὅσοι χολωδέστεροι τοὺς τοιούτους χυμοὺς ἡ γαστὴρ δεχομένη. δηλοῦσι δὲ τοῦτο αἵ τε δήξεις αὐτοῖς καὶ οἱ ἔμετοι. οὐ μόνον δὲ ἐγκε-

Jure febricitant cerebro perfecto, ratione communi, qua quacunque parte principe inflammata febris ſequitur. Bilis vero vomitus fit ventriculo propter ſocietatem quam cum cerebro habet per conſenſum affecto, ore praeſertim ipſius in quo ex cerebro conjugatio quaedam nervorum majusculorum inſeritur. Sed alias etiam propter magnos dolores et vehementem moerorem excrementum bilioſum conſuevit in ventriculum confluere, multoque magis ſi ipſe imbecillitate laboret. Ad ea enim quae infirma ſunt partium vicinarum feruntur excrementa, praeſertim ſi tenui ſubſtantia conſtent, qualis humor bilioſus eſt et cum eo quidquid eſt feroſi excrementi, quod per vomitiones bili ſaepe permiſcetur, raroque admodum bilem finceram ſine feroſo excremento evomi cernere eſt. Apparet autem etiam in bene valentibus, bilioſiore praeſertim natura praeditis ubi diutius cibo abſtinuerunt tales ventriculum humores recipere. Id vero ipſis produnt tum vellicationes tum vomitus. At non ſolum cerebro vulnerato bi-

Ed. Chart. IX. [283.] Ed. Baſ. V. (313.)

φάλου τρωθέντος ἐμοῦσι χολὴν, ἀλλὰ καὶ τῆς περικειμένης αὐτῷ σκληρᾶς μήνιγγος, ἥτις κατὰ πολλὰ μέρη συμφυὴς ὑπάρχουσα τῷ ἐγκεφάλῳ τάχιστα μεταδίδωσιν αὐτῷ τῶν ἑαυτῆς παθημάτων. οἱ δ' Ἐρασιστράτιοι τὰς μήνιγγας τῶν νεύρων ἀρχὰς τιθέμενοι, διὰ μὲν τὴν ἑαυτῆς φύσιν ἐροῦσι τὴν παχεῖαν μήνιγγα ταῦτα ἐπιφέρειν τὰ συμπτώματα μόνην τρωθεῖσαν. εἰ δὲ καὶ πρὸς τὸν ἐγκέφαλόν ποτε ἡ τρῶσις ἐξίκοιτο, τῷ φθάνειν ἀμφοτέρας προτιτρώσκεσθαι τὰς μήνιγγας, οὕτω φήσουσι τὴν τῶν εἰρημένων γένεσιν ἀκολουθεῖν παθημάτων. Ἐρασιστρατείους δ' ἔφην ἐρεῖν ταῦτα καὶ οὐκ αὐτὸν Ἐρασίστρατον. ὅτι πρεσβύτης ὢν ἤδη καθ' ὃν χρόνον αὐτοί φασι τὰ τῶν διαιρέσεων αὐτῷ γεγράφθαι βιβλία, τὸν ἐγκέφαλον ἀπεφήνατο τῶν νεύρων ἀρχὴν ὑπάρχειν. εἴρηται δὲ περὶ τούτων ἐπὶ πλέον ἐν τοῖς περὶ τῆς Ἱπποκράτους ἀνατομῆς ὑπομνήμασιν.

---

lem vomunt, ſed dura etiam membrana ipſi circumpoſita quae multis partibus cum cerebro cohaerens quam citiſſime ſua ipſi mala impertit. Quia vero Eraſiſtrati ſectatores meningas nervorum principia ſtatuunt, ſolam vulneratam craſſiorem meninga talia propter ſuam ipſius naturam inquiunt afferre ſymptomata. Quod ſi quando in cerebrum vulnus penetraverit, ita etiam quod utraque meninx illud prius exceperit, enumeratarum affectionum generationem ſequi contendent. Dixi autem ſectatores Eraſiſtrati iſthaec dicturos eſſe et non ipſum Eraſiſtratum, quia jam ſenex erat et quo tempore ipſi de diviſionibus libros ſcriptos eſſe ajunt, cerebrum pronunciavit nervorum eſſe principium. De his etiam fuſius in Hippocratis librum de anatome commentariis dictum eſt.

Ed. Chart. IX. [284.] Ed. Baſ. V. (313.)

να'.

[284] Ὁκόσοισιν ὑγιαίνουσιν ἐξαίφνης ὀδύναι γίνονται ἐν τῇ κεφαλῇ καὶ παραχρῆμα ἄφωνοι γίνονται καὶ ῥέγχουσιν, ἀπόλλυνται ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν μὴ πυρετὸς ἐπιλάβῃ.

Ἀφώνους εἴωθεν ὁ Ἱπποκράτης ὀνομάζειν οὐχ οἷς ἡ φωνὴ μόνη βέβλαπται, κατ' ἐξοχὴν δέ τινα τῇ ταύτης βλάβῃ συνεπινοεῖν ἡμᾶς ἐνδείκνυται πάσας τὰς κατὰ προαίρεσιν ἐνεργείας· ἐνίοτε μὲν οὖν ἐκείνων βεβλαμμένων οὐκ ἀπόλωλεν ἡ αἴσθησις. αὐτὸς γοῦν ἔφη τοὺς ἀφώνους αἰσθανομένους συμβαίνειν γίνεσθαι, πολλάκις δὲ ἄμφω πέπονθεν, ὅπερ ἀποπληξίαν ὀνομάζουσιν. ἔστι δὲ καὶ ταύτης αὐτῆς ἡ μὲν ἀσθενὴς, ἡ δὲ ἰσχυρά. καὶ διὰ τοῦτο εἶπε, λύειν ἀποπληξίην ἰσχυρὴν μὲν ἀδύνατον, ἀσθενέα δὲ οὐ ῥηίδιον. ἔοικε δὲ νῦν τῆς ἰσχυρᾶς ἀποπληξίας γνώρισμα προστεθεικέναι τὸ ῥέγχειν, ὃ καὶ τοῖς βαθέως ὑπνοῦσι γίνεται κατὰ

LI.

Quibus ſanitate fruentibus derepente capitis dolores obortuntur et illico muti fiunt ac ſtertunt, intra dies ſeptem, niſi febris ſucceſſerit, intereunt.

Mutos Hippocrates appellare conſuevit non quibus ſola vox oblaeſa ſit, verum per excellentiam quandam una cum hujus laeſione omnes voluntarias actiones nobis intelligendas defert: quibus utique ſenſus interdum non deperditur. Ipſe ſiquidem dicebat mutos interdum eſſe ſentientes contingere; ſed ſaepenumero utrumque et motum et ſenſum laeſionem pati, quem affectum apoplexiam nominant. Eſt autem haec duplex: una quidem debilis, illa vero fortis; proinde dixit: *ſolvere apoplexiam fortem eſt impoſſibile, debilem vero non facile.* Videtur autem nunc fortis apoplexiae indicium appoſuiſſe, quod eſt ſtertere, quod etiam profunde dormientibus accidit, ſecun-

Ed. Chart. IX. [284.] Ed. Bas. V. (313.)

τὴν τῆς διαθέσεως ὁμοιότητα, καθ' ἕτερον μὲν τρόπον ἑκατέροις, ὅμως οὖν ἔχωσί τι κακὸν, ᾗ ἕπεται τὸ ῥέγχειν. ἔστι δὲ τὸ κοινὸν ἀμφοῖν ἡ ἀῤῥωστία τῆς τῶν νεύρων ἐνεργείας. καὶ λέλεκται περὶ τούτων ἁπάντων ἐπὶ πλέον ἐν τῇ περὶ τῶν πεπονθότων τόπων πραγματείᾳ. νυνὶ δ' ὅσον εἰς τὸν ἀφορισμὸν ἀναγκαῖον εἰρήσεται· οἷς ἂν ὑγιαίνουσιν ἐξαίφνης ὀδύνη τις ἐν τῇ κεφαλῇ γένηται, μάλιστα εἰς πνεῦμα φυσῶδες ἀναφέρειν χρὴ τὴν αἰτίαν. ἤδη δὲ καὶ εἰς πλῆθος ὕλης ἀθρόως ἐπιῤῥεούσης, ἥντινα καὶ νῦν εἰς τὸν ἐγκέφαλον ἐνηνέχθαι δηλοῖ τὰ μετὰ τὴν ὀδύνην γινόμενα συμπτώματα, δι' ὧν ὅτι φλεγματικὴ τίς ἐστιν ἡ ὕλη συνεμφαίνεται. καὶ διὰ τοῦτο ὁ πυρετὸς ἐπιγινόμενος λύει τὴν διάθεσιν ὡς ἂν ἐκθερμαίνων τε καὶ λεπτύνων καὶ διαφορῶν τό τε φυσῶδες πνεῦμα καὶ τοὺς φλεγματικοὺς χυμούς. γίνεται δὲ τοῦτο ποτὲ μὲν τρισὶν ἢ τετράσιν ἡμέραις, ποτὲ δὲ καὶ πλείοσι, οὐ μὴν ἐξωτέρω γε τῶν ἑπτὰ, διότι κύριον

dum affectionis ſimilitudinem. Quamquam enim diverſo modo uterque fit ſomnus et apoplexia, nihilominus aliquid commune, ad quod ſtertor conſequitur. Id autem utrique commune, actionis et nervorum imbecillitas. Atque de his uberius in opere de locis affectis dictum eſt. Nunc vero quantum ad aphoriſmi explicationem neceſſarium eſt dicetur. Quibus ſanis derepente capitis dolor quidam oboritur, ejus rei cauſa ad flatulentum ſpiritum praeſertim referenda eſt, ſed jam quoque ad materiae confertim effluentis multitudinem, quam etiam nunc in cerebrum delatum fuiſſe ſymptomata indicant quae poſt dolorem acceſſerunt, quibus et materiam aliquam pituitoſam ſimul eſſe innoteſcit, proindeque ſuperveniens febris eam ſolvit affectionem, ut quae tum flatulentum ſpiritum, tum pituitoſos humores excalefaciat, attenuet, diſcutiat. Id autem fit tribus nonnunquam diebus aut quatuor, interdum etiam pluribus, non tamen ultra ſeptimum procedit diem; quia quae pars laborat eſt princeps; ejusmodi

Ed. Chart. IX. [284. 285.] Ed. Baſ. V. (313. 314.)

τὸ μέρος· οὐκ ἀνέχεται δὲ τὰ τοιαῦτα μόρια χρονίων τε ἅμα καὶ ἰσχυρῶν διαθέσεων, ὡς ἐπιδέδεικται πολλάκις.

νβ'.

[285] Σκοπεῖν δὲ χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσιν ὕπνοισιν· ἢν γάρ τι ὑποφαίνηται ξυμβαλλομένων τῶν βλεφάρων τοῦ λευκοῦ, μὴ ἐκ διαῤῥοίης ἐόν τε ἢ ἐκ φαρμα- (314) κοποσίης, φλαῦρον τὸ σημεῖον καὶ θανατῶδες σφόδρα.

Ἤτοι διὰ ξηρότητα τῶν βλεφάρων ἢ διὰ τῆς κενούσης αὐτὰ δυνάμεως ἀσθένειαν ὑποφαίνεταί τι τοῦ λευκοῦ, μὴ δυναμένων ἀκριβῶς κλείεσθαι τῶν ὀφθαλμῶν. διὰ τοῦτο γοῦν αὐτὸ καὶ κατὰ τὰς διαῤῥοίας τῆς φαρμακοποσίας, ὅπερ ἐστὶ κατὰ τὰς καθαιρόντων φαρμάκων πόσεις, ὑποφαίνεταί τι τοῦ λευκοῦ τῶν ὀφθαλμῶν, ὅταν ὑπνοῦντες τύχωσι. ξηραίνεται γὰρ ἅπαν τὸ σῶμα καὶ ἡ δύναμις ἀσθενὴς γίνεται κατὰ τὰς τοιαύτας κενώσεις. ἐπισυμβαίνει δὲ

vero partes diuturnos ſimul et vehementes morbos non ferunt, ut ſaepe a nobis oſtenſum eſt.

LII.

Quae per ſomnos in oculis ſubapparent, etiam ſpectanda ſunt. Si quid enim albi non commiſſis palpebris ſubappareat, neque id ex diarrhoea aut medicamenti potione contingat, pravum ſignum eſt et admodum letale.

Aut ob palpebrarum ſiccitatem aut propter facultatis ipſas moventis imbecillitatem aliquid ſubapparet in oculis integre claudi non valentibus. Ob hanc enim cauſam alvi etiam profluviis et medicamentorum purgantium potionibus de oculorum albo aliquid conſpicitur, quum dormiunt. Totum enim corpus exſiccatur ac talibus vacuationibus vires imbecilles redduntur. Amplius autem ſiccitas palpebris ſubſidet quod hae natura ſiccae. Quemad-

Ed. Chart. IX. [285.] Ed. Bas. V. (314.)

πλεῖον ἐν τοῖς βλεφάροις ἢ ξηρότης, ὅτι φύσει ξηρά. καθάπερ οὖν αἱ βύρσαι ξηρανθεῖσαι δυσεπέκταντοι γίνονται, κατὰ τὸν αὐτὸν τρόπον καὶ τὰ τοιαῦτα μόρια. καὶ μὲν δὴ καὶ ὅτι καμνούσης τῆς δυνάμεως, οὐ μόνον ἀδυνατοῦσιν ἀκριβῶς κλείειν τοὺς ὀφθαλμούς, ἀλλὰ καὶ τὸ στόμα καὶ διὰ τοῦτο κοιμῶνται χάσκοντες εὔδηλον ἅπαντι τῷ γε προσέχειν βουληθέντι τῇ φύσει τοῦ πράγματος τὸν νοῦν.

νγ'.

Αἱ παραφροσύναι αἱ μὲν μετὰ γέλωτος γινόμεναι ἀσφαλέστεραι, αἱ δὲ μετὰ σπουδῆς ἐπισφαλέστεραι.

Οὐδεμία μὲν ἀσφαλὴς ἐστι παραφροσύνη, σφαλεραὶ δ' ἧττον αἱ μετὰ γέλωτος, ὡς αἵ γε Θρασεῖαι, καθάπερ αὐτὸς ὀνομάζει σφαλερώτεραι πασῶν. ἐν τῷ μέσῳ δ' ἀμφοῖν εἰσιν αἱ μετὰ σπουδῆς· γίνονται δὲ πᾶσαι μὲν ἐγκεφάλου πάσχοντος, εἴτε οὖν πρώτου τε καὶ καθ' ἑαυτὸν εἴτε κατὰ συμπάθειαν. ἀλλήλων δὲ διαφέρουσι ταῖς ἐργα-

modum enim exſiccata coria vix extenduntur, eodem quoque modo ejusmodi partes. Quin etiam quod laborante facultate non ſolum oculos, ſed os etiam exacte claudere nequeunt, unde hiante ore dormiunt, liquet unicuique rei naturam diligentius animadvertere volenti.

LIII.

Quae deliria cum riſu fiunt, tutiora; quae cum ſtudio, periculoſiora.

Nulla deliria tuta ſunt, minus periculoſa quae cum riſu concitantur, velut audacia, quemadmodum ipſe appellitat, omnium periculoſiſſima. In amborum medio ſunt quae cum ſtudio exiſtunt. Porro fiunt omnia affecto cerebro, ſive primario et per ſe, ſive ſecundario et per conſenſum; differunt autem ab invicem cauſis ipſis effi-

Ed. Chart. IX. [285. 286.] Ed. Baſ. V. (314.)

ζομέναις αὐτὰς αἰτίαις. ὅσαι μὲν γὰρ [286] ὑπὸ θερμασίας γίνονται μόνης ἄνευ μοχθηροῦ χυμοῦ, παραπλήσιαί πώς εἰσι ταῖς ἐπὶ οἴνου πόσεσι· ὅσαι δ' ἐπὶ τῇ ξανθῇ χολῇ μετὰ σπουδῆς ἐπιτελοῦνται. συγκαυθείσης δ' αὐτῆς ἐπὶ πλέον ὡς μελαγχολικωτέραν ὑπάρχειν ἤδη, μανιώδεις ἱκανῶς αἱ παραφροσύναι γίνονται. μεμνῆσθαι γὰρ χρὴ τῶν περὶ τῆς μελαίνης χολῆς ἐν ἄλλοις διωρισμένων, ὡς ἡ μὲν ὑπεροπτηθείσης γίνεται τῆς ξανθῆς χολῆς, ἥπερ δὴ καὶ χαλεπωτάτη παντοίως ἐστὶν, ἡ δ' ἐκ τῆς τοῦ αἵματος, ὡς ἂν εἴποι τὶς, ἰλύος καὶ τρυγός. παχυτέρᾳ μὲν ἐκείνη τῇ συστάσει, πολὺ δὲ ἀπολειπομένη τῷ μοχθηρῷ τῆς ποιότητος. εἴρηται δὲ καὶ ὅτι τὴν οἷον τρύγα τοῦ αἵματος ἀκριβολογούμενοι μὲν οὐδέπω μέλαιναν χολὴν ὀνομάζομεν, ἀλλὰ μελαγχολικὸν χυμὸν, καταχρώμενοι δὲ τοῖς ὀνόμασι καὶ μέλαιναν ἔστιν ὅτε καλοῦμεν, ἐπειδὴ μικρὸν ὕστερον ἔσεσθαι μέλλει μέλαινα μὴ φθασάντων κενῶσαι.

---

cientibus. Quae namque a ſolo calore citra pravum humorem oboriuntur deſipientis quodammodo ſimiles ſunt quae vini potiones ſequuntur. Quae vero ob flavam bilem cum ſtudio perficiuntur, quae bilis flava, ſi multum exuratur, ut jam ad atrae naturam magis accedat, furioſae admodum et immanes fiunt delirationes. Nam quae aliis in libris de atra bile definita ſunt, ea in memoriam revocanda ſunt, quod quaedam ex flava bile ſuperaſſata gignatur, quae omnium eſt teterrima, alia vero ex ſanguinis, ut quispiam dixerit, coeno et faece: quae quidem craſſiore quam altera conſtet ſubſtantia, ſed multum a qualitatis malignitate recedat. Dictum eſt praeterea bilem quae veluti faex eſt ſanguinis, ſi ſincere et proprie loquamur, nondum nos atram bilem, ſed humorem melancholicum appellare, nominibus vero abuſos atram bilem interdum quoque vocare; quandoquidem niſi prius vacuetur, atra paulo poſt evaſura eſt.

Ed. Chart. IX. [286.] Ed. Baf. V. (314.)

νδ'.

Ἐν τοῖσιν ὀξέσι πάθεσι τοῖσι μετὰ πυρετοῦ αἱ κλαυθμώδεες ἀναπνοαὶ κακόν.

Τὰ παιδία πολλάκις ὁρᾶται κατὰ τὸν τοῦ κλαίειν καιρὸν εἰσπνέοντα διακεκομμένην πνοὴν, ἱσταμένου μεταξὺ τοῦ θώρακος, εἶτ' αὖθις τὸ λεῖπον προστιθέντος, ὅπερ αὐτὸς ἐν ἐπιδημίαις ὧδί πως εἶπε· διπλῆ εἴσω ἐπανάκλησις, οἷον ἐπὶ εἰσπνέουσι, καὶ γίνεται τοῦτο ποτὲ μὲν διὰ κάματον τῆς δυνάμεως, ποτὲ δὲ διὰ τὴν τῶν ὀργάνων σκληρότητα, ποτὲ δὲ ἀμφοῖν συνελθόντων, ἔστι δ' ὅτε καὶ διὰ σπασμώδη τινὰ τῶν μυῶν τοῦ θώρακος διάθεσιν. ἥ τε γὰρ ἀσθενὴς δύναμις ὅταν εἰς ἅπαξ ἀδυνατήσῃ διαστεῖλαι τὸν θώρακα τοσοῦτον ὅσῳ δεῖται τὸ ζῶον, ἵσταται μεταξὺ κατὰ τὴν ἐνέργειαν ἀναπαυομένη πρότερον, εἶθ' οὕτως αὖθις ἐξορμᾷ. τότε σκληρὸν ὄργανον οὐχ ἑπόμενον ἑτοίμως ὁμοίως τῇ διαστελλούσῃ δυνάμει, κραδαινόμενον ὑπ' αὐτῆς βιαίως διαστέλλεται. περὶ δὲ τῆς σπασμώδους διαθέσεως τί δεῖ καὶ

LIV.

In morbis acutis cum febre gemebundae ſpirationes malum.

Saepe pueri quo tempore plorant interrupto ſpiritu inſpirare conſpiciuntur, exſurgente medio thorace, deinde rurſum integrae reſpirationi quod deeſt adjiciente, quod ipſe in epidemiis in hunc modum edixit: *gemina intro ſpiritus revocatio, quaſi ſuper inſpirantibus.* Hoc autem fit interdum ob facultatis laborem, interdum ob inſtrumentorum duritiem, interdum vero ambabus cauſis concurrentibus, ſed et nonnunquam propter convulſivum aliquem muſculorum thoracis affectum oboritur. Etenim imbecilla facultas quum ſemel thoracem tantum attollere non potuerit, quantum ad uſum animal requirit medio primum ſubſiſtit opere et aliquantiſper quieſcit; deinde rurſum ſe effert impetu. Ac durum organum quum prompte dilatantem facultatem non ſequatur, ab ipſa violentius concuſſum dilatatur. Sed quid de convulſivo affectu,

Ed. Chart. IX. [286. 287.] Ed. Baſ. V. (314.)

λέγειν ὡς τοιαύτην ἀναπνοὴν ἐργάζεται; ψύξεως μὲν οὖν καταλαβούσης ἤτοι τοὺς μῦς τοῦ θώρακος ἢ καὶ τὰ νεῦρα, σκληρότης ἄν τις ἐν τοῖς ὀργάνοις γεννηθείη καὶ σπασμώδης κίνησις, ἣν ὅ τε πυρετὸς ἰᾶσθαι πέφυκε καὶ τὰ θερμὰ βοηθήματα. πυρετοῦ δὲ σὺν τούτοις ὄντος οὐκ ἐγχωρεῖ ψύξιν αἰτιᾶσθαι τῶν κατὰ τὸν θώρακα μυῶν ἢ νεύρων· ἀλλ' ἤτοι σκληρότητα γεγενημένην ἢ δυνάμεως ἀῤῥωστίαν ἢ σπασμώδη διάθεσιν. ὅ τι δ' ἂν ᾖ τούτων, οὐκ ἀγαθόν [287] ἐστιν ἐν ὀξεῖ νοσήματι συμβαίνειν. εἰ μὲν οὖν κατὰ μόνης τῆς εἰρημένης κινήσεως τῶν ἀναπνευστικῶν ὀργάνων ἡ κλαυθμώδης ἀναπνοὴ λέλεκται πρὸς αὐτοῦ, τέλος ἔχει τὰ τῆς ἐξηγήσεως· εἰ δὲ καὶ μετὰ τοιούτου τινὸς ψόφου βούλεται τὴν εἰρημένην αὐτῷ ἀναπνοὴν συμβαίνειν, ὁποία τοῖς κλαίουσι γίνεται καὶ πρὸς τοῖς εἰρημένοις αἰτίοις ἐνδείξεταί τινα διάθεσιν ὀδυνώδη, καθ' ἣν οἷον οἰμώζοντες ἢ στένοντες ἢ μικτόν τινα ἐξ ἀμφοῖν ἀποτελοῦντες ψόφον ἀναπνέουσι οὕτως.

---

quod talem reſpirationem efficiat dicendum eſt? Nam ſi frigus thoracis muſculos vel etiam nervos invaſerit, duricies quaedam inſtrumentis oborietur et motus convulſivus quem tum febris tum calida auxilia ſanare conſueverunt. At ſi his febris conjuncta ſit, muſculorum thoracis aut nervorum perfrigerationem cauſari non ſinit, ſed vel duritiem obortam vel facultatis imbecillitatem vel convulſivum affectum. Quidquid vero horum in cauſa fuerit, bonum non eſt in morbo acuto accidere. Si igitur de ſola enunciata ſpirabilium inſtrumentorum motione gemebunda reſpiratio ab ipſo pronunciata ſit, ea jam explicationis finem habet; ſi vero etiam cum tali quodam ſonitu, qualis plorantibus editur, ab ipſo proditam reſpirationem fieri velit, praeter dictas cauſas quandam etiam dolorificam affectionem indicabit, qua tamquam flentes aut gementes aut aliquem mixtum ex ambobus ſonum edentes ita reſpirant.

Ed. Chart. IX. [287.] Ed. Baf. V. (314.)

νε'.

Τὰ ποδαγρικὰ τοῦ ἦρος καὶ τοῦ φθινοπώρου κινέεται ὡς ἐπὶ τὸ πολύ.

Τὰ ποδαγρικὰ καθάπερ καὶ τἆλλα πάντα ἀρθριτικὰ τοῦ ἦρος αὐξάνεται καὶ διὰ τοῦτ' αὐτὸς ἔμπροσθεν ἐν τῷ τῶν ἠρινῶν νοσημάτων καταλόγῳ τῶν ἀρθριτικῶν ἐμνημόνευσεν, ἐν οἷς δηλονότι περιέχεται καὶ τὰ ποδαγρικά. παροξύνεταί γε μὴν ἐνίοτέ τε καὶ κατὰ τὸ φθινόπωρον οἷς ἂν ἐν τῷ θέρει κατὰ τὴν ὀπώραν συναρθροισθῇ τις κακοχυμία. δέδεικται γὰρ ἡμῖν ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν ἑκάστου τῶν μορίων, ὥσπερ ἄλλαι τινὲς ὑπάρχουσαι δυνάμεις οὕτω καὶ ἡ τῶν λυπούντων ἀποκριτικὴ δύναμις. λυπεῖ δὲ τὰ μὲν τῷ πλήθει βαρύνοντα, τὰ δ' ἀνιῶντα τῷ τῆς ποιότητος ἀλλοτρίῳ. κατ' ἄμφω μὲν οὖν ταῦτα τοῖς ἐν τῷ χειμῶνι μοχθηρῶς διαιτηθεῖσι παροξύνεται τὰ χρόνια τῶν παθῶν, ἦρος ὥρᾳ χεομένων τῶν χυ-

LV.

Podagrici affectus vere et auctumno plerumque moventur.

Podagrici affectus, quemadmodum et omnes alii articulares vere augentur, ideoque ipſe ſuperius in morborum vernalium enumeratione articulatim meminit, in quibus videlicet podagrici continentur. Concitantur tamen interdum etiam autumno, quibus per oporam cacochymia quaedam coacervata fuerit. A nobis enim commentariis de facultatibus naturalibus demonſtratum eſt ſingulis partibus, quemadmodum alias quasdam facultates, ita facultatem eorum expultricem eſſe quae moleſta ſunt. Moleſta vero ſunt alia quaedam multitudine, alia vero aliena qualitate. Secundum utrumque igitur tum iis qui hiberno tempore pravo victu uſi ſint, per oporam diuturni affectus concitantur, fuſis humoribus et mox a fortioribus ad lo-

Ed. Chart. IX. [287. 288.] Ed. Baſ. V. (314.)

μῶν, εἶτα ἐπὶ τοὺς ἀσθενεῖς τόπους ἀπὸ τῶν ἰσχυροτέρων ἀπωθουμένων, καθ' ἕτερον δὲ μόνον ἐν φθινοπώρῳ.

νστ'.

Τοῖσι μελαγχολικοῖσι νοσήμασιν ἐς τάδε ἐπικίνδυνοι αἱ ἀποσκήψεες ἢ ἀποπληξίην τοῦ σώματος ἢ σπασμὸν ἢ μανίην ἢ τύφλωσιν σημαίνουσι.

[288] *Γίνονται μὲν καὶ διὰ φλεγματικὸν χυμὸν ἀποπληξίαι τε καὶ σπασμοὶ καὶ πηρώσεις ὀφθαλμῶν. γίνονται δὲ διὰ μελαγχολικὸν, ἐπειδὴ κοινόν ἐστιν ἐν ἀμφοτέροις τὸ πάθος. οὐ μὴν τό γε τῆς μανίας ἐστὶ κοινόν· οὐδέποτε γὰρ ἐπὶ φλεγματικῷ χυμῷ τὸ πάθος τοῦτο συνίσταται, δεόμενου γε πρὸς τὴν γένεσιν ἐρεθίζοντός τε καὶ δάκνοντος χυμοῦ. τοιοῦτοι δέ εἰσιν ὁ μὲν τῆς ξανθῆς χολῆς διὰ τὸ πᾶν, ὁ μελαγχολικὸς δὲ οὐ διὰ παντός, ἀλλὰ ὅταν πλέον ἤτοι συγκαυθεὶς ἢ διασαπεὶς ἐπικτήσηται κακοήθη δριμύτητα.*

cos imbecilliores protuſis. Secundum alterum vero, autumnali tantum tempeſtate.

LVI.

Morbis melancholicis per has tempeſtates periculoſi decubitus aut apoplexiam corporis aut convulſionem aut maniam aut caecitatem denunciant.

Fiunt etiam propter pituitoſum humorem apoplexiae, convulſiones et caecitates; fiunt quoque propter melancholicum, quoniam utrisque communis eſt affectus, non tamen maniae affectus eſt communis. Nunquam enim hic affectus ob pituitoſum humorem conflatur, quum ad ſui generationem humore proritante ac mordente opus habeat. Talis autem ſemper quidem eſt flava bilis; non ſemper vero humor melancholicus, ſed quum ſupra modum aut exuſtus aut putrefactus malignam qualitatem induerit.

Ed. Chart. IX. [288. 289.] Ed. Baf. V. (315.)

νζ'.

(315) Ἀπόπληκτοι δὲ μάλιστα γίνονται ἡλικίῃ τῇ τεσσαράκοντα ἐτέων ἄχρις ἑξήκοντα.

Οὐ πᾶσαν ἀποπληξίαν, ἀλλὰ τὴν προειρημένην μόνην, ἥτις ἐπὶ μελαίνῃ μόνῃ συνίσταται χολῇ, συμβαίνει γίνεσθαι τοῖς τὴν εἰρημένην ἄγουσιν ἡλικίαν, ὅτι πλεονάζει μάλιστα κατ' αὐτὴν ὁ τῆς μελαίνης χυμὸς, ὥσπερ καὶ τῷ φθινοπώρῳ. ἁπλῶς δ' ἀποφηναμένῳ πλείους γέροντες γίνονται ἀπόπληκτοι. εἴπερ οὖν ἀληθὴς ὁ λόγος ἔσεσθαι μέλλοι, συναπτέον αὐτὸν τῷ κατὰ τὸν προειρημένον ἀφορισμὸν, ὡς εἰ καὶ οὕτως εἴρητο τοῖσι μελαγχολικοῖσι νοσήμασιν, ἐς τάδε ἐπικίνδυνοι αἱ ἀποσκήψιες, ἀποπληξίην τοῦ σώματος, ἥτις καταλαμβάνει τοὺς ἀπὸ τεσσαράκοντα ἐτέων μέχρις ἑξήκοντα.

νη'.

[289] Ἢν ἐπίπλοον ἐκπέσῃ, ἀνάγκη ἀποσαπῆναι.

LVII.

Apoplectici vero maxime fiunt aetate a quadrageſimo anno aduſque ſexageſimum.

Non omnem apoplexiam, ſed ſolam praedictam, quae ex ſola fit atra bile, pronunciatam aetatem agentibus ortum habere contingit, quia per eam potiſſimum ſcatet atrae bilis humor, quemadmodum etiam per autumnum. Sed ut ſimpliciter dicam, plures ſenes apoplexia percelluntur. Si igitur vera futura ſit oratio, ea cum praecedenti aphoriſmo connectenda eſt, ac ſi ita diceretur: *morbis melancholicis per has tempeſtates periculoſi humorum decubitus corporis apoplexiam, quae homines a quadrageſimo anno aduſque ſexageſimum invadit.*

LVIII.

Si omentum excidat, neceſſario putreſcit.

Ed. Chart. IX. [289.] Ed. Baſ. V. (315.)

Διὰ τὴν βραχυλογίαν δόξει ψευδὴς ὁ ἀφορισμὸς εἶναι τοῖς μὴ καλῶς ἀκούσασιν αὐτοῦ. τὸ γὰρ λεγόμενόν ἐστι τοιοῦτον· ὅταν ἐκπέσῃ, τουτέστιν ὅταν γυμνωθῇ καὶ προκύψῃ τοῦ περιτοναίου τὸ ἐπίπλοον, οὐκ ἐνδέχεται τοῦτο καταχθὲν ὑγιὲς καὶ σῶον μεῖναι. καθάπερ εἴ καὶ ἄλλο τι προκύψειεν, οἷον ἔντερον ἢ σπλάγχνου λοβός. ἐκεῖναι μὲν γὰρ εἰ μὴ πολλῷ χρόνῳ καταψυχθείη, τὴν ἀρχαίαν ἀπολαμβάνει κρᾶσιν, ἐπουλωθείσης τῆς γεγενημένης κατὰ τὸ ἐπιγάστριον διαιρέσεως. ἐπίπλοον δὲ κἂν ἐλαχίστῳ χρόνῳ γυμνωθείη, σήπεται καταχθέν, δι' ἣν αἰτίαν καὶ τέμνουσιν αὐτοῦ τὸ γυμνωθὲν οἱ ἰατροί. ταύτην οὖν ἔχει ὁ ἀφορισμὸς τὴν γνώμην, ἀδιοριστότερον εἰρημένος κατὰ λελεγμένην λέξιν, εἰ δέ τίς φησιν ὡς ἑώρακέ ποτε πρὸς βραχὺν χρόνον τὸ ἐπίπλοον ἐκπεσὸν, ἔπειτα καταχθὲν μὴ σαπῆναι, τὸ μὲν διηνεκὲς τῆς Ἱπποκράτους ἀποφάσεως ἀναιρήσει, φυλάξαι δὲ τὸ ὡς ἐπὶ τὸ πολὺ, καὶ κοινόν ἐστι τοῦτο τῷ ἀφορισμῷ πρὸς ἄλλους ὑφ' Ἱπποκράτους εἰρημένον, ἐν σχή-

Propter ſermonis brevitatem falſus is eſſe videbitur aphoriſmus, qui non recte ipſum perceperint. Quod enim dicitur eſt hujusmodi: *quum omentum exciderit*, hoc eſt quum nudatum fuerit et extra peritonaeum promicuerit, illud reductum ſanum ac ſalvum permanere probabile non eſt; quemadmodum ſi quid aliud velut inteſtinum aut viſceris lobus foras promineat. Haec namque niſi longo tempore perfrixerint, priſtinum ſtatum recuperant, abdominis ruptura ad cicatricem perducta. Omentum vero ſi vel minimo tempore nudetur, repoſitum putreſcit. Quam ob cauſam medici partem ipſius nudatam praecidunt. Hanc igitur ſententiam habet aphoriſmus minus diſtincte hoc textu pronunciatus. Si quis vero proferat ſe nonnunquam omentum pauco tempore prolapſum vidiſſe, deinde repoſitum non computruiſſe, enunciationis quidem Hippocratis perpetuitatem ſuſtulerit; verum tamen obſervaveris, illud plerumque contingere: *ut prolapſum foras omentum putreſcat*; idque huic aphoriſmo cum ceteris ab Hippocrate

Ed. Chart. IX. [289. 290.] Ed. Baſ. V. (315.)

ματι λέξεως τὸ διηνεκὲς ἐνδεικνύμενον, καίτοι γε οὐκ ἀποβαινόντων ἀεὶ τῶν πραγμάτων ὡσαύτως, ἀλλ' ἐν σπανίῳ ποτὲ καὶ ἐναντίως.

νθ'.

Ὁκόσοισιν ὑπὸ ἰσχιάδος ἐνοχλουμένοισι χρονίης τὸ ἰσχίον ἐξίσταται καὶ πάλιν ἐμπίπτει, τουτέοισι μύξαι ἐπιγίνονται.

Ἀθροίζεται πολλάκις ἐν τοῖς ἄρθροις χυμὸς φλεγματώδης, ὃν ὀνομάζει μύξαν, ὑφ' οὗ διαβρεχόμενοι τῆς διαρθρώσεως οἱ σύνδεσμοι χαλαρώτεροι γίνονται καὶ διὰ τοῦτο ἐξίσταται ῥᾳδίως τὴν κοιλότητα τὸ ἄρθρον, ἐμπίπτει τε πάλιν οὐ χαλεπῶς, ἃ δὴ [290] *καὶ νῦν φησι τοῖς οὕτω διακειμένοις ἰσχιαδικοῖς συμβαίνειν. ὅταν δ' εἴπῃ, τὸ ἰσχίον ἐξίστασθαι, τὸ κατ' ἰσχίον ἄρθρον ἀκουστέον, ὡς κἀν τῷ περὶ ἄρθρων ἔλεγεν, ὤμου δὲ ἄρθρον ἕνα τρόπον οἶδα ὀλισθαῖνον ἐν ἴσῳ τῷ κατ' ὦμον ἄρθρον.*

---

proditis commune eſt, ut ex dictionis forma perpetuitas oſtendatur, etiamſi res ipſae non ſemper eodem modo, ſed interdum etiam aliter licet raro eveniant.

LIX.

Quibus ab iſchiade diuturna vexatis iſchium e proprio loco excidit atque rurſus incidit, iis muci innaſcuntur.

Saepe in articulis humor pituitoſus coacervatur, quem mucum appellat, quo inebriata articulationis ligamenta laxiora redduntur proindeque facile cavitate ſua articulus excidit ac incidit rurſus non difficile; quae ſane nunc iſchiadicis ita affectis ait accidere. Quum vero iſchium ait excidere, articulus iſchii intelligendus eſt, quo etiam modo libro de articulis dicebat; humeri autem articulum uno modo elabi ſcio, quod perinde eſt ac ſi articulum qui in humero habetur dixiſſet.

Ed. Chart. IX. [290.] Ed. Baſ. V. (315.)

ξ'.

Ὁκόσοισιν ὑπὸ ἰσχιάδος ἐνοχλουμένοισι χρονίης τὸ ἰσχίον ἐξίσταται, τουτέοισι φθίνει τὸ σκέλος καὶ χωλοῦνται, ἢν μὴ καυθῶσιν.

Οὐ χρὴ χωρίζειν τὸν ἀφορισμὸν τοῦτον τοῦ προγεγραμμένου, συνάπτοντας δ' αὐτοὺς εἰς ἕνα λόγον οὕτως ἀκούειν. βούλεται γὰρ λέγειν ὅτι τοῖς ἰσχιαδικοῖς, οἷς διὰ τὸ πλῆθος τῆς μύξης ἐξίσταται τὸ ἄρθρον, ἐμπίπτει τε πάλιν, ἀναγκαῖόν ἐστιν ἐν χρόνῳ φθίνειν τὸ σκέλος, ἂν μὴ φθάσαντες τῇ καύσει ξηράνωμεν τὴν μύξαν, ὅπερ κἀν τῷ περὶ ἄρθρων συνεβούλευε πράττειν ἐπὶ τοῦ συνεχῶς ἐκπίπτοντος βραχίονος. καὶ γὰρ καὶ νῦν ἡ αὐτὴ τοῦ λόγου δύναμίς ἐστι καίειν συμβουλεύοντος αὐτοῦ κατ' ἰσχίον, ὡς ἐν τῷ περὶ ἄρθρων ἐδίδασκεν, ὅπως ἐκδαπανηθῇ τε τὸ μυξῶδες ἥ τε χαλαρότης τοῦ δέρματος, εἰς ἣν ὠλίσθανε τὸ ἄρθρον ὑπὸ τῆς καύσεως εἰς συντονίαν ἀχθεῖσα, σφίγγει τε καὶ κωλύει μεθίστασθαι, ὡς εἴ γε διὰ τὸ πλῆθος τῆς

LX.

Quibus iſchiade diuturna vexatis iſchium excidit, iis crus tabeſcit et claudicant, niſi urantur.

Hunc aphoriſmum a ſuperiore ſejungere non decet, ſed ipſos ſimul in unam orationem conjunctos ita accipere. Vult enim enunciare, quibus iſchiadicis propter muci copiam articulus excidit rurſumque incidit, proceſſu temporis crus tabeſcere neceſſe eſt, niſi antevertentes uſtione mucum exſiccemus, quod et libro de articulis in brachio jugiter excidente effici conſulebat. Etenim etiam utrobique eadem vis eſt orationis, qua ipſe ſuper iſchium uſtionem fieri conſulit, ut libro de articulis docebat; tum ut mucoſa illuvies abſumatur, tum ut cutis laxitas in quam articulus elabebatur per aduſtionem ad contenſionem ducta articulum arctet et loco moveri prohibeat.

Ed. Chart. IX. [290.] Ed. Baſ. V. (315.)

μύξεως ἐπὶ πλεῖον ἐξεστηκὸς μένει τὸ ἰσχίον, ἔστι μὲν δήπου τοῦτο χωλεία τοῦ σκέλους. ἀκολουθήσει δ' ἐξ ἀνάγκης αὐτῇ καὶ ἀτροφία, καθ' ὃ καὶ τοῖς ἄλλοις ἅπασιν, ὅσα τῶν κατὰ φύσιν ἐστερήθη κινήσεων.

Quod ſi ob muci copiam iſchium eluxatum diutius manſerit, id profecto cruris claudicatio fuerit, quam neceſſario ejusdem atrophia ſequetur, quomodo aliis etiam omnibus accidit, quae naturalibus motibus privata fuerint.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΑΦΟΡΙΣΜΟΙ ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟΥΣ ΥΠΟΜΝΗΜΑΤΑ.

Ed. Chart. IX. [291. 292.] Ed. Baſ. V. (315.)

[291 292] *Πάντες σχεδὸν οἱ προγράψαντες ἐξηγήσεις τῶν ἀφορισμῶν ἐν ἀρχῇ μὲν ἐπὶ πλέον ἐπεκτείνουσι τοῦ χρησίμου τὸν λόγον, ἐκλύονται δὲ προϊόντες, ὥστε πρῶτον μὲν ἐπὶ τὸ χρήσιμον προϊέναι μόνον, εἶθ' ἑξῆς ἐλλιπέστερον τούτου καὶ τελευτῶντες* [292] *ἐσχάτως συντέμνουσι τὰς ἐξηγήσεις, ὡς μηδ' ὅτι νόθοι τῶν ἀφορισμῶν εἰσιν ἔνιοι καὶ προφανῶς ψευδεῖς, ἔτι παρακολουθεῖν. ἀλλ' ὥσπερ οἱ*

HIPPOCRATIS APHORISMI ET GALENI IN EOS COMMENTARII.

Qui prope omnes aphoriſmorum enarrationes ante nos ſcripſerunt, initio quidem longius quam utilitatis ferat ratio, commentarios protrahunt; in progreſſu vero fatiſcentes ita remittunt, ut primo quidem ad utilitatem uſque ſolum procedant; deinde ſerie id imperfectius moliantur; poſtremo denique expoſitiones ita concidunt, ut ex aphoriſmis nonnullos adulterinos eſſe palamque falſos, nequaquam animo percipiant. Verum quemadmodum diſpu-

Ed. Chart. IX. [292.] Ed. Baf. V. (315.)

κάμνοντες ἐν τοῖς διαλόγοις ἐπινεύουσι πρὸς ἅπαν ἑτοίμως, οὕτω καὶ αὐτοὶ προσίενταί τε πάντας, οὓς ἂν εὕρωσι γεγραμμένους ἀφορισμοὺς εἰς ἔσχατόν τε βραχυλογίας ἀφικνοῦνται κατὰ τὰς ἐξηγήσεις αὐτῶν ἐπιλανθανόμενοι τῆς ἐν ἀρχῇ μακρολογίας. ἀλλ' ἡμεῖς γε τὰς ἄλλας αὐτῶν ἀτοπίας ἐπειράθημεν φυλάξασθαι καὶ πάσας ὁμαλῶς ποιήσασθαι τὰς ἐξηγήσεις ἐσπουδάσαμεν, ἐστοχασμένας μὲν τῶν ἀληθῶν τε ἅμα καὶ χρησίμων τῇ τέχνῃ, τῇ δὲ ἑρμηνείᾳ μήτε εἰς βραχυλογίαν ἔσχάτην συνηγμένας, οὐ γὰρ ὑπομνήματι τὸ τοιοῦτον, ἀλλὰ συγγράμματι πρέπει, μήτ' εἰς μῆκος τοσοῦτον, ὅσον ἐν ἀρχῇ τῶν ἐξηγήσεων ἐκεῖνοι πεποίηνται. τὸ δ' ἄριστον ἐν ἅπασι τοῖς λόγοις, ὅπερ καὶ σύμμετρόν ἐστιν ἑκάστῃ πραγματείᾳ, τοῦτο ἐσπουδάσαμεν ἀπ' ἀρχῆς μέχρι τέλους διαφυλάξαι.

α'.

Ἐν τοῖσιν ὀξέσι νοσήμασι ψύξις ἀκρωτηρίων κακόν.

---

tationibus feſſi prompte ad omnia adnuunt, ſic etiam quoscunque ſcriptos aphoriſmos invenerint, omnes admittunt et ad ultimam propriarum interpretationum breviloquentiam deveniunt, prioris loquacitatis obliti. At vero nos quum alias ipſorum ineptias vitare conati ſumus, tum omnes explanationes aequabiliter efficere ſtuduimus, quae tum vera tum ſimul arti perutilia ſpectarent et interpretatione in ſummam orationis brevitatem minime cogerentur, haec enim conciſa brevitas libro, non commentario convenit, neque in tantam verborum prolixitatem proferrent, quantam illi per explanationum initia inſtituerunt. Sed quod in omnibus commentariis optime laudatur, quodque unicuique tractatui ſymmetriam ſervat, illud a principio ad finem uſque ſervare ſtuduimus.

I.

In acutis morbis extremarum partium frigus malum.

Ed. Chart. IX. [292.] Ed. Baſ. V. (315. 316.)

Ἐν μὲν τοῖς χρονίοις νοσήμασι καὶ μάλισθ' ὅσα χωρὶς πυρετῶν εἰσι καὶ κατὰ τὸν χειμῶνα καὶ γέρουσι ψυχρὰ γίνεσθαι τὰ τοῦ σώματος ἔσχατα μόρια, ῥῖνας καὶ πόδας καὶ ὦτα καὶ χεῖρας ἄκρας, οὐδὲν ἄτοπον. οὐ μὴν ἔν γε τοῖς ὀξέσι μέτριον τὸ κακὸν, ἀλλ' ἱκανῶς ὀλέθριον τὸ σύμπτωμα, φλεγμοναῖς σφοδροτάταις τῶν σπλάγχνων ἐπιγινόμενον. (316) ὀξέα δὲ προσαγορεύεσθαι νοσήματά φησιν αὐτὸς, ὧν οἱ πυρετοὶ τοὐπίπαν εἰσὶ συνεχεῖς. ἐν οἷς ὅταν ἄνευ μεγάλης φλεγμονῆς ὦσι, μὴ ὅτι καταψύχεσθαι τοῖς ἀκροῖς, ἀλλὰ καὶ διακαίεσθαι συμβέβηκεν. ἀλλ' ὅταν τὸ τῆς φλεγμονῆς θερμὸν ᾖ οὕτω σφοδρὸν, ὡς ἕλκειν ἐφ' ἑαυτὸ δίκην σικύας ἐξ ὅλου τοῦ σώματος τὸ αἷμα, διακαίονται μὲν οἱ οὕτως ἔχοντες τὰ σπλάγχνα, ψύχονται δὲ τὰ ἀκρωτήρια διὰ τὴν ἔνδειαν τοῦ αἵματος, ἀποχωροῦντος εἰς τὰ σπλάγχνα, καὶ οἱ πλεῖστοί γε αὐτῶν οὐδὲ τῶν περιβολαίων ἀνέχονται, διὰ τὸ περὶ τοῖς σπλάγχνοις καῦμα.

In morbis diuturnis, qui praeſertim ſine febre ſunt, et per hiemem et aetatem ſenilem extremam corporis partes, veluti nares, auriculas, pedes et ſummas manus frigidas fieri nihil abſurdum. Non tamen in acutis mediocre malum eſt, ſed admodum pernicioſum ſymptoma, quod vehementiſſimis viſcerum inflammationibus oboritur. Acutos autem morbos vocari pronunciat ipſe, quorum febres maximam partem ſunt continuae; in quibus quum citra magnam inflammationem fuerint, non modo non refrigerari extrema, verum etiam peruri accidit. Quum vero inflammationis calor adeo vehemens ſit, ut ad ſe curcurbitulae inſtar ex toto corpore ſanguinem attrahat, iis ita affectis viſcera peruruntur, extrema vero frigeſcunt propter ſanguinis intro ad viſcera ſe recipientis inopiam, atque eorum plurimi ne operimenta quidem ferunt propter incendium inflammationis viſcera obſidentis.

Ed. Chart. IX. [293.] Ed. Baf. V. (316.)

β'.

[293] Ἐπὶ ὀστέῳ νοσήσαντι σὰρξ πελιδνὴ κακόν.

Οὐ γὰρ ἐπὶ μετρίαις βλάβαις ὀστῶν, ἀλλὰ ταῖς ἰσχυραῖς σηπέδοσι τὸ τοιοῦτον εἶδος τῆς χρόας ἐγγίνεται περικειμέναις σαρξὶ, σβεννυμένης δηλονότι τῆς κατὰ φύσιν θερμασίας ἐν αὐτοῖς.

γ'.

Ἐπὶ ἐμέτῳ λύγξ καὶ ὀφθαλμοὶ ἐρυθροὶ κακόν.

Οἷόν τι πάθος τοῖς μυσὶν ὁ σπασμός ἐστι, τοιοῦτον ἐν τῷ στομάχῳ γίνεται ἡ λύγξ, ὑγροῖς ἀνιῶσιν ἐπιγινομένη, ποτὲ μὲν ὅλην τὴν κοιλίαν, ὡς τὰ πολλὰ δὲ τό τε στόμα καὶ τὸν στόμαχον αὐτῆς, ἃ καὶ ἐν τοῖς ἐμέτοις ἀποῤῥίψασα, παραχρῆμα παύεται τῆς λυγγός. ὡς ὅταν γε μηδ' ὑπὸ τούτων παύηται, δυοῖν θάτερον ἐνδείκνυται, ἤτοι τὴν ἀρχὴν τῶν νεύρων τὸν ἐγκέφαλον ἢ τὴν γαστέρα φλεγμαίνειν

II.

Propter os aegrotans caro livida malum.

Non enim ob mediocrem offium laefionem, fed ob magnam cariem talis coloris fpecies circumftantibus carnibus oboritur, exftincto videlicet calore nativo.

III.

A vomitu fingultus et oculorum rubor malum.

Qualis affectio mufculis eft convulfio, talis eft ftomacho fingultus, qui humoribus nonnunquam totum ventriculum infeftantibus oboritur, faepius vero os ipfius et ftomachum; quibus per vomitiones ejectis ftatim fingultu liberatur; qui fi neque per iftas ceffet, ex duobus alterum denunciat aut cerebrum nervorum principium aut

Ed. Chart. IX. [293. 294.] Baſ. V. (316.)

οὐ μετρίαν φλεγμονήν. τὸ δὲ τῶν ὀφθαλμῶν ἔρευθος ἕπεται ἀμφοτέροις, καὶ μᾶλλόν γε ταῖς κατὰ τὸν ἐγκέφαλον φλεγμονώδεσι διαθέσεσιν.

δ'.

Ἐπὶ ἱδρῶτι ῥῖγος οὐ χρηστόν.

Ὅτι τὰ κρίσιμα μὴ κρίνοντα τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα λέλεκται πρὸς αὐτοῦ, διὰ τὸ [294] τὴν φύσιν ἐν ταῖς τοιαύταις διαθέσεσιν ὑπὸ τοῦ νοσήματος νικᾶσθαι.

ε'.

Ἐπὶ μανίῃ ἢ δυσεντερίῃ ἢ ὕδρωψ ἢ ἔκστασις ἀγαθόν.

Δυσεντερίαν μὲν ἢ ὕδρωπα τῷ λόγῳ τῆς μεταστάσεως ἴαμα γίνεσθαι μανίας οὐδὲν ἄλογον, ἐκ τῆς κεφαλῆς τῶν λυπούντων κάτω μεθισταμένων, ἔκστασιν δ' οὐδαμῶς διάλυ-

ventriculum non mediocrem pati inflammationem. Oculorum vero rubor utriusque ſequitur affectiones, ſed illam magis cerebri phlegmonodem.

IV.

Horror poſt ſudorem non utilis.

Decretoria quae non decernunt partim letalia eſſe partim difficilis judicii ab ipſo pronunciatum eſt, quod natura in ejusmodi affectionibus vi morbi evicta ſuccumbat.

V.

A mania dyſenteria aut hydrops aut ecſtaſis bonum.

Dyſenteriam quidem hydropem translationis materiae ratione, maniae remedium eſſe rationi non reluctatur, quum a capite deorſum noxii humores transferantur. Mentis autem emotionem ſeu ecſtaſin nullo modo maniae

Ed. Chart. IX. [294.] Ed. Baſ. V. (316.)

σιν εἶναι μανίας, ὥστε μᾶλλον αὔξησιν ἄν τις εἴποι καὶ μένοι καὶ εἴπερ ὄντως ὁ Ἱπποκράτης πολλαχῆ μανίαν καὶ σφοδρὰν ὠνόμασεν ἔκστασιν, οἴδαμεν οὕτω τινὰ παυσάμενον ἧς ἔμπροσθεν εἶχε μετρίας μανίας, ἐλογισάμεθά τε τῇ σφοδρότητι τῆς κινήσεως τῶν ποιούντων τὴν μανίαν αἰτίων ἀκολουθῆσαι τὴν λύσιν, ὥσπερ εἴωθε κἀν τοῖς ὀξέσι νοσήμασι τὰ σφοδρότατα τῶν συμπτωμάτων ἔστιν ὅτε κρίσεις ἀγαθὰς ἐργάζεσθαι.

στ'.

Ἐν νούσῳ πολυχρονίῃ ἀποσιτίη καὶ ἄκρητοι ὑποχωρήσιες κακόν.

Καὶ αὐτὴ μὲν καθ' ἑαυτὴν ἡ ἀποσιτία σημεῖόν ἐστι μοχθηρὸν ἐν χρονίοις νοσήμασιν. ἐπὶ γὰρ τῶν σωθήσεσθαι μελλόντων ἐκ τῶν τοιούτων νοσημάτων αὐτῷ τοὐναντίον ὄρεξις σφοδροτέρα γίνεται σιτίων. ὥστ' οὐκ ἀγαθὸν σημεῖον ἡ ἀποσιτία. ὅταν δὲ καὶ τὰ κατὰ τὰς διαχωρήσεις

ſolutionem eſſe, imo magis quivis dixerit incrementum eſſe. At profecto, ſi revera Hippocrates vehementem maniam ecſtaſin appellaverit, quendam moderata mania, qua prius detinebatur, ita liberatum fuiſſe novimus, ratiocinationeque collegimus ex vehementi cauſarum maniam efficientium motu ſolutionem ſubſequutam fuiſſe, quemadmodum in morbis acutis vehementiſſima ſymptomata bonas interdum criſes efficere ſolent.

VI.

In morbo diuturno ciborum faſtidium et ſincerae dejectiones malum.

Ipſum per ſe cibi faſtidium in morbis diuturnis pravum ſignum eſt. Iis ſiquidem qui ab hujusmodi morbis evaſuri ſunt, contrarius affectus, vehementior ſcilicet ciborum appetentia ſolet accidere. Quare haud bonum eſt ciborum faſtidium, multo certe minus quum etiam pravae

Ed. Chart. IX. [294. 295.] Ed. Baſ. V. (316.)

ὑπάρχει πονηρὰ, πολὺ δὴ καὶ μᾶλλον. ἀκράτους δ' ὑποχωρήσεις εἴρηκε τὰς ἀμίκτους ὑδατώδους ὑγρότητος αὐτοῦ τοῦ κενουμένου χυμοῦ μόνου διαχωροῦντος, εἴτε πικρόχολος εἴτε μελαγχολικὸς εἴτε πρασοειδὴς εἴτε ὁ τῆς ἰώδους λεγομένης ὑπάρχει χολῆς, ἐνδείκνυνται γὰρ αἱ τοιαῦται διαχωρήσεις ἐκπεφρύχθαι τὴν κατὰ φύσιν ὑγρότητα πᾶσαν ὑπὸ τῆς πυρετώδους θερμασίας.

ζ'.

[295] Ἐκ πολυποσίης ῥῖγος καὶ παραφροσύνη κακόν.

Ὅτι μὲν ἡ πολυποσία πολλὴν πόσιν οὐχ ὕδατος, ἀλλ' οἴνου δηλοῖ πρόδηλον παντί. παραφρονοῦσι δ' ἐπὶ ταῖς τοιαύταις πόσεσιν ἔνιοι πληρουμένης τῆς κεφαλῆς αἵματός τε καὶ πνεύματος θερμοῦ. δι' αὐτὸ δὲ τοῦτ' καὶ θερμότεροι γίνονται, μάλιστα μὲν τὴν κεφαλὴν, ἤδη δὲ καὶ σύμπαν τὸ σῶμα. σπάνιοί γε μὴν ἐξ αὐτῶν εἰσὶν οἱ σὺν τῇ παραφροσύνῃ ῥιγώσαντες, ἐφ' ὧν οὐκ ἐξάπτεται τὸ σύμφυ-

ſunt dejectiones. Sinceras autem dejectiones nominavit nulli aquoſae humiditati permixtas, eo ſolo qui vacuatur humore, ſive bilioſo ſive melancholico ſive porraceo ſive bile aeruginoſa dicta, inteſtina pervadente. Nam ejusmodi dejectiones omnem nativam humiditatem a febrili calore exuſtam et conſumptam eſſe indicant.

VII.

Ex multo potu rigor et delirium malum.

Quod polypoſia non copioſam aquae, ſed vini potionem ſignificet, patet omnibus. Delirant autem nonnulli hujusmodi potionibus tum ſanguine tum ſpiritu calido oppleto capite. Ob hanc ipſam cauſam calidiores etiam redduntur praecipue quidem capite, ſed jam univerſo etiam corpore. Ex his rari ſunt qui cum delirio rigeant, in quibus calor nativus non incenditur, ſed copia exſtin-

Ed. Chart. IX. [295.] Ed. Baf. V. (316.)

τον θερμὸν, ἀλλὰ σβέννυται διὰ τὸ πλῆθος, ὥσπερ ἐπὶ τῶν πολλῶν ξύλων ἐπιβληθέντων τῷ πυρὶ ἥ τε τοῦ λύχνου φλὸξ ἐξ ἐλαίου καταχυθέντος ἀθρόως.

η'.

Ἐπὶ φύματος εἴσω ῥήξιος ἔκλυσις, ἔμετος καὶ λειποψυχίη γίνεται.

Φῦμα μὲν ὠνόμασεν, ὅπερ ἐν ἑτέροις αὐτὸς εἴωθε προσαγορεύειν ἐμπύημα, τὴν δ' ἔσω ῥῆξιν αὐτοῦ τὴν εἰς τὴν γαστέρα λέγει. ταύτῃ γὰρ ἔμετος ἕπεται, ὡς αἵ γε τὸν κατὰ θώρακά τε καὶ πνεύμονα φυμάτων ῥήξεις οὐκ ἐμέτους, ἀλλ' ἐκ ἀνάγκης μὲν βῆχα, πολλάκις δὲ καὶ πνίγα φέρουσιν, ὥσπερ γε καὶ αἱ εἰς τὰ ἔντερα συῤῥήξεις τῶν ἐμπυημάτων διαχώρησιν ἐργάζονται πύου. κοινὸν δὲ πασῶν ῥήξεων ἔκλυσίς τε καὶ λειποψυχία, διὰ τὴν τοῦ ζωτικοῦ πνεύματος ἔκκρισιν, ὡς ἑτέρωθι δέδεικται.

guitur, quemadmodum ignem lignorum multitudine conjecta obrui et lucernae flammulam oleo affatim et repente offuſo opprimi cernimus.

VIII.

Ex tuberculi introrſum ruptione exſolutio, vomitio et animi defectio oboritur.

Tuberculum nominavit quod in aliis textibus ipſe empyema, hoc eſt ſuppurationem appellare conſuevit. Ipſius vero introruptionem in ventriculum effuſionem intelligit. Hanc enim ſequitur vomitio. Quemadmodum quae in thoracem et pulmonem fiunt tuberculorum ruptiones, non vomitiones, ſed tuſſim neceſſario concitant, ſaepe vero ſuffocationem invehunt: ſic etiam quae in inteſtina fiunt empyematum ruptiones puris dejectionem efficiunt. Porro omnium ruptionum communis eſt tum virium exſolutio tum animi defectus propter vitalis ſpiritus excretionem, ut alibi demonſtratum eſt.

Ed. Chart. IX. [295. 296.] Ed. Baſ. V. (316.)

ϑ'.

Ἐπὶ αἵματος ῥύσει παραφροσύνη ἢ καὶ σπασμὸς κακόν.

[296] Οὗτος ὁ ἀφορισμὸς ἡμᾶς ὠφελεῖ μεγάλα πρὸς τὸ πεισθῆναι γίνεσθαί ποτε παραφροσύνας ἐπ' ἐνδείᾳ παραπλησίῳ τρόπῳ τοῖς κατὰ κῶλα τρόμοις. ἐκεῖνά τε γὰρ ἀῤῥωστίᾳ τῆς κινούσης αὐτὰ δυνάμεως ἀσιηρίκτους ἴσχει τὰς κινήσεις, ὅ τ' ἐγκέφαλος παραφόρους. διόπερ οὐδὲ σφοδρὸν γίνεταί ποτε τὸ τοιοῦτον εἶδος τῆς παραφροσύνης, ἀλλὰ μέτριόν τε καὶ ὡς ἂν εἴποι τις ληρῶδες, αὐτὸς γὰρ εἴωθεν ὀνομάζειν λῆρον τὴν μετρίαν παρακοπήν. ἐὰν οὖν καὶ σπασμός ποτε συνέλθῃ τῇ τοιαύτῃ παραφροσύνῃ, παντάπασιν ἀνιάτως ἔχουσιν. ἔνια μὲν οὖν τῶν ἀντιγράφων διὰ τοῦ καί συνδέσμου γέγραπται, τινὰ δὲ τὸν παραδιαζευκτικὸν ὀνομαζόμενον ἔχει τὸ ἤ, καθ' ὃν καὶ ἡ παραφροσύνη μὲν οὐκ ἀγαθόν ἐστι σύμπτωμα μεθ' αἵματος ῥύσιν, εἰ καὶ μόνη συμβαίη. πολὺ δὴ μᾶλλον ὁ σπασμός, εἰ καὶ χωρὶς παραφροσύνης γένοιτο, μέγιστον δὲ κακόν, εἰ ἀμφοῖν

IX.

Ex ſanguinis profluvio deliratio aut etiam convulſio malum.

Hic aphoriſmus nobis ad fidem faciendam magnopere confert, delirationem nonnunquam ob defectum fieri conſimili modo quo artuum tremores. Hi namque artus propter facultatis ipſos moventis imbecillitatem infirmas habent motiones, cerebrum vero errabundas. Quapropter neque vehemens eſt hoc deſipientiae genus, ſed moderatum, atque, ut quispiam diceret, delirium. Ipſe ſiquidem moderatam deſipientiam delirationem appellare conſuevit. Si quando igitur tali deſipientiae convulſio acceſſerit, omnino deſperata res eſt. Quaedam igitur exemplaria per *et* conjunctionem copulativam ſcripta ſunt, quaedam vero per *vel* diſjunctivam nominatam habent, qua deſipientia poſt ſanguinis fluxum ſymptoma minime bonum eſt, etiam ſi ſola contigerit. Multo ſane magis convulſio, etiam ſi abſque deſipientia facta fuerit. Maximum denique malum

Ed. Chart. IX. [296.] Ed. Baf. V. (316. 317.)

ἐστι σύνοδος. ὅπου γε καὶ μόνος ὁ διὰ τὴν ἄμετρον κένωσιν γενόμενος σπασμὸς ὀλεθριώτατόν ἐστι σύμπτωμα. τὸ μὲν γὰρ τῆς παραφροσύνης ἧττόν ἐστι κακόν.

ι'.

Ἐπὶ εἰλεῷ ἔμετος ἢ λυγξ ἢ σπασμὸς ἢ παραφροσύνη κακόν.

(317) Ἐν τοῖς εἰλεοῖς οὐδὲν ὑπέρχεται κάτω καὶ τοῦτό ἐστιν ἴδιον ἀχώριστον τοῦ πάθους. ἔμετος δὲ οὐκ ἀεὶ σύνεστιν, ἀλλ' ὅταν ὀλεθρίως ἔχωσι. καὶ εἰ πλέον δὲ σπαράττονται καὶ κόπρος αὐτοῖς ἐπανέρχεται καὶ λύζουσιν. ἔνιοι δὲ καὶ παραφρονοῦσι καὶ σπῶνται, συμπασχούσης τῆς ἀρχῆς τῶν νεύρων τῇ τοῦ στομάχου κακώσει. δοκεῖ δέ μοι γίνεσθαι τὰ τοιαῦτα τῶν ἐντέρων, ἐν οἷς ἡ διάθεσίς ἐστιν, ἀπώσασθαι ἑαυτῶν τὴν κόπρον ἐφειμένων, ὅταν ἀνιαρὰ διὰ χρόνου μῆκος ᾖ, μὴ δυναμένων δὲ διὰ τὴν ἐν τοῖς κάτω μέρεσι στέγνωσιν ἐκεῖθεν διαπέμπειν, ἀλλ' ἀναγκαζομένων

eſt, ſi utriusque conventus oboriatur. Quandoquidem ſola etiam convulſio ob immoderatam vacuationem facta ſymptoma eſt pernicioſiſſimum; nam deſipientia minus malum eſt.

X.

Ab ileo vomitio aut ſingultus aut convulſio aut deſipientia malum.

In ileis nihil ſubit deorſum idque hujus affectionis proprium eſt inſeparabile. Vomitus autem non ſemper adeſt, ſed quum pernicioſe aegrotant. Quod ſi vehementius nauſea ac morſu diſtorqueantur, ſtercus ipſis tum remeat tum ſingultiunt. Nonnulli vero etiam deſipiunt et convelluntur, principio nervorum propter ſtomachi vitium affecto. Haec vero ſymptomata fieri videntur inteſtinis, quibus inſidet talis affectus, a ſeſe ſtercus depellere appetentibus, temporis longitudine moleſtum, neque propter factam in partibus inferioribus viae coarctationem, illuc transmittere nequeuntibus, ſed coactis inverſo na-

Ed. Chart. IX. [296. 297.] Ed. Baf. V. (317.)

ἔμπαλιν τῇ φύσει κινεῖσθαι βιαίως καὶ πρὸς τὴν ἄνω χώραν ἐκθλίβειν τὰ λυποῦντα.

ια'.

[297] Ἐπὶ πλευρίτιδι περιπνευμονίῃ κακόν.

Ἐν μὲν τοῖς πλείστοις τῶν ἀντιγράφων ἐπὶ τῇ τελευτῇ τοῦ ἀφορισμοῦ πρόσκειται τὸ κακόν, ἔν τισι δ' ἁπλῶς οὕτως γέγραπται· ἐπὶ πλευρίτιδι περιπνευμονία, βουλομένων ἰῶν οὕτως γραφόντων οὐχ ὅτι κακόν ἐστιν ἢ ἀγαθὸν ἐπιγινομένη πλευρίτιδι περιπνευμονία διδάσκειν νῦν αὐτόν, ἀλλ' ἁπλῶς αὐτὸ τοῦτο μόνον, ὅτι μεταπίπτειν εἴωθε πλευρῖτις εἰς περιπνευμονίην ἢ ἐπιγίνεσθαι πλευρίτιδι περιπνευμονίαν. μεταπίπτει μὲν οὖν ὅταν τοῦ προτέρου παυσαμένου ἕτερον γένηται, ἐπιγίνεται δὲ ὅταν διαμείναντος ἐκείνου προσγένηται ἕτερον. ἀλλὰ νῦν φαίνεται περὶ τῶν ἐπιγινομένων ὁ Ἱπποκράτης γράφων, οἷς εὐθὺς ἐξ ἀρχῆς καὶ τὸ κακοῖς εἶναι ὑπάρχει. ὥστε κἂν μὴ πρόσκειται τὸ

turae ordine violenter moveri et ad loca ſuperiora noxiam materiam extrudere.

XI.

A pleuritide peripneumonia malum.

In plurimis quidem exemplaribus ad aphoriſmi finem adjectum eſt *malum;* in quibusdam vero ita ſimpliciter ſcribitur; volentibus qui ſic ſcribunt non eſſe bonum vel malum peripneumoniam pleuritidi ſupervenientem nunc Hippocratem docere, ſed ſimpliciter hoc ipſe unum tantum pleuritin ſcilicet in peripneumoniam transmutari ſolere aut pleuritidi peripneumoniam ſupervenire. Degenerat igitur morbus, quum priore ceſſante ſuccedit alter; ſuccedit autem quum priore permanente alter accedit. Verum hoc loco videtur Hippocrates de ſupervenientibus agere, quibus ſtatim ab initio malis eſſe accidit. Quare

Ed. Chart. IX. [297.] Ed. Baſ. V. (317.)

κακὸν, ἤτοι γε ἐπακουστέον αὐτὸ κατὰ τὸν ἀπὸ κοινοῦ λεγόμενον τρόπον ἢ δυνάμει δηλοῦσθαι νομιστέον. ἅπασα γὰρ ἡ τῶν οὕτως ἐπιγινομένων σύστασις οὐ σμικροῖς οὐδ' ἐπιεικέσιν ἕπεται νοσήμασιν, ἀλλὰ μεγάλοις τε καὶ κακοήθεσιν· οἷον εὐθέως ἐπὶ τῶν εἰρημένων κατὰ τὸν ἀφορισμὸν παθῶν, ὅταν μὴ στέγηται κατὰ τὰς πλευρὰς ὁ τὴν πλευρῖτιν ἐργαζόμενος χυμὸς, ἀφικνεῖταί τι μέρος αὐτοῦ καὶ πρὸς τὸν πνεύμονα. τῇ μέντοι περιπνευμονίᾳ πλευρῖτις οὐ πάνυ τι πέφυκεν ἕπεσθαι, διότι καὶ μὲν τὴν ἐπιεικῆ περιπνευμονίαν ἐκκαθαίρεται πᾶς ὁ λυπῶν χυμὸς ἀναβηττόμενος. ἐν δὲ ταῖς ὀλεθρίαις φθάνει πνίγειν πρὸ τοῦ τὰς πλευρὰς συμπαθεῖν.

ιβ'.

Ἐπὶ περιπνευμονίης φρενῖτις κακόν.

Ὅταν ὑπὸ θερμοῦ χυμοῦ περιπνευμονία, πολλοὺς ἀτμοὺς ἐπὶ τὴν κεφαλὴν ἀναπέμπουσα πληροῖ τὸν ἐγκέφαλον ἀτμῶν

etiam ſi hoc nomen *malum* non adjiciatur, ſit tamen vel ſubaudiendum, quomodo vulgo enunciatur, vel poteſtate ſignificari exiſtimandum. Omnis enim ejusmodi ſupervenientium ortus non parvos nec faciles, ſed magnos et malignos morbos ſequitur. Exempli gratia ne a propoſitis hoc aphoriſmo affectibus recedam, quum is humor qui pleuritin procreat pleuris contineri nequeat, pars ejus aliqua ad pulmonem etiam pervenit, unde ſequitur peripneumonia, quam tamen non admodum pleuritis ſequi ſolet; facili quidem et miti peripneumonia totus humor noxius tuſſi rejectus expurgatur; exitiali vero ac pernicioſa prius aeger ſuffocatur, quam membranae coſtas ſuccingentes afficiantur.

XII.

A peripneumonia phrenitis malum.

Quum a calido humore ſit peripneumonia, ea multis vaporibus in caput ſublatis replet cerebrum et phreniti-

Ed. Chart. IX. [297. 298.] Ed. Baſ. V. (317.)

καὶ φρενῖτιν ἐργάζεται. τὰ δ' ἄλλα κοινὰ πρὸς τὸν ἔμπροσθεν εἰρημένον ἀφορισμὸν, οὐκ ἐν τούτῳ μόνον, ἀλλὰ κἀν τοῖς ἑφεξῆς.

ιγ'.

[298] Ἐπὶ καύμασιν ἰσχυροῖσι σπασμὸς ἢ τέτανος κακόν.

Οἱ πλεῖστοι τῶν ἐξηγητῶν οὕτως ἴσασι γεγραμμένον ἀφορισμὸν τοῦτον, ὁ δὲ Μαρῖνος ἐπὶ τραύμασι γράφει. καὶ γὰρ τὸν ἑξῆς ἀφορισμὸν αὐτῷ φησι μαρτυρεῖν. ἀληθὲς μὲν οὖν καὶ τὸ τοῖς ἰσχυροῖς τραύμασι φλεγμονάς τε καὶ σπασμοὺς γίνεσθαι. τῶν δ' ἐξηγησαμένων σχεδὸν ἁπάντων καὶ μάλιστα τῶν παλαιοτάτων, τὴν ἐπὶ καύμασιν ἰσχυροῖς γραφὴν ἐπισταμένων, ἄμεινον καὶ ἡμᾶς ἐκείνην ἐξηγεῖσθαι. τινὲς μὲν οὖν τὸ καύμασιν ἐν ἴσῳ τῷ πυρετοὺς ἤκουσαν, ἔνιοι δὲ τὴν ἐκ τοῦ περιέχοντος πύρωσιν οὕτως εἰρῆσθαί φασιν. ἔνιοι δὲ ἀντὶ τοῦ καυτηρίοις τε καὶ ἐσχάραις καὶ πάντες ἀληθεύουσιν. ἐπιγίνονται γὰρ ἅπασι τούτοις οὐκ

dem efficit. Quae vero cetera ad prius pronunciatum aphoriſmum non huic ſolum, ſed et ſequentibus communia ſunt.

XIII.

A vehementibus ardoribus convulſio aut tetanus malum.

Plurimi interpretes hunc aphoriſmum ita ſcriptum eſſe noverunt; Marinus vero propter vulnera ſcribit. Etenim ſequentem aphoriſmum ſibi ait adſtipulari. Sane quidem verum eſt propter magna vulnera tum inflammationes tum convulſiones oboriri. Sed quum omnes fere enarratores ac maxime vetuſtiſſimi hunc textum agnoſcunt: *a vehementibus ardoribus;* nos quoque eundem praeſtat exponere. Quidam igitur ardores peraeque ac febres intellexerunt; nonnulli vero aëris ambientis aeſtum ita dici autumant; nonnulli denique pro cauteriis et eſcharis, atque omnes verum proferunt. His enim omnibus non boni

Ed. Chart. IX. [298.] Ed. Baf. V. (317.)

ἐπ᾽ ἀγαθῷ τέτανοί τε καὶ σπασμοὶ κατὰ ξηρότητα τῶν νεύρων, οὕσπερ χαλεπωτάτους ἐδείκνυμεν ὄντας.

ιδ'.

Ἐπὶ πληγῇ ἐς τὴν κεφαλὴν ἔκπληξις ἢ παραφροσύνη κακόν.

Ἡ μὲν γὰρ παραφροσύνη γνωρίζεται, φθεγγομένων τε καὶ πραττόντων οὐδενὸς ἐχόμενα λόγου. ἡ δ᾽ ἔκπληξίς ἐστιν, ὅταν μὴ φθέγγωνταί τι, μήτε πράττωσιν, ἀλλ᾽ ἀναπεπταμένοις τοῖς ὀφθαλμοῖς, ἐφ᾽ ἡσυχίας μένωσιν ὁμοίως τοῖς ὑπὸ δέους ἐκπλαγεῖσιν. ὅτι δὲ τὰ τοιαῦτα πάντα πάσχοντος ἐγκεφάλου γίνεται πρόδηλον· ἐδείχθη γὰρ ἐν ἐκείνῳ τὸ τῆς ψυχῆς ἡγεμονικόν. ἐὰν γοῦν ἐπὶ τῇ τελευτῇ προγεγραμμένον ᾖ τὸ κακὸν, εὔδηλον ὡς ὀρθῶς εἴρηται. διήκει γὰρ εἰς αὐτὸν εἴσω τὸν ἐγκέφαλον ἐνδείκνυται τὴν πληγήν. ἐὰν δὲ μὴ προσγράφηται, δυνατὸν ἡμῖν ἐστι καὶ πρυσυπακοῦσαι, καθάπερ ἐν τοῖς ἔμπροσθεν ἔφαμεν ἀπὸ κοινοῦ.

cujusdam gratia ſuperveniunt tetani et convulſiones propter nervorum ſiccitatem, quas perarduas eſſe demonſtrabamus.

XIV.

Ob plagam in capite acceptam ſtupor aut deſipientia malum.

Deſipientia quidem agnoſcitur diſſentanea et rationis nihil habentia, tum loquentibus tum agentibus. Stupor vero eſt, quum aegri quidquam neque loquuntur neque agunt; ſed apertis oculis quieti manent timore perculſis et attonitis ſimiles. Quod vero haec omnia affecto cerebro oboriantur manifeſtum eſt; in eo enim animae principatum eſſe demonſtratum eſt. Si igitur in aphoriſmi fine ſcriptum ſit, *malum*, conſtat recte dictum fuiſſe. Initio namque in ipſum cerebrum penetrare plagam indicat. Si vero non adſcribatur, nos nihilo minus de com-

Ed. Chart. IX. [298. 299.] Ed. Baſ. V. (317.)

δυνατὸν δὲ καὶ τῷ συνενδείκνυσθαι τὰ συμπτώματα τὴν βλάβην τοῦ ἐγκεφάλου τὸ μέγεθος τῆς κακώσεως ἐπινοεῖν.

ιε'.

[299] Ἐπὶ αἵματος πτύσει πύου πτύσις κακόν.

Ὅτι πᾶς οὗτος ὁ κατάλογος αὐτῷ τῶν καλουμένων ἰδίως ἐπιγινομένων ἐστὶν, ὑπὲρ ὧν καὶ Πραξαγόρας ἓν ὅλον οὐ σμικρὸν ἔγραψε βιβλίον, εὔδηλον εἶναι νομίζω κἀξ αὐτοῦ τοῦ ἀφορισμοῦ. οὐ γὰρ ἅπασα πτύσις αἵματος ἑπομένην ἔχει πύου πτύσιν, ἀλλ' ἡ κακοήθης μόνη, διὸ καὶ ἐκ τοῦ πνεύμονος τοὐπίπαν ἡ τοιαύτη.

ισ'.

Ἐπὶ πύου πτύσει φθίσις καὶ ῥύσις. ἐπὴν δὲ τὸ πτύελον ἴσχηται, ἀποθνήσκουσιν.

muni ipſum ſubaudire commonſtrant etiam laeſionis magnitudinem animadvertére poſſumus.

XV.

A ſanguinis ſputo puris ſputum malum.

Quod univerſa haec ipſi enumeratio ſit eorum quae proprie ſupervenientia vocantur, de quibus Praxagoras unum integrum non parvum librum conſcripſit vel etiam ex ipſo aphoriſmo manifeſtum eſſe auguror. Non enim omne ſputum ſanguinis ſequentem habet puris exſpuitionem, ſed quod ſolum malignum exiſtit, cujusmodi omnino eſt quod letale ex pulmone editur.

XVI.

A puris ſputo tabes et fluxus. Quum vero ſputum ſiſtitur, intereunt.

Ed. Chart. IX. [299. 300.] Ed. Baſ. V. (317.)

Ἦν ἰδίως ὀνομάζουσιν οἱ Ἕλληνες καὶ μάλιστ' αὐτῶν οἱ Ἀθηναῖοι φθόην, ταύτην νῦν ὁ Ἱπποκράτης ὠνόμασε φθίσιν, ἐπὶ πνεύμονος ἑλκώσεσιν ἀνιάτοις, γιγνομένης ἅπαντος τοῦ σώματος ἰσχνότητος μετὰ πυρετοῦ λεπτοῦ. τὸ δὲ ῥύσις ἤτοι κατὰ τῆς τῶν τριχῶν ἐκπτώσεως ἢ κατὰ τῆς ὑγρᾶς διαχωρήσεως εἴρηκεν, ἀμφότερα γὰρ εἴωθε γίνεσθαι, ἐσχάτως ἐχόντων τῶν φθινόντων, τὸ μὲν ἐπὶ ξηρότητι, τὸ δ' ἐπ' ἀῤῥωστίᾳ δυνάμεως. τό γε μὴν ἐπὶ τέλει γεγραμμένον· ἐπὴν δὲ τὸ πτύελον ἴσχηται, ἀποθνήσκουσι τὸν τρόπον δηλοῖ τοῦ θανάτου τῶν ὑπὸ φθόης ἀπολλυμένων. ἄχρι γὰρ τοσούτου ζῶσιν ἰσχνοὶ γιγνόμενοι, μέχρι περ ἀναβήττειν δύνανται καὶ καθαίρειν διὰ τῶν ἀναπιυομένων τὸν πνεύμονα. μενόντων δ' ἔνδον αὐτῶν ἐμφράττονται μὲν αἱ τῆς ἀναπνοῆς ὁδοὶ, πνίγονται δ' οἱ πάσχοντες.

ιζ'.

[300] Ἐπὶ φλεγμονῇ τοῦ ἥπατος λύγξ κακόν.

Quam proprie Graeci maximeque Athenienſes phthoen nominant, eam nunc Hippocrates phthiſin appellavit, quum propter inſanabilia pulmonis ulcera totius corporis attenuatio fit et macies cum debili febre conjuncta. Fluxum autem vel de capillorum defluvio vel de humida dejectione protulit. Utrumque enim tabidis ad extrema redactis evenire conſuevit, illud quidem ob ſiccitatem, haec vero ob facultatis infirmitatem. Ceterum quod in aphoriſmi fine ſcriptum eſt: *quum vero ſputum ſiſtitur intereunt*, interitus phthoe pereuntium modum explicat. Tamdiu namque extenuati vivunt, quamdiu extuſſire et per ſputa pulmonem expurgare poſſunt. Quum vero intus ipſa manent, reſpirationis obſtruuntur viae et aegroti ſuffocantur.

XVII.

Ob jecoris inflammationem ſingultus malum.

Ed. Chart. IX. [300.] Ed. Baf. V. (317. 318.)

Εἶπον ἤδη καὶ πρόσθεν ὡς ἅπαντες οὗτοι οἱ ἐφεξῆς ἀλλήλων ἀφορισμοὶ γεγραμμένοι διδάσκουσι περὶ τῶν ἐπιγενομένων συμπτωμάτων τοῖς πάθεσιν αὐξανομένοις καὶ χείροσιν αὐτῶν γιγνομένας· οὕτως οὖν καὶ νῦν ἡ λύγξ ἐφ' ἥπατι φλεγμαίνοντι γίνεσθαι λέλεκται, οὐ διὰ παντὸς οὕθ' ὡς ἔτυχε πάσχοντος, ἀλλ' ὅταν εἰς μέγεθος αἴρηται (318) ζεούσης τῆς φλεγμονῆς, ὑφ' ἧς εἰς συμπάθειαν ὁ στόμαχος ἔρχεται, ποτὲ μὲν τῷ λόγῳ τῶν κοινῶν νεύρων, ἅπερ ἐστὶν (ὡς αὐτὸς ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ἐδίδαξε) βραχύτατα. διὸ καὶ τότε μόνον ἡ συμπάθεια γίνεται τῷ στομάχῳ πρὸς τὸ ἧπαρ, ὅταν καὶ ἡ φλεγμονὴ μεγίστη τε καὶ χειρίστη γένηται. καὶ μέντοι καὶ διὰ τὸ χολὴν ἱκανῶς θερμήν τε καὶ πολλὴν ἐν ταῖς φλεγμοναῖς τοῦδε τοῦ σπλάγχνου γεννᾶσθαί τε καὶ συρρεῖν εἰς τὴν ἀρχὴν τῶν ἐντέρων, ἧς ἐπιπολαζούσης καὶ ἀναθεούσης εἰς τὴν γαστέρα δάκνεσθαί τε καὶ διὰ τοῦτο λύζειν τῷ στομάχῳ συμβέβηκεν. ἔνιοι δὲ οἴονται τὸ μέγεθος τῆς φλεγμονῆς τοῦ ἥπα-

Jam ſuperius etiam protuli hos omnes ſerie conſcriptos aphoriſmos ea docere ſymptomata quae morbis augeſcentibus et ingraveſcentibus ſuperveniunt. Ita ſane nunc ſingultus quoque jecori inflammatione laboranti dicitur ſupervenire, non quidem ſemper, neque quomodocunque affecto, ſed quum fervente inflammatione in magnitudinem attollitur, quo fervore ſtomachus in ſympathiam et mali conſenſum venit, communium nonnunquam nervorum ratione qui, ut ipſe ſecundo epidemiorum docuit, ſunt perexigui. Quare tunc ſolum jecoris fit cum ſtomacho affectionis communicatio, quum phlegmone tum maxima tum peſſima evaſerit. Quin etiam quia per ejusmodi viſceris inflammationes bilis admodum calida et copioſa generatur et in inteſtinorum principium confluit, inde ipſa in ventriculum evadente et innatante, ut ſtomachus vellicetur et ſingultiat accidit. Nonnulli vero inflammationis magnitudinem quod ventriculum premat,

Ed. Chart. IX. [300. 301.] Ed. Baf. V. (318.)

τος θλῖβον τὴν κοιλίαν ἐργάζεσθαι τὴν λύγγα, διέξοδον οὐκ ἔχοντος ὡς ἐκεῖνοί φασι τοῦ πνεύματος.

ιη'.

Ἐπὶ ἀγρυπνίῃ σπασμὸς ἢ παραφροσύνη κακόν.

Ἔνιοι προστιθέασι κἀνταῦθα τὸ κακόν. ἡμῖν δ' εἴρηται πρόσθεν ὡς εἰ μὴ καὶ προστεθείη περιέχονται δυνάμεις. διὰ τί δὲ ταῖς ἀμέτροις ἀγρυπνίαις ἕπεται σπασμὸς ἢ παραφροσύνη, δῆλόν ἐστι τῷ μεμνημένῳ τῶν ἔμπροσθεν. ὁ μὲν γὰρ σπασμὸς ἐρρέθη καὶ πρὸς αὐτοῦ τοῦ Ἱπποκράτους ὥσπερ ὑπὸ πληρώσεως, οὕτω καὶ κενώσεως γίνεσθαι. κενωτικώτατόν τι δὲ καὶ ξηραντικώτατόν ἐστιν ἡ ἀγρυπνία, καὶ διὰ τοῦτο τόν τε κατὰ ξηρότητα [301] φέρει σπασμὸν καὶ παραφροσύνην, αὐτῷ τῷ λόγῳ τῆς ἀμέτρου ξηρότητος καὶ πρὸς τοῦτῳ, διότι χολωδέστερον ἐν ταῖς μακραῖς ἀγρυπνίαις γίνεται τὸ αἷμα. κατά τινα μέντοι τῶν ἀντιγράφων καὶ τά γε ἀκριβέστατα χωρὶς τῆς

ſingultum facere arbitrantur, ſpiritu, quemadmodum inquiunt, exitum non habente.

XVIII.

Ob vigiliam convulſio aut delirium malum.

Nonnulli quoque hic malum addunt; nos vero ſuperius diximus, etiamſi non ſubjungatur, poteſtate tamen contineri. Cur autem immoderatas vigilias ſequatur convulſio aut deſipientia, ſuperiora recordanti manifeſtum eſt. Nam quemadmodum ab ipſo Hippocrate convulſionem a repletione, ſic etiam a vacuatione oboriri pronunciatum eſt. Maximam autem vacuandi et exſiccandi vim habent vigiliae propterea ob ſiccitatem convulſionem et deſipientiam invehunt, tum ipſa immoderatae ſiccitatis ratione tum praeterea quia per longas vigilias biliоſior ſanguis redditur. In quibusdam tamen exemplaribus iisque

Ed. Chart. IX. [301.] Ed. Baſ. V. (318.)

παραφροσύνη γέγραπται ὁ ἀφορισμὸς τρόπῳ τοιῷδε· ἐπὶ ἀγρυπνίῃ σπασμὸς, ὡς ἂν οἶμαι, τὰ κάκιστα τῶν ἐπιγινομένων ἐνταῦθα γράφοντος τοῦ Ἱπποκράτους.

ιθ'.

Ἐπὶ ὀστέου ψιλώσει ἐρυσίπελας.

Ἐν τούτῳ τῷ λόγῳ μάλιστα χρὴ προσυπακούειν τὸ κακόν· οὐ γὰρ δὴ τοῦτό γέ φησιν ὡς διὰ παντὸς ἢ ὡς τὸ πολὺ τοῖς ἐψιλωμένοις ὀστοῖς ἐρυσίπελας ἐπιγίνεται. τοὐναντίον γὰρ πᾶν ἀληθές ἐστι, τῷ σπανίῳ ἕπεσθαι τοῖς οὕτω παθοῦσιν ὀστοῖς ἐρυσίπελας· ἀλλ' ὅτι μοχθηρόν ἐστι σύμπτωμα, συγγυμνωθέντος ὀστοῦ τὴν πέριξ σάρκα φανῆναι κατειλημμένην ἐρυσιπέλατι.

κ'.

Ἐπὶ ἐρυσιπέλατι σηπεδὼν ἢ ἐκπύησις.

accuratiſſime ſcriptis ſine deſipientia ſcribitur hoc modo: *ob vigilias convulſio*, ut arbitror peſſima ſupervenientia hoc loco ſcribente Hippocrate.

XIX.

Ab oſſis nudatione eryſipelas.

Hoc maxime aphoriſmo *malum* ſubaudiendum eſt. Non enim hoc dicit ſemper aut plerumque nudatis oſſibus eryſipelas ſupervenire; contrarium enim omnino verum eſt, ita ſcilicet affectis oſſibus eryſipelas raro ſupervenire, ſed pravum eſſe ſymptoma, oſſe nudato carnem circumſtantem obſeſſam eryſipelate conſpici.

XX.

Ab eryſipelate putredo aut ſuppuratio malum.

Ed. Chart. IX. [301. 302.] Ed. Baf. V. (318.)

Πρόδηλον δή που καὶ κατὰ τοῦτον τὸν λόγον ἐστὶν, ὡς τοῖς κακοήθεσιν ἐρυσιπέλασιν ἐπιγίνεται ταῦτα.

κα'.

Ἐπὶ ἰσχυρῷ σφυγμῷ ἐν τοῖς ἕλκεσιν αἱμορραγίη.

Ἐν τοῖς φλεγμαίνουσιν ἕλκεσιν ὁ σφυγμὸς γίνεται μὴ φερούσης τῆς ἐπικειμένης ταῖς ἀρτηρίαις σαρ- [302] *κὸς τὴν κένωσιν αὐτῶν, ἀλλ' ὀδυνωμένης, ὅταν ἐμπίπτωσιν αἱ-ταὶ διαστελλομέναι. ἔστι γὰρ ὁ τοιοῦτος σφυγμὸς ὀδυνηρά τις αἴσθησις, ἐκ τῆς τῶν ἀρτηριῶν κινήσεως γινομένη, ὧν οὐδὲ αἰσθανόμεθα τὴν ἀρχὴν, ἔν γε τῷ κατὰ φύσιν ἔχειν τὰ μόρια, διά τε τὸ τῆς ὁμιλίας αὐτῶν ἄλυπον καὶ διὰ τὴν εὐρυχωρίαν, ἐν ᾗ κινοῦνται. φλεγμονὴν δὲ ἥ τε στενοχωρία καὶ τὸ τῆς διαθέσεως ὀδυνηρὸν αἴσθησιν ἀνιαρὸν ἐργάζεται τοῖς κάμνουσιν, ἐκ τῆς κινήσεως τῶν ἀρτηριῶν, ἣν καλοῦσιν οὐκ ἰατροὶ μόνον, ἀλλὰ καὶ πάντες ἄνθρωποι σφυγμόν. ἔοικε δὲ καὶ ἡ κίνησις αὕτη τῶν ἀρτηριῶν κατὰ*

Hac profecto etiam oratione conſtat malignis eryſipelatis iſta ſupervenire.

XXI.

A vehementi in ulceribus pulſu haemorrhagia malum.

In ulceribus inflammatis pulſus fit carne arteriis incumbente ipſarum motum non ferente, ſed dolente, quum dilatatae concidunt. Eſt enim hujusmodi pulſus moleſtus quidam ſenſus et dolor arteriarum motione factus, quas ab initio quum partes ſecundum naturam habebant, non ſentiebamus, tum propter earum viciniam dolore vacantem, anguſtia et affectus dolorificus moleſtum laborantibus ſenſum ex arteriarum motu invehunt, quem non ſolum medici, verum etiam omnes homines vocitant. Porro is ipſe arteriarum motus per tales affectus augeri videtur.

Ed. Chart. IX. [302.] Ed. Baſ. V. (318.)

τὰς τοιαύτας διαθέσεις αὔξάνεσθαι. ἐδείχθη γὰρ ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν ὡς ἔστι καὶ ἡ τῶν ἀλλοτρίων ἀποκριτικὴ μία τις ἐν αὐτοῖς δύναμις, ἥτις καὶ τοὺς κρισίμους ἱδρῶτας ἐργάζεται καὶ τὰς αἱμορῥαγίας καὶ τὰς τῆς γαστρὸς ὑποχωρήσεις, ὅσα τε ἄλλα τοιαῦτα. κατὰ ταύτην οὖν τὴν δύναμιν ἐνίοτε σφοδρότερον ἡ φύσις ἐνεργοῦσα μεγάλην τε ἅμα καὶ βίαιον ἐργάζεται τὴν κίνησιν τῶν ἀρτηριῶν, ἐφιεμένη διώσασθαι τὰ λυποῦντα καὶ οὕτως ἐπιφέρει τὰς αἱμορῥαγίας.

κβ'.

Ἐπὶ ὀδύνῃ πολυχρονίῃ τῶν περὶ τὴν κοιλίην ἐκπύησις.

Εἴτε γὰρ ψύξις εἴθ' ὅλως ἀνώμαλός τις εἴη δυσκρασία περὶ τὴν κοιλίαν εἴτε πνεῦμα φυσῶδες εἴτε δριμύτης τις δακνώδης ἀδύνατον αὐτοῖς εἰς πολὺν ἐκταθῆναι χρόνον ἁπάντων δεόντως περὶ τὸν κάμνοντα γιγνομένων. ἀναγκαῖον γὰρ τοῦτο προσυπακούειν ἐν ἅπασι τοῖς τοιούτοις λόγοις.

Nam in commentariis de naturalibus facultatibus demonſtratum eſt quandam ipſis etiam ineſſe alienorum expultricem facultatem, quae et ſudores criticos et ſanguinis eruptiones et alvi dejectiones et ejusmodi cetera promovet. Hac itaque facultate nonnunquam vehementius agens natura et magnum ſimul et violentum arteriarum motum efficit, appetens quae moleſta ſunt depellere, atque ita haemorrhagias invehit.

XXII.

A diuturno partium alvinarum dolore ſuppuratio.

Sive enim perfrigeratio ſive omnino inaequalis quaedam intemperies circa ventrem fuerit ſive flatulentus ſpiritus ſive quaedam mordax acrimonia, quo in longum protrahatur tempus fieri non poteſt, omnibus ad aegri curationem opportune geſtis. Hoc enim omnibus ejusmodi orationibus ſubaudiri debet. Reſtat igitur adhuc

Ed. Chart. IX. [302. 303.] Ed. Baſ. V. (318.)
ὑπολείπεται γοῦν ἔτι διὰ φλεγμονὴν χρονίζειν τὴν ὀδύνην, ἤτις ἐκπυήσει τῷ χρόνῳ δηλονότι μὴ φθάσανιός γε ἀποθανεῖν τοῦ ἀνθρώπου. καὶ γὰρ τοῦτο χρὴ προσυπακούειν ἐν τοῖς τοιούτοις λόγοις ἅπασιν.

κγ'.

Ἐπὶ ἀκράτῳ χωρήσει δυσεντερία.

[303] Ἀκρήτους ὑποχωρήσεις εἴωθεν ὀνομάζειν ὁ Ἱπποκράτης τὰς ἀμίκτους ὑγρότητος ὑδατώδους, αὐτὸν μόνον ἐχούσας εἰλικρινῆ ὑπερχόμενον κάτω χυμὸν, εἴτε τὸν τῆς ξανθῆς χολῆς εἴτε τὸν τῆς μελαίνης. θαυμαστὸν οὖν οὐδὲν ἐπὶ ταῖς τοιαύταις ὑποχωρήσεσιν ἀναβρωθῆναί τι τῶν ἐντέρων.

κδ'.

Ἐπὶ ὀστέου διακοπῇ παραφροσύνη, ἢν κενεὸν λάβῃ.

propter inflammationem dolorem manere, quae nimirum inflammatio ſuppurabit temporis ſpatio, niſi hominem mors praeripiat. Etenim hoc quoque in omnibus talibus orationibus ſupplere oportet.

XXIII.

A ſincera dejectione dyſenteria.

Sinceras dejectiones nominare conſuevit Hippocrates nulli aquoſae humiditati permixtas, quae ſolum eum purum et ſimplicem humorem ſortiuntur qui per inferiora dejicitur, ſive is ſit bilis flava ſive atra. Itaque mirum non eſt, ſi per tales dejectiones aliqua pars inteſtinorum erodatur.

XXIV.

Ab oſſis perſectione delirium, ſi ad vacuum uſque pervaſerit.

Ed. Chart. IX. [303.] Ed. Baſ. V. (318.)

Ἐπὶ τοῦ κατὰ τὴν κεφαλὴν ὀστέου δηλονότι διακοπέντος οὐχ ἁπλῶς οὐδ' ὡς ἔτυχεν, ἀλλὰ μέχρι τῆς ἐντὸς ἐπιφανείας, ἣν περιέχουσα τὸν ἐγκέφαλον ἐνδέχεται κενὴ χώρα, παραφροσύνη γίνεται· πλησιάζει γὰρ ἤδη τὸ πάθημα ταῖς μήνιγξι καὶ τῷ ἐγκεφάλῳ. Μαρῖνος δὲ οὐκ οἶδ' ὅπως ἰδίᾳ μὲν ἀναγινώσκειν ἀξιοῖ τὸ ἐπὶ ὀστέου διακοπῇ παραφροσύνη. ἰδίᾳ δὲ αὖθις ἀρχὴν ἀφορισμοῦ δευτέρου ποιεῖται, τὸ ἢν κενεὸν λάβῃ, προστιθεὶς αὐτῷ τὸ ἐκ φαρμακοποσίης σπασμὸς, οὕτως ὡς ὅλος ἀφορισμὸς τοιοῦτος γίνηται· ἢν κενεὸν λάβῃ ἐκ φαρμακοποσίης σπασμὸς, θανατῶδες. εἰκότως τε γάρ φησιν εἰρῆσθαι τοῦτο. τὸν γὰρ ἐπὶ κενώσει γιγόμενον σπασμὸν ἀεὶ μέμφεσθαι τὸν Ἱπποκράτην. ἀλλὰ τοῦτο μὲν αὐτὸ καλῶς εἶπεν ὁ Μαρῖνος, ὡς ὁ διὰ κένωσιν ἄμετρον γινόμενος σπασμὸς, ὀλέθριόν ἐστιν. οὕτω γοῦν καὶ ὁ ἐκ φαρμακοποσίης ὀλέθριος γίνεται· τὸ πρότερον δ' οὐκ αἰσθάνεται λόγον ἐργαζόμενος ψευδῆ· τὸ γὰρ ἐπὶ ὀστέου διακοπῇ τὴν παραφροσύνην γίνεσθαι προφανῶς ψεῦδός ἐστιν. οὔτε γὰρ κατ' ἄλλο τι τῶν ὀστῶν οὔτε κατὰ

Deſipientia fit oſſe capitis nimirum perfecto non ſimpliciter neque ut fors tulerit ad interiorem uſque ſuperficiem, quam vacuus excipit locus, cerebrum continens. Jam enim affectio membranis et cerebro adjacet. At vero Marinus neſcio quo modo ſeorſum illud legendum eſſe cenſet: *ab oſſis perfectione deſipientia.* Deinde alterius aphoriſmi ſeorſum facit principium: *ſi aduſque vacuum pervaſerit;* hoc ipſi addito: *a medicamenti potione convulſio:* ut totus aphoriſmus ſit hujusmodi, *ſi ad vacuum prehenderit a medicamenti potione convulſio, letale.* Hanc etenim lectionem inquit rationi conſentaneam eſſe. A vacuatione ſiquidem partam convulſionem ſemper damnat Hippocrates. Verum hoc ipſum recte quidem Marinus, factam ab immoderata vacuatione convulſionem pernicioſam eſſe protulit. Sic et oborta ex pharmaci potione convulſio fuerit exitialis. At non animadvertit, aphoriſmum priorem falſum efficere. Ab oſſis enim perfectione deſipientiam fieri manifeſto falſum eſt. Neque enim alio quodam oſſe neque cerebrum cranio

Ed. Chart. IX. [303. 304.] Ed. Baf. V. (318. 319.)

τῆς κεφαλῆς ἔπεται τῇ διακοπῇ παραφροσύνη, πρὶν ἐπὶ τὰς μήνιγγας ἐξικέσθαι τὸ πάθος.

κε'.

(319) Ἐκ φαρμακοποσίης σπασμὸς θανατώδες.

[304] Φαρμακοποσίας καὶ φαρμακείας ἰδίως εἴωθεν ὁ Ἱπποκράτης ὀνομάζειν τὰς τῶν καθαιρόντων φαρμακείας μόνον. ὅτι δ' ἐπὶ τούτοις ἀμέτρως κενώσασι σπασμὸς ἐπιγινόμενος ὀλέθριόν ἐστιν, εἴ τις μέμνηται τῶν ἤδη πολλάκις εἰρημένων οὐκ ἀγνοεῖ.

κς'.

Ἐπὶ ὀδύνῃ ἰσχυρῇ τῶν περὶ τὴν κοιλίην ἀκρωτηρίων ψύξις κακόν.

Γίνεται μὲν ὡς καὶ πρόσθεν ἐρρέθη καὶ διὰ μέγεθος φλεγμονῆς σπλάγχνων ἢ τῶν ἀκρωτηρίων ψύξις. γίνεται δὲ

tegente perfecto, deliratio prius fequitur quam ad meningas affectio pervenerit.

XXV.

A medicamenti potione convulfio letale.

Pharmacopofias et pharmacias peculiaris Hippocratis mos appellandi eas duntaxat potiones, quae purgantibus conftant medicamentis. Quod autem iftis quum immoderatius vacuaverint, fuperveniens convulfio fit pernicioſa, fi quis eorum multoties a nobis promulgatorum meminerit, non ignorat.

XXVI.

A vehementi partium alvinarum dolore extremorum refrigeratio malum.

Extremarum corporis partium refrigeratio fit, quemadmodum et fupra dictum eft, tum propter inflammationis

Ed. Chart. IX. [304.] Ed. Baſ. V. (319.)

καὶ διὰ λειποψυχίαν ἢ τὸ σβέννυσθαι τὴν ἔμφυτον θερμασίαν ἢ τὸ πνίγεσθαι διὰ πλῆθος καὶ μάλισθ' ὅταν ψυχρὸν εἴη. γίνεται δὲ καὶ διὰ ὀδύνην ἰσχυρὰν ἐν τοῖς μέσοις τοῦ σώματος ὑπάρχουσαν, δι' ἣν συστέλλεται μὲν ἡ φύσις εἰς ἑαυτὴν, ἕπεται δ' αὐτῇ καὶ τὸ αἷμα καταλεῖπον οὐ μόνον τὰ ἀκρωτήρια τοῦ σώματος, οἷον πόδας καὶ χεῖρας καὶ κεφαλὴν, ἀλλὰ καὶ σύμπαν τὸ δέρμα. μερικὴν οὖν τινα αἰτίαν εἴρηκεν ὁ Ἱπποκράτης ἐν τῷδε τῷ λόγῳ, ψύξεως ἀκρωτηρίων, ὥσπερ καὶ κατ' ἄλλους πολλοὺς ἐδείχθη λόγους τοῦτο πράττων, καὶ θαυμαστὸν οὐδέν ἐστι τὸν ἐξευρίσκοντα πρῶτον πολλὰ μὴ πάντων ὁμοῦ τὴν εὕρεσιν, ἀλλ' ἑκάστου κατὰ μέρος ποιεῖσθαι.

κστ'.

Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ τεινεσμὸς ἐπιγινόμενος ἐκτρῶσαι ποιέει.

---

viſcerum magnitudinem tum ob animi defectum tum quod calor nativus exſtinguatur aut multitudine, praeſertim ſi frigida fuerit, ſuffocetur. Fit etiam propter vehementem dolorem et medias corporis partes occupantem, ob quem natura in ſe ipſam contrahitur atque intro ſe recipit, eamque ſequitur ſanguis, non ſolum extremas corporis partes deferens, veluti pedes, manus et caput, ſed etiam cutem univerſam. Particularem igitur quandam hoc aphoriſmo Hippocrates cauſam attrahit frigoris partium ſummarum, quemadmodum in aliis quoque multis placitis hoc ipſum feciſſe oſtendimus. Nequaquam vero mirum eſt, qui primus multa adinvenit, eum non omnium ſimul, ſed cujusque ſigillatim inventionem feciſſe.

XXVII.

Mulieri utero gerenti ſi teneſmus oboriatur, abortum efficit.

Ed. Chart. IX. [304. 405.] Ed. Baſ. V. (319.)

Περὶ τὸ καλούμενον ἀπευθυσμένον ἔντερον ὁ τεινεσμὸς γίνεται τὴν αὐτὴν ἔχων αἰτίαν τε καὶ διάθεσιν, ἣν ἐν ταῖς δυσεντερίαις λαμβάνει τῶν ἄλλων τι τῶν ὑπερκειμένων ἐντέρων. ὠνομάσθαι δὲ τὸ πάθος ἀπὸ τῆς [305] *τάσεώς φασι τῆς γινομένης κατ' αὐτὴν, δι' ἣν καὶ προθυμούμενοι σφοδρῶς ἀποπατεῖν ἐξανίστανται συνεχῶς. διὰ τὴν τοιαύτην οὖν ἔντασίν τε καὶ κακοπάθειαν τό τ' ἄλλο πᾶν σῶμα κάμνει καὶ μάλιστα πάντων ἡ μήτρα, συμφυὴς οὖσα τῷ ἀπευθυσμένῳ. θαυμασιὸν δ' οὐδὲν ἐπὶ σφοδραῖς τε καὶ συνεχέσιν ἐξανασιάσεσι καὶ τάσεσι ἐκτιτρώσκεσθαι τὸ κυούμενον, ὅτε καὶ ἐπὶ ταῖς ἄλλαις σφοδραῖς ἤτοι κινήσεσιν ἢ ὀδύναις τῆς κυούσης ἐκτιτρώσκεσθαι πέφυκεν.*

κη'.

Ὅ τι ἂν ὀστέον ἢ χόνδρος ἢ νεῦρον ἀποκοπῇ ἐν τῷ σώματι οὔτε αὔξεται οὔτε συμφύεται.

Teneſmus fit in recto inteſtino vocato, eandem et cauſam et affectionem habens, quam per dyſenterias ſuſcipit aliorum quoddam ſuperiorum inteſtinorum. Hunc autem affectum *ἀπὸ τῆς τάσεως*, hoc eſt a contentione ab ea quae ipſo fit contentione nominari proferunt, qua quum alvum ſolvere vehementer nituntur, crebro expurgant. Tali igitur contentione ac molella ſollicitatione quum totum corpus tum prae ceteris uterus recto inteſtino coaleſcens laborat. Nihil autem mirum eſt per vehementes ac frequentes exſurrectiones et contentiones conceptum aboriri, quum et propter alias vehementes ſive motiones ſive partus dolores gravidae ſoleant abortire.

XXVIII.

Os quodcunque perfectum fuerit aut cartilago aut nervus, neque augetur neque coaleſcit.

Ed. Chart. IX. [305.] Ed. Baſ. V. (319.)

Καὶ οὗτος ὁ ἀφορισμὸς ἔμπροσθεν ἤδη γέγραπται κατὰ τήνδε τὴν λέξιν. ἐπὴν διακοπῇ ὀστέον ἢ χόνδρος ἢ νεῦρον ἢ γνάθου τὸ λεπτὸν ἢ ἀκροποσθίη, οὔτε αὔξεται οὔτε συμφύεται, καὶ ἐφθάσαμεν αὐτὸν ἐξηγήσασθαι μετὰ τὸ ἕκτον ὑπόμνημα.

κθ'.

Ἢν ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ διάῤῥοια ἰσχυρὴ ἐπιγένηται, λύει τὴν νοῦσον.

Σύνηθές ἐστι τοῖς ἄλλοις ἰατροῖς ὀνομάζειν τινὰ λευκοφλεγματίαν ὕδερον ἤγουν ὡς καὶ πελιδνοῦ τινος φλέγματος ἢ ὡς κατὰ μὲν τὸν ἑαυτοῦ λόγον ὑπάρχοντος ἀεὶ λευκοῦ, δι' ἐπιμιξίαν δέ τινα τῶν ἄλλων χυμῶν μεταβάλλοντος τὸ ἀκριβὲς τῆς χρόας. δύναται δὲ καὶ ὡς ἐν τῷ περὶ ἄρθρων ἔγραψε· σπόνδυλοι δ' οἱ κατὰ ῥάχιν οὐχ ὡς οὐκ ὄντων τῶν σπονδύλων ἑτέρωθι διοριζόμενος, ἀλλ' ἁπλῇ προσ-

Atque hic aphoriſmus ſupra jam ſcriptus eſt his verbis: quum os perfectum fuerit aut cartilago aut nervus aut tenuis genae particula aut praeputium, neque augeſcit neque coaleſcit, atque ipſum explicare ſexto commentario praecidimus.

XXIX.

Si alba pituita detento vehemens diarrhoea ſuccedat, morbum ſolvit.

Aliis quoque medicis conſuetum eſt quendam hyderum leucophlegmatiam ſeu albam pituitam appellare aut certe quod exiſtat etiam livido quaedam pituita aut ſui quidem ratione perpetuo ſit alba, ſed propter quorundam aliorum humorum mixtionem verum ſincerumque colorem mutat. Poteſt etiam, quemadmodum libro de articulis ſcripſit, *quae in ſpina ſunt vertebrae*, non qui tanquam ſint alibi vertebrae diſtinguat, ſed ſimplici adjectione utatur, ſic hoc

Ed. Chart. IX. [305. 306.] Ed. Baſ. V. (319.)

θήκῃ χρώμενος, οὕτως κἀνταῦθα χωρὶς διορισμοῦ τὴν προσθήκην τοῦ λευκοῦ πεποιῆσθαι. τὸ δ' ὑπὸ διαῤῥοίας ἰσχυρᾶς ἢ χρονίας, ἑκατέρως γὰρ γράφεται, λύεσθαι τὴν τοῦ λευκοῦ φλέγματος πλεονεξίαν κοινὸν καὶ πρὸς ἄλλα πολλὰ τῶν οὕτως εἰρημένων αὐτῷ.

λ'.

[306] Ὁκόσοισιν ἀφρώδεα τὰ ὑποχωρήματα ἐν τῇσι διαῤῥοίῃσι, τουτέοισιν ἀπὸ τῆς κεφαλῆς φλέγμα καταῤῥεῖ.

Ἀδιορίστως εἴρηται τοῦτο, γένοιτο μὲν γὰρ ἄν ποτε τὸ διαχωρούμενον ἀφρῶδες, ἐκ τῆς κεφαλῆς ἐπιῤῥέοντος ἐγροῦ πνευματώδους εἰς τὴν γαστέρα· γένοιτο δ' ἄν ποτε καὶ τῶν εἰς αὐτὴν καθηκόντων ἀγγείων ἐκχεόντων αὐτό. συσταίη δ' ἂν ἐνίοτε καὶ κατὰ τὴν γαστέρα, μίαν μὲν ὡς ἂν εἴποι τις, ἔχον αἰτίαν συνεκτικὴν, ὅπως ἂν ἐκκρίνηταί τε καὶ γένηται, προηγουμένας δὲ πλείους. ἔστι δὲ ἡ συνεκτικὴ τοῦ τοιούτου φλέγματος αἰτία πνεῦμα φυσῶδες ἐν τῇ πρὸς

quoque loco abſque rei diſtinctione albi adjectionem feciſſe. Jam vero a forti vel diuturna diarrhoea, utroque enim modo ſcribitur, albae pituitae ſolvi redundantiam commune eſt cum aliis etiam multis quae ſimiliter ab ipſo dicta ſunt.

XXX.

Quibus per alvi profluvia ſpumoſae ſunt dejectiones, iis a capite pituita defluit.

Fiunt enim aliquando alvi excrementa ſpumoſa, flatulento humore ex capite ad ventrem defluente. Hoc indiſtincte dictum eſt. Fiunt interdum et vaſis ad ipſum porrectis illum effundentibus. Oboriuntur etiam interdum in ipſo ventre unicam, prout quispiam dixerit, cauſam continens, quomodocunque excernantur aut fiant, antecedentes vero plures. Eſt autem hujus ſpumoſae pituitae cauſa continens flatulentus ſpiritus, qui, dum humori

Ed. Chart. IX. [306.] Ed. Baſ. V. (319.)

ὑγρότητα μίξει σφοδρᾷ καὶ ἀνωμάλῳ κινήσει κεχρημένον, ὡς αὐτό τε θραυσθῆναι καὶ τὸ φλέγμα θραῦσαι κατὰ πολλὰ καὶ σμικρὰ μόρια. τῆς δὲ τοιαύτης αὐτῷ κινήσεως ἥ τε οἰκεία φύσις αἰτία καὶ ποτε καὶ πλῆθος θερμασίας. οὕτως γοῦν ἐπί τε τῶν ἐψημένων ἀφρὸς ὁρᾶται καὶ μάλισθ' ὅταν ᾖ γλίσχρα τὴν φύσιν, ἔν τε τῇ θαλάττῃ κατὰ τὰς βιαίας τῶν ἀνέμων ἐμβολάς. ὅσοι δὲ ἡγοῦνται διὰ τοῦ πνεύμονος εἰς τὴν γαστέρα τὴν ὁδοιπορίαν γίνεσθαι τῷ φλέγματι καὶ διὰ τοῦτο ἀφρώδες αὐτὸ φαίνεσθαι, οὐκ οἶδα τί φήσουσιν ἐπὶ τῶν ἀπὸ κεφαλῆς σαφῶς εἰς πνεύμονα ῥευματιζομένων. ἐχρῆν μὲν γὰρ αὐτοὺς ἀφρώδη διαχωρεῖν. οἱ δ' οὔτε διαχωροῦσιν οὔτ' ἀναβήττουσιν ἀφρώδη, καίτοι πολλάκις ἐναργῶς αἱ τραχεῖαι κατὰ σπλάγχνον ἀρτηρίαι πλήρεις εἰσὶ τοῦ καταῤῥέοντος ἐκ τῆς κεφαλῆς, ὃ πεφθὲν μὲν ἀναπίνεται πύῳ παραπλήσιον, ἀφρώδες δ' οὐ γίνεται. ἀλλ' οὐδ' αἷμα διὰ παντὸς ἀφρώδες ἀναπτύουσιν ἐκ πνεύμονος. ἔοικεν οὖν ὅταν ἐξ αὐτῆς τοῦ σπλάγχνου τῆς ἰδίας οὐσίας

commiſcetur, vehementi et inaequabili motione ita utitur, ut et ipſe dirumpatur et pituitoſum reſringatur et in multas ac parvas partes comminuat. Ejusmodi vero motus ipſa cauſa eſt tum propria natura tum nonnunquam etiam caloris copia. Sic enim et in iis quae elixantur, ac maxime ſi lenta ac viſcida natura fuerint et in mari per violentos ventorum impetus ſpuma conſpicitur. Porro qui pituitae viam et tranſitum in ventrem per pulmonem fieri arbitrantur, atque ideo ipſam apparere ſpumoſam, quid de iis qui in capite in pulmonem rheumatiſmo aperte laborant dicturi ſint non video. Oportebat ſiquidem in ipſis alvi excrementa ſpumoſa eſſe. Verum hi neque ſpumoſa dejiciunt neque extuſſiunt, etiam ſi ſaepe manifeſto aſperae pulmonis arteriae eo qui a capite defluxit humore oppletae ſint, qui concoctus puri quidem ſimilis exſpuitur, ſpumoſus autem nequaquam evadit. Quin ne ſanguinem quidem ſpumoſum ex pulmone ſemper exſpuunt. Videtur ſane quum de ipſa propria viſceris ſubſtantia quidquam

Ed. Chart. IX. [306. 307.] Ed. Baſ. V. (319.)

συναναφέρηται τι ἀφρῶδες γίνεσθαι τὸ αἷμα. πτύουσί γε μὴν καὶ οἱ πλευριτικοὶ ποτε τὸ ἀφρῶδες, ἔτι τε σπανιώτερον αὐτῶν μᾶλλον οἱ περιπνευμονικοί. θερμασίας δέ μοι δοκεῖ ἀκράτου τε καὶ πυρώδους ἠθροισμένης ἐν τοῖς πάσχουσι μορίοις. εἰ δὲ τὸ καταῤῥέον ἐκ τῆς κεφαλῆς εἰς τὰς τραχείας ἀρτηρίας τοῦ πνεύμονος, ὡς ἔνιοί φασι, διεξέρχεται κάτω, πρῶτον μὲν εἰς τὰς τῆς καρδίας κοιλίας αὐτὸ παραγίνεσθαι δεήσει, μετὰ δὲ τοῦτο δυοῖν θάτερον, ἤτοι διὰ τῆς κοίλης φλεβὸς εἰς μὲν τὰ κυρτὰ τοῦ ἥπατος πρῶτον, εἶτα ἐκεῖθεν εἰς τὰ σιμὰ καὶ οὕτως διὰ [307] τῶν πυλῶν εἰς τὰς τῶν ἐντέρων ἕλικας, ἢ πρῶτον μὲν εἰς τὴν μεγάλην ἀρτηρίαν, εἶθ' οὕτως εἰς τὴν τοῦ μεσεντερίου. καὶ πῶς ἂν ἔτι μένειν ἀφρῶδες ἀναμιχθέν τε τῷ αἵματι καὶ τοσαύτας διεξελθὸν ἅμα αὐτῷ φλέβας.

κα'.

Ὁκόσοισι πυρέσσουσιν ἐν τοῖσιν οὔροισι κριμνώδεες αἱ ὑποστάσιες γίνονται, μακρὴν τὴν ἀῤῥωστίην σημαίνουσι.

una effertur, ſanguis eſſe ſpumoſus. Pleuritici tamen interdum etiam ſpumoſum exſpuunt, atque his ipſis multo rarius peripneumonici, calore ſcilicet, ut mihi videtur, intemperato atque igneo in partibus affectis collecto. Porro ſi quod e capite defluit in aſperas pulmonis arterias deorſum, ut nonnulli volunt, ad ſedem permeat; primum in ventriculos cordis ipſum devenire oportebit; deinde ex duabus alterum viam pergere aut primum per venam cavam ad jecoris gibba; indeque ad ſima deferri atque ita per portas in inteſtinorum ſpiras pervenire; aut primum quidem in magnam arteriam, deinde ſic in eam quae meſenterium perreptat. Verum quomodo ubi et ſanguine ſit permixtum et una cum eo tot venas pervaſerit, ſpumoſum etiamnum maneat.

XXXI.

Quibus febricitantibus in urinis ſedimenta craſſiorem farinam referentia oboriuntur, longum morbum ſignificant.

Ed. Chart. IX. [307.] Ed. Baſ. V. (320.)

(320) *Καὶ οὗτος ὁ λόγος διορισθεὶς ἀληθὴς γίνεται μαρτυρούμενος ὑπὸ τῆς πείρας. ὀλέθρια μὲν γάρ ἐστι τὰ κριμνώδη τῶν οὔρων, κἂν τῷ προγνωστικῷ λέλεκται καὶ φθάνουσιν ἀποθνήσκειν οἱ πλεῖστοι πρὶν χρονίσαι τὴν νόσον. ὅσοι δ' ἐξ αὐτῶν ἐσώθησαν, ἐχρόνισαν οὗτοι πάντες, ὡς ἂν πολλῆς τῆς πέψεως δεομένης τῆς διαθέσεως, ἐφ' ἣ τὸ τοιοῦτον οὖρον οὐροῦσιν. εἴρηται δ' ἡμῖν ἐν τοῖς περὶ κρίσεων ὑπὲρ ἁπάντων οὔρων ἐπὶ πλέον ἔν γε μὴν ταῖς ἐπιδημίαις. ἀρκέσει γάρ μοι δυοῖν ἀῤῥώστοιν μνημονεῦσαι, κατὰ μὲν τὸ πρῶτον τοῦ μετὰ τρεῖς καταστάσεις δευτέρου γεγραμμένου Σιληνοῦ, περὶ οὗ κατὰ τὴν διήγησιν οὕτως εἶπεν· οὔρησεν ἀθρόως ὑπὸ τοῦ χυμοῦ κενούμενον ὑπόστασις κριμνώδης, λευκὴ, ἄκρεα πάλιν ψυχρὰ, ἐνδεκάτῃ ἀπέθανε. κατὰ δὲ τὸ τρίτον τοῦ τρίτου τῶν ἀῤῥώστων, περὶ οὗ κατὰ μὲν τὴν ἀρχὴν τῆς διηγήσεως οὕτως ἔγραψεν· ὁ κατακείμενος ἐν τῷ Δεάλκους κήπῳ. προελθὼν δὲ μετ' ὀλίγον, οὖρα λεπτὰ, ποικίλα, ἐναιωρήματα ἔχοντα σμικρὰ οἷον*

Haec quoque oratio adhibita diſtinctione vera fit, quae ab experientia comprobatur. Crimnodes ſiquidem urinas in prognoſtico pernicioſas eſſe pronunciatum eſt; atque plurimi priusquam morbus diutius producatur, intereunt; qui vero ex ipſis ſervati ſunt, hi omnes diuturno morbo laborarunt, affectu nimirum in quo talis urina redditur multam coctionem efflagitante. Verum in libris de criſibus de omnibus urinis plenius dictum eſt. Ex epidemiis autem, ſatis enim mihi fuerit de duobus aegris tantummodo feciſſe mentionem, primo quidem libro de Sileno poſt tres aëris tempeſtates ſecundo loco ſcripto, de quo inter ea quae de ipſo refert Hippocrates ſic inquit: *minxit affatim ſub craſſum in matella depoſitum, ſedimentum crimnodes, extrema rurſum frigida; undecimo die morte peremptus eſt.* Tertio vero libro de aegroto qui ordine tertius eſt, de quo hiſtoriam initio ita ſcripſit: *qui in horto Dealcis decumbebat;* deinde paulo ulterius: *urinae tenues, variae, ſuſpenſae, parva, craſſiori farinae*

Ed. Chart. IX. [307. 308.] Ed. Baſ. V. (320.)

κρίμνα. τοῦτον δέ φησι τεσσαρακοσταῖον κριθῆναι. δῆλον οὖν κἀκ τούτων τῶν παραδειγμάτων, ὅσοι μὲν σωθήσεσθαι μέλλουσι τῶν οὐρησάντων κριμνώδη, χρονίζουσιν, ὅσοι δὲ ὀλεθρίως ἔχουσι, τούτους ἐνδέχεται καὶ διὰ ταχέων ἀποθανεῖν.

λβ'.

Ὁκόσοισι δὲ χολώδεες αἱ ὑποστάσιες, ἄνωθεν δὲ λεπταὶ, ὀξείην ἀῤῥωστίην σημαίνει.

---

[308] Τὸ μὲν χολῶδες ἀεὶ ὀξείας ἐργάζεται νόσους. εἴρηται γὰρ ἡμῖν ὅτι τὸν πικρόχολον χυμὸν οὕτως ὀνομάζειν ἔθος ἐστὶ τοῖς παλαιοῖς ἰατροῖς, ὡς τόν γε μελαγχολικὸν ἀεὶ μετὰ προσθήκης λέγουσιν, οὐχ ἁπλῶς χολὴν ὡς τὴν ξανθὴν, ἀλλὰ μέλαιναν χολήν. τὸ δ' ἄνωθεν λεπταὶ, τουτέστιν ὑδατώδεες. οὕτω γὰρ εἴωθε χρῆσθαι τῇ τοῦ λεπτοῦ προσηγορίᾳ ὁ Ἱπποκράτης, δόξειεν ἂν οὐ καλῶς εἰρῆσθαι. τὸ γὰρ ὑδατῶδες οὖρον ἄπεπτόν ἐστι καὶ χρό-

conſimilia continentes. Hunc autem dicit quadrageſimo die judicatum fuiſſe. Liquet igitur et his exemplis quicunque farinacea mejant, ſi ſalvi quidem evaſuri ſint, eos perdiu detineri; ſi vero exitialiter aegrotent, etiam poſſe celeriter perimi.

XXXII.

Quibus bilioſa ſedimenta ſupra tenuia, acutum morbum ſignificant.

Bilioſus quidem humor acutos morbos ſemper efficit. Sic enim veteres medicos pro conſuetudine picrocholum humorem appellare diximus, quemadmodum melancholicum ſemper cum adjectione, non ſimpliciter bilem veluti flavam, ſed atram bilem pronunciant. Illud vero *ſupra tenuia*, hoc eſt aquoſa, ſic enim tenuis appellatione uti conſuevit Hippocrates, non recte dictum videretur. Aquoſa ſiquidem urina cruda eſt diuturnumque morbum portendit.

Ed. Chart. IX. [308.] Ed. Baſ. V. (320.)

νιον. ἐγὼ γοῦν οὐκ ἐθεασάμην ποτὲ οὖρον ὡς τὸ ὑφιστάμενον ἐν αὐτῷ χολῶδες εἶναι, τὸ δ' ἐπιπολάζον ὑδατῶδες. οὐκ ἀλόγως οὖν ἔνιοι τῶν ἐξηγητῶν ἔφασαν οὐ τόπου δηλωτικὸν, ἀλλὰ χρόνου τὸ ἄνωθεν ἐπίρρημα νῦν εἶναι, καθάπερ εἰ καὶ οὕτως εἴρηται. τῶν οὔρων αἱ ὑποστάσεις, ὅταν ἐξ ἀρχῆς μὲν ὦσι λεπταὶ, μετὰ δὲ ταῦτα χολώδεις γεννηθῶσιν, ὀξεῖαν ἀῤῥωστίαν δηλοῦσιν.

λγ'.

Ὁκόσοισι δὲ διεστηκότα οὖρα γίνεται, τουτέοισι ταραχὴ ἰσχυρὴ ἐν τῷ σώματί ἐστι.

Τὰ διεστηκότα κυρίως μὲν ἀκούοντι ἀδύνατόν τι δηλώσει. συνεχὲς γὰρ ἑαυτῷ τὸ οὖρόν ἐστιν ἀεὶ μηδεμίαν ἐν τῷ μέσῳ χώραν ἔχον κενήν. εἰ δὲ τὸ κατὰ τὴν σύστασιν ἀνώμαλον εἰρῆσθαι δεχοίμεθα, δεόντως εἶπε ταραχὴν ἰσχυρὰν αὐτὸ σημαίνειν. ἐπικρατούσης μὲν γὰρ τῆς φύσεως

Equidem numquam ſpectavi urinam, cujus ſedimentum eſſet bilioſum et quod ſupernatat aquoſum. Non citra rationem igitur interpretes nonnulli non locum, ſed tempus hoc aphoriſmo per adverbium *ſupra* ſignificari arbitrantur, quaſi dictum ſit: ſi urinarum ſedimenta ab initio tenuia, poſtea bilioſa fiant, acutum morbum ſignificant.

XXXIII.

Quibus diſparatae fiunt urinae, iis in corpore vehemens eſt perturbatio.

Si diductae urinae proprie accipiantur, quae fieri nequeat, res declarabitur. Continua ſiquidem eſt ſibique ipſi perpetuo cohaerens urina quae nullum intermedium ſpatium vacuum ſortitur. Si vero per urinae concretionem inaequalitatem dici conceſſerimus, merito ipſam pronunciavit vehementem perturbationem ſignificare. Nam dominante ac vincente natura aequabiliter unita ſunt

Ed. Chart. IX. [308. 309.] Ed. Baſ. V. (320.)

ὁμαλῶς ἥνωται πάντα, στασιαζόντων δὲ τῶν νοσωδῶν αἰτίων αὐτῇ, τὸ μὲν κρατούμενόν τε καὶ πεττόμενον ἑτέραν ἴσχει τὴν ἰδέαν, τὸ δὲ ἀνθιστάμενόν τε καὶ στασιάζον ἑτέραν. καὶ ὅταν γε πλείω τὰ τοιαῦθ' ὑπάρχει, ποικιλωτέραν ἀποφαίνει τὴν ἀνωμαλίαν τῶν οὔρων καὶ τὴν αἰτίαν αὐτῶν τὴν ταραχήν.

λδ'.

Ὁκόσοισι δὲ ἐν τοῖσιν οὔροισιν ἐφίστανται πομφόλυγες νεφριτικὰ σημαίνουσι καὶ μακρὴν ἀῤῥωστίαν ἔσεσθαι.

---

[309] *Πομφόλυγες γίνονται περιτεινομένης ὑγρότητος φυσώδει πνεύματι. μᾶλλον δὲ εἴωθε τὸ τοιοῦτον συμβαίνειν, ὁπόταν ἔχῃ τι γλίσχρον ἡ ὑγρότης. τηνικαῦτα δὲ καὶ αἱ πομφόλυγες αὗται δύσλυτοί τε καὶ μόνιμοι γίνονται. σημεῖον οὖν ἐστι τὸ συνεκκρίνεσθαι τοῖς οὔροις πνεῦμα φυσῶδες ἀῤῥωστίας νεφρῶν ψυχρᾶς. ἡ τοιαύτη γὰρ ἀθροίζει τὸ φυσῶδες πνεῦμα καὶ διὰ τοῦτό φησιν ἔσεσθαι τὴν*

omnia. Morbificis vero cauſis in ipſam tumultuantibus quod ſubigitur et coquitur, alteram *in urina* prae ſe fert ideam; quod vero reluctatur ac tumultuatur, alteram, quumque plures ſunt ejusmodi cauſae, magis variam urinarum inaequalitatem ejusque cauſam perturbationem repraeſentant.

XXXIV.

Quibus in urinis bullae ſuperſtant, iis nephritin ac longum fore morbum ſignificant.

Procreantur bullae quum flatulentus humor ſpiritu circumextenditur. Id autem magis accidere conſuevit, ſi quid lentoris humor ſortiatur. Tunc etiam bullae ipſae manent diutius ac difficile ſolvuntur. Quum igitur flatulentus ſpiritus una cum urinis excernitur, frigidae renum invaletudinis ſignum eſt. Haec enim flatulentum ſpiritum colligit, ob idque longum fore morbum praenunciat. Fri-

Ed. Chart. IX. [309.] Ed. Baf. V. (320.)

ἀῤῥωστίαν μακράν. τὸ γὰρ ψυχρὸν ἅπαν δύσλυτόν τε καὶ δύσπεπτόν ἐστι καὶ διὰ τοῦτο χρόνιον. ἔνιοι δέ φασιν ὑπὸ τῆς δριμύτητος τῶν οὔρων ἀνεστομωμένας τὰς κατὰ νεφροὺς ἀρτηρίας ἐκκρίνειν τι τοῦ πνεύματος, ὃ συνεξερχόμενον τοῖς οὔροις τὰς πομφόλυγας ἐργάζεται.

λε'.

Ὁκόσοισι δὲ λιπρὴ ἡ ἐπίστασις καὶ ἀθρόη, τουτέοισι νεφριτικὰ καὶ ὀξέα σημαίνει.

Εἴτε διαχώρησις εἴτ' οὖρον ἢ λιπαρὸν, ἐπὶ συντήξει γίνεται πιμελῆς οὐ μᾶλλόν τι τῆς κατὰ τοὺς νεφροὺς ἢ τῆς καθ' ὅλον τὸ ζῶον. ὅθεν οὐδὲ νεφριτικὸν ἰδίως ἐστὶ τὸ σημεῖον, ἀλλὰ κοινὸν ἁπάσης πιμελῆς τηκομένης ὑπὸ θερμασίας πυρώδους· ἢ τοίνυν οὕτως ἀκουστέον ἐστὶν ὡς ἐπὶ τῶν νεφριτικῶν εἶναι ὁμολογουμένων, οὐ τὸ γένος τοῦ πάθους, ἀλλὰ τὴν ὀξύτητα διαγινώσκοντός τε καὶ προλέγοντος ἐν ᾧδε τοῦ Ἱπποκράτους ἢ τὰ νεφριτικὰ μεταγρα-

gidum enim omne aegre tum ſolvitur tum coquitur proindeque perdurat. Nonnulli porro narrant aperta ab urinarum acrimonia quae renibus inſunt arteriarum ora ſpiritum aliquem emittere qui cum urinis illapſus bullas efficit.

XXXV.

Quibus urinarum ſummum pingue et confertum eſt, iis renalem et acutum morbum ſignificant.

Sive dejectio ſive urina ſit pinguis, adipis ſit colliquatione non magis in renibus quam toto animalis corpore commorantis; unde neque proprium morbi renalis id ſignum eſt, ſed omnis adipis ab igneo calore colliquefacti commune. Aut igitur ita intelligendus aphoriſmus, quo in iis quae renum eſſe conceduntur affectionibus, hic non affectionis genus, ſed acumen tum dignoſcat tum praedicat Hippocrates aut ut interpretes nonnulli fecerunt

Ed. Chart. IX. [309. 310.] Ed. Baſ. V. (320.)

πτέον, ὡς ἔνιοι τῶν ἐξηγησαμένων ἐποίησαν εἰς τὰ φρενιτικά. καίτοι γε τοῦτο οὐδὲ φρενίτιδος μόνης σημεῖον οὔτε τῆς ἁπλῶς οὔτε τῆς διακαοῦς, ἀλλὰ παντὸς συντήκοντος πυρετοῦ. τό γε μὴν ἀθρόον προσκείμενον τῷ λόγῳ δύναται μὲν καὶ τὴν τοῦ χρόνου βραχύτητα δηλοῦν, δύναται δ' οὐδὲν ἧττον καὶ τὴν τοῦ τόπου. τὸ γὰρ ἐσφιγμένον ἑαυτῷ τε συνεχόμενον ἀθρόον ὀνομάζομεν, ἐναντίον ὑπάρχον τῷ διεσπασμένῳ. ταυτὶ μὲν οὖν ἄχρι τοσουτου καὶ τοῖς διδάσκαλοις ἡμῶν ἡρμήνευται. τὸ δέ μοι δοκοῦν ἤδη φράσω· τὸ ἀθρόον προσκείμενον τῷ λόγῳ δοκεῖ μοι κατὰ τοῦ χρόνου λελέχθαι καὶ διὰ τοῦτο τῆς περὶ τοὺς νεφροὺς πιμελῆς ἐνδείκνυσθαι τῆξιν. αἱ γοῦν ἐν ἄλλοις μέρεσι τοῦ ζώου τηκόμεναι πιμελαὶ κατὰ βραχὺ καὶ οὐκ ἀθρόως ἐπὶ τὴν οὔρησιν ἀφικνοῦνται, μεταλαμβανομένης τῆς συντήξεως εἰς τὰς πρώτας μὲν τὰς πλησίον αὐτῆς φλέβας, ἐφεξῆς δὲ τὰς συνεχεῖς. εἶτ' αὖθις εἰς ἄλλας τε [310] καὶ ἄλλας μέχρι περ ἂν ἐπὶ τοὺς νεφροὺς ἀφίκηται. τῆς δὲ περὶ τοὺς νεφροὺς πιμελῆς τακείσης μετάληψις εἰς οὖρα ταχίστη τε

verbum *nephritica* ſcriptum in phrenetica mutandum eſt: quamquam hoc neque ſolius phrenitidis, neque ſimplicis, neque incendentis, ſed omnis colliqueſacientis febris ſignum eſt. Porro nomen *confertum* additum orationi poteſt tum brevitatem temporis ſignificare, tum etiam poteſt loci nihilominus. Quod enim in ſe coactum eſt et continens, id confertum univerſumque dicimus, diſtracto atque diſperſo contrarium. Atque hactenus iſta a noſtris etiam praeceptoribus explicata ſunt. Jam vero quod mihi videtur dicam. Conferta vox orationi praeſenti addita mihi de temporis brevitate dici videtur, atque ideo adipis renum indicare colliquationem. In aliis ſiquidem corporis partibus liquefacti adipes paulatim non univerſim cum urina manant, traducta colliquatione in primas ſibi vicinas venas, deinde in continuas, poſtremo rurſum in alias atque alias, donec tandem in renes ipſa perveniat. Colliquefacti vero renum adipis in urinas traductio celerrima eſt, neque paulatim, ſed confertim fit, atque ideo

Ed. Chart. IX. [310.] Ed. Baſ. V. (320. 321.)

ἅμα καὶ οὐ κατὰ βραχύ. πᾶσα δὲ ἀθρόως γίνεται καὶ διὰ τοῦτο περὶ τοῖς νεφροῖς αὐτοῖς ἐνδείκνυται τὴν διάθεσιν ὑπάρχειν. τούτῳ καὶ τὴν πεῖραν εὑρήσεις μαρτυροῦσαν, ἐὰν ἀκριβῶς παραφυλάττῃς. καὶ μέντοι καὶ διττῆς οὔσης γραφῆς, ἔν τισι μὲν γὰρ ἀντιγράφοις ἐπίστασις, ἔν τισι δὲ ὑπόστασις γέγραπται, τὴν προτέραν ἀληθεστέραν εἶναί φαμεν· ἐφίσταται γὰρ ἀεὶ τὸ λιπαρὸν, οὐχ ὑφιζάνει. καὶ μέντοι καὶ τῇ τοῦ πρόσθεν ἀφορισμοῦ λέξει συμφωνεῖ μᾶλλον ἡ τοιαύτη γραφή. κατ' αὐτὴν γὰρ εἶπεν ὁ Ἱπποκράτης, ὁκόσοισι δὲ ἐπὶ τοῖς οὔροις πομφόλυγες ἐφίστανται, νεφριτικὰ σημαίνει καὶ μακρὴν τὴν ἀῤῥωστίαν ἔσεσθαι. ἀκόλουθον οὖν τὸ ἐφίστανται τοῖς ἐφεξῆς εἰρημένοις ἐστίν. ὁκόσοισι δὲ λιπαρὰ ἡ ὑπόστασις καὶ ἀθρόως, τουτέοισιν νεφριτικὰ σημαίνει καὶ ὀξείην τὴν νόσον ἔσεσθαι.

renibus affectionem ineſſe indicat. Cui rei experientiam quoque adſtipulari comperies, ſi diligenter obſervaveris. Ceterum quum gemina exſtet lectio, in quibusdam enim exemplaribus urinarum ſummum, in aliis ſedimentum ſcribitur, priorem veriorem eſſe dicimus. Supernatat enim ſemper quod pingue eſt, non ſubſidet. Ad haec praecedentis aphoriſmi dictioni talis lectio congruit, in illa enim dixit Hippocrates: *quibus in urinis bullae ſuperſtant, iis nephritin ac longum fore morbum ſignificant.* Superſtant igitur verbum ſubſequentibus pronunciandis conſentaneum eſt. Quibus urinarum ſummum pingue et confertum eſt, iis renalem et acutum morbum ſignificant.

λστ'.

(321) Ὁκόσοισι δὲ νεφριτικοῖσιν ἐοῦσι τὰ προειρημένα ξυμβαίνει σημεῖα, πόνοι τε περὶ τοὺς μύας τοὺς ῥαχιαίους

XXXVI.

Quibus renum affectu laborantibus praedicta contingunt ſigna doloresque ſpinae muſculis oboriuntur, ſi exterio

Ed. Chart. IX. [310.] Ed. Baſ. V. (321.)

γίνονται, ἢν μὲν περὶ τοὺς ἔξω τόπους γίνωνται, καὶ τὰ ἀποστήματα προσδέχου ἐσόμενα ἔξω· ἢν δὲ μᾶλλον οἱ πόνοι περὶ τοὺς εἴσω τόπους γίνωνται, καὶ τὸ ἀπόστημα προσδέχου μᾶλλον ἐσόμενον εἴσω.

Ἐν μὲν τοῖς ἔμπροσθεν ἀφορισμοῖς διαγνωστικὰ σημεῖα πασχόντων νεφρῶν ἔγραψεν, ἐν τούτῳ δὲ περὶ τῶν ὁμολογουμένων ἐκ πλείονος χρόνου νεφριτικῶν εἶναι διδάσκει, λέγων ἐπ' αὐτῶν ἀπόστασιν ἔσεσθαι τοῖς προγεγραμμένοις σημείοις προελθόντος πόνου, τουτέστιν ἀλγήματος κατὰ τοὺς ῥαχιαίους μῦς, οὓς καὶ ῥαχίτας ὀνομάζουσιν οἱ ἰατροί. διττὸν δέ ἐστι γένος τῶν μυῶν τούτων, ἓν μὲν ὄπισθεν ὑπὸ τῷ δέρματι περιλαμβάνον ἑκατέρωθεν ὅλην τὴν ἄκανθαν, ἕτερον δ' ἐν τοῖς πρόσω μέρεσιν ἐπιτεταμένον οὐ καθ' ὅλης τῆς ῥάχεως, ἀλλὰ μόνων τῶν κατ' ὀσφὺν μερῶν. καθ' ὁποτέρους οὖν αὐτῶν ἐρεῖδῃ τὸ ἄλγημα καὶ τὴν ἀπόστασιν ἐκεῖ γενήσεσθαι προσδέχου. πότερον δὲ τῶν νεφρῶν αὐτῶν ἐκπυησάντων ἢ μόνων τῶν μυῶν ἢ ποτε καὶ

res quidem locos obſideant, abſceſſus quoque futuros exteriores exſpecta. Si vero dolores interioribus locis magis inſideant, abſceſſus etiam interiores magis futuros metue.

Superioribus quidem aphoriſmis quibus ſignis affectus dignoſcuntur ea ſcriptis tradidit, in praeſenti vero de iis agit quae renum affectibus diuturno tempore laborantium eſſe conceduntur, futurum praedicans ipſis abſceſſum, ſi ad prius ſcripta ſigna labor acceſſerit, hoc eſt dolor in iis ſpinae muſculis, quos rachiae os et rachitas appellant medici. Duplex autem eſt horum muſculorum genus, unum quidem exteriorum pone ſub cute totam ſpinam utrimque complectentium, alterum vero interiorum partibus anterioribus non in totam ſpinam, ſed ſolas lumborum partes porrectorum. Utrascunque partes dolor firmus obſideat, illic abſceſſum quoque futurum metue. Utrum vero renibus ipſis ſuppurantibus id fiat an ſolis muſculis,

Ed. Chart. IX. [310. 311.] Ed. Baſ. V. (321.)

συναμφοτέρων οὐκέτι διώρισεν. ἢ μέντοι πεῖρα δείκνυσιν ἅπαντα τὰ γινόμενα. καὶ γὰρ οἷς μύες ἐνίοτε μόνοι τοῦτο πάσχουσιν, ἤτοι γε οἱ ἔνδον τε πρόσω ἢ οἱ πίσω τε καὶ ἔξω καὶ χωρὶς τῶν μυῶν, οἱ νεφροὶ ποτὲ μὲν εἴσω, ποτὲ δὲ ἔξω ῥεπούσης αὐτοῖς τῆς ἀποστάσεως.

λξ'.

[311] Ὁκόσοι αἷμα ἐμέουσιν ἢν μὲν ἄνευ πυρετοῦ, σωτήριον, ἢν δὲ ξὺν πυρετῷ, κακόν. θεραπεύειν δὲ τοῖς ψυκτικοῖσιν ἢ στυπτικοῖσιν.

Ἐμεῖται μὲν ἐκ στομάχου καὶ γαστρὸς, ἀναβήττεται δὲ τὰ ἐκ τῆς τραχείας ἀρτηρίας ἀναφερόμενα καὶ πνεύμονος. ἔνιοι μέντοι τῶν ἐξηγησαμένων τὸ βιβλίον εἰρῆσθαί φασι τὸ ἐμέουσι καὶ κατὰ τῶν ἐξ ἀρτηρίας τε καὶ πνεύμονος ἀναγόντων αἷμα. καίτοι γε σωτήριον εἶναι τοῦτο τὸ πάθημα, τουτέστι θεραπευθῆναι δυνάμενον, ὅταν μὴ πυρέτ-

an utrisque, non explicavit Hippocrates. Ceterum haec omnia fieri oſtendit experientia. Muſculi namque ſoli nonnunquam hoc patiuntur vel interiores qui iidem ſunt anteriores; vel poſteriores qui et exteriores habentur, et ſine muſculis quoque renes afficiuntur, alias introrſum, alias extroſum inclinante in ipſis abſceſſu.

XXXVII.

Qui ſanguinem vomunt, ſi citra febrem, ſalutare; ſi cum febre malum. Hic affectus refrigerantibus et adſtringentibus curandus eſt.

Vomitus ex ſtomacho et ventre, extuſſiuntur quae ex aſpera arteria et pulmone efferuntur. Nonnulli tamen hujus libri enarratores verbum *vomunt* etiam de iis dici autumant, qui ex aſpera arteria et pulmone ſanguinem rejectant. Atqui ſalutarem eſſe hunc affectum, hoc eſt aegros curari poſſe, quum minime febricitant, nequaquam

Ed. Chart. IX. [311.] Ed. Baſ. V. (321.)

τωσιν οἱ κάμνοντες, οὐκ ἀληθές. εἰ γὰρ καὶ ὅτι μάλιστα χωρὶς πυρετοῦ τις ἐκ πνεύμονος ἀναβήττοι τὸ αἷμα, κίνδυνός ἐστι καὶ τούτῳ μὴ θεραπευθῆναι καὶ πάντως, χρονίζοντος αὐτοῦ γενήσονται ὕστερον καὶ οἱ πυρετοί. διὰ τοῦτο μὲν οὖν ἄμεινον ἀκούειν τοῦ ἐμέουσιν ὀνόματος ὡς κυρίως εἰρημένου, προσεπισκοπεῖσθαί τε καὶ διορίζεσθαι τό τ' ἀκίνδυνον ἐν αὐτῷ καὶ τὸ κινδυνῶδες ἐκ τοῦ πυρέττειν ἢ μή. τοῖς μὲν γὰρ ἀπυρέτοις εὔδηλον ὡς οὐδεμία φλεγμονὴ κατὰ τὸν τόπον ἐστὶν, ὅθεν ἀναφέρεται τὸ αἷμα, ὥστε ἤτοι κατ' ἀναστόμωσιν ἀγγείου γίνεσθαι τὸν ἔμετον τοῦ αἵματος ἢ μεθ' ἑλκώσεως, ἀλλὰ χωρὶς φλεγμονῆς. θεραπεύεται δὲ τὰ χωρὶς φλεγμονῆς ἕλκη ῥᾳδίως τοῖς στυπτικοῖς. ὅσον δὲ σὺν φλεγμονῇ τε ἅμα καὶ πυρετοῖς ἐστι, μὴ ὅτι θεραπείας τυχεῖν, ἀλλ' οὐδ' ἐπὶ ταὐτοῦ δύναται διαμεῖναι μεγέθους, ἀεὶ γὰρ μείζω καὶ κακοηθέστερα γίνονται.

---

verum eſt. Si quis enim et quam maxime citra febrem ex pulmone ſanguinem extuſſiat, non fieri huic curationem periculum impendet. Quod ſi haec ſanguinis rejectio diuturna perſeveret, omnino poſtea febres ſuccedent. Quamobrem ſatius eſt hoc verbum *vomunt* proprie uſurpatum accipere, ac deinceps tum animadvertere tum praefinire quid in ipſo citra febrem vacet periculo et quid periculi ex febre prodeat aut non prodeat. Nam febre vacantibus liquet nullam loco inflammationem ineſſe, unde ſanguis effertur. Quare vel vaſis alicujus ore recluſo fit ſanguinis vomitus vel cum ulcere, ſed citra inflammationem. At quae citra inflammationem ſunt ulcera, adſtringentibus facile curantur, quae vero et cum inflammatione ſimul et febribus exiſtunt, non ſolum curationem non ſortiuntur, imo in eadem magnitudine permanere nequeunt; nam majora et maligniora ſemper evadunt.

Ed. Chart. IX. [311. 312.] Ed. Baſ. V. (321.)

λη'.

Καταῤῥοι ἐς τὴν ἄνω κοιλίην ἐκπυοῦνται ἐν ἡμέρῃσιν εἴκοσιν.

---

[312] *Ἄνω κοιλίαν νῦν ὀνομάζει τὴν ὑπὸ τοῦ θώρακος περιγραφομένην, ἣν ὁ πνεύμων κατείληφε καὶ διὰ τοῦτο εἰς τοῦτον ἐκ τῆς κεφαλῆς ὁ καταῤῥους φέρεται διὰ τῆς τραχείας ἀρτηρίας. ἐκπυοῦσκεται δὲ τὸ πλεῖστον ἐν ἡμέραις εἴκοσι καὶ οὐχ ὡς οἱ πλεῖστοι γράφουσιν, ἡμέραις εἴκοσι μιᾷ. διὰ παντὸς γὰρ ὁ Ἱπποκράτης τὴν κ' ἡμέραν κρίσιμον, οὐ τὴν κα' οἶδεν, ὡς ἐν τοῖς περὶ κρισίμων ἡμερῶν ὑπομνήμασιν ἔδειξα.*

λθ'.

Ἢν οὐρίῃ αἷμα καὶ θρόμβους καὶ στραγγουρίην ἔχῃ καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸν περίναιον καὶ τὸ ὑπογάστριον καὶ τὸν κτένα, τὰ περὶ τὴν κύστιν νοσέειν σημαίνει.

XXXVIII.

Defluxiones in ventrem ſuperiorem viginti diebus ſuppurantur.

Superiorem ventrem nunc appellat cavitatem thorace circumſcriptam, quam pulmo occupat, atque propterea in hunc per aſperam arteriam fertur defluxio. Suppurat autem plerumque intra dies viginti, non ut multi ſcribunt intra unum et viceſimum. Semper enim Hippocrates diem viceſimum judicatorium ſtatuit, non viceſimum primum, quemadmodum in libris de diebus judicatoriis demonſtravimus.

XXXIX.

Si quis ſanguinem et grumos mejat et ſtranguria laboret dolorque ad interfemineum, imum ventrem et pectinem concidat, veſicae partes aegrotare ſignificat.

Ed. Chart. IX. [312. 313.] Ed. Baſ. V. (321.)

Σχεδὸν μὲν ἐν ἅπασι τοῖς ἀντιγράφοις ὁ ἀφορισμὸς οὗτος γέγραπται· περιελεῖν δὲ αὐτὸν χρὴ διὰ τὸν ἔμπροσθεν εἰρημένον. ἐξηγησάμεθα γὰρ αὐτὸν ἐν τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων τοιοῦτον ὑπάρχοντα τῇ λέξει, ἢν οὐρέῃ αἷμα καὶ θρόμβους καὶ στραγγουρίη ἔχῃ καὶ ὀδύνη ἐμπίπτῃ εἰς τὸ ὑπογάστριον καὶ τὸν κτένα, τὰ περὶ τὴν κύστιν νοσεῖ. κατὰ γοῦν αὐτὸν τὸν προκείμενον ἀφορισμὸν ἡ τελευτὴ διττὴν ἔχει τὴν γραφήν, μίαν μέν, ὡς προγέγραπται, ἑτέραν δὲ τὴν κύστιν νοσέειν σημαίνει.

μ'.

Ἢν ἡ γλῶσσα ἐξαίφνης ἀκρατὴς γένηται ἢ ἀπόπληκτόν τι τοῦ σώματος, μελαγχολικὸν τὸ τοιοῦτο γίνεται.

Ἀκρατῆ μὲν ὀνομάζει γλῶσσαν ἤτοι τὴν ἀστήρικτον ὡς μὴ διαθροῦσαν ἀκριβῶς τὴν φωνὴν ἢ τὴν ἀκίνητόν τε καὶ παραλελυμένην παντάπασιν. ἀπόπληκ- [313] τον δέ τι τοῦ σώματος τὸ παραλελυμένον. διὰ τί δὲ ἐξαίφνης γε-

In omnibus fere exemplaribus hic aphoriſmus ſcriptus eſt; ipſum autem eximere oportet propter alterum ſupra pronunciatum. Ipſum autem quarto horum commentariorum his verbis ſcriptum explanavimus: *ſi quis ſanguinem et grumos mejat et ſtranguria laboret dolorque in imum ventrem et pectinem incidat, veſicae partes laborant.* Porro praeſentis aphoriſmi finis geminam habet lectionem: unam quomodo ſupra ſcriptus eſt, alteram in hunc modum: *veſicae partes ſignificat.*

XL.

Si lingua derepente incontinens aut aliqua pars corporis ſiderata evadat, id ſignum eſt melancholicum.

Incontinentem quidem linguam nominat, quae ita debilis ac inſtabilis eſt, ut inexplanatam prorſus vocem edat aut immobilis et omnino reſoluta. Sideratam vero corporis partem vocat quae reſoluta eſt. Cur autem haec

Ed. Chart. IX. [313.] Ed. Baſ. V. (321.)

νόμενα ταῦτα μελαγχολικὰ ὑπάρχειν φησὶν οὐκ οἶδα. μελαγχολίας μὲν γὰρ, ἣν δὴ καὶ συνήθως ἅπαντες Ἕλληνες ὁμολογοῦσιν, ὀρθῶς εἴρηται πρὸς αὐτοῦ τὰ τοιαῦτα γνωρίσματα, ἢν φόβος ἢ δυσθυμία πολὺν χρόνον ἔχουσα διατελέῃ, μελαγχολικὸν τὸ τοιοῦτον. ἄλλως δὲ μελαγχολικὰ λέγομεν εἶναι πάθη τούς τε καρκίνους καὶ τοὺς ἐλέφαντας, ἔτι τε λέπρας καὶ ψώρας καὶ μέλανας ἀλφούς. ἀλλ' οὐδὲ τῶν τοιούτων παθῶν τινος οὔτε τῆς ὑπὸ πάντων ὀνομαζομένης μελαγχολίας ὁρᾶται προηγουμένη γλώσσης ἀκράτεια, καθάπερ οὐδὲ μορίου τινὸς ἀποπληξία. λοιπὸν οὖν ἐστι λέγειν, ὥσπερ ἐπὶ τεταρταίου πυρετοῦ, μελαγχολικὸν εἶναί φαμεν αἴτιον τὸν τῆς περιόδου χυμὸν, οὕτω καὶ τῶν εἰρημένων παθημάτων, τῆς τε κατὰ τὴν γλῶτταν ἀκρατείας καὶ τῆς τοῦ μορίου παραλύσεως. καὶ δυνατόν γε τῷ πάχει τοῦ χυμοῦ τὰ τοιαῦτα ἀκολουθῆσαι παθήματα, καθάπερ τῷ παχεῖ τε καὶ γλίσχρῳ φλέγματι, οὔκουν ἁπλῶς μελαγχολικὸν ἐροῦμεν εἶναι τῶν εἰρημένων ἑκάτερον, ὥσπερ οὐδὲ φλεγμα-

derepente oborta melancholica eſſe pronunciet, ignoro. Enimvero melancholiae, quam certe etiam pro conſuetudine Graeci concedunt omnes, recte ab ipſo talia indicia ſunt prodita: *ſi metus et moeſtitia longo tempore hominem obſideant ac perſeverent, ejusmodi ſymptoma melancholicum.* Alioqui melancholicas affectiones eſſe dicimus cancros, elephantas et praeterea lepras et pſoras et alphos nigros. Verum neque talium affectionum aliquam, neque ab omnibus appellatam melancholiam linguae incontinentia praecedere videtur, ut neque partis alicujus ſideratio. Quare ſupereſt, quemadmodum in quartana febre humorem melancholicum ipſius circuitus cauſam eſſe dicimus, ſic etiam dictarum affectionum et linguae incontinentiae et partis paralyſeos, fierique poſſe ut propter humoris craſſitudinem tales affectus conſequantur, quales ex craſſa et lenta et pituita ortum habent. Neutrum igitur commemoratorum dicemus ſimpliciter eſſe melancholicum, ſicuti neque pituitoſum ſimpliciter, ſed pituitoſum ſimul et

Ed. Chart. IX. [313.] Ed. Baf. V. (321. 322.)

τικὸν ἁπλῶς, ἀλλὰ φλεγματικὸν καὶ μελαγχολικόν. τὸ δὲ ἐξαίφνης πρόσκειται τῷ λόγῳ διὰ τὰς κατὰ βραχὺ γιγνομένας βλάβας, ἐπί τε φλεγμονῇ σκιρρουμένῃ καὶ δυσκρασίᾳ δυσλύτῳ.

μα'.

(322) Ἢν ὑπερκαθαιρομένων πρεσβυτέρων λύγξ ἐπιγένηται, οὐκ ἀγαθόν.

Κοινὸς οἵτος ὁ λόγος κατ' ἄμφω, καὶ καθ' ὅσον ἅπασι τοῖς ὑπερκαθαιρομένοις οὐκ ἀγαθὸν ἡ λύγξ καὶ καθ' ὅσον τοῖς πρεσβυτέροις τὰ μοχθηρὰ πάντα χείρω διὰ τὴν ἡλικίας ἀσθένειαν.

μβ'.

Ἢν πυρετὸς μὴ ἀπὸ χολῆς ἔχῃ, ὕδατος πολλοῦ καὶ θερμοῦ καταχεομένου ἐπὶ τῆς κεφαλῆς, λύσις τοῦ πυρετοῦ γίνεται.

melancholicum. At orationi additum eſt *derepente* adverbium propter noxas quae paulatim tum ob ſcirrhoſam inflammationem tum intemperiem ſolutu difficilem contrahuntur.

XLI.

Si ſuperpurgatis ſenioribus ſingultus oboriatur non bonum.

Haec oratio duas ob cauſas expoſita eſt, tum quatenus ſuperpurgatis omnibus ſingultus non bonus eſt tum quatenus ſenibus mala omnia propter aetatis imbecillitatem deteriora ruunt.

XLII.

Si febris a bile ortum non habeat, aquoſa copioſa et calida capiti affuſa, fit febris ſolutio.

Ed. Chart. IX. [314.] Ed. Baſ. V. (322.)

[314] *Δηλοῖ σαφῶς ἐν τούτῳ τῷ λόγῳ μὴ πάντας ἀπὸ χολῆς γίνεσθαι τοὺς πυρετούς. δηλοῖ δὲ καὶ ὅτι πλὴν τῶν ἐπὶ χολῆς γινομένων οἱ λοιποὶ πάντες ὕδατος πολλοῦ καταχυομένου ἐπὶ τῆς κεφαλῆς λύονται. κατὰ τοῦτον γοῦν τὸν λόγον κἀν τῷ πρώτῳ τῶν ἐπιδημιῶν ἐπὶ Μελίτωνος ἔγραψε, λουτροῖς ἐχρήσατο κατὰ τῆς κεφαλῆς. οἵ τε γὰρ ἐπ' ἐγκαύσει καὶ ψύξει γινόμενοι πυρετοὶ πρὸς τῶν τοιούτων ὀνίνανται λουτρῶν, οἵ τ' ἐπὶ κόποις οὐδὲν ἧττον, οἵ τε διὰ στέγνωσιν πόρων, εἴτε δι' ἔμφραξιν εἴτε διὰ μύσιν στεγνωθέντων. ἀναπνεῦσαι γὰρ ἐπ' αὐτῶν χρὴ καὶ διαφορηθῆναι τὴν πυρετώδη θερμασίαν. οὐ μὴν ὅταν γε φλεγμονή τις καὶ χωρὶς φλεγμονῆς χυμῶν σηπεδὼν ἀνάπτῃ τὴν πυρετώδη θερμασίαν, ὀνίνησι τὰ λουτρὰ πρὶν ἥκοι κενωθῆναι τοὺς λυποῦντας χυμοὺς ἢ πεφθῆναι. ἀλλὰ τά γε τοιαῦτα νοσήματα πλευρίτιδάς τε καὶ περιπνευμονίας ἡπατίτιδάς τε καὶ σπληνίτιδας ἐκάλουν οἱ παλαιοὶ, σύμπτωμα τιθέμενοι τὸν πυρετὸν αὐτὸν, οὐκ αὐτὸ πάθος. ἐφ' ὧν δὲ*

Hoc aphoriſmo conſpicue declarat omnes febres a bile ortum ducere, declarat quoque ceteras omnes febres, iis exceptis quae ex bile procreantur, aqua tepente copioſa ſupra caput affuſa ſolvi. Hac igitur ratione primo etiam epidemiorum de Melitone ſcripſit: *lavationibus ſupra caput uſus erat.* Febres enim ab aeſtu et frigore concitatae talibus lavationibus curantur; nec minus quae ex laſſitudinibus et quae ex meatuum exilium anguſtia ſive propter obſtructionem ſive conniventiam et praecluſionem coarctatorum obortae ſunt. Tranſpirare ſiquidem per ipſas oportet lavationes febrilemque calorem diſcuti diſſipariique. Non tamen quum quaedam inflammatio aut citra inflammationem humorum putredo igneum calorem accendit, balneae ſunt utiles, niſi vacuatis prius aut concoctis humoribus noxiis. Verum hujusmodi morbi pleuritides, peripneumonias, hepatitides et ſplenitidas appellabant veteres, qui febrem ipſam pro ſymptomate, non pro morbo ipſo conſtituebant. In quibus vero ſine partis

Ed. Chart. IX. [314.] Ed. Baf. V. (322.)

χωρὶς μορίου φλεγμονῆς οἱ κατὰ τὰς φλέβας χυμοὶ σηπόμενοι πυρετοὶ ἀνάπτουσιν, ἐπ' ἐκείνων μόνων ἔλεγον ὑπὸ πυρετοῦ τον ἄνθρωπον ὀχλεῖσθαι καὶ πυρετὸν ἔχειν αὐτόν, ἐπ' ἐκείνων δὲ καὶ τὰς διαφορὰς τῶν πυρετῶν ἔγραψαν, ἠπίαλον καὶ λειπυρίαν, ἑλκώδη τε καὶ τυφώδη καὶ λοιμώδη καὶ καῦσον. ἡπατίτην δὲ τὸν πυρετὸν καὶ σπληνῖτιν ἢ περιπνευμονίην ἢ πλευρίτην οὐδεὶς εἶπεν, ὥστε νῦν ὁ λόγος ἐοικὶ τῷ Ἱπποκράτει περὶ τῶν αὐτῶν πυρετῶν μορίων ἄνευ φλεγμονῆς. κατὰ μέντοι τὰ πλεῖστα τῶν ἀντιγράφων οὐχ ὑδατος, ἀλλ' ἱδρῶτος γέγραπται, τοιαύτην τινὰ ἔννοιαν ἐνδεικνυμένης τῆς γραφῆς· ἐὰν πυρετὸς μὴ ὑπὸ χολῆς ἔχῃ, πολὺς ἱδρὼς ἀπὸ τῆς κεφαλῆς καταῤῥέων λύει τὸν πυρετόν, οὐ δήπου τῆς κεφαλῆς μόνης ἐκχεῖσθαι τὸν ἱδρῶτα λέγοντος τοῦ Ἱπποκράτους, ἀλλ' ἀπὸ πρώτου φαινομένου μορίου περὶ παντὸς τοῦ σώματος δηλοῦντος. ἐπὶ ταύτῃ τῇ γραφῇ συμβήσεται τοὺς διὰ χολὴν πυρέττοντας ὑπὸ τῶν τοιούτων ἱδρώτων μηδὲν ὠνίνασθαι. καὶ μὴν ἐναργῶς γε λύονται πολλάκις οἵ τ' ἄλλοι πυρετοὶ καὶ καθ' οὓς ἡ ξανθὴ χολὴ

inflammatione putrefcentes in venis humores febrem accendunt, in his ſolis hominem febre vexari ipſumque febrem habere dicebant. In his ipſis etiam febrium differentias ſcripſerunt, epialam, lipyriam, heloden, typhoden, peſtilentiam et cauſum appellantes. Hepaticam vero febrem aut lienoſam aut peripneumonicam aut pleuriticam nemo protulit. Quare nunc Hippocrati habetur ſermo de ipſis febribus quae citra partium inflammationem exiſtunt. Porro in plurimis exemplaribus non aqua, ſed ſudor ſcribitur, lectione aliquam ejusmodi ſententiam indicante. Si febris non ex bile ortum habeat, copioſus ſudor e capite defluens ſudorem effundi dicente Hippocrate, ſed ex ea parte quae prima oculis ſubjicitur, idem de univerſo corpore ſignificante. Hac igitur lectione qui ex bile febricitant eos ab hujusmodi ſudoribus nihilo juvari accidet. At profecto ſaepe cum aliae multae febres tum in quibus plurima eſt flava bilis, tertianae ac ardentes, ſudoribus

Ed. Chart. IX. [314. 315.] Ed. Baſ. V. (322.)

πλείστη τριταῖοί τε καὶ καῦσοι. βελτίων οὖν ἡ προτέρα γραφὴ θεραπείαν ἀληθῆ διδάσκουσα τοῦ γένους τῶν εἰρημένων πυρετῶν, ὅσοι διὰ κόπους ἢ ἐγκαύσεις ἢ ψύξεις ἢ ὅλως στεγνώσεις τοῦ δέρματος γίγνονται. τὸ μὲν οὖν μὴ ἀπὸ χολῆς ῥῆμα καὶ τὴν ὠχρὰν δύναται καὶ τὴν μέλαιναν ἐνδείκνυσθαι χολήν. οὐ μὴν ἐπί γε ταύταις μόναις ἐδείκνυμεν, ἀλλὰ καὶ διὰ φλέγμα σηπόμενον γίνεσθαι πυρετὸν καὶ κατὰ τοῦτο μόνον ὁ ἀφορισμὸς οὐκ ἀληθεύειν δόξει, πλὴν εἰ τὴν σηπεδόνα τοῦ φλέγματος εἰς χολώδη χυμὸν ἀξιώσειέ τις μεταπίπτειν.

μγ'.

[315] *Γυνὴ ἀμφιδέξιος οὐ γίγνεται.*

Ἀμφιδέξιον Εὐριπίδης εἴρηκε σίδηρον τὸν ἑκατέρωθεν μὲν τέμνοντα, περιδέξιον δὲ τὸν Ἀστεροπαῖον Ὅμηρος τὸν ἀμφοτέραις ταῖς χερσὶν ὁμοίως χρώμενον, ὡσεὶ καὶ ἀμφοτεροδέξιον εἰρήκει. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἀμφαριστε-

aperte ſolvuntur. Quare prior lectio praeferenda eſt, quae veram earum febrium generatim curationem docet, quae laſſitudinibus, ſolis ardoribus, frigoribus aut denique cutis conſtipationibus oboriuntur. Is vero textus *non a bile*, tum pallidam tum atram bilem demonſtrare poteſt; non tamen propter has ſolas, ſed etiam et pituitam putreſcentem excitari febrem oſtendimus, atque hoc ſolo verus aphoriſmus eſſe non videbitur, niſi quis putrefactione pituitam in bilioſum humorem transire ac degenerare cenſuerit.

XLIII.

Mulier ambidextra non fit.

Euripides ancipitem et utrimque ſcindentem gladium amphidexium appellavit, peridexium vero Aſteropaeum Homerus, quod ambabus manibus ſimiliter uteretur, quaſi amphoterodexium dixiſſet. Eodem modo Ariſtophanes in

Ed. Chart. IX. [315.] Ed. Baf. V. (322.)

ρὸν Ἀριστοφάνης εἶπεν ἐν Ταγηνίταις ἄνθρωπον ἀμφοτέρωθεν ἀριστερόν. Ἱππῶναξ ἀμφιδέξιον ἔφη κατὰ τόνδε τὸν ἴαμβον.

Ἀμφιδέξιος γὰρ εἰ μὴ καὶ οἰχ ἁμαρτάνω.

ἄνδρες μὲν οὖν ἀμφοτέραις ταῖς χερσὶν ὡς δεξιαῖς χρώμενοι πολλάκις ὤφθησαν, γυνὴ δὲ οὐδεμία μέχρι δεῦρο, διὰ τὴν ἀσθένειαν τῆς φύσεως. εἴπερ γὰρ ἀμφοτέραις ταῖς χερσὶ διὰ ῥώμην τῆς κατὰ τὰ νεῦρα καὶ τοὺς μῦς δυνάμεως ἄνδρες τινὲς χρῶνται, δεόντως οὐδεμία γυνὴ χρήσεται, ᾗ γε ἀγαπητόν ἐστι τῇ δεξιᾷ μόνῃ χρῆσθαι μετρίως. τὰς γοῦν Ἀμαζονίδας αὐτός φησιν ἐπικαίειν τὸν δεξιὸν τιτθὸν, ἵνα εἰς τὴν πλησίον χεῖρα πλείονος τροφῆς ἀφικνουμένης εὐρωστία τις αὐτῇ προσγένηται, ὡς τῇ φύσει γε καὶ ταύτης ὑπαρχούσης ἀσθενοῦς. ἔνιοι μέντοι φασὶν ἀμφιδέξιον εἰρῆσθαι τὴν ἐν τῷ δεξιῷ μέρει τῆς μήτρας γινομένην. καὶ τούτων ἔτ' ἀλογώτερον ἕτεροι περὶ τῶν ἑρμαφροδίτων ὀνομαζομένων τὸν λόγον εἶναί φασι τῷ Ἱπποκράτει

Tagenitis hominem ampharifterum nuncupavit utrimque finiftrum. Et Hipponax amphidexium dixit hoc jambo:

Ego ambidexter ſum nec aberro namque.

Viri itaque qui ambabus manibus ut dextris utuntur ſaepe viſi ſunt, mulier vero ob naturae imbecillitatem hucusque nulla. Si namque propter nervorum et muſculorum robur perrari quidem viri ambabus manibus utantur, par certe fuerit mulierem non uti, cui ſatis eſt, ſi ſola dextra mediocriter utatur. Amazonidas ſiquidem ipſe dixit mammam ſibi dextram adurere, ut copioſiore alimento ad propinquam mamam perveniente, major ipſi firmitas accedat tanquam naturae infirmae ac debili. Nonnulli tamen amphidexiam mulierem dictam eſſe contendunt quae dextra uteri parte procreata ſit. Atque his rurſum abſurdius alii qui de hermaphroditis appellatis Hippocrati hunc

Ed. Chart. IX. [315. 316.] Ed. Baſ. V. (322.)

τῷ μὲν ἄρρενι προσγίνεσθαι φάσκοντι γυναικεῖον αἰδοῖον, τῇ θηλείᾳ δὲ μὴ προσγίνεσθαι τὸ ἀνδρεῖον.

μδ'.

Ὁκόσοισιν ἔμπυοι καίονται ἢ τέμνονται ἢν μὲν τὸ πῦον καθαρὸν ῥυῇ καὶ λευκὸν, περιγίνονται, ἢν δὲ ὕφαιμόν τε καὶ βορβορῶδες καὶ δυσῶδες, ἀπόλλυνται.

---

[316] Ἐμπυήματα μὲν εἴωθεν ὀνομάζειν οὐ τὰ κατὰ θώρακα μόνον, ἀλλὰ καὶ τὰ καθ' ὁτιοῦν μόριον ἄλλο τοῦ σώματος εἰς πῦον ἀλλοιωθέντα φύματα. μόνους δὲ ἐμπύους προσαγορεύει τοὺπίπαν ἐξαιρέτους, οἷς μεταξὺ θώρακός τε καὶ πνεύμονος ἤθροισται τὸ πῦον, οὓς ὅτι συνήθως ἔκαιον οἱ παλαιοὶ μαθεῖν ἔστι καὶ ἐξ ὧν εἴρηκε Πλάτων ὁ κωμικὸς ἐπὶ Κινησίου κατὰ τήνδε τὴν ῥῆσιν· μετὰ ταῦτα δὲ Εὐαγόρου ὁ παῖς ἐκ πλευρίτιδος Κινησίας σκελετὸς, ἄπυος, καλάμινα σκέλη φορῶν, φθόης προφήτης, ἐσχάρας κεκαυμένος πλείστας ὑπ' Εὐρυφῶντος ἐν τῷ σώ-

aphoriſmum eſſe proferunt, in quo doceat mari quidem pudendum adnaſci muliebre, mulieri vero virile nequaquam.

XLIV.

Qui ſuppurati uruntur aut ſecantur, ſi pus purum et album effluat, evadunt, ſi ſubcruentum et coenoſum et graveolens, pereunt.

Empyemata conſuevit nominare non quae in thorace dumtaxat, ſed etiam quavis in alia parte in pus mutata ſunt tubercula. Prae ceteris vero empyos aut ſuppuratos vocitat plerumque ſolos, quibus inter pectus et pulmonem pus collectum eſt, quos urere conſueviſſe veteres, ex iis licet diſcere quae Plato comicus in Cineſia his verbis dixit. Poſtea vero Euagorae filius Cineſias e pleuritide ſceletus et aridus pure vacans, arundinacea gerens crura, tabis praenuncius, plurimis eſcharis corpus inuſtus ab Euriphonte in concionem prodiit. Quod autem pus

Ed. Chart. IX. [316.] Ed. Baf. V. (322.)

μαιι. ὅτι δὲ τὸ μὲν πῦον τὸ λευκὸν ἀγαθόν ἐστι, τὸ δὲ βορβορῶδες καὶ ὑσῶδες μοχθηρὸν οὐδεὶς ἀγνοεῖ.

μέ.

Ὁκόσοι τὸ ἧπαρ διάπυον καίονται, ἢν μὲν τὸ πῦον καθαρὸν ῥυῇ καὶ λευκὸν, περιγίνονται· ἐν χιτῶνι γὰρ τὸ πῦον τουτέοισίν ἐστιν· ἢν δὲ οἷον ἀμόργη ῥυῇ, ἀπόλλυνται.

Ὁ αὐτὸς εἶπε τὴν αἰτίαν, δι' ἣν οἱ μὲν ἀπόλλυνται τῶν οὕτως ἐχόντων, οἱ δὲ περιγίνονται· καὶ γὰρ οἷς ἐν χιτῶνι τὸ πῦόν ἐστι μηδὲν πεπονθυίας τῆς οὐσίας τοῦ σπλάγχνου σώζονται πάντες, οἷς δ' ἄχρι τῆς τοῦ ἥπατος σαρκὸς ἡ φθορὰ διήκει, δεόντως ἀποθνήσκουσιν. ὅτι δὲ ἀμόργην ὀνομάζουσιν οἱ Ἕλληνες τὴν ὑπόστασιν τοῦ ἐλαίου καὶ ὅτι τοιαύτης εἰκὸς γίνεσθαι τὴν ἄπεπτον σηπεδόνα τοῦ ἥπατος εὔδηλον παντί.

album bonum ſit, feculentum vero et foetidum malum nemo ignorat.

XLV.

Qui ſuppurato jecore aduruntur, ſi pus purum albumque fluat, ſoſpites evadunt, in tunica namque his pus ineſt, ſi vero qualis amurca fluat, pereunt.

Ipſe cauſam pronunciavit ob quam qui ita affecti ſunt, eorum quidam intereunt, quidam evadunt. Etenim quibus eſt in tunica pus, illaeſa viſceris ſubſtantia ſervantur omnes; quibus vero in carnem uſque jecoris corruptio penetrat, ii ratione moriuntur. Quod autem amorgen amurcam olei faecem Graeci nominent, quodque ipſi ſimilem par ſit eſſe jecoris crudam putredinem omnibus manifeſtum ſit.

Ed. Chart. IX. [316. 317.] Ed. Baſ. V. (323.)

μστ'.

(323) Ὀφθαλμῶν ὀδύνας ἄκρητον ποτίσας καὶ λούσας πολλῷ θερμῷ φλεβοτόμει.

---

[317] Τῶν παραγεγραμμένων εἶναί μοι δοκεῖ καὶ οὗτος ὁ ἀφορισμὸς, οὐχ ὁμολογῶν ἑνὶ τῶν ἔμπροσθεν εἰρημένων τὸ ὀδύνην ὀφθαλμῶν ἀκρατοποσίαν ἢ λουτρὸν ἢ πυρίην ἢ φλεβοτομίην ἢ φαρμακείην λύειν. τοῦτον μὲν τὸν ἀφορισμὸν ἐξήγημαι κατὰ τὸ ἕκτον ὑπόμνημα, δεικνὺς τὰς διαθέσεις, ἐφ' ὧν ἕκαστον χρὴ τῶν βοηθημάτων ἄγειν εἰς χρῆσιν. ὁ δὲ νῦν προκείμενος ἀφορισμὸς ἐπὶ μιᾶς διαθέσεως ἀξιοῖ χρῆσθαι τοῖς τρισὶ βοηθήμασιν. εἰ μὲν οὖν ἔχει τις ἡμᾶς διδάξαι τὴν διάθεσιν, ἐφ' ἧς χρεία τῶν τριῶν ἐστι βοηθημάτων, εἰσόμεθα χάριν αὐτῷ· μέχρι δ' ἂν ἐξηγῶνται μὲν τὸν ἀφορισμὸν ὡς γνήσιον, μὴ διδάσκωσι δ' ἡμᾶς τὴν διάθεσιν, οὐ πεισόμεθα ταῖς ἐξηγήσεσιν αὐτῶν. ἃ γοῦν λέγουσιν οἱ ὅλως ἐγχειρήσαντες εἰπεῖν τι, κἂν μετρίως πιθανὰ, ἔστι τοιαῦτα. ἐφ' ὧν αἷμα παχὺ τὸ πλεονάζον ἐστὶ

XLVI.

In oculorum doloribus epoto mero et copioſa calida toto corpore venam ſecato.

Hic aphoriſmus mihi quoque videtur ex adſcriptitiis eſſe, quum uni ex ſupra commemoratis minime congruat docenti: *oculorum dolores meri potionem aut balneum aut fomentum aut venae ſectionem aut purgationem ſolvere.* Atque hunc ſane aphoriſmum ſexto commentario explanavimus, oſtenſis iis affectibus, in quibus ſingula remedia ad uſum ducenda ſint. Propoſitus vero aphoriſmus in uno affectu tribus praeſidiis utendum eſſe jubet. Quamdiu vero hunc aphoriſmum tanquam legitimum explicuerint, neque nos quisnam is ſit affectus docuerint, eorum explanationibus nequaquam fidem adhibebimus. At quae dicunt ii qui omnibus modis aliquid etſi purum probabile dicere contendunt, ſunt hujusmodi. In quibus craſſus ſan-

Ed. Chart. IX. [317.] Ed. Baſ. V. (323.)

καὶ διὰ τοῦτο κενώσεως χρῄζον, ἄμεινον νομίζουσι χέοντες πρότερον αὐτὸ μετὰ ταῦτα χρῆσθαι τῇ φλεβοτομίᾳ, χεθήσεσθαι δὲ πιόντων τὸν ἄκραιον τῶν καμνόντων καὶ λουσαμένων. ἀλλ' οἱ ταῦτα λέγοντες ὅτι μηδέποτε διὰ πείρας ἦλθον ὧν λέγουσιν, ἀκριβῶς ἴσασιν οἱ τῶν ἔργων τῆς τέχνης τρίβωνες. οὔτε γὰρ οἶνον οὔτε λουτρὸν ἀνέχεται ἡ πληθωρικὴ διάθεσις ἄνευ μεγίστης βλάβης, ἀλλ' ἔστι ταῦτα τὰ βοηθήματα ταχέως αἵματος ἐσφηνωμένου κατά τι μόριον ἄνευ τοῦ καθ' ὅλον τὸ σῶμα πλήθους. οὕτω γοῦν καὶ ὁ Ἀσκληπιάδης οἴνῳ χρῆται μετὰ τὴν τοῦ παντὸς σώματος κένωσιν, ὑπὲρ τοῦ τὰς ἐνστάσεις ἰᾶσθαι. πλήθους δ' ὄντος ἐν ὅλῳ τῷ σώματι διαῤῥαγῆναι φθάνουσιν οἱ χιτῶνες ὀφθαλμῶν ἐν αὐτῷ τῷ πίνειν τε καὶ λούεσθαι. ὥστε εἰ μὲν ἄνευ πλήθους ἡ ὀδύνη γίγνοιτο, δι' ἔμφραξίν τε καὶ σφήνωσιν αἵματος παχέος, ὀρθῶς μὲν λούσουσί τε καὶ οἶνον δώσουσιν, οὐκ ὀρθῶς δὲ φλεβοτομήσουσιν· εἰ δὲ πλῆθος εἴη, καλῶς μὲν φλεβοτομήσουσιν, οὐκ ὀρθῶς δὲ λούσουσι καὶ οἶνον δώσουσιν.

---

guis redundat atque idcirco vacuatione eget, in his melius eſſe putant ſanguinem prius fundere, deinde uti phlebotomia; fuſilem autem fore et renuatum iri, ſi meracum aegri bibant et ſe balneis laverint. Verum in artis operibus exercitati plane norunt talia proloquutos proloquiorum ſuorum periculum nunquam feciſſe. Neque enim vinum neque balneum citra maximum detrimentum plethorica fert affectio. Sed haec ſunt craſſi ſanguinis parti cuidam impacti citra univerſi corporis plenitudinem praeſidia. Sic enim Aſclepiades vino utitur poſt totius corporis vacuationem enſtaſeων curandarum gratia. Quod ſi totius ſit corporis plenitudo, prius inter bibendum et lavandum dirumpentur tunicae quam earum expediatur obſtructio. Quare ſi citra plenitudinem dolor oboriatur propter obſtructionem et cuneationem craſſi ſanguinis, recte quidem laverint illi et vinum dederint, non etiam venam ſecuerint. Si vero plenitudo fuerit, tum recte venam ſecabunt, male vero lavationibus et vino utentur.

Ed. Chart. IX. [317. 318.] Ed. Baſ. V. (323.)

μζ'.

Ὑδρωπιῶντα ἢν βὴξ ἔχῃ, ἀνέλπιστός ἐστι.

Τοῦτο πρόσθεν εἴρηται· τοῖς ὑδρωπικοῖς βὴξ ἐπιγενομένη κακόν.

μη'.

[318] Στραγγουρίην καὶ δυσουρίην θώρηξις καὶ φλεβοτομίη λύει, τέμνειν δὲ τὰς εἴσω.

Ὅτι μὲν ἡ στραγγουρία τὴν κατὰ στράγγα τῶν οὔρων ἀπόκρισιν δηλοῖ τοὔνομα αὐτὸ διδάσκει. δυσουρία δὲ δύναται μὲν καὶ ἡ μετ' ὀδύνης οὔρησις εἰρῆσθαι, δύναται δὲ καὶ ἡ μετὰ δυσχερείας τινός, ὡς μόγις ἐνεργεῖν τὴν κύστιν. τὴν μὲν οὖν στραγγουρίαν αὐτῶν τε τῶν οὔρων ἐργάζεται ἡ δριμύτης, ἀῤῥωστία τε τῆς καθεκτικῆς ἐν τῇ κύστει δυνάμεως, ἥτις γίνεται διὰ δυσκρασίαν καὶ μάλιστα τὴν ψυχράν. τὴν δὲ δυσουρίαν, εἰ μὲν μετὰ ὀδύνης εἴη, φλεγμονὴ

XLVII.

Hydrope laborantem ſi tuſſis detineat, deſperatus eſt.

Haec ſententia ſupra jam pronunciata eſt. Hydropicis tuſſis ſuccedens malum.

XLVIII.

Stranguriam et dyſuriam thorexis et venae ſectio ſolvit. Interiores autem venae ſecandae ſunt.

Quod ſtranguria urinae guttatim ſtillantis excretionem ſignificet, nomen ipſum docet. Dyſuria vero dici poteſt tum quae cum dolore fit mixtio, tum quae cum quadam difficultate, adeo ut vix functionem ſuam obeat veſica. Porro ſtranguriam tum urinae ipſius efficit acrimonia tum retentricis facultatis veſicae imbecillitas quae ob intemperiem fit potiſſimumque frigidam. Dyſuriam quidem ſi cum dolore fuerit inflammatio et abſceſſus et ulceratio et in-

Ed. Chart. IX. [318.] Ed. Baſ. V. (323.)

καὶ ἀπόστημα καὶ ἕλκωσις ἀνώμαλός τε δυσκρασία καὶ πνεῦμα φυσώδες· εἰ δὲ δυσχερής τις κίνησις εἴη, ἢ ἀῤῥωστία δυνάμεως ἢ παρὰ φύσιν ὄγκος. ἐκ τούτων ἁπασῶν τῶν διαθέσεων τὴν μὲν ψύξιν ἡ θώρηξις λύει, τουτέστιν ἤτοι ἁπλῶς οἴνου πόσις ἢ ἀκρατεσιέρου· καὶ μέντοι τὴν τοιαύτην φλεγμονὴν, ἥτις δι' ἔμφραξιν παχέος αἵματος ἄνευ πλήθους ἐγένετο, τὴν δὲ σὺν πλήθει φλεγμονὴν, ἤδη δὲ καὶ τὴν ἄλλην, ὅση χωρὶς μὲν ἐνδείας ἐστὶ, μετ' εὐρωστίας δὲ δυνάμεως, ἴαται φλεβοτομία. περὶ δὲ τοῦ τέμνειν τὰς εἴσω φλέβας εἴρηταί μοι κατὰ τὸ πρὸ τούτου βιβλίον, ἐν ᾧ τόνδε τὸν ἀφορισμὸν ἐξηγούμην, δυσουρίην φλεβοτομίη λύει, τέμνειν δὲ τὰς εἴσω.

μθ'.

Ὑπὸ κυνάγχης ἐχομένῳ οἴδημα καὶ ἐρύθημα ἐν τῷ στήθει ἐπιγιγνόμενον ἀγαθόν. ἔξω γὰρ τρέπεται τὸ νοῦσημα.

---

aequalis intemperies et flatulentus ſpiritus faciunt; ſi vero difficilis quaedam veſicae motio exſtiterit tum vel facultatis imbecillitas vel tumor contra naturam cauſa eſt. Inter hos omnes veſicae affectus frigidum morbum ſolvit thorexis, hoc eſt vini ſimpliciter potio vel meracioris eamque praeterea inflammationem quae propter obſtructionem ſanguinis craſſioris citra plenitudinem facta ſit; quae vero cum plenitudine orta eſt inflammatio, imo etiam quae ſine defectu ſit et cum virium robore, utramque ſanat venae ſectio. Ceterum de venis interioribus ſecandis ſuperiore libro a me dictum eſt, in quo mihi explicatus eſt aphoriſmus ille, dyſuriam phlebotomia ſolvit. Vena autem interior incidenda eſt.

XLIX.

Ab angina detento ſi tumor et rubor in pectore oboriantur, bonum; foras namque vertitur morbus.

Ed. Chart. IX. [318. 319.] Baſ. V. (323.)

Οὗτος ὁ ἀφορισμὸς ἔμπροσθεν εἴρηται κατὰ τήνδε τὴν λέξιν· ὑπὸ κυνάγχης ἐχομένῳ οἴδημα γενέσθαι ἐν τῷ βρόγχῳ ἀγαθόν. ἐξήγημαι δ' αὐτὸν ἐν [319] *τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων. ἐνταῦθ' οὖν ἔοικε παραγεγράφθαι, προσθεῖναί τινος βουληθέντος τὸ ἔξω γὰρ τρέπεται τὸ πάθος.*

ν'.

Ὁκόσοισι σφακελισθῇ ὁ ἐγκέφαλος, ἐν τρισὶν ἡμέρῃσιν ἀπόλλυνται· ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίνονται.

Τὸ σφακελίζειν μὲν, ὡς πολλάκις εἴρηκεν ἐν τῷ περὶ ἀγμῶν καὶ ἄρθρων, ἐπὶ τοῦ διαφθείρεσθαι τοὔνομα φέρων, ἐντουθοῖ οὐκ ἐγχωρεῖ φθορὰν ἀκοῦσαι τοῦ ἐγκεφάλου προκειμένου τοῦ, ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίνονται. εἰ γὰρ δὴ φθορὰ τῆς οὐσίας ἐστὶν ὅλης ἑκάστου τῶν σφακελιζόντων μορίων ὁ σφάκελος, οὐκ ἐνδέχεται θεραπευθῆναι τὸν οὕτω κάμνοντα. μή ποτε οὖν ἐνίοτε οὕτω καταχρώμε-

Hic aphoriſmus antea his verbis ſcriptus eſt: *angina correpto cervicis tumorem oboriri bonum;* quem quidem explicavi quarto horum commentariorum. Hic igitur adſcriptus eſſe videtur, volente quopiam illud adjungere, *foras enim morbus vertitur.*

L.

Quibus cerebrum ſideratum eſt, ii intra tres dies intereunt; ſi vero hos effugerint, ſani evadunt.

Siderati quidem, ut plerumque libro de fracturis et articulis pronunciavit, pro corrumpi uſurpat vocabulum. Hic vero cerebri corruptionem intelligere non poſſumus hoc textu addito: *ſi vero hos effugerint, ſani evadunt.* Si namque ſphacelus totius ſubſtantiae ſit corruptio partis cujusque ſideratae, qui ita laborat curationem non admittit. Num igitur interdum hujus verbi abuſu, quum qui

Ed. Chart. IX. [319.] Ed. Baſ. V. (323.)

νοι φέρωσι τοὔνομα καὶ κατὰ τῶν ἀρχομένων μὲν ἐμπίπτειν τῇ διαθέσει, μηδέπω δ' ἀκριβῶς ἐχόντων αὐτὴν συμπεπληρωμένην. τοιαῦτα γάρ τινα κἀπὶ τῶν σαρκωδῶν μορίων ἐν ταῖς γαγγραίναις συμβαίνει, τοῦ μὲν πάθους αὐτοῦ διὰ μέγεθος τῆς φλεγμονῆς ἀναισθησίαν τε καὶ μελασμὸν ἢ πάντως γε νεκρώδη τινὰ χροιὰν ἐπιφέροντος τῷ πάσχοντι μορίῳ. γαγγραινοῦσθαι δὲ λέγομεν καὶ τὸν ἀρχόμενον ἐμπίπτειν τῇ διαθέσει. ὥσπερ οὖν γάγγραιναν ἤδη μὲν συμπεπληρωμένην, ὡς νενεκρῶσθαι τὸ μόριον ἀδύνατον ἰᾶσθαι, γεννωμένην δ' ἔτι δυνατὸν, οὕτω καὶ σφάκελον. καίτοι γε καὶ τὴν ἐν τοῖς σαρκώδεσι μορίοις νέκρωσιν ἐπὶ μεγέθει φλεγμονῆς, ἣν ἰδίως ὀνομάζουσι γάγγραιναν οἱ ἰατροὶ καὶ ταύτην οἱ Ἕλληνες ἐκάλουν σφάκελον. οὕτω γοῦν μοι δοκεῖ καὶ ὁ Ἡρόδοτος τὸν μηρὸν εἰρηκέναι τοῦ Καμβύσου σφακελίζεσθαι καὶ τὸν ἐγκέφαλον δὲ σφακελίζειν οὕτως ἄν τις εἴποι μόνως· καὶ μέντοι καὶ διὰ τί παχὺς ὁ θάνατος ἐπ' αὐτοῦ, πρόδηλον ὡς τοῦ τε πάθους ὄντος χαλεπωτάτου καὶ μορίου κυριωτάτου. μὴ φθάσαντος δὲ ἀποθανεῖν ἐν τρισὶ

hanc in affectionem incidere incipiunt, eos nondum plane ipſam completam habere ſignificent. Ejusmodi enim nonnulla carnoſis etiam partibus per gangraenas accidunt, quum affectus ob inflammationis magnitudinem parti laboranti et anaeſtheſiam (ſenſus vacuitatem) et nigritiem aut omnino cadaveroſum quendam calorem conciliat. Eum autem etiam gangraena laborare dicimus, qui hunc in affectum incidere incipit. Quemadmodum igitur jam completam eoque progreſſam gangraenam ut pars emoriatur, ſanare non licet, dum vero adhuc generatur licet: ſic etiam ſphacelum. Quamquam carnoſarum etiam partium necroſin quae inflammationis ſequitur magnitudinem et quam medici gangraenam proprie nominant, etiam ſphacelum Graeci appellabant. Ita ſane Herodotus Cambyſis femur ſiderari dixiſſe mihi videtur; cerebrum quoque ſiderari ſolum ita quispiam diceret. Atque etiam quamobrem cita mors ſiderato cerebro oboriatur, manifeſtum eſt, tum quia graviſſimus tum quia pars maxime princeps. Quod

Ed. Chart. IX. [319. 320.] Ed. Baſ. V. (323. 324.)

ταῖς πρώταις ἡμέραις τοῦ κάμνοντος, ἀλλ' εἰς τὴν τετάρτην ἀφικομένου, παρακμάζειν τε χρὴ τὸ πάθος ἐλπίζειν, ἐρρῶσθαί τε τὴν δύναμιν, ὡς κρατῆσαι τελέως αὐτοῦ.

να'.

[320] Πταρμὸς γίνεται ἐκ τῆς κεφαλῆς διαθερμαινομένου τοῦ ἐγκεφάλου ἢ διυγραινομένου τοῦ ἐν τῇ κεφαλῇ κενοῦ· ὑπερχεῖται γὰρ ὁ ἀὴρ ὁ ἐνεὼν ἔξω. ψόφει δὲ ὅτι διὰ στενοῦ αὐτῷ ὁ διέξοδός ἐστιν.

---

(324) Αἱ τοιαῦται λέξεις δύο σημαίνουσιν, ἓν μὲν καθόλου λεγόμενον ἐπὶ παντὸς τοῦ προκειμένου πράγματος, ὥσπερ ἐνταῦθα τῶν πταρμῶν, ἕτερον δ' ἐπὶ μέρους, ὡς ἐνταῦθα περὶ τῶν ἐξ ἐγκεφάλου γινομένων πταρμῶν. ὁ μὲν οὖν πρῶτος λόγος ἔσται τοιοῦτος· πᾶς πταρμὸς ἐξ ἐγκεφάλου γίνεται, διαθερμαινομένου τοῦ ἐγκεφάλου ἢ διυγραινομένου τοῦ ἐν τῇ κεφαλῇ κενοῦ, ὥσπερ ἐστὶν ἀληθέ-

ſi tribus primis diebus aeger prius non interierit, ſed ad quartum diem perveniat, morbum declinare et vires ita roborari ſperandum eſt, ut morbum omnino evicerint.

LI.

Sternutatio cietur ex capite, calefacto cerebro aut perhumectato quod in capite eſt vacuo. Aër enim intus contentus foras erumpit. Strepit autem quod ipſi per anguſtum ſit exitus.

Tales ſententiae duo ſignificant; unum quod univerſaliter de omni re propoſita dicitur, veluti hoc textu de ſternutationibus; alterum quod particulariter, ut hic de ſternutationibus ex capite factis. Prima itaque ſententia talis erit, omnis ſternutatio cietur ex capite percalefacto cerebro aut perhumectato quod in capite eſt vacuo. Secunda vero ſternutamentum ex capite ſumens impetum oboritur, cerebro excalefacto aut perhumectata cerebri

Ed. Chart. IX. [320.] Ed. Baſ. V. (324.)

στερος· οὐ γὰρ πᾶς πταρμὸς γίνεται διαθερμαινομένου τοῦ ἐγκεφάλου ἢ διυγραινομένου τοῦ ἐν τῇ κεφαλῇ κενοῦ. πτεροῖς γοῦν τινες ἐρεθίζοντες τὰς ῥῖνας πτάρνυνται καὶ μετὰ βηχὸς δέ τι πνεῦμα κάτωθεν ἀφικνούμενον εἰς τοὺς τῆς ῥινὸς πόρους αἴτιον γίνεται πταρμοῦ. καὶ τὸ νομίζειν δὲ τὸν ἐκ τῆς κεφαλῆς ἐκκρινόμενον ἀέρα μόνον εἶναι τὸν ψοφοῦντα, προφανῶς ψεῦδός ἐστιν. ἐναργῶς γὰρ φαίνεται κάτωθεν ἐκ τοῦ πνεύμονος ὁ ἀὴρ ἀναφερόμενος, ἀθρόως συστελλομένου τοῦ θώρακος. ἀλλὰ καὶ τὸ προηγεῖσθαι τοῦ πταρμοῦ τὴν εἰσπνοὴν ἀθροιζούσης τῆς φύσεως ἀέρα δαψιλῆ, πρὸς τὴν τοῦ πταρμοῦ γένεσιν ὁμολογεῖ τοῖς εἰρημένοις. μόνος οὖν ὁ τὴν ἀρχὴν τῆς γενέσεως ἔχων, ὄρεξιν τῆς φύσεως ἀποκρῖναι φυσώδες ἐκ τῆς κεφαλῆς πνεῦμα, τοῦτον γίνεται τὸν τρόπον, ὃν ἐπιχειρεῖ διδάσκειν ὁ ἀφορισμός, οὐδὲ τοῦτον ἴσως πάντα, τὸ γὰρ διυγραινομένου περιττὸν εἰς πταρμοῦ γένεσιν. εἰ γὰρ καὶ πλεονάζει τι κατὰ τὴν κεφαλὴν ὑγρὸν, οὐκ ἐργάζεται πταρμὸν ἄνευ τοῦ πνευματωθῆναι· καὶ τοῦτο φαίνεται προφανῶς ἐπὶ πολλῶν

vacuitate; quae ſententia verior exiſtit. Non enim omnis ſternutatio fit ex calefacto cerebro aut perhumectato capitis vacuo. Quidam enim nares pennis proritantes ſternutant, atque cum tuſſi quidam ſpiritus inferne elatus ad naris meatus ſternutationis cauſa fit. Praeterea augurari ſolum qui ex capite excernitur aër eum eſſe qui ſonitum edat, eſt manifeſto falſum. Evidenter enim apparet, qui ex pulmone inferne ſurſum effertur aër ſeſe univerſim et repente contrahente thorace. Sed et praecedente inſpiratione fieri ſternutationem natura copiam aëris ad ſternutamenti generationem colligente praedictis congruit. Sola itaque ſternutatio quae ſuae generationis principium habet, appetitionem naturae flatulentum ex capite ſpiritum excernendi hoc modo fit, quem docere vult hoc aphoriſmo Hippocrates, neque fortaſſis hunc omnem. Nam quod ait *perhumectato*, ad ſternutamenti generationem ſupervacaneum eſt. Etenim ſi quis in capite redundet humor, non tamen is ſternutamentum efficit, niſi flatu-

Ed. Chart. IX. [320. 321.] Ed. Baſ. V. (324.)

ἐκκρινόντων μὲν ὑγρότητα διὰ μυκτήρων παμπόλλην, οὐ πταρνυμένων ἐξ ἀνάγκης ἐπὶ πολύ. ἐκεῖνοι μὲν γὰρ μόνοι πτάρνυνται τῶν οὕτω διακειμένων, οἷς δακνώδες ἐστι τὸ καταῤῥέον ὑγρὸν, ὡς εἰ καὶ τοῖς μυκτῆρσιν αὐτοῖς ἐνθείης τι δακνῶδες. ὥσπερ γὰρ ἡ βῆξ φυσικόν τι σύμπτωμά ἐστιν, ἕνεκα τοῦ καθαίρεσθαι τὰς ἐν τῷ πνεύμονι τραχείας ἀρτηρίας, οὕτω καὶ ὁ πταρμὸς ἐναργῶς φαίνεται καθαίρων τοὺς κατὰ τὴν ῥῖνα πόρους. διττῆς δ' οὔσης αὐτοῖς τῆς συντρήσεως, εὐρείας μὲν εἰς τὸ στόμα, διὰ λεπτοτέρων δὲ πόρων εἰς τὸν ἐγκέφαλον. ἡ μὲν εἰς [321] τὸ στόμα σύντρησις ὑπὸ τοῦ κάτωθεν ἀναφερομένου πνεύματος, οἱ δ' εἰς τὸν ἐγκέφαλον ἀνήκοντες πόροι πρὸς τοῦ κατιόντος ἐξ ἐκείνου καθαίρονται. καί σοι παραφυλάττοντι φανοῦνται κουφίζοντες τὰ βάρη τῆς κεφαλῆς οἱ ἐξ ἐγκεφάλου τὴν ἀρχὴν τῆς κινήσεως ἔχοντες πταρμοί. γίνονται γὰρ ἀραιουμένων καθαιρομένων τε τῶν κατὰ τὴν κεφαλὴν ὑγρῶν ἐκκρινομένων τε τῇ τῆς φύσεως ὁρμῇ. τὸ δ' ἀραιοῦσθαι γίνεται αὐτοῖς θερμαινομένοις. θερμαίνονται δὲ ὑπὸ τῆς

lentus reddatur. Atque hoc aperte proditur in multis, qui licet copioſum per nares humorem excernant, non tamen neceſſario plerumque ſternuunt. Illi namque ſoli ex iis ita affectis ſternutant, quibus mordax eſt qui a capite ſemper defluit, ac ſi quid mordax naribus imponas. Quemadmodum enim tuſſis quoddam naturale ſymptoma eſt, ad expurgandas pulmonis aſperas arterias, ſic etiam ſternutamentum narium meatus manifeſto expurgare videtur. Quum autem gemina ſit perforatio, lata quidem ad os, per exiles vero meatus ad cerebrum, quod ad os pervenit foramen a ſpiritu inferne ſurſum expeditur; qui vero in cerebrum ferunt meatus, ab eo quod inde defertur ſpiritu expurgantur. Atque tibi accurate obſervanti ſternutamenta ex cerebro motus initium habentia capitis gravitatem levare videbuntur. Fiunt enim tum rarefactis qui ſunt in capite humoribus tum naturae impetu excretio. Rarefiunt autem ipſi concalefacti. Calefiunt autem

Ed. Chart. IX. [321.] Ed. Baf. V. (324.)

ἐμφύτου θερμασίας ἀναζωπυρουμένης, ἧς διὰ τὴν ἀῤῥωστίαν πρότερον ἤθροιστο τὰ περιττὰ τῶν ὑγρῶν. ὅταν οὖν εἴπῃ διυγραινομένου τοῦ ἐν τῇ κεφαλῇ κενοῦ, μάλιστα μὲν ἀκουστέον τοῦ κατὰ τὰς κοιλίας τοῦ ἐγκεφάλου, ἤδη δὲ καὶ τοῦ περιέχοντος αὐτὸν ἔξωθεν. εὔπορον γάρ ἐστι κἀκεῖνο διὰ τοῦ ἐγκεφάλου, πρότερον μὲν εἰς τὰς κοιλίας αὐτὰς, ἐντεῦθεν δ' ὑπελθεῖν εἰς τὴν ῥῖνα. τὸ δὲ τῷ ἀθρόῳ τῆς ἐκπτώσεως αὐτοῦ γίνεσθαι τὸν ψόφον, αὐτὸς ὁ Ἱπποκράτης εἶπεν. ἔστι δὲ τοῦτο κοινὸν ὁποτέρωθεν ἂν ἔχηται, εἴτ' οὖν ἐκ τοῦ πνεύμονος ἀναφερόμενος εἴτ' ἐκ τῆς κεφαλῆς καταφερόμενος.

με'.

Ὁκόσοισι ἤπαρ περιοδυνᾶται, τουτέοισι πυρετὸς ἐπιγινόμενος λύει τὴν ὀδύνην.

Τὸ ἐπιγινόμενον ὄνομα δηλωτικόν ἐστι τοῦ πρόσθεν, ὅτι περιωδυνῶντο, μὴ πυρέττειν αὐτούς. εἴπερ οὖν τὸ ἦπαρ

nativo calore ſeſe exſuſcitante, cujus propter imbecillitatem prius coacervata fuerat ſupervacanea humiditas. Quum itaque ait perhumectato quod in capite eſt vacuo, praecipue quidem intelligenda venit ventriculorum cerebri vacua cavitas, imo etiam vacuum quod cerebrum ambit exterius. Tranſit enim illud per cerebrum primum quidem in partes ventris, deinde ad nares adſcendit. Quia vero confertim erumpit ſpiritus, ſonum elidi ipſe pronunciat Hippocrates. Is autem ſtrepitus communis eſt, undecumque venerit, ſive ex pulmone efferatur ſive ex capite deferatur.

LII.

Quibus jecur vehementer dolet, iis ſuccedens febris dolorem ſolvit.

Vocabulum ſuccedens indicat antea quum vehementer cruciabantur, eos non febricitaſſe. Si itaque jecur vehe-

Ed. Chart. IX. [321. 322.] Ed. Baſ. V. (324.)

ὀδυνᾶται σφοδρῶς ἢ διὰ φλεγμονὴν ἰσχυρὰν ἢ διὰ πνεῦμα φυσῶδες, οὐκ ἦν αὐτοῖς φλεγμονή, πάντως γὰρ ἂν ἐπύρεττον. εὔλογον οὖν ὑπὸ φυσώδους πνεύματος ὀδυνᾶσθαι τὸ σπλάγχνον αὐτοῖς. ὀδυνᾶται μὲν καὶ δι' ἔμφραξιν, ἀλλὰ μετρίως καὶ μετὰ βάρους μᾶλλον ἢ σφοδρᾶς ὀδύνης. ἡ δὲ σφοδρὰ ὀδύνη διὰ πνεῦμα φυσῶδες ἢ φλεγμονὴν ἤτοι μεγίστην ἢ διαπυΐσκουσαν γίνεται.

νγ'.

Ὁκόσοισι συμφέρει αἷμα ἀφαιρεῖσθαι ἀπὸ τῶν φλεβῶν, τούτους χρὴ ἔαρι φλεβοτομεῖσθαι.

---

[322] Οὗτος ὁ ἀφορισμὸς μόριόν ἐστι τοῦ διὰ τοῦ ἔμπροσθεν εἰρημένου κατὰ τόνδε τὸν τρόπον· ὁκόσοις φαρμακείη ἢ φλεβοτομίη συμφέρει, τοῦ ἦρος φλεβοτομεῖν ἢ φαρμακεύειν. ἐν τισι δὲ τῶν ἀντιγράφων ὅλως οὐ γέγραπται. καὶ τινὲς μὲν τῶν ἐξηγησαμένων τὸ βιβλίον ἴσασι δίς τε

menter doleat, id fit vel propter fortem inflammationem vel ob inflammatum ſpiritum, ſed ipſis non aderat inflammatio, alioqui omnino febricitaſſent. Par eſt igitur a flatulento ſpiritu viſcus ipſis dolorem contraxiſſe. Dolet ſane jecur etiam propter obſtructionem, ſed moderate et cum quodam ponderis potius quam vehementis doloris ſenſu. At vehemens dolor propter flatulentum ſpiritum aut inflammationem maximam aut ſuppurantem concitantur.

LIII.

Quibus e venis ſanguinem detrahere confert, iis vere vena ſecanda eſt.

Hic aphoriſmus pars eſt ejus qui ſupra hoc modo enunciatus eſt: *quibus purgatio aut venae ſectio confert, iis vere vena ſecanda aut purgatio imperanda eſt.* Unde quibusdam in exemplaribus non omnino ſcriptus eſt. Id ſciunt libri interpretes nonnulli et bis ſcripſerunt, non-

Ed. Chart. IX. [322.] Ed. Baſ. V. (324.)

γράφουσιν αὐτὸν, ἔνιοι δ' οὐδ' ὅλως μέμνηνται. θαυμάσαι δ' ἐστὶ τῶν μὴ μόνον γραφόντων δὶς τοὺς αὐτοὺς ἀφορισμοὺς, ἀλλὰ καὶ τὰς ἐξηγήσεις προστιθέντων ἐν τοῖς αὐτοῖς ὑπομνήμασιν, ἄνευ τοῦ ἐπισημαίνεσθαι, ἤδη τῶν ἔμπροσθεν γεγραμμένων ὑπάρχειν αὐτοὺς, ἐνίους μὲν ὅλους, ἐνίους δ' ἐκ μέρους, ὥσπερ καὶ τόνδε. τί ποτ' οὖν ἔδοξεν ἢ τοῖς προστιθεῖσι τοὺς τοιούτους ἀφορισμοὺς ἐπὶ τῆς τοῦ βιβλίου τελευτῆς ἢ αὐτῷ τῷ Ἱπποκράτει, δὶς ὑπὲρ τῶν αὐτῶν μνημονεύειν καί τισι τῶν ἐξηγησαμένων δὶς ἐξηγεῖσθαι, μὰ τοὺς θεοὺς, οὐκ ἔχω συμβαλεῖν. οὔτε γὰρ αὐτὸν τὸν συγγραφέα πιθανόν ἐστιν ἐπιλήσμονα τῶν τηλικούτων ὑπάρχειν, καὶ μάλισθ' ὅταν ᾖ τοιοῦτος, οἷον ἴσμεν ἐν ἅπασιν ὄντα τὸν Ἱπποκράτην, οὔτε τῶν προστιθέντων ἢ λήθην τοσαύτην ἢ τινα ἄλλην πανουργίαν ἐστὶν ἐπινοῆσαι, δι' ἣν δὶς ἔγραψαν ὑπὲρ τῶν αὐτῶν. ἔτι τε μᾶλλόν ἐστι τῶν ἐξηγητῶν ἐκείνων θαυμάζειν ὅσοι δὶς ἐξηγούμενοι τοὺς αὐτοὺς ἀφορισμοὺς οὐδ' αὐτὸ τοῦτο προσέθεσαν, ὅτι δεύτερον

nulli ipſum nequaquam prorſus meminerunt. Mirari licet quosdam qui non ſolum eosdem aphoriſmos bis ſcribunt, verum etiam in iisdem commentariis explicationes addunt, nulla data ſignificatione aut mentione facta, jam antea ſcriptos eſſe integros quosdam, alios parte altera defectos, cujusmodi praeſens eſt. Quid igitur iſti cenſuerint aut qui tales ad calcem libri aphoriſmos addiderint aut ipſe Hippocrates ut de iisdem bis faceret mentionem aut quidam interpretes qui unum aphoriſmum bis expoſuerunt, per deos, conjicere non poſſum. Neque enim credibile eſt ipſum auctorem in tantis rebus tam oblivioſum fuiſſe, ac praeſertim quum talis fuerit, qualem Hippocratem in omnibus extitiſſe novimus; neque rurſum tantam eorum qui addiderint oblivionem vel quandam aliam vafritiam cogitatione comprehendere poſſumus, propter quam bis de eisdem ſcribere voluerint. Praeterea vero etiam magis eos enarratores mirari decet, qui quum eosdem aphoriſmos bis exponant, ne hoc quidem ipſum meminerunt,

Ed. Chart. IX. [322. 323.] Ed. Baſ. V. (324.)

αὐτὸ ποιοῦσι. καὶ τούτων ἔτι μᾶλλον ὅσοι καὶ διαφόρους ἐξηγήσεις ἔγραψαν, ἔν τε τούτοις ἐπὶ τῇ τελευτῇ καὶ τοῖς ἔμπροσθεν ἐπὶ τῶν αὐτῶν εἰρημένοις.

νδ'.

Ὁκόσοισι μεταξὺ τῆς γαστρὸς καὶ τῶν φρενῶν φλέγμα ἀπόκειται καὶ ὀδύνην παρέχει οὐκ ἔχον ἔξοδον, οὐδὲ εἰς ἑτέρην τῶν κοιλιῶν, τουτέοισι κατὰ τὰς φλέβας ἐς τὴν κύστιν τρεπομένου τοῦ φλέγματος λύσις γίνεται τῆς νούσου.

Εἰκότως ἀπορεῖν μοι δοκεῖ Μαρῖνος, ἀδύνατον ἡγούμενος συστῆναι μεταξὺ γαστρὸς καὶ φρ· ῶν φλέγμα. καταῤῥυήσεται γὰρ αὐτὸ κάτω μέχρι τῶν τῆς ἤβης ὀστῶν. οὐ μὴν οὐδὲ μεταληφθῆναι δύνασθαί φησιν [323] *εἰς τὰς φλέβας τοῦτο, καθάπερ ἐπὶ τῶν ὑδερικῶν ἡ λεπτὴ καὶ ὑδατώδης ὑγρότης μεταλαμβανομένη δι' οὔρων ἐκκρίνεται. ἀκούειν οὖν φησι χρῆναι τοῦ μεταξὺ τῶν φρενῶν τε καὶ*

quod ſecundo id facerent. Eos denique etiamnum magis miramur, qui diverſis locis et hic prope libri finem diverſas et pugnantes expoſitiones ſcriptis mandarunt.

LIV.

Quibus inter ventriculum et ſeptum transverſum pituita moratur et dolorem exhibet, neque in alterutrum ventrem viam non habet, iis per venas in veſicam pituita verſa morbi fit ſolutio.

Merito Marinus animi pendere mihi videtur, fieri non poſſe ratus inter ventriculum et ſeptum transverſum pituitam conſiſtere. Ipſa namque deorſum aduſque pubis oſſa defluxura eſt. Non tamen hanc etiam in venas traduci ac remeare poſſe pronunciat, quemadmodum in hydropicis, quae tenuis et aquoſa humiditas reſumpta per urinas excernitur. Itaque hic textus, inter ſeptum transverſum et ventriculum, accipiendus eſt pro inter proprium

Ed. Chart. IX. [323.] Ed. Baf. V. (324. 325.)

τῆς γαστρὸς, ἀντὶ τοῦ μεταξὺ φρενῶν ἰδίου σώματος, ὃ σαρκῶδές ἐστι καὶ τῆς τοῦ περιτοναίνου κορυφῆς. ἀλλ' εἰ καὶ οὕτως ἀκούσαιμεν, ὦ Μαρῖνε, τὴν εἰς τὰς φλέβας μετάληψιν ὁμοίως (325) ἄπορον εἴη. οὐ δυνατὸν γὰρ ἐντεῦθεν ἐπὶ τοὺς νεφροὺς ἀφικέσθαι διὰ φλεβῶν, οὐδ' ἐκ τῆς ὑπὸ τὸ περιτόναιον εὐρυχωρίας ἀδύνατον πρὸς τῷ καὶ παντελῶς ἄκυρον εἶναι τὴν κατάχρησιν τῆς κατὰ γαστέρα προσηγορίας. οὐδὲν γὰρ ὅμοιόν ἐστι περιτοναίῳ καὶ γαστρὶ, διύτι τῆς προσηγορίας κοινωνήσουσι. κάλλιον ἦν ἀκούειν μὲν ὥσπερ ἅπαντες ἤκουσαν, ἐκείνην ὑπ' αὐτοῦ λέγεσθαι τὴν εὐρυχωρίαν, ὅση κάτω μέν ἐστι τῶν φρενῶν, ἔνδον τε τοῦ κατ' ἐπιγάστριον περιτοναίου, σκοπεῖν τε εἰ δυνατόν ἐστιν ὃ λέγει γινωσκόντων ἡμῶν ὡς ἀεὶ ταῖς ὕλαις ὁδὸν εὑρίσκειν οἴεται τὴν φύσιν ὁ Ἱπποκράτης, ὅταν ἐρῥωμένη τυγχάνει κἂν ὅτι μάλιστα παχεῖαί πως εἰσι καὶ διὰ λεπτῶν ὁδοιπορουῦσι πόρων, ὅπου γε καὶ δι' ὀστῶν ἀποστάσεις γίνεσθαί φησιν. ὁρῶμεν δὲ καὶ τὸ μεταξὺ Θώρακός τε καὶ

ſepti transverſi corpus, quod carnoſum eſt et peritonaei ſummum. Verum etiam ſi, ut vis, ita intellexerimus, o Marine, eam tamen pituitae in venas reſumptionem ac meatum ſimiliter facilem eſſe dubium eſt. Non enim inde poteſt per venas in renes pervenire, quod fieri ex ea capacitate poteſt, quae ſub peritonaeo eſt poſita. Huc adde impropriam prorſus eſſe appellationis ventriculi abuſionem. Nihil enim peritonaeo et ventriculo eſt ſimile, cujus gratia ejusdem nominis communionem ſortiantur. Praeſtat igitur accipere, quemadmodum omnes intellexerunt, illud ſpatium ab eo dici quod intra ſeptum transverſum eſt, neque intra interioris peritonaei partem continetur epigaſtrio reſpondentem, ſimulque expendere an quod ab ipſo dicitur fieri poſſit. In quo nos ſcire oportet, arbitrari Hippocratem naturam ſemper, ſi ſit robuſta, materiae viam moliri et invenire, etiam ſi quam maxime craſſa ſit et per exiles tranſitura meatus, quando per oſſa etiam abſceſſus fieri dicat. Et vero in ſuppuratis inter

Ed. Chart. IX. [323.] Ed. Baſ. V. (325.)

πνεύμονος ὑγρὸν ἐπὶ τῶν ἐμπύων ἀναβηττόμενον. ἐνίοτε δὲ καὶ διὰ τοῦ δέρματος ὑγιοῦς ὑπάρχοντος αἷμα διεκπῖπτον ἐπὶ τῶν πωρουμένων ὀστῶν. οὔκουν οὐδ' ἐφ' οὗ νῦν εἶπεν ὁ Ἱπποκράτης φλέγματος ἀδύνατον παντάπασιν ὑποληπτέον εἰς οὖρα γενέσθαι μετάληψιν, ἀλλ' ἐγχωρεῖν ποτε καὶ τοῦτο ὑπὸ τῆς φύσεως πραχθῆναι, προλεπτυνάσης κατὰ βραχὺ τὸ φλέγμα, καθάπερ ἐπὶ τῶν ἐμπύων τὸ πῦον.

νζ'.

Ὁκόσοισι τὸ ἦπαρ ὕδατος πλησθὲν εἰς τὸν ἐπίπλουν ῥαγῇ, τουτέοισιν ἡ κοιλίη ὕδατος ἐκπιμπλᾶται καὶ ἀποθνήσκουσιν.

Ἐπιτηδειότατόν ἐστι τὸ ἦπαρ ὑδατίδας γεννῆσαι κατὰ τὸν ἔξωθεν αὐτῷ περικείμενον ὑμένα. φαίνεται γοῦν ἐπὶ τῶν σφαττομένων ζώων ἐνίοτε μεσιόν. ἐὰν οὖν ποτε συμβῇ ῥαγῆναι τὰς ὑδατίδας, ἐκχεῖται δηλονότι τὸ ὕδωρ εἰς τὴν

thoracem et pulmonem collectum humorem cum tuſſi exſpui conſpicimus. Nonnunquam vero et per cutim integram exiſtentem ſanguinem excidere in oſſibus quae fracta coaleſcunt. Neque igitur nunc pituitam, de qua Hippocrati ſermo eſt, arbitrari oportet ad urinas traduci omnino non poſſe. Verum hoc etiam aliquando a natura multo ante pituitam ejusmodi, ut in empyis paulatim extenuante fieri arbitrandum eſt.

LV.

Quibus jecur aqua repletum in omentum eruperit, iis venter aqua impletur ac intereunt.

Jecur hydatidibus in ea quae foris ipſum ambit tunica procreandi maxime idoneum eſt. Jugulatis ſiquidem animalibus apparet interdum hepar hiſce veſiculis aqua plenis refertum. Si quando igitur contigerit hydatidas

Ed. Chart. IX. [323. 324.] Ed. Baſ. V. (325.)

κατ' ἐπιγάστριον περιτοναίου χώραν, ἐν ᾗ καὶ τὸ κατὰ τοὺς ὑδέρους ἀθροίζεται. εἰς δὲ τὸ ἐπί- [324] πλοον οὐχ οἷον τε ῥαγῆναι τὸ ὕδωρ ἄνευ τοῦ διαβρωθῆναί πως αὐτό. στεγανὸν γάρ ἐστι πανταχόθεν, ὡς δὲν εἰς αὐτὸ παρεμπεσεῖν ἐκ μηδενὸς ἄλλου μορίου, πλὴν ἐκ γαστρὸς καὶ κώλου καὶ σπληνός, ἐκείνων τε τῶν μερῶν, ὅθεν ἐκπέφυκεν· ἢ τοίνυν βούλεται διαβιβρώσκεσθαι τὸν περιτόναιον ἐν τοῖς δεξιοῖς δηλονότι μέρεσιν αὐτοῦ καθ' ἃ πλησιάζει τῷ ἥπατι. ἢ εἰς τὸ ἐπίπλουν ἀκουστέον ἀντὶ τοῦ εἰς τὴν χώραν αὐτοῦ. τὸ δ' ἐμπίπλασθαι τὴν κοιλίαν ὕδατος οὐκ ἐπ' αὐτῆς εἴρηται τῆς τὰ σιτία δεχομένης γαστρὸς, ἀλλὰ τοῦ παντὸς κύτους, ὃ κάτω τοῦ θώρακός ἐστι, καθ' ὃ σημαινόμενον οἵ τε προγάστορες λέγονται καὶ αἱ γυναῖκες ἔχειν ἐν γαστρί. τὸ δ' ἀποθνήσκειν οἷς ἐνταῦθα τὸ ὕδωρ ἀθροίζεται σκεπτέον. ἢ γὰρ διηνεκῶς ἀκουστέον ἢ ὡς τὸ πολύ. σώζονται γοῦν ἔνιοι καὶ τῶν ὑδερικῶν, καίτοι τῆς τοιαύτης χώρας αὐτοῖς ὕδατος ἐμπλησθείσης. οὐ μὴν οὐδ' ἀδύνατόν ἐστιν ὥσπερ ἐπ' ἐκείνων, διά τε τῶν ὑδατώδη καθαιρόντων φαρμάκων καὶ προσέτι

rumpi, aqua ſane in peritonaei regionem per epigaſtrium effunditur, in qua etiam per hydropas colligitur. In omentum autem aqua erumpere non poteſt, niſi ipſum aliquatenus erodatur. Denſum enim ac undique ita ſolidum eſt ut nihil in ſe ex parte alia intercidat, praeterquam ex ventriculo, colo et liene illisque partibus, unde ipſum enaſcitur. Aut igitur excedi vult peritonaeum parte nimirum ejus dextra, qua jecori vicinum eſt, aut in illud omentum eruperit pro in omenti regionem accipiendum eſt. Ventrem autem a quo impleri non de eo qui cibaria recipit a ventre dictum eſt, ſed de tota quae infra eſt thoracem, cavitate, quo ſignificatu et ventricoſi et ventrem geſtare mulieres dicuntur. An vero quibus eo loci aqua coacervatur moriantur conſiderandum. Nam aut ſemper aut plerumque ita fieri intelligere oportet. Soſpites enim evadunt nonnulli hydropici, etiam ſi ipſis talis regio aqua impleatur. Quemadmodum in his curatio poteſt perfici tum medicamentis hydragogis tum praeterea

Ed. Chart. IX. [324.] Ed. Baf. V. (325.)

τῶν οὐρητικῶν, ἐπιθημάτων τε τῶν ἐξατμίζειν δυναμένων ὑγρότητα τοιαύτην, οὕτω καὶ τούτων γενήσεσθαι τὴν θεραπείαν.

νή.

Ἀλύκη, χάσμη, φρίκη, οἶνος ἴσος ἴσῳ πινόμενος λύει τὴν νόσον.

Σολοικοφανὲς εἰκότως ἐνίοις ἔδοξεν εἶναι τὸ σχῆμα τοῦ λόγου καὶ διὰ τοῦτ' ἔνιοι κατ' αἰτιατικὰς πτώσεις ἔγραψαν ἀλύκην, χάσμην, φρίκην, οἶνος ἴσος ἴσῳ πινόμενος λύει. διαφέρει γοῦν εἰς τὸ παρὸν, καθ' ὁποτέραν ἄν τις γραφὴν ἐξηγήσηται τὸν ἀφορισμόν. ἐπίστασθαι γὰρ χρὴ πρῶτον ὅτι προσηγόρευκεν ἀλύκην, ἣν οἱ πολλοὶ τῶν Ἑλλήνων ὀνομάζουσιν ἄλην, ἔπειτα δ' ἥτις ἐστὶν ἡ τοῦτ' ἐργαζομένη τὸ σύμπτωμα διάθεσις. ἀλύειν μὲν οὖν λέγουσιν ἐκείνους τῶν ὑγιαινόντων, ὅσοιπερ ἂν ἀεὶ τοῖς παροῦσι δυσχεραίνοντες

diureticis tum denique epithematis ejusmodi humorem diſcutientibus et halitum facultate elicientibus, ita in illis etiam fieri curationem poſſe videtur.

LVI.

Anxietudo, oſcitatio, horror, vinum par pari aquae potum morbum ſolvit.

Haec orationis forma merito nonnullis ſoloeciſmi ſpecies viſa eſt, ideoque nonnulli accuſandi caſu ſcripſerunt: *anxietudinem, oſcitationem, horrorem, vinum par pari aquae epotum morbum ſolvit.* Utram autem in praeſentia ſequaris lectionem nihil refert ad aphoriſmi explicationem. In primis etiam ſcire nos oportet, ἀλύκην *anxietudinem* appellaſſe Hippocratem, quam multi Graecorum ἄλην *anxietatem* nominant; deinde quae ſit affectio hujus ſymptomatis effectrix. Ἀλύειν itaque *jactari* ſecunda valetudine eos dicunt qui ſemper praeſentia faſtidiunt atque

Ed. Chart. IX. [324. 325.] Ed. Baſ. V. (325.)

ἄλλοτε εἰς ἄλλα μεταβαίνουσι πράγματά τε καὶ πράξεις. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ νοσούντων ἐκείνης ἀλύειν φασὶν ὅσοι μὴ φέροντες τὴν κατάκλισιν ἐξαλλάττουσι τὰ σχήματα διὰ τὸ δύσφορον ἀεὶ τὸ παρὸν εἶναι. τοῦτο δὲ ἔγνωμεν ἐκείνοις μάλιστα συμβαῖνον, οἷσπερ ἂν ἐν τῷ στόματι τῆς γαστρὸς, ὅπερ ἐνίοτε καταχρώμενοι στόμαχον ὀνομάζουσι, περιέχεταί τις ἰδιότης ὑγρότητος ἀνιαρᾶς, οὔτε πολλῆς οὔτ' ἐμπλεούσης τῷ κύτει τῆς γαστρὸς, ἀνατρεπομένης δὲ εἰς τοὺς χιτῶνας αὐτῆς. ἀλλὰ καὶ τὸ χασμᾶσθαι, καθάπερ καὶ σκοτοδινᾶσθαι [325] περιεχομένης τινὸς ἐν τοῖς μυσὶ, δι' ὧν καὶ κατὰ προαίρεσιν γίνονται κινήσεις, ἤτοι ὑγρότητος πνευματώδους ἢ πνεύματος ἀτμώδους γίνεσθαι δέδεικται. καὶ ἡ φρίκη δὲ μοχθηρῶν χυμῶν διαθεόντων κατὰ τὸ δέρμα συμβαίνει. δῆλον δὲ ὅτι περὶ τῆς ἐκ τοῦ νοσώδους σώματος ὁρμωμένης φρίκης ὁ λόγος νῦν ἡμῖν ἐστιν, οὐ τῆς ὑπό τινος αἰτίας ἔξωθεν. ἕκαστον οὖν τούτων τῶν εἰρημένων οἴνου πόσις θεραπεύει ἀκρατεστέρου, τὴν συμμετρίαν δὲ τῆς κράσεως αὐτὸς ἐδήλωσεν εἰπών.

ad alias ſubinde aliasque tum res tum affectiones transeunt. Eodem modo adverſa valetudine eos anxietate jactari proferunt, qui decubitum non ferentes decumbendi formam immutant, quod praeſens ſemper gravis ac moleſta ſit. Hoc autem iis potiſſimum evenire novimus, quibus in ore ventriculi, quod interdum abuſi vocabulo ſtomachum nominant, propria quaedam humoris moleſti qualitas continetur, neque multi, neque innatantis in ventriculi capacitate, ſed altius in ipſius tunicis imbibiti. Quin etiam oſcitationem et pandiculationem fieri demonſtravimus contenta in muſculis, per quos voluntarii quoque motus peraguntur, vel flatulenta humiditate vel ſpiritu rapido. Horror quoque pravis humoribus per cutem ſparſis ac diſcurrentibus oboritur. Conſtat autem eo horrore qui ex aegro corpore concitatur, nobis nunc orationem eſſe, non autem de eo qui ab aliqua cauſa externa proficiſcitur. Singula igitur haec praedicta curat vini meracioris potus cujus temperationis commoderationem

Ed. Chart. IX. [325.] Ed. Baſ. V. (325.)

οἶνος ἴσος ἴσῳ πινόμενος· ὕδατι γὰρ δηλονότι κεράννυσθαι βούλεται τὸν οἶνον ἴσῳ, χάριν τοῦ τὸ μὲν διώσασθαι, κενῶσθαι τῶν λυπηρῶν, ὅσον ἂν ὑπείκῃ τῇ ῥύμῃ τῆς τοῦ οἴνου φορᾶς, τὸ δ' ὑπόλοιπον ἐπικράσαι. θερμαίνει γὰρ, ὡς ἴσμεν, ὁ οἶνος ἅπαν τὸ σῶμα καὶ ταχέως ἐπὶ πάντα φέρεται τὰ μόρια, μετὰ τοῦ χυμοὺς χρηστοὺς ἐργάζεσθαι.

νθ'.

Ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ φύματα γίνονται, τουτέοισι διαπυήσαντος καὶ ἐκραγέντος λύεται ὁ πόνος.

Καὶ τοῦτον τὸν ἀφορισμὸν ἐν τοῖς ἔμπροσθεν ὁ Ἱπποκράτης ἔγραψεν, ἡμεῖς δὲ ἐξηγησάμεθα κατὰ τήνδε τὴν λέξιν εἰρημένην· ὁκόσοισιν ἐν τῇ οὐρήθρᾳ φύματα φύεται, τουτέοισι διαπυήσαντος καὶ ἐκραγέντος λύσις

---

his ipſe verbis declaravit: *vinum par pari aquae potum.* Vult enim profecto aqua vinum aequa portione temperari, ut tantum materiae moleſtae propellatur vacueturque, quantum violentae vini delationi ceſſurum eſt; reliquum vero temperetur epicraſi. Calefacit enim vinum, ut experimur, totum corpus et celeriter in omnes fertur partes, cum eo optimos humores efficit.

LVII.

Quibus in urethra tubercula procreantur, iis ſuppuratis et ruptis dolor ſolvitur.

Hunc quoque aphoriſmum in praecedentibus ſcripſit Hippocrates, nosque ipſi explicavimus in ea oratione quae ſic habebat: *quibus in urethra tuberculum naſcitur, eo ſuppurato et rupto ſolutio.*

Ed. Chart. IX. [325. 326.] Ed. Baf. V. (325. 326.)

νη'.

Ὁκόσοισι δ' ἂν ὁ ἐγκέφαλος σεισθῇ ὑπό τινος προφάσιος, ἀνάγκη ἀφώνους γίνεσθαι παραχρῆμα.

Καὶ κατὰ τόνδε τὸν ἀφορισμὸν ἐν τισὶ μὲν τῶν ἀντιγράφων ἀφώνους ἐστὶν εὑρεῖν κατὰ τὴν πληθυν- [326] *τικὴν αἰτιατικὴν πτῶσιν γεγραμμένον, ἐν τισὶ δὲ κατὰ τὴν ἑνικὴν ἄφωνον ἐν σολοικοφανεῖ σχήματι. διαφέρει δὲ οὐδὲν οὐδ' ἐνταῦθα πρός γε τὰ παρόντα γινωσκόντων ἡμῶν ὡς ἔθος ἐστὶ τῷ Ἱπποκράτει πολλάκις ἀφ' ἑνὸς συμπτώματος τοῦ προδηλοτάτου, τῆς ἀφωνίας, ὀνομάζειν οὕτω καὶ δηλοῦν, ὅσοι μηδ' ἄλλην τινὰ τῶν κατὰ προαίρεσιν ἀποσώζουσι κινήσεων ἢ μηδ' ὅλως αἰσθάνονται. κεῖνται δὲ ὡσαύτως τοῖς ἀποπληκτικοῖς ἀναισθητοί τε ἅμα καὶ ἀκίνητοι· γίνεται μὲν* (326) *οὖν καὶ δι' ἄλλας αἰτίας τοῦτο. νυνὶ μέντοι τῆς σείσεως τοῦ ἐγκεφάλου μνημονεύει ὁ Ἱπποκράτης καὶ ταύτῃ τὴν τοιαύτην ὅλου τοῦ σώματος ἔσεσθαί φησι διάθεσιν. σεισθῆναι δὲ οὕτω συμβαίνει τὸν ἐγκέφαλον διά*

LVIII.

Quibus cerebrum occaſione aliqua concuſſum fuerit, eos quam primum voce privari neceſſe eſt.

Hoc etiam aphoriſmo in nonnullis exemplaribus vocabulum *mutos* ſcriptum multitudinis numero per accuſativum caſum invenire datur; in quibusdam vero mutum per ſingularem ſub ſoloeciſmi figura. Sed id nihil quidquam ad praeſentia refert, quum nos Hippocrati conſuetudinem eſſe noſcimus ſaepe ab uno notiſſimo ſymptomate, exempli gratia aphoniam *vocis ademptionem* illos ita appellare ac ſignificare, qui nullum alium voluntarium motum ſuperſtitem ſervant, neque quidquam omnino ſentiunt et apoplecticis peraeque ſimiles ſine ſenſu ſimulque motu proſtrati jacent. Id vero et ob alias cauſas oboritur. Nunc vero concuſſionis cerebri meminit Hippocrates, cujus occaſione talem fore corporis totius affectionem pronunciat. Ita vero concuti cerebrum accidit ob aliquem vio-

Ed. Chart. IX. [326.] Ed. Baſ. V. (326.)

τινα βιαίαν πτῶσιν ὅλου τοῦ σώματος ἐξ ὑψηλῶν γεγενημένην χωρίων. αἱ γὰρ τοιαῦται καταπτώσεις εἰώθασι καὶ τὴν ἐν τοῖς τῆς ῥαχέως σπονδύλοις σεῖσιν ἐργάζεσθαι, ὅταν αἱ μὲν ἁρμονίαι κινηθῶσιν αὐτῶν, ὁ δ' ἐν κοιλότητι περιεχόμενος νωτιαῖος πονήσῃ, διασεισθεὶς δὲ σφοδρῶς εἰς κίνδυνον ἄγει ῥήξεων ἔνια τῶν ἀποπεφυκότων αὐτῷ νεύρων, ὅπερ οὐχ ἥκιστα καὶ κατὰ τὸν ἐγκέφαλον γίνεται καὶ τοσούτῳ γε μᾶλλον, ὅσῳ καὶ πλείων ἐστὶν ἡ πέριξ αὐτοῦ χώρα κενὴ καὶ μᾶλλον ἐπὶ τῶν πρεσβυτέρων, ὡς ἐν ταῖς ἀνατομικαῖς πραγματείαις λέλεκται. συστέλλεται γοῦν ἡ ψυχικὴ δύναμις εἰς ἑαυτὴν ἐν ταῖς τοιαύταις διαθέσεσιν, ἀνιαθεῖσα τῇ σφαλερᾷ κινήσει καὶ διὰ τοῦτο ἡσυχάζει. τῶν δ' ἀποφύσεων ἔνιαι μὲν ἱκανῶς τείνονται, τινὲς δ' ἐκ μέρους γε διασπῶνται. κατὰ τοῦτο μέχρι περ ἂν ἀνακτήσηται πάλιν ἑαυτὴν ἡ ψυχικὴ δύναμις, ἄφωνόν τε καὶ ἀκίνητον ὅλον κεῖται τὸ παθὸν οὕτω ζῷον. εἰ δ' ἀποσπασθῆναι φθάσειεν ἢ κατά τι μέρος αὐτοῦ κατασπασθῆναι ὁ ἐγκέφαλος, οὐκέτι ἀναφέρουσι.

---

lentum totius corporis caſum ab altis locis obortum. Ejusmodi namque caſus vertebrarum etiam ſpinae concuſſionem efficere conſueverunt, quum ipſarum harmoniae concuſſionem ſubierint et contenta ipſarum cavo dorſalis medulla laborarit, quae vehementius concuſſa quibusdam nervis a ſe propagatis ruptionum creat periculum. Quae res cerebro maxime accidit, eoque magis quanto in ejus ambitu vacuum ſpatium eſt amplius, multoque magis in ſenibus, quemadmodum in libris anatomicis a nobis dictum eſt. Contrahitur ſiquidem in ſeſe animalis facultas per tales affectiones periculoſa commotione vexata et propterea quieſcit feriaturque. Porro nonnulli nervorum proceſſus valde tenduntur et quidem aliqua ex parte divelluntur. Quibus fit ut donec animalis facultas ſeſe rurſum receperit, mutum et immobile jaceat totum animal ita affectum. Quod ſi abrumpi occupaverint aut cerebrum parte ſui quapiam avulſum abſtractumque fuerit, non jam ad ſe redeunt ſibique ipſis reſtituuntur.

Ed. Chart. IX. [326. 327.] Ed. Baſ. V. (326.)

νθ'.

Τοῖσι σώμασι τοῖσιν ὑγρὰς τὰς σάρκας ἔχουσι δεῖ λιμὰν ἐμποιέειν· λιμὸς γὰρ ξηραίνει τὰ σώματα.

Ὅτι μὲν οὖν ὅσα ξηραίνει βοηθήματα τῶν ὑγρῶν παθημάτων ἐστὶν ἰατικὰ πρόδηλον, εἴ γε δὴ ἐναντία τῶν ἐναντίων ἐστὶν ἰάματα. ὅτι δὲ καὶ ὁ λιμὸς ξηραίνει κατὰ συμβεβηκὸς οὐκ ἄδηλον. ἐὰν γὰρ ἀπορρέῃ μέν τι τοῦ σώματος, ὡς καὶ πρόσθεν, ἀναπληρῶται δὲ μηκέτι ὑπὸ τροφῆς τὸ κενούμενον, ἀναγκαῖον [327] *αὐτῷ ξηρότερον γενέσθαι. δῆλον γὰρ ὅτι τῶν κατὰ τὸ ζῶον ἑκάστου μερῶν ἀπέρχεται πρότερον ὅσον ἂν ὑγρότερον ᾖ, ὡς ἂν καὶ αὐτῆς τῆς ἀπορρόης γιγνομένης, διὰ τὸ λεπτύνεσθαί τε καὶ εἰς ἀτμὸν λύεσθαι τὸ σῶμα διὰ διττὴν αἰτίαν, ἔξωθεν μὲν ὑπὸ τοῦ περιέχοντος, ἔνδοθεν δὲ ὑπὸ τῆς ἐμφύτου θερμασίας· ἀμέλει τῶν φωλευόντων τῶν ζώων, ὡς ἂν μήτ' ἔξωθεν ἔτι θερμαινομένων μήτ' ἔνδοθεν. ὅλως οὐδὲν ἡ παντάπασιν ὀλίγιστον ἀπορρεῖ, καὶ διὰ τοῦτο τινὰ μὲν αὐτῶν οὐδ' ὅλως*

LIX.

Corporibus carnes habentibus humidas inducere famem oportet: fames enim exſiccat corpus.

Quae ſiccant auxilia ſane humidis affectibus mederi manifeſtum eſt. Contraria namque contrariorum ſunt remedia. Famem quoque exſiccare per accidens nulli abditum eſt. Si quid enim eorum ex corpore continenter effluat diſſipeturque, ut antea docui, nec amplius quod vacuatur alimento, ſuppleatur inſtaureturque, ſiccius ipſum evadere neceſſe eſt. Certum eſt ex ſingulis animantis partibus quidquid eſt humidius abire prius et evaneſcere. Effluvium ſiquidem ipſum ſit, quod extenuetur corpus et in vaporem ſolvatur, duabus ex cauſis: externa una aëre ambiente, interna altera calore nativo. Sane vero deliteſcentium in cavernis animantium, quod nec externo calore amplius nec interno incaleſcant aut nihil prorſus aut pauciſſimum effluit, proptereaque nonnullae quidem

Ed. Chart. IX. [327.] Ed. Baf. V. (326.)

δεῖται τροφῆς, ἔνια δ' ὀλιγίστης παντάπασιν. ἐφεξῆς τοῖς προγεγραμμένοις ἀφορισμοῖς ἕτεροι· δύο σχεδὸν ἐν ἅπασι τοῖς ἀντιγράφοις εὑρίσκονται, μετὰ τοῦ καὶ τοὺς ἐξηγησαμένους τὸ βιβλίον ὀλίγου δεῖν ἅπαντας μνημονεύειν αὐτῶν, καί τινες ἐξηγοῦνται αὐτούς, ἀλλὰ διαφόρως ἢ ἐν τοῖς ἔμπροσθεν, οὐδὲ τοῦτο αὐτὸ προστιθέντες ὅτι γεγραμμένοι ἔμπροσθέν εἰσιν. ἡμεῖς δὲ κατὰ τὸ τέταρτον ὑπόμνημα τὴν ἐξήγησιν αὐτῶν ἐποιησάμεθα, βραχύ τι τῇ λέξει διαφερόντων. ὁ μὲν γὰρ ἕτερος τῶν νυνὶ γεγραμμένων ἐκ περιττοῦ προσκείμενον ἔχει καὶ καταπίνειν μὴ δύνασθαι ἀλλ' ἢ μόγις. ὁ δ' ἕτερος ἔμπαλιν ὑπηλλαγμένον ἔχει τὸ μόγις, ὥστ' εἶναι τὸ μὲν πρότερον τοιοῦτον, ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι πνιγῆς ἐξαίφνης ἐπιγένηται καὶ καταπίνειν μὴ δύνηται ἀλλ' ἢ μόγις, θανάσιμον. τὸ δὲ δεύτερον, ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ ὁ τράχηλος ἐξαίφνης ἐπιστραφῇ καὶ καταπίνειν μὴ δύνηται, οἰδήματος μὴ ἐόντος ἐν τῷ τραχήλῳ, θανάσιμον. οἱ δὲ πρόσθεν, οὓς κατὰ τὸ τέταρτον ἔφην ἐξηγήσασθαι τῶνδε τῶν ὑπομνημάτων,

alimento prorſus non egent; nonnullae vero uſque quaque pauciſſimo. Poſt antea ſcriptos aphoriſmos alii duo fere in omnibus exemplaribus inveniuntur et quorum libri enarratores fere omnes meminere. Quidam etiam ipſos interpretantur, ſed pugnantibus et hic et ſupra explicationibus uſi nec hoc ipſum monentes lectorem antea fuiſſe ſcriptos. Nos vero ipſorum explicationem fecimus quarto commentario textu nonnihil differentium. Alter enim eorum hic ſcriptorum ſupervacaneam habet hanc adjectionem *nec devorare poteſt niſi vix.* Alter vero adverbium *vix* inverſo ordine poſitum habet, ut prior quidem ſit hujusmodi: *ſi febre detento, tumore nullo in faucibus exiſtente, ſuffocatio derepente ſupervenerit, ac niſi vix deglutire nequeat, mortiferum.* Secundus vero: *ſi febre correpto derepente cervix intorqueatur ac devorare nequeat, tumore nullo in faucibus exiſtente letale.* Superiores vero quos quarto horum commentariorum expoſuiſſe me dixi, ita ſe

Ed. Chart. IX. [327.] Ed. Baf. V. (326.)

οὕτως εἶχον. ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ, οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι, πνὶξ ἐξαίφνης ἐπιγένηται, θανάσιμον. εἶθ' ἕξῆς ὁ μετ' αὐτὸν ἢ ὑπὸ πυρετοῦ ἐχομένῳ ὁ τράχηλος ἐξαίφνης ἐπιστραφῇ καὶ μόγις καταπίνειν δύνηται, οἰδήματος μὴ ἐόντος ἐν τῷ τραχήλῳ θανάσιμον. ὅπερ οὖν ἐν τῷ προτέρῳ τῶν ἀφορισμῶν εἴρηται περιττὸν, νῦν ἐπισκεψώμεθα. καὶ γὰρ καὶ τεθέαμαι γινόμενον αὐτὸ, παντάπασιν ὀλεθρίους ἐχόντων τῶν καμνόντων, ὥστ' ἤτοι μηδ' ὅλως δύνασθαι καταπίνειν ἢ μόγις, οὐκ ὄντος οἰδήματος ἐν τῇ φάρυγγι. πάρεστι γὰρ τοῦτο διαγνῶναι σαφῶς ἀνοιχθέντος μὲν ἐπὶ πλεῖστον τοῦ στόματος, προβληθείσης δὲ τῇ κάτω γένυι τῆς γλώττης. ἐν τῇ τοιαύτῃ καταστάσει τοῦ δυσχερῶς καταπίνειν αἰτίαν ὑπολῃπτέον τὴν κοινωνίαν τοῦ χιτῶνος, ὃς ὑποπέφυκεν ἐκ τῶν ἔνδον μερῶν, τοῦ τε στομάχου καὶ τοῦ λάρυγγος. ἐδείχθη γὰρ οὗτος ἐν τῇ διὰ τοῦ στόματος πορείᾳ τῶν σιτίων αὐτὸς μὲν ὑπὸ γαστρὸς κατασπώμενος, ἀνασπῶν δ' ὅλον τὸν λάρυγγα. οἰδησάσης οὖν τῆς ἐν τῷ λάρυγγι φλεγμονῆς ἐνίοτε μὲν οὐδ' ὅλως, ἔστι

habebant: *ſi febre detento, tumore nullo in faucibus exiſtente, ſuffocatio derepente ſupervenerit, mortiferum.* Deinde qui hunc ſequitur: *ſi febre capto derepente cervix intorqueatur ac vix deglutire queat, tumore in cervice non exiſtente mortiferum.* Quod igitur in priore aphoriſmo ex abundanti pronunciatum eſt, nunc perpendamus. Etenim id etiam accidere vidimus aegrotis omnino pernicioſe laborantibus. Quare ſive nullo plane modo devorare queant ſive vix, nullo tumore in faucibus exiſtente, hoc enim aperte diſcernere licet ore quam plurimum hiante et aperto et lingua ad inferiorem maxillam appulſa et firmata. In tali ſtatu vix ac difficulter devorandi cauſa ſuſpicanda eſt communio tunicae gulae et gutturi eſſe ab internis ſuborta partibus. Hanc enim cibariorum per os commeatu ipſam quidem deorſum a ventriculo attrahi, totum vero guttur ſurſum trahere demonſtravimus. Tumeſcente igitur in gutture inflammatione ſit ut alias aegre obſequatur attrahenti ven-

Ed. Chart. IX. [327. 328.] Ed. Baſ. V. (326.)

δ' ὅτε μόγις ἕπεται κατασπώσῃ τῇ γαστρὶ, καὶ διὰ ταύτην τὴν αἰτίαν ἤτοι γ' οὐδ' ὅλως ἢ μόγις καταπίνουσιν.

ξ'.

[328] Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι πνὶξ ἐξαίφνης ἐπιγένηται καὶ καταπίνειν μὴ δύνηται, ἀλλὰ μόλις θανάσιμον.

ξα'.

Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ ὁ τράχηλος ἐπιστραφῇ καὶ καταπίνειν μὴ δύνηται οἰδήματος μὴ ἐόντος ἐν τῷ τραχήλῳ, θανάσιμον.

ξβ'.

Ὅκου ἐν ὅλῳ τῷ σώματι καὶ τὸ σῶμα καταψύχεται καὶ πάλιν θερμαίνεται ἢ χρῶμα ἕτερον ἐξ ἑτέρου μεταβάλλει, μῆκος νόσου σημαίνει.

---

triculo et deorſum revellenti, eamque ob cauſam vel nullo pacto vel aegre difficulterque deglutiant.

LX.

Si febre detento tumore nullo in faucibus exiſtente ſuffocatio derepente ſupervenerit ac vix deglutire queat, mortiferum.

LXI.

Si febre capto derepente cervix intorqueatur ac vix deglutire queat tumore non exiſtente, mortiferum.

LXII.

Ubi univerſo corpore mutato et corpus perfrigeratur ac rurſum incaleſcit aut colorem ex altero alterum commutat, morbi longitudinem ſignificat.

Ed. Chart. IX. [328. 329.] Ed. Baſ. V. (326.)

Καὶ τοῦτον τὸν ἀφορισμὸν ἐν τῷ τετάρτῳ τῶν ὑπομνημάτων ἐξηγησάμεθα τὴν αὐτὴν παρὰ βραχὺ λέξιν ἔχοντα τῇ νῦν εἰρημένῃ. γέγραπται γὰρ οὕτως· καὶ ὅκου ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ καὶ ἦν τὸ σῶμα ψύχηται ἢ αὖθις θερμαίνηται καὶ εἰ χρῶμα ἕτερον ἐξ ἑτέρου γένηται, νόσου μῆκος σημαίνει.

ξγ'.

Ἱδρὼς πολὺς, θερμὸς ἢ ψυχρὸς, ἀεὶ ῥέων, σημαίνει ὑγρὸν ἀπάγειν, ἰσχυρῷ μὲν ἄνωθεν, τῷ δ' ἀσθενεῖ κάτωθεν.

---

[329] *Ἔμπροσθεν ἄλλον ἀφορισμὸν ἐν τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων ἐξηγησάμεθα, ὃς κατὰ τόνδε τὸν τρόπον ἐγέγραπτο· ἱδρὼς πολὺς ἢ θερμὸς ἢ ψυχρὸς ἀεὶ ἐὼν, ὁ ψυχρὸς μείζω, ὁ θερμὸς ἐλάσσω νοῦσον σημαίνει. καὶ τήν γε διάθεσιν ἔφαμεν εἶναι τῶν γε τοιούτων ἱδρώτων ὑγρότητος πλῆθος ἐν τῷ τοῦ κάμνοντος περιεχόμενον σώματι.*

Hunc quoque aphoriſmum quarto horum commentariorum expoſuimus, eundem fere textum qualis praeſens pronunciatur habentem. Sic enim ſcriptus eſt: *atque ubi toto in corpore mutationes contingunt, ut ſi corpus frigeat aut rurſus caleat aut alter ex altero color oboriatur, morbi longitudinem ſignificat.*

LXIII.

Sudor copioſus calidus aut frigidus ſemper fluens humoris plenitudinem ineſſe ſignificat. Haec igitur in robuſto quidem ſuperne, debili vero inferne deducenda.

Antea alium aphoriſmum quarto horum commentariorum explicavimus hoc modo ſcriptum: *ſudor copioſus frigidus aut calidus nempe fluens; frigidus quidem majorem, calidus vero minorem morbum ſignificat.* Ac talium ſudorum affectum cauſamve humoris plenitudinem eſſe diximus qui aegrotantis corpore continetur. Propterea

Ed. Chart. IX. [329.] Ed. Baſ. V. (326.)

διὰ τοῦτ' οὖν ὁ νῦν ἡμῖν προκείμενος ἀφορισμὸς ἀπάγειν κελεύει τὴν περιττὴν ὑγρότητα, τοῖς μὲν ἰσχυροῖς μὲν ἄνωθεν, ὅπερ ἐστὶ διὰ τῶν ἐμέτων, τοῖς δ' ἀσθενεστέροις κάτωθεν, ὅπερ καὶ αὐτὸ σημαίνει δι' ὑπαγωγῆς γαστρός. ὅτι μὲν οὖν ἐκκενοῦν ἀεὶ χρὴ τοῦ σώματος τὰς περιττὰς ὑγρότητας ἄντικρυς δῆλον. εἰ δὲ τοῖς ἰσχυροῖς μὲν ἄνωθεν μόνον ἀεί, τοῖς δ' ἀσθενέσι κάτωθεν, ἄξιον εἶναι δοκεῖ μοι σκέψεως. βέλτιον γὰρ ἴσως οὐ ταύτῃ διαιρεῖν τῶν βοηθημάτων τὴν χρείαν, ἀλλ' ὡς ἡμῖν ἐν τῇ θεραπευτικῇ πραγματείᾳ περὶ τῶν τοιούτων ἁπάντων διώρισται. καὶ τοῦτον οὖν τὸν ἀφορισμὸν ἐκ τῶν παραγεγραμμένων εἶναι νομίζω. ἑξῆς τοῖς προγεγραμμένοις ἀφορισμοῖς ἄλλοι τρεῖς εὑρίσκονται κατὰ τὰ πλεῖστα τῶν ἀντιγράφων καὶ τοῖς ἐξηγηταῖς ὁμοίως γεγραμμένοι βραχύ τι διαλλάττοντες τῇ λέξει τῶν ἐν τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων. γράφουσι δ' αὐτοὺς ὧδί.

---

qui nunc nobis proponitur aphoriſmus ad ſupervacaneum humorem educendum eſſe jubet, robuſtis quidem ſuperne, hoc eſt per vomitiones, imbecillis vero inferne, id eſt per alvi ſubductionem. Quod itaque ſupervacaneos corporis humores ſemper vacuare oporteat plane manifeſtum eſt. An vero robuſtis ſemper per ſuperiora, infirmis vero per inferiora ſolum redundans humor vacuandus ſit animadverſione mihi dignum eſſe videtur. Praeſtat enim fortaſſis non eatenus auxiliorum uſum diſtinguere, ſed ut in medendi methodo de ejusmodi omnibus a nobis explicatum ac definitum eſt. Quare et hunc aphoriſmum ex adſcriptitiis eſſe cenſeo. Poſt ſuperius adſcriptitios aphoriſmos tres alii deinceps comperiuntur in plurimis exemplaribus ab interpretibus etiam eodem fere modo conſcripti paulo diverſa lectione quam qui quarto commentario comprehenduntur. Eos autem ita ſcribunt.

Ed. Chart. IX. [329. 330.] Ed. Baſ. V. (327.)

ξβ'.

(327) *Πυρετοὶ ὁκόσοι μὴ διαλείποντες διὰ τρίτης ἰσχυρότεροι γίνονται, ἐπικίνδυνοι. ὅτῳ δ' ἂν τρόπῳ διαλείπωσι, σημαίνει ὅτι ἀκίνδυνοι.*

ξγ'.

Ὁκόσοι πυρετοὶ μακροὶ, τουτέοισι φύματα εἰς τὰ ἄρθρα ἢ πόνοι ἐπιγίνονται.

ξδ'.

Ὁκόσοις φύματα μακρὰ ἢ εἰς τὰ ἄρθρα πόνοι ἐκ πυρετοῦ γίνονται, οὗτοι σιτίοισι πλείοσι χρέονται.

---

[330] *Εὔδηλον δὲ ὅτι καὶ οὗτοι παρέγκεινται τῶν ἔμπροσθεν ἢ οὐδὲν ἢ βραχύ τι τῇ λέξει διαφέροντες, ἐξήγημαι δ' αὐτοὺς ἐν τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων.*

LXIV.

Qui febres non intermittentes tertio quoque die vehementiores fiunt, periculoſiores. Quocunque autem modo intermiſerint, citra periculum eſſe ſignificant.

LXV.

Quibus febres longae ſunt, his ad articulos tubercula vel dolores oboriuntur.

LXVI.

Quibus ad articulos tubercula aut dolores a longis febribus oriuntur, hi cibis copioſioribus utuntur.

Liquido conſtat hoſce interjectos fuiſſe nihil aut parum a ſuperioribus diſtinctione diſcrepantes; ipſos autem quarto commentariorum explanavimus.

Ed. Chart. IX. [330.] Ed. Baf. V. (327.)

ξζ'.

Ἤν τις τῷ πυρέσσοντι τροφὴν διδῷ ἣν ὑγιεῖ, τῷ μὲν ὑγιαίνοντι ἰσχὺς, τῷ κάμνοντι νοῦσος.

Γράφεται δὲ καὶ οὕτως ὁ ἀφορισμὸς ἤν τι τῷ πυρέσσοντι τροφὴν διδῷ, τῷ μὲν ὑγιαίνοντι ἰσχὺς, τῷ δὲ κάμνοντι νοῦσος. ἑκατέρα δ' ἡ λέξις ἀποκεχώρηκε τῆς κατὰ φύσιν ἑρμηνείας, ἐπὶ τοῦτο δὴ τὸ καλούμενον κακοζηλον, οὐκ οἶδ' ὅ τι βουληθέντων, ὅσοι διεσκεύασαν οὕτω πολυειδῶς τὸ τέλος τοῦ βιβλίου. τὰ μὲν αὐτῇ τῇ λέξει γράφοντες τῶν ἔμπροσθεν ὑπ' αὐτοῦ τοῦ Ἱπποκράτους εἰρημένων, τὰ δ' ὑπαλλάττοντες βραχύ τι, τὰ δ' ὅλα παρενιθέντες, ὥσπερ καὶ τοῦτο τὸ νῦν προκείμενον, οὐδ' ἐγγὺς ἦλθον τῆς Ἱπποκράτους ἑρμηνείας ἦκον. ἐκεῖνος μὲν γὰρ ἔμπροσθεν ἔφη· τὰ μὴ καθαρὰ σώματα ὁκόσῳ ἂν τρέψῃς, μᾶλλον βλάψεις· καὶ ἢν ἐκ νόσου τροφὴν λαμβάνων τις μὴ ἰσχύει, σημαίνει ὅτι τὸ σῶμα πλείονι τροφῇ χρῆται, ἢν δὲ χρὴ μὴ λαμβάνοντος τοῦτο γίνηται τροφὴν εἰδέναι ὅτι κενώσεως δεῖται,

LXVII.

Si quis febricitanti cibum praebeat quem ſano exhibet, ſano quidem robur, aegroto vero morbus eſt.

Sic etiam aphoriſmus ſcribitur: *ſi quis febricitanti det cibum bene valenti robur laboranti morbus eſt.* Verum utraque lectio a naturali loquutione ad pravam, quam cacozelum vocitant, receſſit. Neque enim quid ſibi voluerint qui libri finem tam variis et alienis rebus ornarunt non video. Quaedam enim eadem dictione ſcribunt, qua ſupra ab Hippocrate ſunt ſcripta; quaedam parum immutant, alia male interſerunt, ut hunc ipſum aphoriſmum ab Hippocratis ratione dicendi longe alienum. Ille ſiquidem ſupra dicebat: *impura corpora quo liberalius alueris, eo magis laeſeris.* Et *ſi quis a morbo cibum capiens non roboretur, copioſiore corpus uti alimento ſignificat. Si vero alimentum copioſius non adſumenti id obtingat, evacuatione indigere ſciendum eſt.* Et alia

Ed. Chart. IX. [330. 331.] Ed. Baf. V. (327.)

καί τινα τοιαῦτα ἕτερα κατὰ φύσιν ἡρμηνευμένα. ὁ δὲ τὸν νῦν προκείμενον ἀφορισμὸν συνθεὶς κακοζήλως εἶπεν ἐπὶ τῆς τροφῆς, εἰ τῷ ὑγιαίνοντι ἰσχὺς αὕτη τῷ κάμνοντι νοῦσος βούλεται γὰρ λέγειν τὴν τροφὴν ἰσχύος μέν εἶναι τοῖς ὑγιαίνουσι ποιητικήν, βλάβης δὲ τοῖς νοσοῦσιν. ἦν νὴ Δία τοῖς μὲν ὑγιαίνουσιν αὔξειν τὴν ἰσχύν, τοῖς δὲ κάμνουσι νόσον. ἡρμήνευκε δὲ ἀλλοκότως αὐτὸ τὴν τροφὴν αὐτὴν εἰπὼν ἰσχὺν μὲν τοῖς ὑγιαίνουσιν εἶναι νόσον δὲ τοῖς κάμνουσιν, οὔτ' ἰσχὺν οὖσαν, ἀλλ' ἰσχύος ποιητικήν, οὔτε νοῦσον, ἀλλὰ νόσου ποιητικήν, ἄμεινον δὲ εἰπεῖν αὐξητικήν.

ξτσ'.

[331] Τὰ διὰ τῆς κύστεως διαχωρέοντα ὁρῆν δεῖ, ἦν οἷα τοῖς ὑγιαίνουσιν ὑποχωρέεται. τὰ ἥκιστα οὖν ὅμοια τούτοισι, ταῦτα νοσερώτερα· τὰ δὲ ὁμοιότερα τοῖς ὑγιαίνουσιν ἥκιστα νοσερά.

---

quaedam hujusmodi ſecundum naturam enunciata. Qui vero praeſentem aphoriſmum appoſuit, affectare de cibo protulit, ſi ipſe bene valenti exhibeatur, robur aegrotanti morbus eſt. Vult enim dicere cibum ſanis robur efficere, aegrotantibus vero noxam aut per Jovem, ſanis virium robur augere, morbum vero laborantibus. Abſurde autem id interpretatus eſt, qui cibum ipſum robur quidem ſanis, morbum vero laborantibus eſſe affirmaverit, quum neque robur ſit, ſed roboris propagator, neque morbus, ſed morbi opifex aut ut rectius dicam, auctor.

LXVIII.

Quae veſicam permeant, ſpectare oportet, an talia qualia ſanitate fruentibus ſubeunt; nam quae his minime ſimilia ſunt, ea morboſiora; quae vero bene valentibus ſimiliora, minime morboſa ſunt.

Ed. Chart. IX. [331.] Ed. Baſ. V. (327.)

"Ομοια κατὰ τὸ σῶμα σύμπαν εἴρηται πρὸς Ἱπποκράτους ἔν τε τῷ προγνωστικῷ καὶ κατ' ἄλλα βιβλία πάντα τοῖς ὑγιαίνουσι δηλοῦν ἀγαθόν τι, τὰ δ' ἀνόμοια τοὐναντίον. τοῦτο οὖν καὶ νῦν πειρᾶται λέγειν ὁ συνθεὶς τὸν ἀφορισμὸν τοῦτον. ὑποπτεύω γὰρ καὶ τοῦτον οὐχ Ἱπποκράτους εἶναι τῇ λέξει τεκμαιρόμενος οὐκ ἐχούσῃ τὴν αὐτὴν ἰδέαν ταῖς ἐκείνου καὶ τοῖς λεγομένοις αὐτοῖς οὐκ ἀπηκριβωμένῃ ὁμοίως ἐκείνου. ὅταν γοῦν εἴπῃ τὸ τὰ ἥκιστα ὅμοια τούτοις, ταῦτα νοσερώτερά τις οὐκ ἂν μέμψαιτο νοσερώτερα λέγοντι αὐτῷ ἀντὶ τοῦ νοσερώτατα, τοῦ τε ὕστατον νοσώδη. τὸ γὰρ ἥκιστα μετ' ἐπιτάσεώς τινος λέγεται καὶ πολλῆς τῆς εἰς τὸ παρὰ φύσιν παρατροπῆς. ἕκαστον δὲ ἰῶν παρὰ φύσιν εἰς ὅσον ἀποκεχώρηκε τοῦ κατὰ φύσιν, εἰς τοσοῦτον καὶ μοχθηρόν ἐστι. τὰ γοῦν ἥκιστα τοῖς κατὰ φύσιν ὅμοια μάλιστά ἐστι τοῖς κατὰ φύσιν ἐναντία καὶ διὰ τοῦτο νοσερώτατα.

Quaecunque toto corpore ſanis ſimilia ſunt, ea ab Hippocrate tum in prognoſtico tum aliis in libris enunciantur bonum quoddam portendere, diſſimilia vero contrarium. Hocce nunc is enarrare conatur qui hunc aphoriſmum compoſuit. Suſpicor enim hunc etiam Hippocratis ideam, neque iisdem peraeque pronunciatis ipſius accurate reſpondet. Quum enim illud protulit, *quae his minime ſimilia ſunt, ea morboſiora*, quia ipſum morboſiora dicentem non argueret, pro morboſiſſima aut ſumme morboſa? Adverbium namque *minime* cum quadam ſignificationis extenſione dicitur et magna praeter naturam mutatione. At enim quae praeter naturam ſunt ſingula, quantum a naturali ſtatu receſſerunt, tanto ſunt deteriora. Quare minime naturalibus ſimilia ſecundum naturam ſe habentibus maxime ſunt contraria proindeque morboſiſſima.

Ed. Chart. IX. [331. 332.] Ed. Baf. V. (327.)

ξζ'.

Καὶ οἷσι τὰ ὑποχωρήματα ἢν ἐάσῃς στῆναι καὶ μὴ κινέῃς, ὑφίστανται οἷον ξύσματα, καὶ ἢν ὀλίγα ᾖ, ὀλίγη ἢ νοῦσος γίγνεται, ἢν δὲ πολλὰ, πολλὴ, τουτέοισι ξυμφέρει ὑποκαθῆραι τὴν κοιλίην· ἢν δὲ μὴ καθαρὴν ποιήσας διδῷς τὰ φοφήματα, βλάψεις καὶ ὑκόσῳ ἂν πλείω διδῷς μᾶλλον βλάψεις.

---

[332] *Τὰ διὰ τῆς γαστρὸς ὑπιόντα λέγειν εἴωθεν αὐτὸς ὑποχωρήματά τε καὶ διαχωρήματα· καὶ διὰ τοῦτο καὶ νῦν ἐδέξαντό τινες ἐπὶ τῶν κατὰ τὴν γαστέρα κενουμένων εἰρῆσθαι τὸν λόγον αὐτῷ. μάχεται δ' αὐτὸ τὸ προσκείμενον ἐν τῇ λέξει, τὸ ἢν ἐάσῃς στῆναι καὶ μὴ κινέῃς, οἰκεῖον γὰρ τοῦτο τοῖς ὑγροῖς, καὶ διὰ τοῦθ' ἕτεροι πάλιν ἐπὶ τῶν οὔρων ἐδέξαντο λέγειν αὐτόν. ἑκάτεροι δὲ πάλιν σχιθέντες οἱ μὲν ἐφίστανται γράφουσι διὰ τοῦ ε τὴν πρώτην συλλαβὴν, οἱ δὲ ὑφίστανται διὰ τοῦ υ. τοῖς μὲν οὖν οὔροις οὐδέτερον ἐναντιοῦται τῶν ῥημάτων. καὶ γὰρ καὶ*

LXIX.

Et quibus dejectiones ſi reſidere permiſeris, neque moveri veluti ſtrigmenta ſubſident. Quod ſi paucae ſint, parvus eſt morbus; ſin multae, magnus; iis alvum inferne purgari conducit. Quod ſi alvo non purgata ſorbitiones exhibueris, quo plures dederis, eo magis laeſeris.

Quae per alvum ſubeunt conſuevit ipſe hypochoremata et diachoremata nominare. Atque idcirco nunc etiam quidam conceſſerunt de iis quae per alvum vacuantur haberi ſermonem. Verum quod additum eſt in textu illud: *ſi reſidere permiſeris, neque moveris*, repugnat; hoc enim humidorum eſt proprium atque ideo alii rurſum de urinis ipſum agere cenſuerunt. Utrique iterum inter ſe diſſentiunt, hi namque per *ε* primam ſyllabam ſcribunt *ἐφίστανται, inſiſtunt;* illi vero per *υ ὑφίστανται, ſubſident.* At neutrum horum verborum urinis adverſatur:

Ed. Chart. IX. [332.] Ed. Baſ. V. (327.)

διὰ τῶν ὑφισταμένων αὐτοῖς καὶ διὰ τῶν ἐφισταμένων εἰώθαμεν καὶ τῶν παρόντων τι διαγινώσκειν καὶ τῶν μελλόντων ἔσεσθαι, κατὰ δὲ τὰ διαχωρήματα τὸ ἐφίστασθαι μᾶλλόν πως πρέπει. οὐ γὰρ ὥσπερ ἐπὶ τῶν οὔρων ἑτοίμη τῶν ὑφισταμένων ἡ διάγνωσις, οὕτω καὶπὶ τῶν διαχωρημάτων. ἐπὶ μὲν γὰρ τῶν οὔρων καὶ αὐτὸ τὸ ἄγγος ἐξ ὑέλου πεποιημένων ἐνδείκνυται τῶν ὑφισταμένων τὴν φύσιν, καὶ εἰ ἐν ἄλλῳ δέ τινι περιέχοιτο σκεύει, δυνατὸν ἀποχέοντας τὸ ἐπιπολῆς αὐτὸ μόνον καταλιπεῖν τὸ ὑφιστάμενον. ἐπὶ δὲ τῶν διαχωρημάτων οὐδέτερον πιθανόν. πάλιν δὲ αὐτὸ τὸ ἐφεξῆς εἰρημένον τὸ οἷον ξύσματα τοῖς μὲν κατὰ τὴν γαστέρα διαχωροῦσι πρέπει, τοῖς δ' ἐκφερομένοις τῶν οὔρων καθ' ὁντινανοῦν τρόπον εἴτ' ἄνωθεν εἴτε κάτωθεν ἁρμόττει. ξυσματώδη μὲν γὰρ κατὰ τὴν γαστέρα διαχωρεῖται πολλακις, ὀνομάζεταί τε συνήθως οὐχ ὑπὸ Ἱπποκράτους μόνον, ἀλλὰ καὶ τῶν ἄλλων ἰατρῶν, οὐ μὴν ἐπί γε τῶν οὐρων. αὕτη τοίνυν ἡ περὶ τὰ ὀνόματα καὶ τὰ ῥήματα χρῆσις ἄκυρος

etenim et per ea quae ſubſident et per ea quae inſiſtunt aut innatant in urinis tum praeſentium aliquid dignoſcere tum futurorum quiddam praeſagire conſuevimus; in alvi autem excrementis inſidere quodam modo magis competit. Non enim quemadmodum in urinis, ſic in dejectionibus facilis ac prompta eſt ſubſidentium dignotio. In urinis ſiquidem et ipſum vas ex vitio factum ſubſidentium naturam oſtendit. Quodſi alio quodam vaſe contineatur, poſſumus effuſa quae ſupernatat parte ipſum ſolum ſedimentum in fundo relinquere. In alvi autem excrementis neutrum probabile eſt. Rurſus quod textus ſerie dicitur illud, veluti ſtrigmenta, excrementis alvum permeantibus congruit, iis vero quae cum urinis quoquo modo ſive ſuperne ſive inferne educuntur non congruit: ſtrigmentoſa namque ſaepius per alvum dejiciuntur atque conſueto more non ab Hippocrate ſolum, verum etiam ab aliis medicis nominantur, non tamen in urinis. Is igitur nominum et verborum uſus improprius hunc quoque apho-

Ed. Chart. IX. [332.] Ed. Baf. V. (327. 328.)

ἐνδείκνυται παρεγκεῖσθαι καὶ τοῦτον τὸν ἀφορισμόν. ἔτι τε δὴ μᾶλλον ἐπειδὰν εἴπῃ, τούτοις συμφέρει ὑποκαθῆραι τὴν κοιλίην. οὐ γὰρ ἁπλῶς οὐδ' ὡς ἔτυχεν, ὅτῳ ξυσματώδη κατὰ τὴν κοιλίαν ὑπάγονται, τούτῳ συμφέρει καθαίρειν αὐτὴν, ὥσπερ οὐδὲ βλάβη τις ἐξ ἀνάγκης ἕπεται τροφὴν λαμβάνουσι τοῖς οὕτως ἔχουσιν. ὁρῶμεν γὰρ χολωδῶν διαχωρημάτων γενομένων ἐκκρινόμενα καὶ τὴν γαστέρα ξύσματα, ἐφ' οἷς οὔτε βλάπτονται ῥοφήματα λαμβάνοντες ἅπαντες οὔτε προκαθαίρειν αὐτοὺς ἀναγκαῖόν ἐστιν, ἐάν γε πᾶν ἤδη κεκενωμένον ᾖ τὸ χολῶδες. ἔτι δὲ μᾶλλον οὐδ' εἰ τοῖς οὔροις ἐμφέροιτο οἷον ξύσματα, καθαίρειν προσήκει πρὸς τῷ καὶ χα- (328) λεπὸν εἶναι διαγνῶναι, τὴν ἰδέαν ὁποίαν τινὰ εἶναι βούλεται τῶν ἐμφερομένων τοῖς οὔροις ξυσματωδῶν. ἀλλ' οἱ τούτους τοὺς ἀφορισμοὺς παρενθέντες δοκοῦσί μοι χάριν αὐτοῦ τούτοις συνθεῖναι, τοῦ συγκεχύσθαι τε τὸν λόγον, ὥσπερ αἴνιγμα καὶ δεῖσθαι ζητήσεως πολλῆς, ἐν ᾗ καθιστάντες ἑαυτοὺς ἐξηγητὰς τῶν λεγομένων εὐδοκιμοῦσι παρὰ τοῖς μειρακίοις. ὅτι δὲ οἱ λόγοι πάντες οἱ

riſmum interjectum eſſe prodit. Sane vero etiamnum magis, quum his inferne alvum purgari conducere protulit. Non enim ſimpliciter, neque ut fors tulerit, cui per alvum ſtrigmentoſa ſubducuntur, huic ipſum purgari conducit, quemadmodum neque ulla laeſio eos neceſſario ſequutura eſt, qui ſic affecti cibum adſumunt. Videmus enim bilioſis dejectionibus evacuatis ſtrigmenta per alvum excerni, quibus neque qui ſorbitiones accipiunt omnes oblaeduntur, neque eos perpurgare neceſſe eſt, ſi jam quidquid bilioſum inerat, vacuatum ſit, ſed etiamnum magis ſi quid per urinas feratur veluti ramenta, purgare non convenit. Huc adde etiam eſſe perarduum dignoſcere qualem formam eſſe velit eorum quae veluti ramenta cum urinis feruntur. Verum qui hos aphoriſmos interſeruerunt ob eam mihi cauſam compoſuiſſe videntur, ut oratio confunderetur tanquam aenigma et multa indigeret inquiſitione, in qua ſe ipſos conſtituentes interpretes eorum quae his aphoriſmis dicuntur, apud pueros

Ed. Chart. IX. [332. 333.] Ed. Baſ. V. (328.)

ἀσαφεῖς ἀφορμὰς πολυλογίας παρέχουσι τοῖς σοφισταῖς δῆλον ἔσται σοι κατ' αὐτὸν τοῦτον τὸν ἀφορισμόν. ἔνιοι γάρ τοι τῶν ἐξηγησαμένων αὐτὸν οὔ φασιν ἀπαγορεύειν τὸν Ἱπποκράτην, διδόναι ῥοφήματα τοῦ οὕτω διακειμένοις, ἀλλὰ πλέονι κωλύειν εἰρηκέναι, ὁκόσῳ ἂν πλέονα [333] διδῷς μᾶλλον βλάψεις, ὥσπερ οὐ καὶ τῶν ἄλλων, ὅσοι χρῄζουσι ῥοφημάτων ὑπὸ πλειόνων βλαπτομένων ἢ ὡς οὐκ ἀκόλουθον τῷ φάντι, ὁκόσῳ ἂν πλεῖστα διδῷς μᾶλλον βλάψεις καὶ τοῖς ἐλάττοσιν ἐλάττονα τὴν βλάβην ἔσεσθαι νομίζειν. ἀλλ' ὅμως διὰ τὸ τῆς ἑρμηνείας μοχθηρὸν ὑπάρχει τοῖς σοφισταῖς πορίζεσθαι τοῖς λόγοις διαλύσεις καὶ μᾶλλόν γε ὅταν ἐξῇ καὶ προσθεῖναί τι καὶ ἀφελεῖν καὶ μεταγράψαι, ὅπερ ἐν τοῖς ἀσαφέσι λόγοις εἰώθασι πράττειν. αὐτίκα γέ τοι καὶ κατὰ τοῦτον τὸν ἀφορισμὸν ἔνιοι τὸν καὶ σύνδεσμον προσθέντες, ἣν ἄλλοι τοῦ μετ' αὐτὸν ἀρχὴν τίθενται, ταύτην ποιοῦσι τούτου τελευτήν, ἵνα ὁ λόγος οὕτω ἔχῃ, ἣν δὲ μὴ καθαρὴν ποιήσας διδῷς, μᾶλλον βλάψεις καὶ ὁκόσαις ἂν

gloriam aucupentur. Quod autem obſcurae orationes omnes ſophiſtis loquacitatis argumenta praebeant hocce aphoriſmo tibi fiet manifeſtum. Nonnulli ſiquidem eorum qui ipſum interpretantur negant Hippocratem ſic affectis exhibendas prohibere ſorbitiones, ſed ne copioſiores dentur vetuiſſe proferunt, quum diceret: et quo plures dederis, eo magis laeſeris; ac ſi etiam ceteri qui ſorbitionibus egeant copioſioribus non laedantur aut conſequens non ſit eum qui dixerit: *quo plures dederis, eo magis laeſeris*, paucioribus etiam putare minorem fore laeſionem. Verumtamen interpretationis pravitatem ſophiſtis datur facultas rationibus ſolutiones ſuppeditandi, praeſertim quum quiddam et addere et adimere et ſcribendo transponere licuerit: quod in obſcuris ſermonibus facere conſueverunt. Veluti hoc ſtatim aphoriſmo nonnulli conjunctione *et* addita, quod alii ſequentis aphoriſmi principium ſtatuunt, hujus finem faciunt, ut ita ſe habeat oratio. Si vero non purgata alvo ſorbitionem dederis, magis laeſeris, et quibus cruda

Ed. Chart. IX. [333.] Ed. Baf. V. (328.)

κάτω ὠμὰ ὑποχωρέῃ, ὡς δηλονότι καὶ τούτοις ὕσῳ ἂν πλείω διδῷς, μᾶλλον βλάψεις. εἶτ' ἀφ' ἑτέρας ἀρχῆς πάλιν γράφουσιν. ὅτι χολῆς μελαίνης ἔνεστιν ἢν πλείω, πλείων, ἢν ἐλάσσω, ἐλάσσων ἡ νοῦσος. οἵ γε μὴν πολλοὶ τῶν ἐξηγητῶν ἑτέρως ἐξηγοῦνται καὶ γράφουσιν ὡς ὑπογέγραπται ῥῆσις.

ο'.

Ὁκόσα ἂν κάτω ὠμὰ ὑποχωρέῃ ἀπὸ χολῆς μελαίνης ἐστὶν, ἢν πλείω πλείων, ἢν ἐλάσσω, ἐλάσσων ὁ νοῦσος.

Εἴρηται δὲ καὶ πρόσθεν ὅτι καὶ ἄλλοι τινές εἰσιν, ἔξεστι γὰρ ἐν τοῖς ἀσαφέσιν ὡς ἂν ἐθέλῃ τις γράφειν, οὐδενὸς ἐπὶ τοῖς μεταγράφουσι νόμου κειμένου, πολλάκις δὲ οὐ διὰ τὴν ἀσάφειαν, ἀλλ' ὅτι ψευδὴς ἐστιν ὁ λόγος· διὰ τοῦτο ἀναγκάζονται προσγράφειν τοῖς ἐξ ἀρχῆς εὑρεθεῖσιν ἢ ἀφαιρεῖν ἢ μεταγράφειν, ὥσπερ ἀμέλει καὶ κατὰ τόνδε τὸν ἀφορισμὸν, οὗ τὴν λέξιν οἱ πρῶτοι τῶν ἐξηγησαμένων

dejiciuntur; quaſi hos quoque magis laeſeris, quo plures dederis ſorbitiones. Deinde altero facto orationis principio ſic ſcribunt. Ubi atra bilis ineſt, ſi plus adſit, major morbus; ſi minus, minor morbus. Major tamen enarrantium pars aliter interpretantur et ſcribunt, ut ſubſcripta habet dictio.

LXX.

Quaecunque deorſum cruda ſecedunt, ab atra bile ſunt; ſi plura, major, ſi pauciora, minor eſt morbus.

Atque ſupra quosdam textus aliter ſcriptos eſſe dictum eſt. Licet enim in obſcuris cuique prout voluerit ſcribere, quum nulla ſit lex transſcribentibus impoſita. Saepe vero non propter obſcuritatem, ſed quod falſa ſit oratio; propterea quiddam ab initio inventis addere aut adimere aut ſcriptionem mutare coguntur; quemadmodum exempli gratia hoc quoque aphoriſmo, cujus dictionem

Ed. Chart. IX. [333.] Ed. Baſ. V. (328.)

τοὺς ἀφορισμοὺς, ὧν ἐστιν Ἡρόφιλος, ὁ Βακχεῖος, Ἡρακλείδης τε καὶ Ζεῦξις οἱ ἐμπειρικοὶ, τοιαύτην τινὰ γράφουσιν. ὁκόσοις ἂν κάτω ὠμὰ ὑποχωρέῃ χολῆς μελαίνης ἐστὶν, ἢν πλείω, πλείονος, ἢν ἐλάσσω, ἐλασσούνος. ἀλλ' ὅτι τῶν ἐπὶ μέρους τινὸς ὁ λόγος οὗτος ἑρμηνευτής ἐστιν, εἴρηται δ' ὡς ἐκ καθόλου, διὰ τοῦτο τὴν ἀπορίαν παρέσχεν. ἐπεί τοι λεγόμενον αὐτοῦ κατὰ τὴν λέξιν οὐδεμίαν ἔχει ζήτησιν, ἀποφαινομένου τοῦ γράψαντος αὐτήν. οἷς ἂν ὠμὰ χωρέῃ, διὰ χολῆς μελαίνης ἐνεῖναι τοῖς πέττουσιν ὀργάνοις δηλονότι, δι' ἣν ψυχόμενα χείρω πέττει καὶ τρόπον ἀπεψίας ἐργάζεται τὸν κατ' ὠμότητα, τῆς ξανθῆς χολῆς τὸ ἐναντίον ἐργαζομένης, οἷον κνισώδη γάρ τινα γίνεται δι' αὐτὴν ἀπεπτούμενα. τινὲς δὲ καὶ τοῦτον τὸν λόγον ἔτι περὶ τῶν οὔρων ἡγοῦνται λέγεσθαι.

---

primi aphoriſmorum interpretes, e quibus numerantur Herophilus, Bacchius, Heraclides et Zeuxis empirici, in hanc fere ſententiam ſcribunt: quibuscunque cruda deorſum ſecedunt, atrae ſunt bilis; ſi plura, copioſiora; ſi pauciora, paucioris. Verum quia haec oratio rei cujusdam particularis interpres eſt, ut de univerſali tamen enunciatur, propterea dubitationem attulit, quia pronunciatum ipſius quoad dictionem, nullam fortitur dubitationem quaeſtionemve, ſcriptore ejus pronunciante. Quibuscunque cruda ſecedunt, eorum organis ſcilicet concoquentibus atram ineſſe bilem, per quam refrigerata deterius concoquunt et apepſiae ſpeciem a cruditate ortam efficiunt, flava bile alteram eamque contrariam faciente, per quam male coctam nidorulenta evadunt. Quidam denique hunc quoque aphoriſmum de urinis dici arbitrantur.

Ed. Chart. IX. [334.] Ed. Baf. V. (328.)

οα'.

[334] *Αἱ ἀποχρέμψεις ἐν τοῖσι πυρετοῖσι τοῖσι μὴ διαλείπουσι αἱ πελιδναὶ καὶ αἱματώδεες καὶ χολώδεες καὶ δυσώδεες πᾶσαι κακαί, ἀποχωρέουσαι δὲ καλῶς, ἀγαθαὶ καὶ κατὰ κοιλίην καὶ κύστιν καὶ ὄκου ἄν τι ἀποχωροῦν στῇ κεκαθαρμένον κακόν.*

Καὶ οὗτος ὁ ἀφορισμὸς ἔμπροσθεν γέγραπται κατὰ τόνδε τὸν τρόπον. αἱ ἀποχρέμψιες ἐν τοῖσι πυρετοῖσιν ἐν τοῖσι μὴ διαλείπουσιν αἱ πελιδναὶ καὶ αἱματώδεες, πᾶσαι κακαί. ἀποχωρέουσαι δὲ καλῶς, ἀγαθαὶ καὶ κατὰ τὴν διαχώρησιν καὶ κατὰ τὰ οὖρα. ἢν δὲ μήτε τῶν συμφερόντων ἐκκρίνηται διὰ τῶν τόπων τούτων, κακόν. ἐξηγησάμεθα δ' αὐτὸν ἐν τῷ τετάρτῳ τῶνδε τῶν ὑπομνημάτων.

οβ'.

Τὰ σώματα χρὴ, ὅπου τις βούλεται καθαίρεσθαι, εὔροα ποιέειν καὶ ἢν ἄνω εὔροα ποιέειν, στῆσαι τὴν κοιλίην, ἢν δὲ κάτω, ῥυῆσαι τὴν κοιλίην.

LXXI.

Excretiones in febribus non intermittentibus lividae, cruentae, graveolentes et biliosae, omnes malae. Quum vero probe secedunt, bonae. Per alvum etiam et vesicam et ubicunque quod secedit subsistiterit, minime purgatum malum.

Hic quoque aphorismus supra hoc modo scriptus est: *in febribus non intermittentibus excreationes lividae, cruentae, omnes malae. Belle tamen si prodeant, bonae tum per alvi excretiones tum per urinas. At si quid eorum quae non juvant per haec loca excernatur, malum.* Atque ipsum quarto horum commentariorum explicavimus.

LXXII.

Quum quis corpora purgare velit, ea meabilia faciat oportet. Si sursum quidem velit, alvus sistenda; si vero deorsum, laxanda.

Ed. Chart. IX. [334. 335.] Ed. Baf. V. (328.)

Καὶ τούτου τοῦ λόγου τὸ πρῶτον μέρος ἔμπροσθεν γέγραπται, μὴ προσκειμένου τοῦ καὶ ἄνω ἦν βουλῃ εὕροα καὶ τὰ ἑφεξῆς, ἄτινα προσγράψαι βουλόμενος ἐνταυθοῖ τις ἐνέγραψεν αὖθις τὸν αὐτὸν ἀφορισμὸν μετ' ἐξηγήσεως, ὥσθ' ὑπάρχειν ἀληθῆ. ὅτι ἀληθεστέρα ταύτης ἑτέρα τίς ἐστιν ἐξήγησις, ἣν καὶ διὰ μακρᾶς πείρας ἡμεῖς ἐβασανίσαμεν, ἔμπροσθεν δέδεικται κατὰ τὸ τέταρτον ὑπόμνημα.

ογ'.

[335] *Ὕπνος, ἀγρυπνίη, ἀμφότερα γιγνόμενα μᾶλλον τοῦ δέοντος, νοῦσος.*

Καὶ οὗτος ὁ ἀφορισμὸς ἔν τισι τῶν ἀντιγράφων παρέγκειται πρόσθεν εἰρημένος ὅλος ὡσαύτως, πλὴν τοῦ κατὰ τὸ τέλος, ἐνταυθοῖ μὲν γὰρ νόσος. ἐκεῖ δὲ πολὺ βέλτιον γέγραπται κακόν.

Prima quoque hujus aphoriſmi pars in praecedentibus ſcripta eſt, non additis verbis, ſi ſurſum quidem velit meabilia facere et ſequentibus quae aliquis hoc in loco adjicere volens rurſus aphoriſmum ſcripſit cum interpretatione per quam verus eſſet. Quod autem altera ſit quaedam interpretatio hac verior quam nos longa experientia comprobavimus, ſuperius ſecundo commentariorum proditum eſt.

LXXIII.

Somnus vigiliae modum, utraque modum excedentia morbus.

Atque hic aphoriſmus in quibusdam exemplaribus interjectus eſt ſupra pronunciato per omnia ſimilis, praeterquam in fine. Hic enim morbus, illic multo rectius ſcribitur malum.

Ed. Chart. IX. [335.] Ed. Baf. V. (328.)

οδ'.

Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ἢν τὰ μὲν ἔξω ψυχρὰ ᾖ, τὰ δὲ ἔσω καίηται καὶ πυρετὸς ἔχῃ, θανάσιμον.

Καὶ οὗτος ὁ ἀφορισμὸς εἰκῇ γέγραπται πρόσθεν ἄμεινον εἰρημένος, χωρὶς τοῦ καὶ πυρετὸς ἔχῃ. νῦν δὲ ἐκ περιττοῦ πάλιν ἔχει προσκείμενον τὸ καὶ πυρετὸς ἔχῃ· προειρηκότος γὰρ αὐτοῦ κατὰ τὴν ἀρχὴν, ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖς, ματαία πάλιν ἡ ἐπὶ τῇ τοῦ λόγου τελευτῇ προσθήκη καὶ πυρετὸς ἔχῃ.

οε'.

Ἐν μὴ διαλείποντι πυρετῷ, ἢν χεῖλος ἢ ῥὶς ἢ ὀφθαλμὸς ἢ ὀφρὺς διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ, ἀσθενέος ἐόντος, ὅτι ἂν τούτων γένηται, ἐγγὺς ὁ θάνατος.

LXXIV.

In febribus non intermittentibus ſi partes internae frigeant, internae urantur et febris obſideat, mortiferum.

Hic quoque aphoriſmus temere ſcriptus eſt, melius ſupra pronunciatus intra hanc additionem, *et febris obſideat.* Nunc vero ex abundanti additum eſt et febris obſideat. Quum enim ipſe ab initio ſupra dixerit: *in febribus non intermittentibus*, irrita rurſum in peroratione haec appendix: et febris obſideat.

LXXV.

In febre non intermittente ſi labrum aut naſus aut oculus aut ſupercilium pervertatur, ſi non videat, ſi non audiat, imbecillo jam corpore, quidquid horum acciderit, mors proxima.

Ed. Chart. IX. [336.] Ed. Baſ. V. (328. 329.)

[336] *Καὶ οὗτος ὁ ἀφορισμὸς ἔμπροσθεν εἴρηται κατὰ τήνδε τὴν λέξιν. ἐν μὴ διαλείποντι πυρετῷ, ἢν χεῖλος ἢ ῥὶς ἢ ὀφθαλμὸς ἢ ὀφρὺς διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ, ἤδη ἀσθενοῦς ἐόντος, ὅ τι ἂν τουτέων γένηται, ἐγγὺς ὁ θάνατος.*

οστ'.

Ἐπὶ λευκῷ φλέγματι ὕδρωψ ἐπιγίνεται.

Τὸ λεγόμενόν ἐστι τοιοῦτον, ὅσοις ἂν πλεῖστον ἐν τοῖς ἀγγείοις καὶ κατὰ τὴν ἕξιν ὅλην τοῦ σώματος ἀθροισθῇ λευκὸν φλέγμα, τούτοις ὁ λευκοφλεγματίας ὕδερος ἔσται.

οζ'.

(329) *Ἐπὶ διαῤῥοίῃ δυσεντερίη.*

Ἀπὸ κοινοῦ δηλονότι προσυπακοῦσαι χρὴ τὸ ἐπιγίνεται, ξυμένων τῶν ἐντέρων κατὰ βραχὺ, κἄπειτα διὰ βά-

Hic etiam aphoriſmus in praecedentibus hiſce verbis pronunciatus eſt. In febre non intermittente ſi labrum aut naſus aut oculus aut ſupercilium pervertatur, ſi non videat, ſi non audiat, imbecillo jam aegroto, quidquid horum acciderit, propinqua mors.

LXXVI.

Albae pituitae hydrops ſuccedit.

Quod pronunciatur eſt hujusmodi: quibus plurima in vaſis totoque corporum habitu alba pituita acervata eſt, his leucophlegmatias hydrops ſupervenit.

LXXVII.

A diarrhoea, dyſenteria.

Ex communi videlicet loquendi conſuetudine ſubaudiendum eſt *ſupervenit primum* abraſis paulatim inteſtinis,

Ed. Chart. IX. [336. 337.] Ed. Baſ. V. (329.)

θους τούτου γινομένου καὶ οὕτως ἑλκουμένων. ἔμπροσθεν δὲ βέλτιον ἐν ἀφορισμῷ γνησίῳ γέγραπται κατὰ τόνδε τὸν τρόπον· ἐπὶ ἀκράτῳ ὑποχωρήσει δυσεντερία καὶ ἡμεῖς ἐξηγησάμεθα τὸν ἀφορισμὸν τοῦτον ἐν ἕκτῳ τῶν ὑπομνημάτων.

οη'.

Ἐπὶ δυσεντερίῃ λειεντερίη ἐπιγίνεται.

Καὶ οὗτος ὁ ἀφορισμὸς μόριόν ἐστιν ἀφορισμοῦ εἰρημένου ἔμπροσθεν τοῦτον τὸν τρόπον· ὅσοι σπληνώ- [337] *δεες ὑπὸ δυσεντερίης ἁλίσκονται, τούτοισιν ἐπιγενομένης μακρῆς τῆς δυσεντερίης, ὕδρωψ ἐπιγίνεται ἢ λειεντερίη, καὶ ἀπόλλυνται. ἐξηγησάμεθα δὲ καὶ ἡμεῖς αὐτὸν κατὰ τὸ ἕκτον τῶν ὑπομνημάτων.*

οθ'.

Ἐπὶ σφακελισμῷ ἀπόστασις ὀστέου.

---

deinde malo profundum ſubeunte ita demum ulceratis. Supra vero praeclarius in aphoriſmo hunc in modum ſcriptum eſt: *a ſincera dejectione dyſenteria*, nosque hunc aphoriſmum horum commentariorum ſexto explicavimus.

LXXVIII.

Dyſenteriae lienteria ſuccedit.

Hic etiam aphoriſmus pars eſt aphoriſmi ſuperius hoc modo pronunciati. Qui lienoſi dyſenteria corripiuntur, his ſupervenientem longam dyſenteriam hydrops excipit aut lienteria et intereunt. At nos quoque ipſum ſexto commentariorum explanavimus.

LXXIX.

A ſideratione oſſis abſceſſus.

Ed. Chart. IX. [337.] Ed. Baſ. V. (329.)

Ἀπὸ κοινοῦ δηλονότι κἀνταῦθα προσυπακουῦσαι δεῖ τὸ ἐπιγίνεται. πότερον δὲ τῷ τοῦ ὀστέου σφακελισμῷ τὴν ἀπόστασιν αὐτοῦ ἔπεσθαι ἢ τῷ τῆς προκειμένης σαρκὸς, οὐκ ἐδήλωσε, δύναται δ' ἑκάτερον ἀληθῶς λέγεσθαι.

π'.

Ἐπὶ αἵματος ἐμέτῳ φθόη καὶ τοῦ πύου κάθαρσις ἄνω.

Ἐπὶ τῇ φθόῃ ῥεῦμα ἐκ τῆς κεφαλῆς ἐπὶ τῷ ῥεύματι διάῤῥοια, ἐπὶ τῇ διαῤῥοίᾳ σχέσις τῆς ἄνω καθάρσεως, ἐπὶ τῇ σχέσει θάνατος. ἐν τοῖς πλείοσι τῶν ἀντιγράφων καὶ παρὰ τοῖς πλείστοις τῶν ἐξηγητῶν γέγραπται· ἐπὶ αἵματος ἐμέτῳ φθορά. κατά τινα μέντοι τῶν ἀντιγράφων ἐπὶ αἵματος ἐμέτῳ φθόη γέγραπται. φαίνεται γοῦν ὅτι καὶ ταῦτα συνηράνισται μοχθηρῶς ἐκ πολλῶν Ἱπποκρατείων ἀποφάσεων συγκείμενα παρεφθαρμένως, μάλιστα δὲ παρ' ἐκείνων τῶν ἀφορισμῶν ἐπὶ αἵματος πτύσει, πύου πτύσις καὶ ῥύσις. ἐπὴν δὲ τὸ σίαλον ἴσχηται, ἀποθνήσκουσιν.

Hic quoque ex communi loquutione ſubaudiendum eſt, *ſuperveniet*. Utrum vero oſſis ſphaceliſmum ipſius oſſis ſequatur abſceſſus aut circumſtantis carnis non manifeſtavit. Utrumque tamen vere enunciari poteſt.

LXXX.

A ſanguinis vomitione tabes et puris per ſuperiora purgatio.

A phthoë fluxio e capite, a fluxu diarrhoea ſupernae purgationis retentio, a retentione mors. In complurib exemplaribus et apud plurimos interpretes ſcriptum eſt: a ſanguinis vomitu corruptio. In nonnullis tamen codicibus legitur, a ſanguinis vomitu phthoë, hoc eſt tabes. Quare videntur haec quoque male collecta eſſe atque ex Hippocratis quum multis enunciationibus perperam compoſita tum maxime ex illis aphoriſmis: *a ſanguinis ſputo puris ſputum et fluxus*. Quum autem ſputum retinetur, intereunt.

Ed. Chart. IX. [337. 338.] Ed. Baf. V. (329.)

πα'.

Ὁκοῖα καὶ ἐν τοῖσι κατὰ τὴν κύστιν καὶ ἐν τοῖσι κατὰ τὴν κοιλίην ὑποχωρήμασι καὶ ἐν τοῖσι κατὰ τὰς σάρκας καὶ ἤν πη ἄλλη τῆς φύσεως ἐκβαίνῃ τὸ σῶμα, ἢν ὀλίγον, ὀλίγη νοῦσος γίνεται, ἢν πολὺ δέ, πολλὴ, ἢν πάνυ πολλὴ, θανάσιμον τὸ τοιοῦτον.

Οὗτος ὕστατος ὁ ἀφορισμὸς ἐν πλείστοις τῶν ἀντιγράφων γέγραπται, κατά τινα μέντοι καὶ ἄλλοι πρόσκεινται, διεσκευασμένοι καθάπερ καὶ οἵδε οὓς διεληλύθαμεν ἐκ τῶν γνησίων ὄντας οὕτως, ὥστε τοὺς μὲν αὐτῇ τῇ λέξει, τοὺς δὲ παρὰ βραχὺ, τοὺς δὲ μετὰ βραχείας προθέσεως ἐοικέναι τοῖς ὑπ' αὐτοῦ τοῦ Ἱπποκράτους γεγραμ- [338] μένοις, ὅθεν αὐτοὺς οὐδ' ἡμεῖς ἔτι προσεθήκαμεν. οὐδὲ γὰρ αὐτὸς οὗτος ὁ νῦν προκείμενος ἔχει τι περιττότερον ὧν πολλάκις ὁ Ἱπποκράτης ἔδειξεν, ἀλλὰ καὶ ὁ τρόπος τὰς ἑρμηνείας εὔθηλος ὁ κατ' ἐκεῖνον. τὸ δὲ οἷα καὶ ἐν τοῖς κατὰ τὴν κύστιν καὶ ἐν τοῖς κατὰ τὴν κοιλίαν ἀποδόσεως χρῄζει,

LXXXI.

Qualia etiam per veſicam et alvum et carnes excernuntur et ſicubi alias corpus a natura recedat, inſpicere oportet; ſi parum parvus, ſi multum malignus, ſi admodum multum, id hujusmodi letale.

Hic poſtremus aphoriſmus in plurimis exemplaribus ſcriptus eſt; in quibusdam tamen alii etiam adduntur iisdem ordinibus diſtincti, quibus et illi, quos ex legitimis Hippocratis aphoriſmis ita eſſe percenſuimus, ut nonnulli ipſa dictione, nonnulli praeter pauxillum quiddam et nonnulli cum brevi additione iis ſint ſimiles, qui ab Hippocrate ſcripti ſunt. Unde neque nos etiamnum ipſos addere neceſſarium duximus. Nam neque is ipſe nunc propoſitus quidquam habet amplius quam quod ſaepenumero demonſtravit Hippocrates; et alioquin elocutionis ratio in eo eſt manifeſta. Sed illud: *qualia etiam, quae per veſicam et alvum excernuntur*, explicationem deſiderat. Summa

Ed. Chart. IX. [338.] Ed. Baſ. V. (329.)

τὸ γε μὴν κεφάλαιον, ὡς ἔφην, ἀληθές. εἰ μὲν γὰρ ὀλίγον ἐκβαίνοι τοῦ κατὰ φύσιν ἐν οἱῳ δή ποτε μορίῳ μακροτέραν τὴν νόσον· εἰ δ' ἐπὶ πλέον, πολλὴν ὑποληπτέον· εἰ πάνυ πολλὴ τοῦ κατὰ φύσιν ἡ μετάβασις γένηται, θανάσιμον εἶναι τὸ τοιοῦτον νόσημα.

tamen, ut dixi, vera eſt. Si namque parvus a naturali ſtatu cujuscunque partis fuerit deceſſus, minorem morbum, ſi multus, majorem morbum, ſi denique admodum magnus a natura deceſſus fiat, letalem ejusmodi morbum eſſe augurandum eſt.

ΓΑΛΗΝΟΥ ΠΡΟΣ ΛΥΚΟΝ ΒΙΒΛΙΟΝ.

Ed. Chart. IX. [358. 359.] Ed. Baſ. V. (329.)

α'.

[358] Ἀνεμέσητον μὲν δήπου Λύκῳ καὶ παντὶ τῷ βουληθέντι πρὸς Ἱπποκράτην γράφειν. ἔτι δὲ ἀνεμεσητότερον οἶμαι τοῖς δυναμένοις ἀπολύσασθαι τὰ κακῶς εἰρημένα πρὸς αὐτὸν ἐγκλήματα, καθάπερ ἐν δικα- [359] στηρίῳ τοῖς ἀναγνωσομένοις ἀμφοτέρων τὰ γράμματα, τὴν ἀπολογίαν ποιήσασθαι, καὶ μάλιστα ὅταν ὁ μὲν ἐγκαλῶν πρὶν μαθεῖν τὰ λεγόμενα θρασύνεται, τῷ δ' ἀπολογουμένῳ πεπαιδεῦσθαι κατὰ τοῦ παλαιοῦ δόγματος. Λύκος τοίνυν ἔγραψε

GALENI ADVERSUS LYCUM LIBELLUS.

I.

Lyco ſane ac omnibus qui adverſus Hippocratem ſcribere voluerint vitio dandum non eſt. Minus etiamnum cenſura dignos eſſe arguror qui quum male productas in ipſum controverſias diluere queant, utrorumque libros tanquam in judicio lecturi defenſionem ſuſcipiunt, ac maxime quum qui priusquam ab eo pronunciata didicerint ea arguere ferociunt. Qui vero patrocinatur, in ſenis placitis eruditus ſit oportet. Itaque commentarios ſcripſit

Ed. Chart. IX. [359.] Ed. Baſ. V. (329.)

μὲν ἐξηγητικὰ τῶν Ἱπποκράτους ἀφορισμῶν ὑπομνήματα, λωβᾶται δὲ τοῖς δόγμασι τἀνδρὸς ἑκατέρωθεν οἷς τε ψέγειν καὶ οἷς ἐπαινεῖν τινα τῶν ἐπ' αὐτοῦ λεγομένων οἴεται καὶ δι' ὧν ἀντιλέγειν ἐπιχειρεῖ. τά τε γὰρ ἐπαινούμενα Λύκου φαντάσματά ἐστιν, οὐχὶ Ἱπποκράτους δόγματα, δι' ὧν τε ἀντιλέγει δῆλός ἐστι μηδὲ τὰ στοιχεῖα τῆς Ἱπποκράτους τέχνης ἐπισταμένος. ὅτῳ δ' οὐκ ἔστι τῶν στοιχείων ἐπιστήμη, σχολῇ γ' ἂν οὗτος οὐ τὰς συλλαβὰς εἰδείη τῆς τέχνης ἐκείνης ἢ τῶν ἀπ' αὐτῆς. εἰ μὲν οὖν ἐγὼ πρῶτος ἢ μόνος ἔλεγον ἐκ θερμοῦ καὶ ψυχροῦ καὶ ὑγροῦ καὶ ξηροῦ τὰ τῶν ζώων σώματα συγκεῖσθαι νομίζειν Ἱπποκράτην, τάχα ἂν ἴσως εὐλαβέστερον ἐνεκάλουν Λύκῳ πρὶν γνῶναι τὰ στοιχεῖα τῆς Ἱπποκράτους τέχνης ἐπιχειροῦντι τῶν συγγραμμάτων αὐτοῦ γράφειν ἐξηγήσεις. οὔτε γὰρ ὅσοι δόγμασιν ἐναντίοις ἐνεγράψησαν οὔθ' ὅσοι μήτε τὰ πρῶτα γινώσκουσι τῆς τέχνης χρήσιμα εὔλογον ἐξηγεῖσθαι τοὺς ἀφορισμούς, ἀλλ' ὥσπερ μεμαθήκασι μὲν ἐκ τῆς παιδικῆς ἡλικίας, ἐπαινοῦσι δὲ πάλιν ἢ ψέγουσιν αὐτοῦ τὰ δόγματα.

Lycus, quibus Hippocratis aphoriſmos explicat, ſed et utrimque viri decreta depravat tum quatenus ea improbat, tum quatenus quaedam eorum quae ab ipſo edicuntur laudare cenſet, in quibus etiam contradicere conatur. Etenim quae ab eo laudantur, Lyci ſpectra, non Hippocratis decreta ſunt, et per quae contradicit ſe prodit artis Hippocraticae elementa ignorare. Cui vero non ſit elementorum ſcientia, is multo minus artis illius aut eorum quae ab ipſa prodeunt ſyllabas noverit. Itaque ſi primus ego aut ſolus dixiſſem Hippocratem cenſere animantium corpora ex calido, frigido, humido et ſicco conſtitui, quam primum fortaſſis verecundius Lycum accuſarem, quod priusquam artis Hippocratis elementa perdiſcat, librorum ipſius conſcribere enarrationes aggrederetur. Neque enim eos qui contrariis decretis addicti ſunt, neque qui haud prima artis praecepta utilia cognoſcunt, aphoriſmos explicare conſentaneum eſt. Verum quemadmodum a puerili aetate didicimus ita rurſum ipſius decreta lau-

Ed. Chart. IX. [359.] Ed. Baſ. V. (329. 330.)

Λύκος δὲ εἰς τοσοῦτον ἄρα τῆς Ἱπποκράτους τέχνης ἀμαθής ἐστιν, ὡς ἐγὼ θεοὺς ἅπαντας ἐπόμνυμι, τὰς πρώτας τῶν εἰς τοὺς ἀφορισμοὺς ὑπομνημάτων αὐτοῦ ἐξηγήσεις ἀναγνοὺς, οὐκέθ' ὑπέμεινα τὸ λοιπὸν τοῦ βιβλίου ἀναγνῶναι, τοσοῦτον ἐφαίνετο τῆς γνώμης ἁμαρτάνειν τοῦ παλαιοῦ. τῶν ἑταίρων δέ τινος ἀξιώσαντος ἐπακοῦσαί με τῶν εἰς τόνδε τὸν ἀφορισμὸν ὑπ' αὐτοῦ γεγραμμένων, ἐν ᾧ φησι τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ ἔμφυτον θερμὸν, εἶτα πολλῶν καὶ ἄλλων παρακαλεσάντων ἀπολογήσασθαι πρὸς τὰς κατηγορίας, οὕτως ἀναγκασθεὶς ἐπὶ τόνδε τὸν λόγον ἦκον.

β'.

Ἵνα δὲ τοῖς μὲν ὑπ' ἐκείνου λεγομένοις, ὑπ' ἐμοῦ δὲ μέλλουσι πρὸς αὐτὰ ῥηθῆναι, ῥᾷον ἀκολουθήσωσιν οἱ δικάσοντες ἡμῖν, ἀναγκαῖον ἔσται μοι βραχέα προειπεῖν. ὅτι μέν ἐστι θερμὸν ἐν ἡμῖν ἐναργῶς ἅπασι φαίνεται, πότερα δ' ἐκ κινήσεως τοῦτο τῆς κατὰ τὴν καρδίαν (330) καὶ τὰς ἀρτηρίας ἔχει τὴν γένεσιν ἢ καθάπερ αὐτὸ τὸ κινεῖ-

dant aut damnant. Lycus autem artis Hippocraticae adeo imperitus eſt, ut ego deos omnes teſter, primis perlectis ejus in aphoriſmos commentariorum explanationibus, nequaquam me reliqui libri lecturam ferre potuiſſe, tantum mihi a ſenis ſententia aberrare viſus eſt. At vero quum amicorum quidam rogaſſet me ea percipere quae hunc in aphoriſmum ab ipſo ſcripta ſunt, in quo pronunciat: *qui creſcunt calidum innatum copioſiſſimum habent.* Deinde aliis etiam multis, quo illius objectionibus reſponderem provocantibus, in hanc diſputationem coactus me contuli.

II.

Quo vero facilius quae a Lyco dicuntur, quae a me adverſus ea dicenda ſunt percipiant nobis futuri judices pauca praefari nobis neceſſum erit. Calorem quidem nobis ineſſe patet omnibus. Utrum autem is ex cordis et arteriarum motu ortum habeat, an quemadmodum ipſe mo-

Ed. Chart. IX. [359. 360.] Ed. Baſ. V. (330.)

σθαι τῇ καρδίᾳ σύμφυτον ὑπάρχει, τὸν αὐτὸν τρόπον καὶ ἡ θερμασία, διαπεφώνηται τοῖς ἰατροῖς. ἀλλ' ὅστις γε βούλεται μαθεῖν ἐπιστημονικῶς, ἀρχὰς τοῖς ζώοις ἅπασι γενέσεως εἶναι τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὸ ξηρὸν καὶ τὸ ὑγρὸν, ἓν ἔχει βιβλίον ὑπ' ἐμοῦ γεγραμμένον, ἐν ᾧ τὴν Ἱπποκράτους γνώμην ἐξηγοῦμαι καὶ ἀποδεικνύω. τοῦτο μὲν δὴ τὸ βιβλίον ἐπιγέγραπται περὶ τῶν καθ' Ἱπποκράτους στοιχείων. ἕτερα δὲ ἑφεξῆς ἐστιν αὐτοῦ τὰ περὶ κράσεων, ἐν οἷς δείκνυμι τίνα μὲν τῶν σωμάτων πλείονα μοῖραν ἐν ἑαυτοῖς ἔχει τοῦ θερμοῦ στοιχείου, τίνα δ' ἐλάττονα. καὶ ὡς διὰ τοῦτ' αὐτὸ τὰ μὲν θερμότερα φύσει, τὰ δὲ ψυχρότερα γέγονεν. ἅπασι γὰρ ἡμῖν ὑπάρχει τὸ θερμὸν στοιχεῖον ἔμφυ- [360] τον ἐκ πρώτης ἀρχῆς, ἣν ἐκ σπέρματός τε καὶ καταμηνίου κεκτήμεθα. διαφέρομεν δ' ἀλλήλων ἐν τῷ μᾶλλόν τε καὶ ἧττον εἶναι θερμοί· ἀλλ' εἰσί γέ τινες ὅροι τούτου τοῦ πλάτους, ὧν ἐπέκεινα τῆς κράσεως ἐξικομένης ἤτοι νοσεῖν ἡμῖν ἀναγκαῖόν ἐστιν ἢ διαφθείρεσθαι. καὶ γὰρ ἐπὶ πλέον ψυχθέντες ἐν νοσήματι ψυχρῷ καθισιά-

tus cordi innatus eſt, eodem quoque modo calor ſit, diſſentiunt inter ſe medici. Porro quisquis ſcite perdiſcere deſiderat, cunctis animalibus ortus eſſe principia calidum, frigidum, ſiccum et humidum, is unum a me librum habet conſcriptum, quo Hippocratis ſententiam explicamus ac demonſtramus. Hic autem liber de elementis ſecundum Hippocratem inſcribitur; alii vero qui ipſum ſequuntur de temperamentis in quibus quaenam corpora liberaliorem calidi elementi portionem et quae pauciorem ſortita ſint, oſtendimus, quodque ob ipſum haec natura quidem calidiora, illa vero frigidiora facta ſint. Nobis ſiquidem univerſis calidum innatum ineſt elementum a primo ortu, quem tum ex ſemine tum ex menſtruo ſanguine conſequuti ſumus. Hoc tamen ab invicem diſſidemus, quod aliis alii plus minus ſimus calidi. Enimvero hujus latitudinis quidam ſunt termini, ultra quos temperamento progrediente aut aegrotare nos aut interire neceſſe eſt. Etenim magis refrigerati morbis frigidis afficimur, at extra

Ed. Chart. IX. [360.] Ed. Baſ. V. (330.)

μεθα καὶ θερμανθέντες ἔξω τοῦ κατὰ τὴν ὑγείαν πλάτους εἰς πυρετὸν ἀγόμεθα. καὶ τοίνυν καὶ τῶν πυρετῶν αὐτῶν ἔνιοι μὲν ἀκριβῶς εἰσι ξηροὶ, καθάπερ οἱ ἀκριβῶς καῦσοι, τινὲς δὲ ἐσχάτως ὑγροὶ, καθάπερ οἱ τυφώδεις ὀνομαζόμενοι. εἰ δ' οὐ χαίρει τις τοῖς οὕτω καλουμένοις ἢ κατ' ἄλλου πράγματος ἐπιφέρειν εἴθισται τὰς εἰρημένας προσηγορίας, ἐγὼ τούτῳ τῷ λόγῳ διηγήσομαι τοὺς ὑγροὺς πυρετοὺς ὁποίους εἶναί φημι. ἱδρῶσι μὲν οἱ κάμνοντες ἀπὸ πρώτης ἡμέρας, ἐν δ' αὐτοῖς ἱδρῶσιν ἢ μετρίως ἢ οὐδὲν ὀνινάμενοι, τούτους ὑγροὺς ἐγὼ τοὺς πυρετοὺς ὀνομάζω, ξηροὺς δὲ ἔμπαλιν ἐκείνους καλῶ τῶν πυρετῶν, οἷς δίψα σφοδρὰ καὶ γλῶττα ξηρὰ καὶ δέρμα σκληρὸν οἷόν περ βύρσα καὶ πολὺς αὐχμὸς ἐν ἅπαντι τῷ σώματι. καὶ μὴν καὶ ἕτεροί τινές εἰσι πυρετοὶ τὴν διαπνοὴν ὅλου τοῦ σώματος ἔχοντες ἀνιαρὰν τοῖς ἁπτομένοις, ὡς νύττεσθαί τε καὶ δάκνεσθαι δοκεῖν, διχῶς καὶ τούτου γινομένου, ποτὲ μὲν ἀερώδους ξηροῦ τοῦ προσπίπτοντος ἡμῖν, ἔστι δ' ὅτε ὑγροῦ πως φαινομένου, καθάπερ ἀτμοῦ τινος. τοιαύταις ἰδέαις ἀλλήλων διαφέρουσι καὶ

ſanitatis planum caleſacti in febrem ducimur. Quin etiam febrium ipſarum nonnullae plane ſiccae ſunt, quemadmodum ſincere ardentes; quaedam vero ſummae humidae ut quae typhodes vel elodes nominantur. Quod ſi quis hiſce vocabulis non oblectetur aut ad rem alteram enunciatas appellationes afferre conſueverit, hac ego oratione ſum explicaturus, quas febres humidas eſſe dico. Quum a primo quidem die aegri ſudant ipſisque ſudoribus aut aliquantulum aut nullo modo levantur, has ego febres humidas appello; ſiccas vero contra illas voco febres, in quibus vehemens urget ſitis et lingua arida et cutis tanquam dura ac ingens in univerſo corpore ſqualor eſt. Sunt et ſane aliae quaedam febres quae univerſi corporis tranſpirationem ita moleſtam reddunt tangentibus, ut pungi morderique videantur, hocque duobus fit modis. Interdum ſiquidem quiddam aëreum nobis ſiccum occurſat, interdum vero humidum, veluti vapor quidam apparet. Hiſce ideis inter ſe etiam differunt ſanorum ipſorum tem-

Ed. Chart. IX. [360.] Ed. Baſ. V. (330.)

τῶν ὑγιαινόντων αὐτῶν αἱ κράσεις, ἃς δὴ καὶ δυσκράτους εἶναί φαμεν, ἐπανορθούμεθά τε καθ' ὅσον οἷόν τε τὴν φυσικὴν δυσκρασίαν αὐτῶν. ἔστι γὰρ καὶ τοῦτο μόριον οὐ σμικρὸν τῆς ὑγιεινῆς τέχνης. ὅσα δὲ εὔκρατα φύσει τῶν σωμάτων ἐστὶν, οὐδὲν τοιοῦτον ἁπτομένοις ἐμφαίνει. σύμμετρα γὰρ ἀκριβῶς ἐστιν, ὡς μηδὲν ἐνδεῖν αὐτοῖς τὸ θερμὸν, οἷα γέρουσιν ἢ τοῖς ἐψυγμένοις, μήθ' ὑπερβάλλειν, ὡς τοῖς ἀμειρότερον πονήσασιν ἢ διατρίψασιν ἐπὶ πλεῖον ἐν ἡλίῳ θερινῷ. πολὺ δὲ δὴ μᾶλλον οὐδὲ τὸ δάκνον ἢ ἀνιαρὸν ἡ τούτων ἔχει θερμασία. σαφηνείας δὲ ἕνεκα τῶν λεγομένων οὐδὲν ἂν εἴη χεῖρον ἀναμνησθῆναί σε βαλανείων, ἐν οἷς ἓν μέν ἐστι δήπου τὸ τῶν εὐκράτων εἶδος, αἱ δυσκρασίαι δὲ πολλαί. μία μὲν γὰρ δυσκρασία βαλανείου, ψυχροτέρου τῆς χρείας ὑπάρχοντος, ἑτέρα δὲ εἰ μέχρι τοῦ λυπεῖν ἤδη θερμανθείη, τρίτη δ' ἄλλη καθ' ἣν οὔθ' ὡς ψυχρότερον οὔθ' ὡς θερμότερον αἰτιώμενοι πλῆρες ἀτμοῦ φαμεν ὑπάρχειν καὶ κατὰ τοῦτο μεμφόμεθα. τίς γὰρ οὐκ οἶδεν, εἴ γε ὅλως ἄνθρωπός ἐστιν, ὡς εὔκρατόν ἐστι μὲν

peramenta, quae profecto intemperata eſſe dicimus et naturalem ipſorum intemperiem, quantum fieri poſſit, emendamus. Id enim pars eſt hygienes artis non exigua. Quae vero temperata ſunt natura corpora, nihil hujusmodi produnt tangentibus. Nam adeo exquiſite commoderata ſunt ut neque calor ipſis deficiat, qualia ſunt ſenibus ac refrigeratis, neque excedat, ut iis qui immoderatius laborarunt vel diutius in aeſtivo ſole verſati ſunt. At multo ſane minus mordacitatis aut moleſtiae horum calor eſt particeps. Verum perſpicuitatis enunciatorum gratia nihil quidquam deterius fuerit te balneorum meminiſſe, in quibus unica quidem eſt nimirum temperamentorum ſpecies, intemperies vero multae. Una namque eſt balnei intemperies quum pro uſu ſit frigidius. Altera ſi aduſque illatam moleſtiam jam incaluerit. Tertia vero alia qua neque quod frigidius neque quod calidius exiſtat, id damnantes, vapore repletum eſſe dicimus ob idque illud improbamus. Quis enim, modo homo ſit, non

Ed. Chart. IX. [360. 361.] Ed. Baſ. V. (330.)

ὕδωρ πολλάκις, ἔστι δ' ὁμοίως αὐτῷ ὁ καὶ ἀὴρ καὶ ἀτμός. οὕτω γοῦν καὶ λίθος εὔκρατος ἐν αὐτοῖς τοῖς βαλανείοις γίγνεται, καθ' οὗ κυλινδεῖσθαι δυνατόν. οὔτε θερμασίαν ὑπερβάλλουσαν οὔτε ψῦξιν αἰτιώμενον, οὔτ' αὐχμὸν ἢ πλῆθος ὑγρότητος. ὥσπερ οὖν ἐν ὕδατι καὶ λίθῳ καὶ ἀέρι σύμμετρος γίγνεται θερμότης, οὕτως καὶ κατὰ τὸν ἀτμόν, ὃς ἐπειδὰν εὔκρατος ὢν ἐμπλήσει τὸ βαλανεῖον, οἱ λουόμενοι δυσχεραίνουσι μὲν καὶ μέμφονται τὸ τοιοῦτον λουτρόν, ψυχρότερον δὲ ἢ θερμότερον οὐκ ὀνομάζουσιν, ὡς εἴ γε καὶ τοιοῦτόν τι ποιεῖ, διττὴν ποιοῦνται τὴν κατηγορίαν τοῦ βαλανείου, ψυχρὸν εἶναι φάσκοντες αὐτὸ καὶ μεστὸν ἀτμοῦ, καθάπερ γε καὶ θερμὸν αὖθις ἀμέτρως σὺν ἀτμῷ δαψι-

[361] λεῖ. μὴ τοίνυν ἐπιλανθανώμεθα τούτων μηδὲ τὰ κοινῇ πᾶσιν ἀνθρώποις γιγνωσκόμενα διαφθείρωμεν ὑπὸ περιττῆς σοφίας, ἣν ἐπιδείκνυταί τινες, ἀλλὰ μεμνημένοι τῶν βαλανείων, ἐπειδὰν ἀκούσωμέν τινος ἐπὶ ζώου λέγοντος, ὡς ἔστι τούτου μὲν εὔκρατον τὸ θερμὸν, τούτου δὲ δύσκρα-

noverit temperatam eſſe aquam multoties ipſi quoque ſimiliter tum aërem tum vaporem eſſe? Sic vero et in ipſis balneis lapis temperatus redditur, in quibus volutari poſſumus, neque caloris neque frigoris exſuperantia neque ariditate neque humoris copia culpata. Quemadmodum igitur in aqua et lapide et aëre commoderatus comperitur calor, ſic et in vapore qui quum temperatus exiſtens balneum impleverit qui lavantur, balneum quidem hujusmodi moleſte ferunt ac de eo conqueruntur, non tamen id frigidius aut calidius appellant. Quod ſi quid hujusmodi praeterea acceſſerit, duplici balneum reprehenſione notant qui frigidum ipſum vaporeque plenum eſſe pronunciant, quemadmodum rurſus etiam cum copioſo vapore immoderate calidum. Horum itaque ne ſimus immemores, neque ab extuberante, quam nonnulli oſtentant ſapientia, quae vulgo cunctis hominibus ſunt cognita depravemus; imo quum aliquam de animali proferentem audivimus hujus quidem calorem temperatum eſſe, illius

Ed. Chart. IX. [361.] Ed. Baſ. V. (330.)

τον, οὐκ ἐπ' ἄλλο τι μεταφέρομεν τὴν διάνοιαν, ἀλλ' ἐφ' ὅπερ ἅπαντες οἱ τὰς κοινὰς ἐννοίας διασώζοντες ἄνθρωποι, καθ' ἑκάστην ἡμέραν ἐν ἄλλοις τε πολλοις καὶ μέντοι γε καὶ τοῖς βαλανείοις ὧν ἐμνημόνευσα. θερμὸν γοῦν εἶναί φασι τὸ βαλανεῖον καὶ ψυχρὸν, εἶτ' αὖθις ἀτμοῦ πλῆρες ἢ ξηρὸν καὶ αὐχμῶδες καὶ ἑκάστῳ τῶν ὀνομάτων ἴδιόν τι δηλοῦντες πρᾶγμα. πρὸς τοίνυν τοῖς εἰρημένοις ἕτερόν τι βαλανεῖόν ἐστι καπνοῦ πλῆρες καὶ ναὶ μὰ Δία γε τούτου πολυειδεσιάτου. ἕτερος μὲν ὁ ἐκ δρυΐνων ξύλων, ἕτερος ἐὲ ὁ ἐκ συκίνων ἢ ἐλαΐνων ἐστὶ καὶ καθ' ἕκαστόν γε δένδρον ἄλλος καὶ ἄλλος. ἀλλ' οὐδέπω δέομαι τῶν κατὰ μέρος διαφορῶν. ἀρκεῖ γάρ μοι τήν γε πρώτην ὅλον γε τὸ γένος τοῦτο μιᾷ κλήσει καὶ νοήσει περιλαμβάνοντι καπνώδη τὸν ἀέρα φάναι τοῦ βαλανείου, μηδ' ἐνταῦθα μεμφόμενον αὐτοῦ θερμασίαν ἢ ψύξιν ἢ ὥσπερ γε μεμφόμενον αὖθις, εἰ οὕτως ἔτυχε καὶ' ἄμφω, καὶ ὡς θερμὸν τὸ βαλανεῖον καὶ ὡς καπνῶδες. ἐάσης οὖν ἤδη τὰ βαλανεῖα τῶν καθ' ἑκάστην

vero intemperatum, balneorum recordati non ad aliud quidquam cogitationem transferemus praeterquam ad id quod omnes mortales qui communes notiones ſervant integras quotidie, quum in aliis multis tum certe in balneis quorum mentionem fecimus. Balneum itaque calidum et frigidum eſſe, rurſusque vapore plenum aut ſiccum et aridum ſingulis his nominibus rem aliquam propriam ſignificantes. Porro ad haec commemorata alterum quoddam balneum eſt ſumo plenum eoque nae per Jovem permultarum ſpecierum. Alter ſiquidem ex lignis quercinis, alter vero ex ſiculneis aut oleagineis ortum habet et pro unaquaque arbore alius atque alius. Verum ne hactenus his particulatim differentiis agemus. Mihi namque ſat eſt, hoc univerſum genus unica tum appellatione tum intelligentia comprehendere, ſi balnei aërem ſumidum eſſe dixerimus nec in eo aut calorem aut frigus damnemus aut quemadmodum etiamnum, ſi ita fors tulerit, utrumque accuſemus, quod et calidum exiſtat et quod

Ed. Chart. IX. [361.] Ed. Baſ. V. (330.)

ἡμέραν ἐν ταῖς οἰκίαις ἡμῖν συμβαινόντων ἀναμνήσθητί μοι, ποτὲ μὲν ὑγρότητα τῶν οἰκίων ἐν οἷς ἔσμεν, ἔστι δ' ὅτε ἄμετρον ψύξιν ἢ θερμότητα μεμφόμεθα. πότερα μὲν οὖν ὁμοίως μεμφόμεθα τὸν κατὰ τὸν οἶκον ἀέρα τοῖς ὑπὸ κύνα καύμασι, κἀπειδὰν καπνοῦ πληρωθῇ, ἢ κἀνταῦθα ὥσπερ ἐν τοῖς βαλανείοις ἔστιν ὅτε κατὰ μὲν τὴν θερμασίαν διαλλάττουσιν οὐδέν, ἔστι δ' αὐτῶν ὁ μὲν αὐτὸ δὴ τοῦτο καπνῶδες, εἶτα ὁ μέν γε θερμὸς ἀὴρ οὐδέποτε προκαλεῖται δάκρυον, τῷ καπνώδει δ' ἀεὶ ὑπάρχει τοῦτο κἂν μετρίως θερμὸς ᾖ, ὥστε ἐναργῶς ἐνταῦθα κατάδηλόν ἐστι τὸ δακνῶδες θερμὸν οὐ τῷ μᾶλλον θερμαίνειν, ἀλλ' ἑτέρῳ τινὶ διαλλάττον. ἐγγυτάτω γοῦν φλογὸς μεγίστης ἀκάπνου στάντες θερμαινόμεθα οὕτω πολλάκις, ὡς ἐγγὺς μὲν ἥκειν τοῦ καίεσθαι, δάκνεται δ' οὐδεὶς οὐδὲ δακρύει τοὺς ὀφθαλμοὺς ὡς ἀπὸ καπνοῦ. θαυμαστὸν οὖν εἴ τις ἐπὶ καπνοῦ καὶ φλογὸς αἰσθάνεται

fumidum. Verum miſſis jam balneis quae quotidie noſtris in aedibus nobis accidunt, eorum quaedam ad memoriam revocanda ſunt. Alias quidem aedium in quibus degimus humiditatem accuſamus, alias vero immoderatum frigus aut calorem. Utrum igitur eodem modo aedium aërem in magnis ſub cane ardoribus damnamus atque quum fumo repletae fuerint? An hic quoque quemadmodum in balneis nonnunquam calore quidem nihil inter ſe diſcrepant? Eſt autem eorum alter quidem idem ſane hocce tantum aër calidus, alter vero qui adjungitur fumidus. Sub haec calidus quidem aër lacrymas nunquam evocat, fumo vero infectus etiam ſi modice calidus ſit, eas ſemper excitat. Quamobrem hic liquido conflat calidum mordax non quod magis calefaciat, ſed re quadam alia differre. Quocirca quum flammae maximae fumo vacuae proximi ſtamus, ſaepenumero ita incalefcimus, ut prope aduri provehamur. Nullus tamen mordetur nec excitatur, ut a fumo lacrymas fundant oculi. Miremur igitur ſi quis in fumo et

Ed. Chart. IX. [361. 362.] Ed. Baſ. V. (330. 331.)
τῆς διαφορᾶς, ἐπὶ δὲ τῶν ἡμετέρων σωμάτων ἀναίσθητός ἐστιν ἐνίοτε μὲν ἰσχυροτάτης θερμασίας οἷον φλογὸς, ἐνίοτε δὲ ἀνιαρᾶς καὶ δακνώδους οἷόν περ καπνοῦ. θαυμάζω δὲ οὐδὲν ἧττον, εἰ μὴ συγχωρεῖ τὰς κατὰ τὸ θερμὸν ἐν τοῖς ζώοις δυσκρασίας ἀνάλογον ἔχειν ταῖς κατὰ τὰ βαλανεῖα καὶ τὰς οἰκίας· ὡς οὖν ἐν ταῖς οἰκίαις ἄλλος μὲν ἀήρ ἐστιν οἴκου καπνώδους, ἄλλος δὲ ἁπλῶς θερμοῦ, κατὰ τὸν αὐτὸν οἶμαι τρόπον ἕτερος τούτων ἐναργῶς (331) ἐστὶν ἐν ᾧ πλῆθός ἐστι καιομένων λύχνων ἢ δαδὸς ἅμα λιγνύσι, καὶ τοίνυν καὶ καλοῦμεν, ὥσπερ τὸν ἕτερον ἀέρα καπνώδη, λιγνυώδη τοῦτο, ἐξ ὑπεροπτήσεως ὕλης γενόμενον. ἡ γάρ τοι λιγνὺς ταύτῃ τοῦ καπιοῦ διενήνοχε, καίτοι γε ἀμφοῖν περιττωμάτων ὑπαρχόντων φλογὸς, ὅτι ἡ λιγνύς ἐστι μὲν κατωπτημένης ὕλης γεώδης ἀναθυμίασις, [362] καπνὸς δὲ οὔθ' ὑπερωπτημένης οὔτε γεώδης, ἀλλ' ἡμικαύστου τε καὶ συμμιγοῦς ἔξ ὑγρᾶς καὶ γεώδους οὐσίας. ὅστις οὖν ἐπαιδεύθη τολμήμως ἐν Ἱπποκρατείοις δόγμασιν, ἐμαθεν οὕτος ὡς τῆς ὀνομαζομένης ἤδη συνήθως ἅπασι τοῖς ἰατροῖς ἀδή-

flamma differentiam percipiat, in noſtris vero corporibus interdum vehementiſſimum calorem, qualis eſt flammae, interdum qualis eſt fumi, moleſtum ac mordacem perſentiat. Nihil minus etiam miror, ſi has caloris animalium intemperaturas iis quae in balneis aut aedibus reperiuntur, proportione reſpondere non concedat. Ut ergo in aedibus alius quidem aër domus fumidae, alius vero ſimpliciter calidae, eodem modo arbitror calorem ab his diverſum eſſe, in quo accenſarum lucernarum multitudo ſit aut facis cum fuligine. Proindeque ut fumidum alterum aërem vocamus, ſic et hunc fuliginoſum qui ex materia plene peruſta ſit. Fuligo namque ea ratione a fumo differt, etiamſi utrumque flammae ſit excrementum, quod fuligo quidem terreae ſit peruſtae materiae exhalatio; fumus vero neque plane peruſtae, neque terreae, ſed ſemiuſtae et ex humida ac terrea ſubſtantia commixtae ſoboles. Quisquis igitur in Hippocratis placitis legitime fuerit eruditus, is etiam didicit eam jam pro conſuetudine ab om-

Ed. Chart. IX. [362.] Ed. Baſ. V. (331.)

λου διαπνοῆς, ἣν διαπνεῖται τὰ σώματα, τὸ μὲν τοιοῦτόν ἐστιν οἷον ἀτμὸς, ἕτερον δὲ οἷον ἀὴρ ξηρὸς, ἕτερον δὲ σὺν αἰσθηταῖς ὑγρότησιν ἐκπῖπτον. λείπει τινά.

γ'.

Αὕτη μὲν ἡ ῥῆσίς ἐστι τῶν ὑπὸ τοῦ Λύκου γεγραμμένων εἰς κατασκευὴν τοῦ μηδὲν διαφέρειν ἕτερον ἑτέρου θερμὸν οὐκ ἀναμένουσα τὸν ἔξωθεν ἔλεγχον, ἀλλ' ἑαυτὴν καταβάλλουσα. τί γάρ δὴ καί φησι; τὸ θερμὸν ἢ νενόηται θερμὸν, οὐδεμίαν ἔχει παραλλαγὴν πρὸς ἕτερον θερμόν. εἰ μὲν οὖν οὐδὲν ἐν τῷ λόγῳ σημαίνει τὸ ἢ νενόηται θερμὸν, ἐξαιρείσθω τελέως αὐτοῦ. σημαίνων δ' ἔτι σαφῶς ἐνδείκνυται ταύτῃ μὲν μὴ διαφέρειν τὸ θερμὸν τοῦ θερμοῦ, καθ' ἕτερον δέ τι διαφέρειν. εἰ μὲν γὰρ οὐδαμῇ διαφέρει, περιττῶς πρόσκειται τὸ ἢ· εἰ δὲ ἄλλῃ μέν πῃ διαφέρει, ταύτῃ δ' οὐ διαφέρει, καθ' ὃ διαφέρει, κατὰ τοῦτο

nibus medicis appellatam inſenſibilem tranſpirationem qua difflantur corpora, aliam quidem talem eſſe qualis vapor eſt; aliam vero aëri ſicco ſimilem, aliam denique cum ſenſibilibus humiditatibus excidentem. Quaedam deſiderantur.

III.

Haec oratio quidem eſt ex his quae a Lyco ſcripta ſunt ad adſtruendum nihil alterum ab altero calorem differre, quaeque externam reprehenſionem non exſpectant, ſed ſe ipſa deſtruunt. Quid enim jam etiam ait? calidum, qua calidum intelligitur, nullam habet cum altero calido differentiam. Si igitur nihil in oratione ſignificet, qua calidum intelligitur, id prorſus detrahatur; ſi quid praeterea ſignificet, hoc aperte demonſtrat hac quidem ratione nihil calidum a calido differre ac ſecundum quid aliud differre. Si namque nulla ratione differat, ſuperflue *qua calidum* additur. Quod ſi alia ratione differat, haec au-

Ed. Chart. IX. [362.] Ed. Baſ. V. (331.)

νοείσθωσαν αἱ διαφοραί. ὡς εἴ γε καθ' ὃ λέγεται μόνον ἕκαστον σκοποῖτο, πάντων τῶν πραγμάτων ἀναιρήσεις τὰς διαφοράς. τὸ ζῶον ᾗ νενόηται ζῶον οὐδὲν ἑτέρου διαφέρει ζώου. τὸ φυτὸν ᾗ νενόηται φυτὸν, οὐδὲν ἑτέρου διαφέρει φυτοῦ. τὸ δένδρον ᾗ νενόηται δένδρον, οὐδὲν ἑτέρου διαφέρει δένδρου. ἆρ' οὐκ εἰσὶ τοῦ ζώου διαφοραὶ, τὸ πτηνὸν καὶ πεζὸν καὶ νηκτὸν καὶ τὸ ἔνυδρον καὶ ἐγγεῖον καὶ ἀέριον ἢ τὸ θνητὸν καὶ ἀθάνατον ἢ τὸ λογικὸν καὶ ἄλογον ἢ τὸ ἥμερον καὶ τὸ ἄγριον ἢ τὸ δειλὸν καὶ ἄλκιμον ἢ τῶν ἄλλων ὧν ἴσμεν ἕκαστον. τί γὰρ δεῖ μακρολογεῖν; οὕτω τῶν φυτῶν τὸ μὲν δένδρον, τὸ δὲ θάμνος, τὸ δὲ ἄκανθα, τὸ δὲ πόα, τὸ δὲ φρύγανον, ᾗ τῶν πάντων, καθ' ὃ νενόηται ζῶα μηδεμίαν ἐχόντων διαφορὰν, ὅμως καὶ ταύτας ἁπάσας ἃς εἴρηκε καὶ πρὸς ταύτας ἑτέρας οὐκ ὀλίγας ἀληθῶς ἄν τις εἴποι ζώου διαφοράς; οὕτως δὲ κἀπὶ τῶν φυτῶν. οὐ γὰρ φυτόν γε φυτοῦ διενήνοχε τῷ τὸ μὲν εἶναι λογικὸν αὐ-

tem non differat, qua in re differt, in ea differentiae percipiendae ſunt. Quod ſi certe quo modo appellatur, eo unumquodque duntaxat conſideretur, rerum omnium differentias evertes. Animal quatenus animal intelligitur, nihilo ab altero animali differt. Planta quatenus planta percipitur, ab altera planta nihilo differt. Arbor quatenus arbor mente deprehenditur, nihil ab altera diffidet arbore. Num ergo minimae ſunt animalis differentiae volatile, pedeſtre, natatile, aquatile, terreſtre et aëreum, aut mortale et immortale aut rationale et irrationale aut domeſticum et ſilveſtre aut timidum et audax aut aliae quas ſcimus ſingulae? Quid longiori oratione opus eſt? Sic plantarum alia quidem arbor eſt, alia frutex, alia ſpina, alia herba, alia ſubfrutex? An potius quum omnia animalia quatenus animalia deprehenduntur, nullam habeant differentiam, attamen has univerſas quas recenſui ac praeter eas non paucas eſſe animalis differentias vere quis affirmaverit? Ita vero et de plantis; non enim planta a planta differt, quod haec quidem inter alias ſit

Ed. Chart. IX. [362. 363.] Ed. Baſ. V. (331.)

τῶν, τὸ δὲ ἄλογον, οὔτε τὸ πτηνὸν ἢ πεζὸν, οὐδὲ τῶν ἄλλων τῶν εἰρημένων οὐδεμία διαφορά. καθάπερ οὐδὲ ζῶον ζώου διαφέρει τῷ τὸ μὲν εἶναι θάμνος, τὸ δὲ ἄκανθα, τὸ δὲ δένδρον, τὸ δὲ πόα, τὸ δὲ φρύγανον, τὸ δὲ κέδρος, ἀλλ' ἐν τῷ γένει τῶν φυτῶν ἡ τοιαύτη τομή. ἀλλὰ καὶ νοσημάτων διαφορὰς αὐτὸς ὁ Λύκος γράφει παμπόλλας, καίτοι γε οὐδὲν διαφέρει νόσημα νοσήματος ἢ νόσημά ἐστιν, ὥσπερ οὐδὲ σύμπτωμα συμπτώματος ἢ σύμπτωμά ἐστιν, ἀλλ' ὅμως καὶ τὰς τούτων διαφορὰς ὁ Λύκος ἐπιχειρεῖ γράφειν, ὥσπερ γε καὶ τὰς τῆς πλευρίτιδος, ἑκάστου τε [363] τῶν ἄλλων νοσημάτων. καίτοι γε πλευρῖτις πλευρίτιδος ἢ πλευρῖτίς ἐσιιν οὐδὲν διαφέρει, ἀλλ' ὅμως ἡ μέν τις εἰς τὴν κλεῖν ἔχει περαινομένην τὴν ὀδύνην, ἡ δ' εἰς τὸ ὑποχόνδριον. οὕτω δὲ καὶ μετὰ μὲν τοῦ κεχρῶσθαι τὸ πτύελον ἡ ἑτέρα τῶν πλευριτίδων, ἑτέρα δ' ἐναντία τῇδε καλουμένη πρὸς ἐνίων ἄπτυστος, ἄλλαι τε πολλαὶ διαφοραὶ, καθ' ἃς ὑπαλλάττεσθαι συμβαίνει καὶ τὴν θεραπείαν. ἀλλὰ ἐὰν καὶ

rationalis, illa vero irrationalis; neque quod volatilis ſit aut pedeſtris, neque ulla demum aliarum pronunciatarum differentia, quemadmodum neque animal ab animali diffidet, quod hoc quidem frutex ſit, illud vero ſpina, aliud vero arbor, aliud herba, hoc ſuffrutex, illud cedrus. Verum hoc in plantarum genere hujusmodi ſectio eſt. Quin etiam Lycus permultas ſcribit morborum differentias, etiamſi morbus, qua morbus eſt, a morbo nihilo differat; quemadmodum neque ſymptoma a ſymptomate, quatenus ſymptoma eſt. Horum tamen differentias ſcribere contendit Lycus, ſicuti pleuritidis ſingulorumque aliorum morborum. At vero pleuritis a pleuritide, quatenus pleuritis eſt, nulla re differt, verumtamen quaedam aduſque claviculam permeantem dolorem habet, quaedam vero ad hypochondrium. Sic et inter pleuritides cum colorato ſputo eſt altera, altera vero huic contraria, quae a nonnullis ſputo vacua vocatur, aliaeque multae ſunt differentiae, quibus etiam curationem immutari con-

Ed. Chart. IX. [363.] Baſ. V. (331.)

ταύτας τῶν πυρετῶν αὐτῶν τὰς διαφορὰς ὁ Λύκος ἐκδιδάσκειν πειρᾶται. καίτοι εἴτε κατὰ πλεονεξίαν θερμασίας ἡ γένεσις αὐτοῖς ἐστιν, εἴτε κατὰ τὸ δακνώδες τῆς ποιότητος, οὐδεμία γενήσεται διαφορὰ πυρετοῦ πρὸς πυρετὸν ᾗ πυρετός ἐστιν. οὔτως οὖν ἀπαίδευτον ἐρωτᾷ λόγον ὁ Λύκος, ὥστε οὐκ αἰσθάνεται τὰς τέχνας ἁπάσας ἀναιρῶν. ἐν γάρ τοι τῇ γνώσει τῶν διαφορῶν ἑκάστου τῶν ὄντων αἱ τέχναι συνίστανται. καὶ τοῦτο ἐπὶ πλεῖστον μὲν κἀν τῷ Φιλήβῳ διῆλθεν ὁ Πλάτων εὐθὺς ἐν ἀρχῇ τοῦ συγγράμματος· ἐφύλαξε δ' αὐτοῦ τὴν γνώμην Ἀριστοτέλης καὶ Θεόφραστος, Χρύσιππός τε καὶ Μνησίθεος καὶ οὐδεὶς ὅστις οὐ διῆλθεν ἐν τῷ περὶ τέχνης γράμματι τὸν αὐτὸν λόγον. ἔστι δ' ἡ μὲν πρώτη ῥῆσις ὑπὲρ τῆς κατὰ τὰς τέχνας συστάσεως τοῦ Πλάτωνος εἰρημένον τοιάδε. Σωκράτης. φωνὴ μὲν ἡμῖν ἐστί που μία διὰ τοῦ στόματος ἰοῦσα καὶ ἄπειρος αὖ πλήθει πάντων τε καὶ ἑκάστου. Πρώταρχος. τί μήν; Σωκράτης. καὶ οὐδὲν ἑτέρων γε τούτων ἐσμέν πω σοφοὶ, οὔθ' ὅτι τὸ ἄπειρον αὐτῆς ἴσμεν οὔθ' ὅτι τὸ ἓν, ἀλλ' ὅτι πόσα

tingit. Quin immo et has et febrium ipſarum differentias nos edocere Lycus nititur. Quamquam vero ſive illis ob caloris exſuperantiam ſive ob qualitatis mordacitatem ortus eſt, febris tamen cum febre, qua febris eſt, nulla conſtituitur differentia. Quapropter ineruditam adeo rationem perquirit Lycus, ut non ſentiat ſe artes univerſas evertere. In differentiarum ſiquidem rei cujuscunque cognitione artes conſtituuntur, idque Plato in Philebo ſtatim initio libri copioſe differuit ipſiusque ſententiam Ariſtoteles, Theophraſtus, Chryſippus et Mneſitheus ſervarunt; ac nullus eſt qui in opere de arte eandem non habuerit orationem. At verba prima Platonis de artium conſtitutione prodita ſunt hujusmodi. *Socrates.* Nox profecto nobis una eſt quae ore prodit ac infinita rurſus multitudine tum omnium tum unius cujusque. *Protarchus.* Quidni? *Socrates.* Atque horum neutro ſapientes ſumus, neque quod infinitum illius ſciamus, neque quod unum, ſed et quot et qualia ea ſint noverimus, hoc eſt quod

Ed. Chart. IX. [363.] Ed. Baſ. V. (331. 332.)

τέ ἐστι καὶ ὁποῖα, τοῦτ' ἔστι τὸ γραμματικὸν ἕκαστον ποιοῦν ἡμῶν; Πρώταρχος. ἀληθέστατα. Σωκράτης. καὶ μὴν καὶ τὸν μουσικὸν, ὃ τυγχάνει ποιοῦν, τοῦτ' ἔστι ταὐτόν. Πρώταρχος. πῶς; Σωκράτης. φωνὴ μέν που τὸ κατ' ἐκείνην τὴν τέχνην ἐστὶ μία μὲν αὐτῇ. Πρώταρχος. πῶς δὲ οὔ; Σωκράτης. δύο δὲ θῶμεν βαρὺ καὶ ὀξὺ καὶ τριτονον ὁμότονον, ἢ πῶς; Πρώταρχος. οὕτως. Σωκράτης. ἀλλ' οὔπω σοφὸς ἂν εἴης τὴν μουσικὴν εἰδὼς ταῦτα μόνα, μὴ εἰδὼς δὲ, ὥς γε ἔπος εἰπεῖν, εἰς ταῦτα οὐδενὸς ἄξιος ἔσῃ. Πρώταρχος. οὐ γὰρ οὖν. Σωκράτης. ἀλλ' ὦ φίλε ἐπειδὰν λάβῃς τά τε διαστήματα ὁπόσα ἐστὶ τὸν ἀριθμὸν τῆς φωνῆς, ὀξύτητός τε περὶ καὶ βαρύτητος καὶ ὁποῖα καὶ τοὺς ὅρους τῶν διαστημάτων καὶ τὰ ἐκ τούτων ὅσα συστήματα γέγονεν, ἃ κατιδόντες οἱ πρόσθεν παρέδοσαν ἡμῖν τοῖς ἑπομένοις ἐκείνοις καλεῖν αὐτὰ ἁρμονίας, ἔν τε ταῖς κινήσεσιν αὖ τοῦ σώματος ἕτερα τοιαῦτα ἐνόντα πάθη γιγνόμενα, ἃ δι' ἀριθμῶν μετρηθέντα, δεῖν αὐτά φησι ῥυθ- (332) μοὺς καὶ

noſtrum unumquemque grammaticum efficiat. *Protarchus.* Veriſſima. *Socrates.* Atque jam etiam quod muſicum efficere contingat, hoc ipſum eſt. *Protarchus.* Quomodo? *Socrates.* Vox quidem et quoad illam artem ſpectat, in ea una eſt. *Protarchus.* Quidni? *Socrates.* Ponamus autem duo, grave et acutum, ac tertium aequitonum aut quomodo? *Protarchus.* Ita. *Socrates.* Nondum tamen muſicae peritus fueris, ſi haec ſola noveris. Niſi noveris, ut certo verbo dicam, ad haec nullius pretii futurus es. *Protarchus.* Non ſane. *Socrates.* Verum, o amice, quum vocum intervalla perceperis, quot ſint numero, quod ad acuti et gravis toni rationes ſpectat et qualia necnon intervallorum terminos et quaecunque coagmentationes ex his factae fuerint, quae qui ante nos fuere quum perſpexiſſent, nobis poſteris ſuis illos ſequutis tradiderunt ipſaque harmonias appellari voluerunt. At rurſum in corporis motionibus alias hujusmodi ineſſe ac fieri affectiones docuerunt, quas numeris demenſas ipſas rythmos ac metra

Ed. Chart. IX. [363. 364.] Ed. Baſ. V. (332.)

μέτρα ἐπονομάζειν καὶ ἅμα ἐννοεῖν, ὡς οὕτω δεῖ περὶ παντὸς ἑνὸς πολλῶν σκοπεῖν. ὅταν γὰρ αὐτὰ ταῦτά τε λάβῃς οὕτως, τότε ἐγένου σοφός. ὅταν δ' ἄλλων τῶν ὄντων ὁτιοῦν ταύτῃ σκοπούμενος ἕλῃς, οὕτως ἔμφρων περὶ τούτου γέγονας. ἤρκει μὲν οὖν καὶ ταῦτα παρὰ Πλάτωνος ἀκοῦσαι τοῖς ἔχουσι νοῦν ἀκροαταῖς εἰς ἔνδειξιν ἁπασῶν τεχνῶν συστάσεως. οὐ γὰρ οἷόν τε γενέσθαι τεχνικὸν οὐδὲ περὶ ἑνὸς ἄνευ τοῦ γνῶναι τὰς αὐτῶν διαφοράς, ἀλλ' οὐδὲν χεῖρον ὥσπερ ὁ Πλάτων αὐτὸς οὐκ ἠρκέσθη τῷ κεφαλαίῳ τῷ λόγῳ μόνῳ, παραδείγματα δὲ σαφηνείας ἕνεκεν προσέθηκε, τὴν γραμματικήν τε καὶ μουσικήν, οὕτως καὶ ἡμᾶς ἓν ἔτι προσθεῖναι παράδειγμα, τέχνης μὲν γραφικῆς, ὕλης δ' [364] ὑποκειμένης αὐτῇ χρωμάτων. ἔξεστι γὰρ δήπου λέγειν κἀνταῦθα τὸ χρῶμα τοῦ χρώματος, ᾗ χρῶμά ἐστιν, οὐδὲν διαφέρει, καὶ κατὰ τοῦτ' ἀναιρεῖν ἁπάσας τὰς ἐν αὐτοῖς διαφοράς, ὅπερ ἀμέλει καὶ ὁ Πλάτων αὐτὸς ἐν ἀρχῇ τοῦ Φιλήβου δεδήλωκε. διαιρουμένῳ γὰρ τῷ Σωκράτει τὰς ἡδονάς, ὁ διαλεγόμενος οὐ συνεχώρει διαφέρειν ἀλλήλων

nominari voluerunt ſimulque inſtituerunt ut de quocunque uno et multis eandem rationem iniremus. Quum enim ita haec ipſa perceperis, tunc ſapiens evaſiſti, quumque aliud quidquam eorum quae ad res hujusmodi pertinent, hoc modo conſideraveris, ita in illis prudens quoque evadis. At ſane quidem mentis auditoribus ſatis haec fuerat ex Platone audiſſe pro artium univerſarum conſtitutionis indicatione. Non enim datur aliquem rei unius artificem evadere, niſi ipſius differentias calluerit. Verum non abs re fuerit, quemadmodum ipſe Plato non ſola orationis ſumma contentus perſpicuitatis gratia grammaticae ac muſices exempla addidit, ſic nos quoque unum rurſus exemplum artis pictoriae adjicere oportet; ſed cui ſubjecta colorum materia ſit. Jus enim hic eſt dicendi colorem a colore qua color eſt nihilo differre, proindeque univerſas eorum differentias tollendas eſſe; quod ſane etiam Plato ipſe in Philebo per initia declaravit. Socrati ſiquidem voluptates diſtinguenti, qui eum alloquebatur, quum ipſas

Ed. Chart. IX. [364.] Ed. Baſ. V. (332.)

ἁπάσας αὐτὰς, καθόσον εἰσὶν ἡδοναὶ, φάσκων ὁμοιοτάτας αὐτὰς ὑπάρχειν, ἀλλ' ὅ γε Σωκράτης ἁπαντᾷ τῷ λόγῳ τῷδε. καὶ γὰρ χρῶμα, ὦ δαιμόνιε, χρώματι κατά γε αὐτὸ τοῦτο οὐδὲν διοίσει, τῷ χρῶμα εἶναι τὸ πᾶν. τό γε μὴν μέλαν τῷ λευκῷ πάντες γινώσκομεν ὡς πρὸς τῷ διάφορον εἶναι καὶ ἐναντιώτατον ὂν τυγχάνει. καὶ δὴ καὶ σχῆμα σχήματι, κατὰ ταὐτὸν γένει μέν ἐστι πᾶν ἕν. τὰ δὲ μέρη τοῖς μέρεσιν αὐτοῦ τὰ μὲν ἐναντιώτατα ἀλλήλοις, τὰ δὲ διαφορότητα ἔχοντα μυρίαν που τυγχάνει. καὶ πολλὰ ἕτερα οὕτως ἔχοντα εὑρήσομεν, ὥστε τούτῳ γε τῷ λόγῳ μὴ πίστευε τῷ πάντα τὰ ἐναντιώτατα ἓν ποιοῦντι. αὕτη μὲν ἡ περὶ χρωμάτων τε καὶ σχημάτων ῥῆσις. ἡ δὲ περὶ τῶν ἡδονῶν ἥδε· ἥδεσθαι μέν φαμεν τὸν ἀκολασταίνοντα, ἥδεσθαι δὲ καὶ τὸν σωφρονοῦντα αὐτῷ τῷ σωφρονεῖν, ἥδεσθαι δ' αὖ καὶ τὸν ἀνοηταίνοντα καὶ ἀνοήτων δοξῶν καὶ ἐλπίδων μεστὸν, ἥδε-

voluptates omnes inter ſe diſcrepare non concederet, quatenus voluptates ſunt, illasque ſimillimas eſſe diceret; at illi hiſce verbis occurrit Socrates. Etenim color, o divine, a colore nihil hac ipſa ratione differt, quatenus color omnino eſt; at nigrum colorem omnes novimus, praeterquam quod ab albo differat, eſſe quoque illi maxime contrarium. Quin etiam figura quidem cum alia figura ſecundum idem genere plane unum eſt; ipſius tamen partes cum partibus collatae, partim aliae aliis maximis ſunt contrariae, partim infinita quadam differentia inter ſe diſſident et res plerasque hoc modo comparatas comperiemus. Quare noli fidem adhibere huic rationi quae efficit res inter ſe contrarias unum eſſe. Ipſa quidem ſit de coloribus ac figuris oratio; quae vero de voluptatibus haec eſt. Voluptate quidem affici dicimus intemperantem, temperantem quoque voluptate affici hoc ipſo quod temperanter agat. Et vero etiamnum voluptate oblectari dicimus inſanientem, ac inſanis opinionibus ſpeque ſcatentem. Sed et prudenter agentem eo ipſo quod prudenter agat voluptatem percipere. Atque ſi quis has

Ed. Chart. IX. [364.] Ed. Baſ. V. (332.)

σθαι δ' αὖ καὶ τὸν φρονοῦντα αὐτῷ τῷ φρονεῖν, καὶ τούτων τῶν ἡδονῶν ἑκατέρας πῶς ἄν τις ὁμοίας ἀλλήλαις εἶναι λέγων οὐκ ἂν ἀνόητος φαίνοιτ' ἂν ἐνδίκως; ὥσπερ δὲ τῶν ἡδονῶν τὰς διαφορὰς ὁ Πλάτων ἐν μὲν τῇδε τῇ ῥήσει διὰ βραχέων ἐνεδείξατο, καθ' ὅλον δὲ τὸ βιβλίον ἐπὶ πλεῖον διῆλθεν, οὕτως τῶν τεχνῶν ἐν δυοῖν βιβλίοιν, τῷ Σοφιστῇ τε καὶ Πολιτικῷ. ἆρ' οὖν ἐπιστημῶν μὲν καὶ ἡδονῶν εἰσι διαφοραὶ πολλαὶ καὶ χρωμάτων καὶ σχημάτων καὶ τῶν ἐν ταῖς φωναῖς τόνων, ὡσαύτως δὲ καὶ ἡλικιῶν καὶ ὡρῶν καὶ χωρῶν καὶ νόσων, ἁπάντων τε τῶν ἄλλων, ἐν μόνοις δὲ τοῖς θερμοῖς ἤτοι γε οὐκ εἰσὶν ὅλως ἢ ἀδύνατος γιγνώσκεσθαι τοῖς ἀνθρώποις; καὶ μὴν ὅ γε τοῦ Λύκου λόγος ἀναιρεῖ τοῦ θερμοῦ τὰς διαφορὰς, ὡς οἴεται μὲν αὐτοῦ μόνου, κατὰ δὲ τὴν ἀλήθειαν, ἅμα τοῖς ἄλλοις ἅπασιν, εἴ γε ἡ τοῦ λόγου δύναμις ὁμοίως ἀνιεπεκτείνασθαι δύναται. καὶ γὰρ δὴ καὶπὶ τῶν ὑγρῶν αὐτῶν ἐφεξῆς ἐρῶ τάδε, μηδὲ ταῦτα διαφέρειν ἀλλήλων λέγων, καθόσον ὑγρά. τὸ δὲ δὴ μέγιστον αὐτοῦ τῶν ἁμαρτημάτων, ὅτι καὶ τὰς τέχνας ἁπά-

utrasque voluptates inter ſe eſſe ſimiles affirmarit, num merito inſanus declarabitur? Quemadmodum autem voluptatum differentias hac quidem in oratione paucis Plato demonſtravit, plenius vero eas per univerſum librum expoſuit, ſic artium duobus in libris, Sophiſta et Politico, differentias explicuit. Num igitur ſcientiarum et voluptatum differentiae nullae ſunt, ut et colorum et figurarum quique vocibus inſunt tonorum. Eodem vero modo et aetatum, tempeſtatum anni, regionum, morborum ceterorumque omnium. An vero ſolis calidis nullae omnino ſunt aut haec ab hominibus cognoſci nequeunt? Attamen haec Lyci ratio, ut ipſe quidem arbitratur, ſed revera etiam rerum aliarum omnium differentias tollit, ſi ipſius rationis vires eodem modo portendi queant. Etenim eadem ſane de humidis ipſis deinceps dicam, haec nimirum inter ſe, quatenus humida ſunt, non differre. At vero errorum ipſius maximus eſt, quod artes etiam univerſas in

Ed. Chart. IX. [364. 365.] Ed. Baſ. V. (332.)

σας ἀναιρεῖ τὴν σύστασιν ἐχούσας ἐν ταῖς τῶν εἰδῶν διαφοραῖς. ὁ μὲν οὖν Πλάτων ἐν κεφαλαίῳ γε προειπὼν ὑπὲρ τῆς τῶν τεχνῶν συστάσεως, ἐπὶ παραδείγματός τε διῆλθε τὸν λόγον, ἐπιδεικνὺς ὅπως ἡ γραμματικὴ συνέστη τέχνη, γνωσθείσης τῆς ἐν ταῖς φωναῖς διαφορᾶς. ὁ δὲ τοῦ Λύκου λόγος ἀναιρεῖ δηλονότι καὶ ταύτην τὴν τέχνην καὶ τὴν μουσικὴν ὁμοίως αὐτῇ καὶ τὰς ἄλλας ἁπάσας, ἀξιῶν τὸ ᾗ νενόηται, τὸ δέ τι μίαν ἔχειν ἐν αὐτῷ διαφοράν. θέασαι γοῦν ὅπως ἀναιρήσει πρώτην μὲν τὴν περὶ τὰ γράμματα τέχνην ὁ λόγος αὐτοῦ, μετὰ δὲ ταῦτα καὶ τὰς ἄλλας ἁπάσας. δοκεῖ μοι ἀδύνατον καὶ ἀμήχανον εἶναι τὴν φωνὴν ταύτην γε σκοποῦντι ᾗ νενόηται, κατ' αὐτὴν λέγω τὴν ἐκφώνησιν, πρὸς ἑτέραν ἂν φωνὴν παραλλαγὴν ἔχειν, κατά τινα ἰδιότητα παραλλάττουσαν κατὰ ποιό- [365] ητα ἐν τῇ ἐκφωνήσει κειμένην. οὗτος ὁ λόγος αὐτός ἐστι πάντῃ τοῦ κατὰ τὴν ἀρχὴν γεγραμμένου τῆς ῥήσεως τῷ Λύκῳ καὶ δι' αὐτῶν γε περαίνεται τῶν ἐκείνου ῥημάτων ἁπάντων ἑνὸς μόνου τοῦ κατὰ τὸ θερμὸν ὀνόματος εἰς τὸ τῆς φωνῆς

ſpecierum differentiis ſuam conſtitutionem conſequutas evertat. Ac certe Plato quum ſummatim prius de artium conſtitutione diſſeruiſſet, exemplo rationem operum dum demonſtravit quomodo cognitis vocum differentiis ars grammatica conſtituta ſit. At Lyci ratio tum hanc nimirum artem tum peraeque muſicam et ceteras omnes tollit, dum vocis hujus, quatenus hoc aliquid intelligitur, unicam cenſet eſſe differentiam. Intuere igitur, quomodo Lyci ratio primum eam quae in literis verſatur artem, deinde etiam ceteras omnes evertat. Fieri non poſſe aut perarduum eſſe mihi videtur, vocem hanc, quatenus intelligitur, conſideranti cum altera voce ſecundum ipſam pronunciationem dico, differentiam habere proprietate quadam immutantem, qualitate videlicet quae in pronunciatione ponitur. Haec ratio prorſus ipſa eſt quae per initia orationis ſcripta legitur, iisque ipſis illius verbis omnibus abſolvitur, unico ſolo nomine calidi in vocis vocabulum

Ed. Chart. IX. [365.] Ed. Baſ. V. (332.)

μεταβεβλημένου, ὥστ' εἴπερ ἐκεῖνος ὑγιὴς, καὶ οὗτος· ἀλλὰ μὴν οὐχ ὑγιὴς οὗτος, ὥστ' οὐδ' ἐκεῖνος, εἰ μή τι ἄρα νομίζουσιν οἱ τὰ τοῦ Λύκου φρονοῦντες οὔτε τὴν ε φωνὴν ἑτέραν εἶναι τῆς ο, διαφέρειν δὲ τὴν ο τῆς ω. εἰ δὲ καὶ ταύτας ἑτέρας ἀλλήλων ὁμολογήσομεν εἶναι καὶ πρὸς ταῦτα καὶ τὴν α καὶ τὴν ι καὶ τὴν υ. καὶ τῶν ἄλλων ἁπάντων γραμμάτων, αὗται μὲν ἔσονται τέτταρες ἐπὶ ταῖς εἴκοσιν. ἡ γνοῦσα δ' αὐτῶν τὴν διαφορὰν τέχνη γραμματικὴ, καθάπερ γε καὶ μουσικὴ τέχνη περὶ τὴν ἐν ταῖς φωναῖς ὀξύτητα καὶ βαρύτητα, καίτοι καὶ ταύτας οὐδὲν ἧττον ὁ τοῦ Λύκου λόγος ἀναιρεῖ. φωνὴ γὰρ φωνῆς, ἢ φωνὴ, διαφέρειν οὐδὲν, ἀλλ' ὅμως ὁ μὲν τῆς μέσης φθόγγος ὀξύτερος μέν ἐστι τόνῳ τῆς λιχανοῦ τῶν μέσων, βαρύτερος δὲ τόνῳ τῆς παραμέσης. αὐτῶν δ' ἐκείνων πάλιν ὁ μὲν τῆς λιχανοῦ τῆς παρυπάτου τῶν μέσων ὀξύτερος τόνῳ. ὁ δὲ τῆς παραμέσης βαρυτέρως ἡμιτόνῳ τῆς τρίτης τῶν διεζευγμένων. εἶτ' ἐκείνων αὖθις ὀξύτεροί τε καὶ βαρύτεροι, κἄπειτ' ἐκείνων αὖθις ἕτεροι, μέχρις ἂν ἐπὶ τὸν ὀξύτατόν τε καὶ βαρύτα-

mutato. Quare ſi illa ratio valeat, haec quoque valeat. Sed haec profecto valida non eſt, illa proinde invalida. Niſi forte qui Lyci ſententiis annuunt arbitrentur ε vocem ab ο alteram neque eſſe, neque ο ab ω differre. Quod ſi has quoque inter ſe diverſas eſſe conceſſerimus et praeterea tum α tum ι tum υ ac ceteras omnes literas, hae quidem erunt viginti quatuor. Quae vero ars ipſarum novit differentias, grammatica eſt, quemadmodum et muſica eas novit quae inter voces acutas et graves ſunt differentias, etiamſi has nihilo minus Lyci tollat ratio. Vox enim a voce, qua vox eſt, nihil differt; quum tamen mediae chordae ſonus lichani chordae mediarum tono acutior ſit, gravior vero parameſes tono. At rurſum inter iſtas lichani tonus peripatitono mediarum acutior eſt; parameſes vero tonus ſemitonio tertiae diviſarum gravior. His etiam tum acutiores tum graviores, atque his alii deinceps, quousque ad acutiſſimum omnium graviſſimum-

Ed. Chart. IX. [365.] Ed. Baſ. V. (332.)

τον ἁπάντων ἀφικνώμεθα φθόγγον. ἀλλ' ὁ θαυμασιώτατος Λύκος οὐκ αἰσθάνεται ταῦτα πάντα ἀναιρῶν ἐν τῷ λέγειν· δοκεῖ μοι ἀδύνατον καὶ ἀμήχανον εἶναι τὸ θερμὸν ταυτά γε σκοποῦντι, ᾗ νενόηται, κατ' αὐτὴν λέγω τὴν θάλψιν, πρὸς ἕτερον αὖθις παραλλαγὴν ἔχειν. καλὸν εἰ μηδὲ χρῶμα χρώματος, ᾗ χρῶμά ἐστι, διαφέρειν εἰπών, ἀναιρεῖ τὴν γραφικὴν τέχνην, ἐρυθρόν γέ τι παραθεμένην χρῶμα καὶ λευκὸν καὶ μέλαν καὶ ξανθὸν, ὅσα τ' ἄλλα τοιαῦτα. πολὺ γὰρ δήπου πιθανώτερος ὁ λόγος αὐτοῦ καὶ περὶ χρωμάτων ἐστὶν ὁ λεγόμενος, ᾗ νῦν εἴρηται περὶ τοῦ θερμοῦ· θερμὸν μὲν γὰρ θερμοῦ διαλλάττειν φαμὲν, οὐ μὴν ἐναντίου γε ὑπάρχειν πάνυ. χρῶμα δὲ χρώματος οὐ διαφέρειν μόνον, ἀλλὰ καὶ τὴν φύσιν ἐναντιώτατόν ἐστι τοῦ λευκοῦ τὸ μέλαν.

---

que ſonum perveniamus. Verum maxime admirabilis Lycus non animadvertit ſe haec omnia hiſce verbis evertere: *impoſſibile ac perarduum eſſe mihi videtur calidum hac ratione conſideranti qua intelligitur ipſa etiam calefactione cum altero etiamnum diverſitatem habere.* Praeclarum eſt, ſi quis colorem a colore, qua color eſt, non differre dicens, pictoriam artem e medio tollat, quae rubrum, album, nigrum, flavum et hujusmodi quoscunque ceteros colores ſubjecit oculis. Enimvero quae ipſius eſt de coloribus ratio, quam quae de calido enunciatur, longe probabilior eſt. Calidum ſiquidem a calido diſcrepare dicimus, non tamen alterum alteri prorſus contrarium eſſe. Colorem vero a colore non differre dumtaxat, verum etiam natura albo nigrum maxime contrarium eſſe pronunciamus.

Ed. Chart. IX. [365. 366.] Ed. Baſ. V. (332. 333.)

δ'.

Καὶ πῶς ἐγχωρεῖ, φήσειεν ἂν ὁ Λύκος, ἐναντίον εἶναι τῷ χρώματι καθ' ὃ νενόηται χρῶμα ὄν; καὶ ἀληθεύσει γε ναὶ μὰ τοὺς θεούς, ὅσον ἐπὶ χρώματος καὶ τὸ χρῶμα μηδὲν ἡγούμενος ἕτερον ἑτέρου διαφέρειν, ἀλλ' ὥσπερ τοῦτο ἀληθὲς, οὕτω κἀκεῖνο τὸ λευκὸν τοῦ μέλανος οὐ μόνον διαφέρον, ἀλλὰ καὶ τοσοῦτον διαφέρον, ὡς ἐναντιώτατον εἶναι. καὶ πῶς ἐγχωρεῖ, τάχα φήσουσιν οἱ τὰ τοῦ Λύκου πρεσβεύοντες, ἅμα μὲν εἶναι ταὐτὸν, ἅμα δὲ ἐναντιώτατον εἶναι; καὶ πῶς τῷ μέλανι λευκόν; οἷς ἡμεῖς ἀποκρινούμεθά τί γε τοσοῦτον, ὡς εἴπερ οὐκ ἐγχωρεῖ τὸ λευκὸν ἐναντίον τε ἅμα καὶ ταὐτὸν εἶναι τῷ μέλανι, τὸ ἕτερον αὐτοῦ αἱρείσθωσαν. ὁ μὲν γὰρ Πλάτων οἴεται δυνατὸν εἶναι, καθάπερ γε καὶ Ἀριστοτέλης καὶ Θεόφραστος, ἕτερον ἑτέρῳ ταὐτὸν ὂν τῷ γένει, τοσαύτην ὅμως ἔχειν [366] *τὴν ἐν εἴδει διαφορὰν, ὡς* (333) *ἐναντιώτατον ὑπάρχειν. οὗτοι δ' εἰ μὴ νομίζουσιν ἀληθεύειν ἅμφω τὸν λόγον τὸν ἐναργέστερον ἐλέσθω-*

IV.

Qua etiam ratione, dicet Lycus, fieri poteſt ut color, qua color intelligitur, colori ſit contrarius? At veritatem quidem per deos profeſſurus eſt arbitratus colorem, quantum ad colorem ſpectat, alterum ab altero nihilo differre. Verum quemadmodum id verum eſt, ſic et illud album videlicet a nigro non ſolum diverſum eſſe, ſed etiam tantopere diſſidere, ut illi ſit contrarium. Quo pacto etiam fieri poteſt, dicent fortaſſis qui Lyco primas tribuunt, ut ſimul res eadem ſit, ſimul quoque maxime contraria. Qua ratione nigro album et contrarium et idem dabitur? Quibus quiddam tanti momenti reſpondemus, ut, ſi non detur album nigro ſimul et contrarium et ſimul idem eſſe, eorum alterutrum eligant. Nam Plato, quemadmodum ſane et Ariſtoteles et Theophraſtus, fieri poſſe exiſtimat, quum alterum alteri idem ſit genere, tantam tamen in ſpecie differentiam habere, ut ei maxime contrarium exiſtat. Quod ſi utramque rationem veram

Ed. Chart. IX. [366.] Ed. Baf. V. (333.)

σαν. ἐναργέστερον δέ ἐστιν, ὅσῳ καὶ πᾶσιν ἀνθρώποις ὁμολογούμενον, ἐναντίον εἶναι τὸ λευκὸν τῷ μέλανι. καὶ μήν, εἴπερ ἀληθές ἐστι τοῦτο, νομίζουσι δὲ αὐτοὶ μὴ δύνασθαι τοὺς λόγους ἀμφοτέρους ἀληθεύεσθαι, τόν τε ἐναντίον εἶναι φάσκοντα τὸ λευκὸν τῷ μέλανι καὶ τὸν αὐτὸν οὐκ ὀρθῶς ἐροῦσιν μηδὲν διαφέρειν ἢ χρῶμά ἐστιν τὸ λευκὸν τοῦ μέλανος. ὁ μὲν οὖν ἐν τῷ τοῦ Πλάτωνος γράμματι διαλεγόμενος τῷ Σωκράτει, συγγνωστὸς ἦν ἴσως, κωλύων τὸν Σωκράτην διαιρούμενον ἡδονὴν ἡδονῆς διαφορᾷ. οὐ γὰρ ἦν που βιβλίον οὐδὲν τοιοῦτο διδάσκων, ὡς ἐγχωρεῖ πολλὰ πολλοῖς ὄντα τῷ γένει ταὐτὰ διαφέρειν ὅμως εἰς τοσοῦτον, ὡς ἐναντιώτατον ἀλλήλοις ἰδέαν τε καὶ φύσιν ἔχειν. ἐπεὶ δ' ὑπὸ Πλάτωνος ὁ Φίληβος ἐγράφη διδάσκων τἀληθές, εἰ μὲν οὐδ' ὅλως ἀνέγνω τὸ βιβλίον ὁ Λύκος, ἄγαμαι τῆς παιδείας τὸν Λύκον. εἰ δ' ἀναγνοὺς οὐκ ἐνόησε, θαυμάζω τῆς συνέσεως. εἰ δὲ νοήσας οὐκ ἐπείσθη, μακαρίζω τῆς κρίσεως. ὦ πρὸς τοῦ Διὸς ἐρωτᾷ τίς λόγον οὐδὲ τὰ

esse non censeant, manifestiorem eligant. At tanto manifestius est album nigro contrarium esse, quanto a cunctis hominibus conceditur. Ac sane si hoc verum sit, illi vero utramque rationem fieri non posse censeant, tum hanc quae album nigro contrarium tum illam quae idem esse profert, nequaquam recte sentiunt, quum album, quatenus color est, a nigro nihil differre praedicant. Enimvero qui in Platonis libro cum Socrate disputat, fortasse erat venia dignus, quum Socratem per voluptatis differentias voluptatem dividere prohiberet. Nondum enim liber talis habebatur, qui fieri posse doceret, quum multis multa sint eadem genere, ea tamen eo usque differre, quo maxime contrariam inter se et ideam et naturam fortiantur. At quum in Platone Philebus veritatem docens editus fuerit, si librum hunc non omnino legerit, Lycus, Lyci eruditionem admiror; sed si legerit nec intellexerit, ingenii demiror sollertiam; si vero intellexerit nec concesserit, felix praedico judicium. Proh Jupiter! quis pri-

Ed. Chart. IX. [366.] Ed. Baſ. V. (333.)

πρῶτα μαθὼν τῆς διαλεκτικῆς; ἔστι τίς ἂν ἄνθρωπος Ἕλλην ἰατρὸς ἢ γραμματικὸς ἢ ῥήτωρ ἢ φιλόσοφος ἢ ὅλως ὁστισοῦν ἄλλος ἀντιποιούμενος λόγων, ὡς οὐκ ἀνέγνω τὸν Πλάτωνος Φίληβον; καίτοι τί λέγω τὸν Φίληβον; οὐ γὰρ ἐν τούτῳ μόνῳ τὸν προκείμενον λόγον Πλάτων ἐδίδαξεν, ἀλλὰ καὶ δι' ἄλλων πολλῶν ἐπεμνήσθη βιβλίων, ὧν ἐχρῆν μόνον κἂν ἕν γέ τι τὸν θαυμασιώτατον Λύκον ἀνεγνωκέναι, ἀντιποιούμενον λόγων ἐπιστημονικῶν. αἰσχρὸν γὰρ Ἱπποκράτην διελέγχειν ἐπιχειροῦντα καὶ λόγους ἐπερωτῶντα περαντικοὺς, ὡς νομίζει, μηδὲ τὰ πρῶτα φαίνεσθαι μεμαθηκότα τῶν ἐν ταῖς φιλοσόφων διατριβαῖς. ἀλλὰ νὴ Διὰ θαυμαστὸν αὐτοῦ τὸ περὶ τῶν ὑγρῶν ἐστι παράδειγμα. καὶ γὰρ τοῦτο βούλεται, μηδὲν ἀλλήλων διηφέρειν, εἰ πάντα ἐστὶν ὑγρὰ, καθ' ὃ μέντοι τὰ μὲν ὀξέα, τὰ δὲ στρυφνὰ, τὰ δ' ἁλμυρὰ, τὰ δὲ γλυκέα, ταύτῃ διαλλάττει, οὐκ ἀκούει δὲ ἐν τούτοις αὐτὸς ἑαυτοῦ. λέγων γὰρ ᾗ διαφέρει τὰ ὑγρὰ κατασκευάζειν οἴεται μηδεμίαν ἐν αὐτοῖς εἶναι διαφοράν, ἀλλὰ μάτην μὲν Ἱπποκράτην διαφορὰν εἰρηκέναι, μάτην δὲ Θεόφραστον

mis dialectices rudimentis ineruditus rationem quaerit? Quis homo Graecus eſt medicus, grammaticus, rhetor, philoſophus aut denique quivis alius rationes ſcrutaturus Platonis Philebum non legerit? Sed quid Philebum profero? Non enim in hoc ſolo libro propoſitam rationem docuit Plato, verum etiam aliis in multis meminit, quorum unum ſaltem oportebat admirabilem Lycum legiſſe, qui ſcientificas rationes ſcrutabatur. Turpe ſiquidem eſt eum qui Hippocratem arguere contendit rationesque concludentes diſquirit, prout cenſet, illa minime videri didiciſſe quae prima inter philoſophos tractantur. Verum per Jovem, admirandum ipſius de humidis exemplum eſt. Etenim hoc vult ea nihil inter ſe differre, qua omnia ſunt humida, qua tamen haec acida, alia acerba, alia ſalſa, alia dulcia, hac ratione differre. In his vero ipſe ſe ipſum non obaudit. Quum enim qua humida differunt profert, arbitratur nullam ipſis ineſſe differentiam comprobaſſe, imo fruſtra Hippocratem differentiam attuliſſe,

Ed. Chart. IX. [366. 367.] Ed. Baſ. V. (333.)

ὅλην πραγματείαν γεγραφέναι περὶ χυλοῦ. καίτοι καὶ αὐτὸ τοῦτο τοὔνομα ὁ χυλὸς ὑγροῦ διαφοράν τινα ἐνδείκνυται, ἀλλ' ὅμως καίτοι διαφορά τις οὖσα ὑγροῦ, πάλιν αὐτὴν τέμνεσθαι πέφυκεν εἰς ἑτέρας διαφοράς. οὐ μὴν θαυμαστὸν εἰς τοσοῦτον ἀπαιδευσίας ἥκοντα Λύκον, ὡς νομίζειν ἐν ὄξει στύφουσαν εἶναι ποιότητα, τοιαύτην τολμῆσαι πρὸς Ἱπποκράτην γράφειν ἀντιλογίαν. τὰ γὰρ οὕτως ἐναργῆ καὶ Διοσκορίδης ὁ Ἀναζαρβεὺς ἐγίγνωσκεν, οἵ τ' ἄλλοι πάντες οἱ τὰ περὶ ὕλης ὑπομνήματα γράψαντες. ὀνομάζουσι γοῦν ἐν ταύταις τὰ μὲν ἁλυκά, τὰ δὲ ἁλμυρὰ τὰ δὲ πικρά, τὰ δὲ γλυκέα, τὰ δὲ αὐστηρά, τὰ δὲ στρυφνά, τὰ δὲ στύφοντα, τὰ δὲ δριμέα, τὰ δὲ ὀξέα. Λύκος δ' ὁ θαυμασιώτατος ἤτοι οὐδ' ὅλως γινώσκει διαφέρουσαν ὀξεῖαν ποιότητα στυφούσης ἢ πεπήρωται τὴν γεῦσιν, ὡς μηδ' ὅλως αἰσθάνεσθαι τῶν ἐν τοῖς χυμοῖς διαφορῶν. ἔοικεν οὖν ὡς ἀπίου καὶ μεσπίλου καὶ μήλου καὶ κυδωνίου τοῦ [367] ὄξους αἰσθάνεσθαι, καίτοι γε πάντων ἀνθρώπων ἔνια μὲν τῶν μήλων

fruſtra quoque Theophraſtum integrum de ſucco opus conſcripſiſſe. Quamquam vero id ipſum nomen *ſuccus* aliquam humidi differentiam prae ſe fert, nihilo minus etiam quaedam eſt humidi differentia, quae rurſus in alias differentias ſecari conſuevit. Num admirationis eſt Lycum ad tantam imperitiam appuliſſe, ut auguretur adſtringentem aceto ineſſe qualitatem talemque adverſus Hippocratem auſum eſſe controverſiam ſcriptis objicere? Haec enim ita dilucida tum Dioſcorides Anazarbeus novit, tum ceteri omnes qui de materia medica commentarios ſcripſere, in quibus alia quidem ſalſa nominant, alia ſalſuginoſa, alia amara, alia dulcia, alia auſtera, alia acerba, alia adſtringentia, alia acria, alia acida. At eminentiſſimus Lycus aut acidam qualitatem ab adſtringente diſcrepantem plane non agnoſcit aut depravato eſt guſtu, qui nullas prorſus ſaporum differentias percipit. Videtur enim in pyri, meſpili, mali et cydonii, ita et aceti ſapor deprehendi, quum tamen cuncti homines poma nonnulla

Ed. Chart. IX. [367.] Ed. Baſ. V. (333.)

ὀξέα καλούνιων, ἔνια δὲ στύφοντα, γλυκέα δὲ ἄλλα, καθάπερ, οἶμαι, καὶ ῥοιὰς ὀξείας τε καὶ στυφούσας καὶ γλυκείας. ἐν μὲν γε τοῖς οἴνοις, ᾧ ἀρετὴ κακίας ἀφώρισται, στύψις ὀξύτητος, εὐγενεῖς μὲν γὰρ οἱ στύφοντες. ὀξὺς δ' οὐδεὶς κατὰ φύσιν, ἀλλ' εἰ καὶ μικρὸν αὐτοῖς προσέλθῃ τοιαύτης ποιότητος, ὑποπτεύομεν αὐτίκα τὴν εἰς ὄξος αὐτῶν μεταβολήν. ἴσως οὖν ὁ Λύκος οὐδ' ὀξυλάπαθον, οὐδ' ὀξυαλίδα, λαπάθου τε καὶ θριδακίνης διεγίνωσκεν, οἷς στυφούσης μὲν ποιότητος οὐδὲ τοὐλάχιστον ὑπάρχει, τῆς δὲ ὀξείας δαψιλῶς μετέσχηκεν ἄμφω. θαυμαστὸν μὲν οὖν εἰ ταῦτα μὲν ἀπὸ τῆς ὀξείας ποιότητος ὠνόμασται, τὸ δὲ ὄξος αὐτὸ οὐ μετέσχηκεν αὐτῆς. ἀλλ' ὁ μηδὲ τὰς κοινὰς αἰσθήσεις ἀποσώζων Λύκος, ἐγκαλεῖν Ἱπποκράτει τολμᾷ. πάλιν οὖν ἔγνω τὴν παρὰ τοῖς φυσικοῖς ζήτησιν ὑπὲρ τοῦ τῶν χυμῶν ἀριθμοῦ. κατὰ τοῦτο γὰρ οὐδέν, ὡς ἔοικε, διαφέρει χυμὸς χυμοῦ, καθόσον χυμός ἐστιν. ἡδέως ἂν οὖν ἤκουσα τίνος τῶν ὄντων εἰσὶν αἱ τοιαῦται διαφοραὶ, γλυκὺς, ὀξὺς, δρι-

acida vocitent, nonnulla ſtyptica, alia dulcia, quemadmodum arbitror et mala punica tum acida tum ſtyptica tum dulcia. At vinorum quidem, quatenus virtus a vitio et adſtrictio ab acore ſecernitur, generoſa certe ſunt ſtyptica. Acidum ſecundum naturam nullum eſt. Imo ſi paucum ipſis etiam hujusmodi qualitatis acidae acceſſerit, in acetum eorum mutationem fore quam primum ſuſpicamur. Itaque fortaſſis Lycus neque oxylapathum, neque oxalidem a lapatho et lactuca novit diſcernere, quibus adſtringentis quidem facultatis ne minimum quidem eſt, acidae vero ambo plurimum participant. Mirum profecto, ſi haec ab acida qualitate denominata ſint nec ejus quidquam acetum ipſum participet. Jam vero qui ne communes quidem ſenſus integros ſervat Lycus Hippocratem audet accuſare. Praeterea de ſaporum numero quaeſtionem novit. Ad hoc enim, ut videtur, ſapor phyſicorum a ſapore, quatenus ſapor eſt, nihil differt. Quare ex eo libenter audirem, cujusnam rei ſint hujusmodi differentiae, dulcis, acidus,

Ed. Chart. IX. [367.] Ed. Baſ. V. (333.)

μὺς, πικρὸς, ἁλμυρὸς, ἁλυκὸς, στρυφνὸς, αὐστηρὸς, στύφων, λιπαρός. εἰ μὴ γὰρ χυμῶν ἴσως ἤτοι φωνῶν ἢ χρωμάτων ἢ ὀδμῶν ἢ διὰ τῆς ἁφῆς εἰς γνῶσιν ἥκουσι. παρὰ ταύτας γὰρ οὐκ ἔχομεν ἄλλην αἴσθησιν, ἀλλ' εἰσὶν αἱ πᾶσαι πέντε, γεῦσις καὶ ἀκοὴ καὶ ὄψις καὶ ὄσφρησίς τε καὶ ἁφή. διαγινώσκομεν δὲ ὥσπερ καὶ ταῖς ἄλλαις ἄλλα τῶν αἰσθητῶν, οὕτως τῇ γεύσει καὶ τοὺς χυμούς. ὡς δὲ ἐν τοῖς ὑγροῖς αἱ διαφοραὶ πολλαὶ, κατὰ τὸν αὐτὸν τρόπον κἀν ταῖς αἰσθήσεσιν. καίτοι γε ἢ αἰσθήσεις εἰσὶν, οὐ διαφέρουσιν, ἀλλ' ὁ διαλεκτικώτατος Λύκος οὐκ ἐάσει λέγειν ἡμᾶς οὔτ' ἐν τοῖς χυμοῖς εἶναι τὰς εἰρημένας διαφορὰς, οὐδὲ ἐν ταῖς αἰσθήσεσιν, ἃς ἅπαντες γιγνώσκουσιν, οὔτ' ἐν τοῖς χρώμασι καὶ λευκὸν καὶ μέλαν καὶ φαιὸν καὶ ξανθὸν καὶ πυρρὸν, ἐρυθρόν τε καὶ φοινικοῦν καὶ κυανοῦν. οὔτε γὰρ χρῶμα χρώματος ἢ χρῶμά ἐστι διαφέρει. μαίνονται τοίνυν ἅπαντες ἰατροὶ καὶ φιλόσοφοι χρωμάτων μὲν ἡγούμενοι διαφορὰς εἶναι τὰς εἰρημένας. χυμῶν δὲ τὸν ὀξὺν καὶ πικρὸν καὶ δριμὺν, ὅσους τ' ἄλλους ὀλίγον ἔμπροσθεν εἶπον,

acris, amarus, ſalſugineus, ſalſus, acerbus, auſterus, adſtringens, pinguis. Niſi enim hae ſaporum ſint differentiae, fortaſſis erunt aut vocum aut colorum aut odorum aut tactu in cognitionem veniunt. Nam praeter eos alium ſenſum non habemus, ſed univerſi quinque ſunt inaequales guſtus, auditus, viſus, odoratus et tactus. Quemadmodum autem ſenſilium alia aliis dignoſcimus, ſic et guſtu ſapores. At vero ut in humidis multae ſunt differentiae, ſic et in ſenſibus, etiam ſi quatenus ſunt ſenſus non differant. Verum in dialecticis maxime verſatus Lycus dicere nos non permittit, neque praedictas eſſe in ſaporibus differentias, neque in ſenſibus, quas omnes agnoſcimus, neque in coloribus, album, nigrum, fuſcum, flavum, fulvum, rubrum, puniceum, caeruleum. Neque enim color a colore, qua color eſt, differt. Inſaniunt ergo medici omnes et philoſophi, qui praedictas colorum differentias eſſe arbitrantur, ſaporum vero acidum, amarum, acrem et quoscunque alios paulo ante commemoratos, quemad-

Ed. Chart. IX. [367. 368.] Ed. Baſ. V. (333.)

ὥσπερ καὶ τῶν αἰσθήσεων αὐτῶν. οὔτε γὰρ χρῶμα χρώματος, ᾗ χρῶμά ἐστι, διαφέρει, ὡς οὔτ' αἴσθησις αἰσθήσεως οὔτε χυμὸς χυμοῦ, καθάπερ οὐδὲ πυρετὸς πυρετοῦ, ὅτι μηδὲ θερμὸν θερμοῦ. μαίνονται τοίνυν οἱ γράψαντες ἰατροὶ, πυρετῶν διαφορὰς πολλὰς καὶ τὸν καῦσον καὶ τὴν λειπυρίαν καὶ τὸν ἠπίαλον καὶ τὸν τυφώδη καὶ τὸν λοιμώδη καὶ τὸν ἡμιτριταῖον, ἀμφημερινόν τε καὶ τριταῖον καὶ τεταρταῖον. ἀλλὰ καὶ αὐτὸς ὁ Λύκος ἑτέρωθι γράφει πυρετῶν διαφορὰς, ὥσπερ γε καὶ τῶν ἄλλων σχεδὸν ἁπάντων πραγμάτων.

ε'.

[368] Τί ποτ' οὖν δόξαν αὐτῷ νῦν ἐπελάθετο τοῦ τέμνειν ἕκαστον τῶν ἄλλων εἰς τὰς οἰκείας διαφορὰς, ὅς γε καὶ περὶ τοῦ τῶν ἀχύρων ἐξαπτομένου πυρὸς, ὡς χρῆσθαι τοῖς τὸν χρυσὸν ἐργαζομένοις ἔθος, οὐδεμίαν εἶναι νομίζει διαφορὰν, ἀλλὰ πρὸς τὸ τὰς ἄλλας ὕλας. οὐδὲ γὰρ τὸ πῦρ τοῦ πυρὸς, ᾗ πῦρ ἐστιν, ἢ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον,

modum et ipſorum ſenſuum. Neque enim color a colore, qua color eſt diſcrepat, ut neque a ſenſu ſenſus, neque ſapor a ſapore; quemadmodum neque febris a febre diſſert, quod a calido calidum non diſſideat. Itaque medici deſipiunt, qui multas febrium differentias ſcripſerunt, ardentem, lipyriam, epialam, typhodem, peſtilentem, hemitritaeam, quotidianam, tertianam, quartanam. Imo et ipſe Lycus alibi febrium, ut et aliarum rerum prope omnium, differentias ſcriptis mandavit.

V.

Quid igitur ipſi mentem obvolvit, qui nunc res alias ſingulas in proprias ſecare differentias oblitus eſt, quique etiam in igne ex paleis ſuccenſo, prout iis uti conſuetum eſt, qui aurum elaborant, nullam eſſe differentiam exiſtimat ab eo qui ex alia materia accenditur? Neque enim ignis ab igne, quatenus ignis eſt, ſed majoris minorisque

Ed. Chart. IX. [368.] Ed. Baſ. V. (333. 334.)

ἰσχυρὸν γὰρ εἶναί τι καὶ ἀσθενὲς πῦρ ἐγχωρεῖ, καὶ τό γε τῶν ἀχύρων ἀσθενέστατον εἶναι νομίζων, ἐνταμίευτον εἶναί φησι πρὸς τὴν ἐργασίαν τοῦ χρυσοῦ. διατήκεσθαι γὰρ αὐτὸν καὶ διαῤῥεῖν ἰσχυροτέρᾳ πλησιάζοντα φλογί. ἀλλ', ὦ βέλτιστε Λύκε, φαίη τις ἂν οἶμαι πρὸς αὐτὸν, εἰ τῶν φυσικῶν φιλοσόφων ἠκηκόεις ζητούντων ὅπως αἱ φλόγες γεννῶνται κατανενόηκας ἂν οἶμαι τὰς ἐν αὐταῖς διαφοράς. ἐγὼ τοίνυν ὅσον οἷόν τε διὰ βραχυτάτων ἐπιτέμνεσθαι λόγον οὐ μικρὸν ἐξηγήσομαί σοι περὶ αὐτῶν. ὁρᾷς, οἶμαι, τῆς καιομένης ὕλης ἀναθυμίασίν τινα γιγνομένην ἐν διεσπασμένοις ἀπ' ἀλλήλων μορίοις, ὧν μεταξύ τις ἀὴρ ἀπολαμβανόμενος, ἐξ ἀνάγκης (334) μὲν δήπου θερμαίνεται. παμπόλλην δὲ ἴσχει διαφορὰν ἐν τῷ μᾶλλόν τε καὶ ἧττον. ἀλλὰ καὶ τὰ διαλείμματα τῶν ἀναφερομένων σωμάτων οὐκ ἴσα πάσαις ταῖς φλοξίν ἐστιν, ὥσπερ οὐδ' αὐτῆς τῆς ἀναθυμιάσεως ἡ φύσις, ἀλλὰ καὶ μεγέθει καὶ σμικρότητι διενήνοχεν

ratione differt: vehementem enim ignem aliquem et imbecillum eſſe conceditur; igneum vero ex paleis ſuccenſum imbecillum eſſe ratus eum ad aurum elaborandum ait maxime idoneum eſſe. Ipſum namque liqueſieri ac diffluere oportet, ſi vehementiori flammae admoveatur. Sed o praeclariſſime Lyce quisquam auguror, ipſum interpellaverit, ſi phyſicos philoſophos, quomodo flammae procreentur, diſſerentes audiviſſes, eorum mea quidem ſententia differentias intellexiſſes. Quare ego verbis quam potero breviſſimis concidere non parvam de iis quaeſtionem tibi ſum explicaturus. Cernis, opinor, dum uritur materia, quandam evaporationem in ſeparatis ab invicem partibus excitatam, inter quas medius quidam aër intercipitur, qui ſane neceſſario calefit, maximam tamen pro majoris et minoris ratione differentiam conſequitur. Sed et corporum quae efferuntur interſtitia flammis omnibus aequalia non ſunt, quemadmodum neque ipſius exhalationis natura, ſed tum magnitudine tum pravitate inter ſe

Ed. Chart. IX. [368.] Ed. Baſ. V. (334.)

ἀλλήλων τὰ τῆς καιομένης ὕλης ἀναθέοντα μόρια καὶ πυκνότητι καὶ μανότητι καὶ τῷ τὰ μὲν ἡμίκαυτα, τὰ δ' οἷον ὁλόκαυτα ὑπάρχειν, ἢ ὅλως τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον ἐκπυροῦσθαι. ὅταν οὖν ταῦτα φαίνηται τοσαύτην ἔχοντα τὴν διαφορὰν, ὅ τε ἀὴρ ὁ δεδεγμένος αὐτὰ ποτὲ μὲν μᾶλλον ὑπ' αὐτῶν ἐκτεθερμασμένος ᾖ, ποτὲ δ' ἧττον, ἀναγκαῖον εἶναι παμπόλλην γε ποικιλίαν γίγνεσθαι καὶ διαφορὰν οὐκ ὀλίγην τῆς φλογός. ἡ γὰρ τῆς μίξεως ἀνομοιότης τὸ πλῆθος τῶν διαφορῶν ἐργάζεται.

στ'.

Ὥσπερ δὲ τὰ περὶ τοῦ πυρὸς ἀμαθῶς εἴρηται τῷ Λύκῳ, κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον καπειδὰν φάμενος τριχῶς ἐννοεῖσθαι τὸ πολὺ θερμὸν, ἕκαστον τῶν σημαινομένων ἐπεξέρχεται. τὸ μὲν γάρ τι κατὰ τὴν οὐσίαν φησὶν ἐννοεῖσθαι τὸ πολὺ θερμὸν, τὸ δέ τι κατὰ τὴν ἐπίστασιν τῆς ποιότητος, τὸ δέ τι κατὰ τὴν ἰσχὺν τῆς οἰκείας ἐνερ-

differunt, quae ex accenſa materia evehuntur particulae, tum etiam denſitate tum raritate; quodque hae quidem ſemiuſtae ſint, illae vero prorſus aduſtae, aut denique quod hae magis, illae minus accendantur. Quum igitur hae tantam differentiam obtinere conſpiciantur tum vero qui eas excepit aër, interdum magis, interdum etiam minus ab ipſis excaleſiat, arbitror quam plurimam diverſitatem, neque paucas flammarum neceſſario eſſe differentias. Mixtionis enim inaequalitas differentiarum multitudinem efficit.

VI.

Quemadmodum autem quae de igne imperite a Lyco pronunciata ſunt, ad eundem quoque modum opinor, poſteaquam trifariam protulit copioſum calidum accipi, unumquodque ſignificatum enarrat. Aliud enim copioſum calidum ſecundum ſubſtantiam dicit intelligi; aliud vero ſecundum qualitatis intenſionem, aliud denique ſecundum

Ed. Chart. IX. [368. 369.] Ed. Baſ. V. (334.)

γείας. ἀλλ' οὐδὲ κατὰ τὴν οὐσίαν εἶναι τοῖς αὐξανομένοις πολὺ θερμὸν ἐπὶ σμι- [369] κρῷ γε τῷ τοῦ σώματος ὄγκῳ οὔτε κατὰ τὴν τῆς ποιότητος αὔξησιν, οὐ γὰρ φαίνεται θερμότερον τῶν ἀκμαζόντων. ἐν μὲν δὴ τῇ τῶν οἰκείων ἔργων ἰσχύϊ συγχωρεῖ μὲν ὑπερέχειν τὸ τῶν αὐξανομένων θερμὸν, ἀλλ' οὐ κυρίως λέγεσθαι. ἔστι μὲν οὖν ἡ ῥῆσις αὐτοῦ, δι' ἧς ταῦτα δηλώσει, μεγίστη. ἀλλ' ἐγώ μοι δοκῶ, καθάπερ ἐπὶ τῆς προγεγραμμένης ἔπραξα, καὶ νῦν οὕτω ποιήσειν. οὖσαν γὰρ κἀκείνην μακροτάτην οὐχ ὅλην ἔγραψα, μόνον δὲ τὸ ἐπικαιρότατον αὐτῆς ἐξέλεξα. γιγνέσθω τοίνυν κἀπὶ ταύτης οὕτως καὶ γραφέσθω τὸ χρησιμώτατον εἰς τὸ προκείμενον μέρος αὐτῆς. ὁ μὲν ἕτερος οὖν μοι τῶν λόγων καὶ δὴ πέρας ἔχει, ἐπὶ δὲ τὸν λοιπὸν ἂν ἀφικοίμην, δύο γὰρ δήπου μεμνῆσθαί μου προθεμένας εὐθὺς ἐπιζητήσεις ἐν ἀρχῇ, μίαν μὲν τὴν εἰ ὀρθῶς προσέθηκεν Ἱπποκράτης τὸ ἔμφυτον, ἄλλην δὲ εἰ ὀρθῶς εἶπε, πλεῖστον εἶναι τοῖς αὐξανομένοις τὸ θερμόν. τῆς δ' ἑτέρας οὖν ζητήσεως

propriae actionis robur. Verum neque ſecundum ſubſtantiam iis qui creſcunt copioſum calorem eſſe, in exigua ſcilicet corporis mole, neque ſecundum qualitatis incrementum: non enim in vigentibus calidior apparet; calorem tamen in propriarum functionum robore iis qui creſcunt excedere concedit, ſed non proprie dici. Porro ipſius oratio qua haec explicat ampliſſima eſt. Verum ego ut in ſuperioribus ſcriptis egi, ſic et nunc acturus videor. Quum enim longiſſima eſſet illius oratio, non univerſam deſcripſi, ſed eam ſolum illius partem elegi quae eſſet opportuniſſima. Sic igitur in hac agatur et quae pars ipſius ad propoſitum maxime conferat, ea ſcriptis prodatur. Enimvero altera quidem mihi oratio finem habet, ad reliquam vero accedamus. Meminiſſe ſiquidem oportet duas ſtatim ab initio quaeſtiones a me fuiſſe propoſitas; alteram quidem an recte Hippocrates *innatum* appoſuerit, alteram an recte pronunciaverit *plurimum iis qui creſcunt eſſe calidum*. Jam ergo prima quaeſtione abſoluta ad re-

Ed. Chart. IX. [369.] Ed. Baſ. V. (334.)

ἐκτετελεσμένης, ἐπὶ ταύτην οὖν λοιπὸν τραποίμην καὶ ἐπιχειρήσαιμι ἀνασκοπεῖσθαι, εἰ ὀρθῶς λέλεκται, πλεῖστον εἶναι τοῖς αὐξανομένοις τὸ θερμόν. καιὰ δὴ τὸ ἐξετάζειν ἕτερον θερμὸν, τριττὰ τυγχάνει ὄντα τὰ ἐπιζητήσεως δεόμενα καὶ μάλα πολὺ κεχωρισμένα ἀλλήλων. ἓν μὲν τί ποτέ ἐστι τὸ πλεῖον ἄλλο ἄλλου θερμὸν, ἕτερον δὲ τί ποτέ ἐστιν ἄλλο ἄλλου θερμότερον, καὶ τρίτον τί ποτέ ἐστιν ἄλλο ἄλλου θερμὸν ἰσχυρότερον. εἰ μὲν οὖν τύχῃ τις ἐρόμενος ἡμᾶς ποῖόν τί ἐστι τὸ πλεῖον ἄλλο ἄλλου θερμὸν, τὸ ἀνάλογον ὀφείλομεν ἀποκρίνεσθαι ὡς καὶ πρὸς τὸν ἕτερον ἐρόμενον ποῖόν τί ἐστιν ἕτερον ἑτέρου ὑγρὸν πλεῖον ἀποκρινοίμεθα. ὥσπερ γὰρ ἐνταῦθα πρῶτον τὸ ἐπερώτημα πρὸς τὸ εἰρημένον ἐστὶν, οὐκέτι ἄλλο τι ὀρθῶς ἀποκρίνεσθαι ἀλλ' ἢ μόνον τοῦτο τὸ τῇ οὐσίᾳ ὑπερβάλλειν πλεῖον, ἀμέλει ὑγρὸν ἄν τις εἴποι τὸν ἀμφορέα τοῦ ἡμίσεως. οὕτω δὲ κἀπὶ τοῦ θερμοῦ, εἰ τὴν αὐτήν τις ἐρώτησιν ἐρωτοίη ταύτην, ποῖόν ἐστι πλέον τοῦ ἑτέρου θερμὸν, οὐκ ἂν ἄλλο τι ὀρθῶς

ſiduam veniamus atque contemplari aggrediamur, rectene dictum ſit: *creſcentibus plurimum caloris eſſe?* Porro ad alterum calidum cum altero explorandum tria emergunt, quae diſquiſitionem deſiderant, etiam plurimum inter ſe diſtantia. Primum eſt quid ſit copioſius aliud alio calidum eſſe; alterum quid ſit aliud alio calidius eſſe; tertium quid ſit calidum aliud alio validius. Si quis igitur forte nos roget, quale quid ſit copioſius aliud alio calidum eſſe, ſimili analogia reſpondere debemus, ut etiam alteri interroganti, qualenam ſit quod alterum altero eſt exuberantius reſpondebimus. Quemadmodum enim primum huc interrogatio ad id quod enunciatum eſt tendit, nihil quidquam reſpondendum eſt aliud, praeterquam hoc ſolum nimirum ipſa ſubſtantia exuberare copioſius, plus ſiquidem humoris amphoram dimidio continere quisquam dixerit. Sic vero et in calido, ſi quis hac eadem interrogatione perquirat, qualenam ſit calidum quod altero amplius eſt, nihil quidquam aliud recte reſpondebimus, quam

Ed. Chart. IX. [369.] Ed. Baſ. V. (334.)

ἀποκρινοίμεθα ἢ τὸ τῇ οὐσίᾳ πλέον διὰ τὸ οὐσίας ὑπάρχειν πλεῖον δηλονότι καὶ παρήκειν τόπῳ πλείονι. καὶ οὐδὲν ἄν γε κωλύσει ταὐτὸν καὶ πλεῖον εἶναι θερμὸν καὶ ἐπ᾽ ἔλαττον θερμὸν, ὥσπερ γε καὶ τὸ πλεῖον τῇ οὐσίᾳ ὑγρὸν, δύναιτ᾽ ἂν ἐπ᾽ ἔλαττον εἶναι κεχυμένον. πρὸς μὲν οὖν τό γε ἐπερώτημα τοῦτο ὀρθῶς ἄν τις ἀπεκρίνατο· πρὸς δ᾽ αὖ ἐκεῖνο τὸ ποῖόν ἐστιν ἕτερον ἑτέρου θερμότερον ἀποκρίνασθαι ὀρθῶς ἐστι τὸ κατὰ τὴν θάλψιν ἐπιτεταμένον μᾶλλον, κἂν ἐπὶ οὐσίας ἐλάττονος τύχῃ ὄν. ὥσπερ γε πρὸς τὸν ἐρόμενον ὁποῖόν τί ἐστιν ἕτερον ἑτέρου λευκότερον ἔστιν ἀποκρίνασθαι ὀρθῶς τὸ ἐπιτεταμένον μᾶλλον κατὰ τὴν ποιότητα τὴν λευκήν. κατὰ γοῦν τοῦτο κἂν ἐν βραχεῖ ὄγκῳ τύχῃ οὖσα χιὼν, λευκοτέραν τις φαίη αὐτὴν εἶναι οὐτινοσοῦν ἄλλου λευκοῦ, ὥσπερ γε καὶ πρὸς τὸν ἐρόμενον ποῖόν ἐστι τὸ ἕτερον ἑτέρου ὑγρότερον ἀποκρίνασθαι ἔστιν ὀρθῶς τὸ μᾶλλον κεχυμένον, οἷον τὸ ὕδωρ τοῦ μέλιτος καὶ τῆς πίττης, κἂν τὸ μὲν ὕδωρ ἐν πάνυ βραχείᾳ οὐσίᾳ θεωρῆται, τὸ δὲ μέλι καὶ ἡ πίττα ἐν ὑπερβολῇ. οὕτω δὲ καὶ

quod ſubſtantia ſit amplius, quod nimirum plus in eo ſit ſubſtantiae et ampliorem locum occupet. Atque etiam nihil prohibebit in eodem et plus eſſe calidi et minus tamen caloris; quemadmodum etiam humidum, quod plus ſubſtantia, minus tamen fuſum eſſe poteſt. Ergo ad hanc interrogationem quivis recte reſpondebit. Illi rurſum ubi quaeritur, qualenam ſit quod alterum altero eſt calidius, recte reſponderi poteſt, quod etiamſi minus habeat ſubſtantiae, intenſiori tamen calore conſtat. Quemadmodum enim interroganti, qualenam ſit quod alterum altero candidius eſt, recte reſpondere licet quod ſit ad albam qualitatem adauctius, proindeque nix, etiamſi exigua ſit mole, eam tamen ipſam quivis quocunque alio albo candidiorem eſſe affirmaverit. Quemadmodum etiam quaerenti qualenam quod alterum altero ſit humidius, ſcite reſpondebitur, quod fuſum magis ſit, veluti aqua, melle ac pice, quamquam aqua quidem in pauca ſubſtantia conſpicitur, mel vero et nix in exuberantia. Sic etiam de calido

Ed. Chart. IX. [369. 370.] Ed. Baſ. V. (334.)

πρὸς τὸν περὶ θερμοῦ ἐρώμενον ποῖόν τί ἐστιν ἕτερον ἑτέρου θερμότερον ὀρθῶς ἔστιν ἀποκρίνασθαι τὸ μάλιστα ἐπιτεταμένον [370] κατὰ τὴν θάλψιν, οἷον τὸ πῦρ οὐκ ἂν ἐπ' ὀλίγης οὐσίας θεωρεῖται, ἕτερον δὲ τί πόν θερμὸν καὶ χλιαρὸν ἀντεξεταζόμενον τούτου τυγχάνον ἐπὶ πλείονος οὐσίας ὑπάρχον. πρὸς μὲν οὖν ταῦτα αἴδ' ἀποκρίσεις εἰσὶ, πρὸς δὲ τὸν ἀναπυνθανόμενον, ποῖόν τί ἐστι τὸ ἕτερον τοῦ ἑτέρου ἰσχυρότερον θερμὸν οὐκέθ' ὁμοία ταῖς πρόσθεν ἀπόκρισις. οὔτε γὰρ τὸ κατὰ θάλψιν ἐπιτεταμένον μᾶλλον ἀποκρινούμεθα οὔτε τὸ ἐπ' οὐσίας θεωρούμενον πλείονος, ἀλλὰ τὸ κατὰ τὴν ἄνυσιν τοῦ ἔργου ὑπερβάλλον. συνίσταται δ' ἂν ὅπερ λέγω οὕτως· ἔργα δήπου τὰ τοῦ θερμοῦ πολλά ἐστι. χεῖται γάρ τινα τούτῳ καὶ ἄλλα συνίστησι καὶ μεταβάλλει μάλα πολλὰ καὶ ὡς κατὰ μέρος εἰπεῖν ἐπὶ τῶν ἡμετέρων σωμάτων πέττει τὴν τροφὴν ἐν γαστρὶ καὶ τοῖς ἐντέροις καὶ εἰς τὸ σῶμα ἀνάγει τὴν κατεργασίαν καὶ πρὸς σῶμα ἀλλοιοῖ καὶ προσφύει τοῖς ἡμετέροις σώμασιν αὐτὴν, κατά γε τὴν θρέψιν καὶ τὴν αὔξησιν. ἔστιν οὖν ἰσχυρότερον ἕτερον ἑτέρου θερμὸν τὸ μᾶλλον παρέχεσθαι

interroganti quale ſit quod alterum altero ſit calidius jure reſpondebitur quod in colore maxime ſit adauctum, qualis ignis non in pauca ſubſtantia conſpicitur, illique alterum quoddam calidum opponitur quod ſit tepidum, ſed ampliorem quam hoc ſortitum ſubſtantiam. Ergo ad interrogata hae ſunt reſponſiones. Sciſcitanti vero qualenam ſit alterum altero validius calidum, non eaedem ac ſuperiores ſunt reſponſiones. Neque enim quod in calore intenſiore ſit reſpondemus, neque quod in ſubſtantia majori conſpiciatur, ſed quod in operis perfectione excedat. Ceterum quod dico ita ſtatuitur. Coloris ſane opera multa ſunt. Quaedam enim eo funduntur, alia coguntur, plurima quoque ille transmutat, atque ut ſigillatim dicam in noſtris corporibus, in ventriculo et inteſtinis alimentum concoquit operamque in corpus deducit, ad corpus immutat ipſamque noſtris partibus magis tum ad nutritionem

Ed. Chart. IX. [370.] Ed. Baſ. V. (334.)

ταῦτα δυνησόμενον. τὸ δὲ τυγχάνον ὂν οὐχὶ πάντως, τὸ ἤτοι κατὰ τὴν ποιότητα ἐπιτεταμένον ἢ κατὰ τὴν οὐσίαν πλεῖον. πολλάκις γὰρ τὸ ἔλαττον τῇ οὐσίᾳ καὶ τὸ ἔλαττον τῇ θάλψει ἀνυσιμώτατον πρὸς τὸ ἔργον ἐστίν. ὡς γὰρ τὸ πρότερον εἴπομεν ἡμῖν πρὸς τὴν ἀπόδοσιν τῶν οἰκείων ἔργων, οὐ τὸ μάλιστα ἐπιτειαμένον ἐστὶν ἰσχυρότερον, ἀλλὰ τὸ μάλιστα σύμμετρον. ὡς τό γε ἐπιταθὲν κατ' αὐτὴν τὴν θάλψιν, ἐνίοτε καὶ βλάβος τοῖς ἔργοις γίνεται, καί μοι τούτου πιστόταια ἱκανὰ, ἃ πρόσθεν ἡμῖν ἐγὼ διεξῆλθον περὶ τῆς ἰδιότητος τοῦ θερμοῦ λέγων. τούτων ὧδε ἐχόντων καὶ τριῶν ὄντων, ὥσπερ προείρηκα, τῶν ἐπιζητουμένων κατὰ τὸ ἀντεξετάζειν, ἕτερον πρὸς ἕτερον θερμὸν, ἐπειδὰν Ἱπποκράτης φησὶν ἐνταῦθα ἔχειν τὰ αὐξανόμενα τὸ θερμὸν πλεῖστον τὸ ἔμφυτον, τῶν τριῶν ἓν ἢ κυρίως χρώμενος ταύτῃ τῇ φωνῇ, ψεῦδός τε εἴρηκεν ἢ κακῶς κέχρηται τῇ φωνῇ καὶ ψεῦδός τι εἴρηκεν ἢ ἵνα ἀληθές τι δόξῃ εἰρηκέ-

tum ad incrementum inſerit. Ergo validius eſt alterum altero calidum, quod iſta praeſtare valeat opera. Id nequaquam ſemper conſequitur, quod aut qualitate intenſius ſit aut ſubſtantia copioſius. Nam plerumque quod paucioris eſt ſubſtantiae et paucioris caloris ad opus obeundum eſt efficaciſſimum. Ut enim prius loquebamur ad propriorum operum confectionem calidum, non quod maxime adauctum, ſed quod maxime commoderatum eſt, validius exiſtit. Quare calidum ipſo calore protenſius interdum etiam functiones laedit. Quae vobis ſuperius ego de calidi proprietate differui, haec ad fidem faciendam maxime digna ſufficiunt. Quum autem haec ita ſe habeant ſintque tria, ut prius dixi, quae in alterius calidi cum altero comparatione diſquiruntur; quumque Hippocrates hic pronunciaverit: *quae creſcunt calidi innati plurimum habere*, ex tribus unum commiſiſſe neceſſe eſt. Aut enim proprie hac loquutione uſus falſum aliquid protulit aut plane hac loquutione abutitur et aliquid falſi enun-

Ed. Chart. IX. [370.] Ed. Baſ. V. (334. 335.)

ναι, χρὴ γὰρ αὐτὸν οὐ καλῶς τῇ φωνῇ κεχρῆσθαι. εἰ μὲν γὰρ λέγει πλεῖστον εἶναι τὸ θερμὸν τοῖς αὐξανομένοις, οἷον κατὰ τὴν οὐσίαν, ὡς ἂν καὶ τὸ ὑγρόν τις φαίη πλεῖστον εἶναι τοῦ ἀμφορέως, οὐ τὸ διπλάσιον τούτου, τῇ μὲν φωνῇ ὀρθῶς δόξει κεχρῆσθαι, ψεῦδος δέ τι πολὺ ἀνάγκη ἐστὶν αὐτὸν εἰρηκέναι. οὐ γάρ ἐστι τῇ οὐσίᾳ τὸ ἐπὶ τῶν αὐξανομένων θερμὸν πλεῖστον, ὅτι οὐδὲ ὁ τοῦ σώματος ὄγκος μείζων ἐστὶν ἐπὶ τούτων ἢ ἐπὶ τῶν ἀκμαζόντων τε καὶ γερόντων. τὸ δ' ἔμφυτον θερμὸν παντὶ παρεκτέταται τῷ σώματι. εἰ δ' αὖ πλείονα λέγει τοῖς αὐξομένοις καὶ ταύτην τὴν θάλψιν ἐπιτεταμένην ἴσως τούτου θερμοτέραν, ὡς ἂν (335) καὶ φαίη τις βουλόμενος εἰπεῖν τὴν χιόνα λευκοτέραν εἶναι ἄλλου του τῶν λευκῶν, μὴ λευκοτέραν εἶναι αὐτὴν μηδὲ μᾶλλον λευκήν, ἀλλὰ πλεῖον εἶναι τὸ λευκὸν τοῦδε λευκοῦ, κατ' ἀμφότερα δόξει ἁμαρτάνειν Ἱπποκράτην, κατά τε τὸ μὴ καλῶς κεχρῆσθαι τῇ φωνῇ καὶ κατὰ τὸ ἄλλως ψεῦδός τι λέγειν· κατὰ μὲν τὸ μὴ καλῶς κεχρῆσθαι τῇ

ciavit aut ut verum aliquid attuliſſe videatur, ipſum tamen hac ſententia belle uſum eſſe oportet. Si namque calidi plurimum creſcentibus eſſe pronunciat ſecundum ſubſtantiam videlicet, veluti ſi quis in amphora humidi plurimum eſſe protulerit, quod duplo vas humido ſit amplius. Hac quidem loquutione recte uſus eſſe videtur, falſi tamen quiddam ipſum pronunciaſſe maxime neceſſe eſt. Non enim creſcentibus ſecundum ſubſtantiam ineſt calidi plurimum, quum his non inſit major corporis moles quam aetate florentibus ac ſenibus. At calidum innatum univerſo corpori expanditur. Quod ſi rurſus pronunciet adoleſcentibus majorem eumque intenſiorem ineſſe calorem, ſortaſſis altero calidiorem, quemadmodum ſi quis protulerit, quum nivem re alia candidiorem affirmare velit, non illam eſſe candidiorem, neque magis candidam, ſed in ea eſſe plus candoris, in utroque aberrare apparuerit Hippocrates, tum quod loquutione non probe ſit uſus tum quod alias falſum quiddam enunciet. Quod lo-

Ed. Chart. IX. [370. 371.] Ed. Baſ. V. (335.)

φωνῇ διαμαρτάνειν ἂν δοκοίη, ὅτι τὴν ἐπ᾽ οὐσίας πλείονος ταττομένην φωνὴν ταύτην ἔταξεν, ἐθέλων σημῆναι ποιότητα ἐπιτεταμένην μᾶλλον ὑπάρχειν τῇ θάλψει. ψεῦδος δέ τι ἂν δοκῇ εἰρηκέναι, ὅτι οὐ μάλιστα ἐπιτεταμένον τὸ θερμὸν τοῖς αὐξανομένοις κατὰ τὴν ποιό- [371] τητα, οὐ δεόντως, θερμότερον ἐπὶ τῆσδε τῆς ἡλικίας τοῦ θερμοῦ ἢ ἐπ᾽ ἄλλης τινός. ὃ δὲ ἔφη εἶναι μάλιστα ἐπιτεταμένον ἐπὶ τῶν αὐξανομένων· ὅτι δὲ τοῦτο ψεῦδος τυγχάνει ὂν τὸ μάλιστα ἐπιτετάσθαι τοῖς αὐξανομένοις τὸ θερμὸν, ῥᾴδιόν ἐστι παντὶ ἐπιστῆσαι. οὐδὲν γὰρ ἂν εὑρέθη γνώρισμα κατὰ τὸ σῶμα ὑπάρχον ἐπὶ τῶν αὐξανομένων τῆς μάλιστα κατὰ τὴν θάλψιν ἐπιτάσεως τοῦ θερμοῦ. τὸ γὰρ εἰρημένον ὑπὸ τούτου ἐν τῷ περὶ φύσεως ἀνθρώπου συγγράμματι, εἰς τέκμαρσιν τοῦ πλεῖστον εἶναι τοῖς αὐξανομένοις τὸ θερμὸν, ἠλίθιον παντελῶς. τῷ γὰρ πρώτῳ χρόνῳ θερμότερον ἀποφαίνειν εἶναι τὸν ἄνθρωπον, τεκμαιρόμενος τῇ αὐξήσει πλείστῃ τηνικαῦτα συντελουμένῃ. οὐ γὰρ ἂν πρὸς βίαν, φησὶ, καὶ παρὰ φύσιν ἀνεφέρετο ἡ τροφὴ πρὸς ἐναντίον τῷ αὐτῆς

quutione probe uſus non fuerit, is aberrare conſpicietur, quum in majore ſubſtantia explicanda poſitam hanc loquutionem ſtatuerit, dum intenſiorem caloris qualitatem oſtendere nititur. Falſum autem quiddam pronunciaſſe videbitur, quum calidum creſcentibus qualitate minime ſit intenſius, neque hac in aetate jure calidum quam in alia quapiam ſit calidius. At ille creſcentibus maxime intenſum eſſe pronunciavit. Quod autem falſum ſit creſcentibus intenſius eſſe calidum omnibus ſcire facile eſt. Nullum ſiquidem compertum eſt indicium in corpore eorum qui creſcunt, praeſertim ratione caloris, intenſionis calidi. Nam quod ab eo in libro de natura humana pronunciatum eſt ad probandum creſcentibus plurimum calidum eſſe plane irritum eſt, videlicet primo aetatis tempore hominem eſſe calidiorem affirmare ducta ab incremento, quod tunc plurimum peragitur, conjectura. Non enim vi, inquit, et praeter naturam ferretur alimentum contra ſui

Ed. Chart. IX. [371.] Ed. Baſ. V. (335.)

τῆς βάρει ἐν τῷ αὔξεσθαι τὸ σῶμα, εἰ μή τι ἰσχυρὸν τὸ ἐπαναγκάζον ᾖ. τῷ γὰρ τοιούτῳ οὐ τὸ μᾶλλον ἐπιτετάσθαι κατὰ τὴν θάλψιν τὸ θερμόν ἐστι γνώρισμα, ἀλλὰ τὸ ἰσχυρότερον εἶναι. τὸ δὲ ἰσχυρότερον, ὡς ὀλίγον ἔμπροσθεν εἶπον, οὐ τοιοῦτον ἦν, οἷον τὸν μάλιστα ἐπιτεταμένον κατὰ αὐτοῦ ποιότητα, ἀλλὰ τὸ μάλιστα σύμμετρον πρὸς τὸ ἔργον· ὅτε δὴ οὖν ταῦτα ταύτῃ ἔχει, εἴπερ οὕτως λέγει Ἱπποκράτης, τὰ αὐξανόμενα τὸ θερμὸν ἔχει πλεῖστον τὸ ἔμφυτον, κατ' ἀμφότερα διαμαρτάνει, κατά τε τὸ μὴ καλῶς κεχρῆσθαι τῇ φωνῇ καὶ κατὰ τὸ ψεῦδός τι ἄλλως εἰρηκέναι· εἰ δ' ὡς τὸ τρίτον εἶπον λέγει, πλεῖστον εἶναι τοῖς αὐξανομένοις τὸ θερμὸν ἐν ἴσῳ τοῦ τε ἰσχυροτάτου πρὸς τὴν ἄνυσιν τοῦ ἔργου, ὅπερ γίνεται ἐκ τοῦ μάλιστα σύμμετρον εἶναι, οὐχὶ δέ γε ἐκ τοῦ ἥτοι τῇ οὐσίᾳ πλεῖον ὑπάρχειν ἢ αὐτῇ τῇ θάλψει ἐπιτετάσθαι μάλιστα. τῇ μὲν οὖν φωνῇ δοκοίη ἂν καλῶς κεχρῆσθαι, ὅτι πλεῖστον εἶπεν εἶναι τὸ θερμὸν, δέον φάναι ἰσχυρότατον, τὸ μέντοι εἰρημένον ὀρθῶς λελέχθαι δοκοίη ἄν. ὥσπερ γὰρ αἱ αὐξήσεις ὑπὸ τοῦ

ponderis propenſionem, dum augetur corpus, niſi quid validum ſit quod cogeret. Hoc enim hujusmodi non quod ratione caloris magis intendatur, calidum indicium eſt, ſed quod ſit validius. At validius, ut paulo ante protuli, non id eſt quod ſua ipſius qualitate maxime intenſum, ſed ad opus conficiendum contemperatiſſimum eſt. Quando igitur hunc in modum ſe habent, ſi ita loquatur Hippocrates: quae creſcunt calidum innatum habent plurimum, in utroque caeſpitat tum quod non probe vocabulis utatur tum quod aliquid falſum alias pronunciaverit. At ſi, ut in tertio dicebam, creſcentibus plurimum eſſe calidum, peraeque ac validiſſimum ſit ad operis perfectionem proponat, quod ex eo potiſſimum oboritur, quia commoderatum eſt, non quia ex ſubſtantia copioſiore conſtat aut ex calore protenſiore procedit. Hac itaque loquutione non recte uſus eſſe videtur, quia plurimum eſſe calidum protulit, quod validiſſimum dixiſſe debuerat, id tamen ab eo recte pronunciatum eſſe videtur. Quemadmodum enim

Ed. Chart. IX. [371.] Ed. Baſ. V. (335.)

ἐμφύτου γίνονται θερμοῦ, ὥσπερ οὖν ἐρεῖ ὁ λόγος, ἀμήχανον καὶ ἀδύναντον μὴ ἰσχυρότατον εἶναι αὐτὸ ἐπὶ τῶν αὐξανομένων. καί μοι εἰς τοῦτο καλῶς ἂν εἴη λελεγμένον τὸ ἐκ τοῦ περὶ φύσεως ἀνθρώπου συγγράμματος. ἀνάγκη γὰρ αὐξανόμενον καὶ χωρέον τὸ σῶμα πρὸς βίην ἰσχυρότατον ἔχειν τὸ θερμὸν αὐτῆς, οἷα καὶ ἡ τοῦ Λύκου ῥῆσις εἰς μῆκος μὲν ἐκτεταμένη, πλέον δὲ οὐδὲν ἑρμηνεύουσα τῶν ὑπ' ἐμοῦ προειρημένων. εἰ μὲν γὰρ τῷ τῆς οὐσίας ὄγκῳ παραμετρῶν ὁ Ἱπποκράτης, πλέον ἔφησεν εἶναι τοῖς αὐξανομένοις τὸ θερμὸν ἁμαρτάνειν αὐτὸν οἴεται, μικροτέρου σαφῶς τοῖς παιδίοις ὑπάρχοντος τοῦ σώματος. εἰ δὲ τὸ κατὰ τὴν θάλψιν ἐπιτεταμένον, πάλιν αὖ καὶ τούτου μάχεσθαί φησι τὸ φαινόμενον. εἰ δὲ τὸ κατὰ τὴν ἐνέργειαν ἰσχυρότερον, ἀληθὲς μέν τι λέγεσθαι συγχωρεῖ, κεχρῆσθαι δὲ οὐ καλῶς αὐτὸν ἀποφαίνει τῇ λέξει. χρῆναι γὰρ οὐ πλέον, ἀλλ' ἰσχυρότερον ὡς πρὸς τὴν ἐνέργειαν εἰρῆσθαι τὸ τῶν αὐξανομένων θερμόν.

---

ab innato calido incrementa perficiuntur, ſic ratio dictat fieri minime poſſe, quin id adoleſcentibus validiſſimum ſit. Atque id mihi praeclare pronunciatum fuerit, quod in libro de natura humana ſcribitur. Quod enim creſcit atque vi procedit corpus, id calidum ipſius validiſſimum habere neceſſe eſt. Qualiscunque fuerit Lyci oratio in prolixitatem protenſa nihil amplius quam quae a me prius commemorata ſunt explicat. Si namque ſubſtantiae molem metitus Hippocrates, copioſius creſcentibus eſſe calidum pronunciavit, ipſum aberraré cenſet, quum perſpicue puerulis minus corpus exiſtat. Si vero intenſioris caloris ratione etiamnum quae huic apparent id oppugnare denunciat. Si denique quod in opere perficiendo validius ſit, veram quidem ſententiam dixiſſe concedit, ipſum tamen loquutione non prope uſum fuiſſe aſſerit. Non enim copioſius calidum, ſed validius ad opus perficiendum in iis qui creſcunt pronunciaſſe oportuerat.

Ed. Chart. IX. [372.] Ed. Baſ. V. (335.)

ζ'.

[372] Ἀλλ', ὦ βέλτιστε Λύκε, φαίη τις ἂν, οἶμαι, πρὸς αὐτὸν ἀπολογούμενος ὑπὲρ ὧν ἐπηρεάζει τὸν Ἱπποκράτην μὴ ταῦτα εἶναι μοχθηρὰ τὰ λεγόμενα. εὐθὺς οὖν τὸ κατὰ τὴν οὐσίαν πλέον θερμὸν, οὐχ ἁπλῶς κρίνεται τῷ τοῦ παντὸς ὄγκῳ σώματος, ἀλλ' ὡς αὐτὸς ὁ Λύκος ἔλεγεν ἑτέρωθι, μέγιστον ἐγκέφαλον ἔχειν τὸν ἄνθρωπον οὐχ ἁπλῶς λαμβάνων τὸ μέγεθος, ἀλλὰ κατὰ τὴν ἀναλογίαν τοῦ ζώου πρὸς τὸ ζῶον. ὥσπερ οὖν οὕτω σμικρὸν παιδίον ἐλέφαντος τοῦ μεγίστου μείζονα τὸν ἐγκέφαλον ἔχειν φησὶν, οὐ τῷ τοῦ σώματος ὄγκῳ μόνῳ προσέχων τὸν νοῦν, ἀλλὰ προστιθεὶς αὐτοῦ τὸ κατὰ τὴν ἀναλογίαν, οὕτω καὶπὶ τοῦ θερμοῦ σώματος ἐχρῆν πεποιηκέναι, σκεψάμενον ὁποῖόν τι τῶν ἐν ἡμῖν σωμάτων ἔμφυτον ὑπάρχει, τουτέστιν ἀρχέγονον. αὐτὸς γὰρ ἐπίσταται τοὔνομα καὶ γεγραμμένον ἐν τοῖς Ἱπποκρατείοις βιβλίοις καὶ συνημμένον ἐκεῖνο τὸ σῶμα τὸ ἐξ ἀρχῆς ὑπάρχον τοῖς γεννωμένοις, τουτέστιν ἐξ οὗ τὴν πρώτην ἔσχηκε γένεσιν. ἆρ' οὖν ἄλλο τι τοῦτ' ἐστὶ πλὴν κα-

VII.

Verum, o Lyce clariſſime, protulerit mea quidem ſententia quispiam illis ad hominem reſponſurus, quibus ipſe Hippocratem calumniatur, haec non eſſe prava quae ab eo pronunciantur. Jam primum enim calidum copioſius ſecundum ſubſtantiam non abſolute univerſi corporis mole dijudicatur, imo ut ipſe Lycus alibi proferebat, maximum homini cerebrum eſſe non accepta abſolute magnitudine, ſed ex animalis tum animali analogia loquutus eſt. Quemadmodum igitur puſillum adeo puerulum maximo elephante majus habere cerebrum pronunciavit, non ſoli corporis moli mente adhibita, ſed et addita ejusdem rei analogia, ſic etiam illum in calido corpore feciſſe oportebat ſpeculatum, quale ſit quod noſtris corporibus innatum exiſtit, hoc eſt primigenium. Ipſe namque ſcit hoc nomen Hippocraticis libris ſcriptum eſſe illudque corpus quod ab exordio procreandis inſitum eſt coaluiſſe, hoc eſt ex quo illa primum ortum habuere. Utrum igi-

Ed. Chart. IX. [372.] Ed. Baſ. V. (335.)

ταμηνίου καὶ σπέρματος; ἐγὼ μὲν οὐδὲν οἶδα τρίτον, ἀλλ' ἐπεί περ ἡ τοῦ σώματος οὐσία τοῖς γεννωμένοις ἐκ τούτων ἐστὶ τῶν ἀρχῶν, ἡ μὲν ἀκριβῶς πρώτη σύστασις οὐκ ἐκ πλείστων ἂν εἶναι λέγοιτο τῶν εἰρημένων σωμάτων, ἀλλ' ἐκ μόνων. καίτοι τί λέγω τὴν πρώτην ἀκριβῶς; εἰ γὰρ ἀναμνησθείημεν ὁποίαν τινὰ διηγήσατο τὴν ἑκταίαν γονὴν Ἱπποκράτης, εἰσόμεθα σαφῶς ἔτι διαμένον ἐν αὐτῇ τὸ ἔμφυτον σῶμα. πρὶν γὰρ ὀστοῦ τινα φύσιν ἢ φλεβὸς ἢ ἀρτηρίας ἢ νεύρου ἢ χόνδρου ἢ συνδέσμου ἐν τῷ κυήματι φαίνεσθαι, μόνον αὐτοῖς ὑπάρχει θερμὸν σῶμα τὸ ἔμφυτον. ἀδιάπλαστος γάρ τις σὰρξ μαλακὴ παραπλήσιος αἵματος θρόμβῳ διαδέχεται τὴν πρώτην τοῦ κυήματος ἰδέαν, ἐν αὐτῇ τινας ἔχουσαν, καθάπερ Ἱπποκράτης ὠνόμασεν, οἷον αἱμάλωπας ἐκ τῆς τοῦ σπέρματος οὐσίας, τῆς ἐν αὐτῇ λευκότητος ὑπαρχούσης, ὕστερον δ' ἐκ πολλῆς τῆς ἀλλοιώσεως συνεχῶς γιγνομένης, ὀστοῦ τις ὑπογραφὴ καὶ χόνδρου καὶ συνδέσμου καὶ νεύρου καὶ ἀρτηρίας καὶ φλεβὸς ἀποτελεῖται, καθ' ὃν ἤδη χρόνον μένον ἔτι τὸ ἔμφυτον θερμὸν σῶμα

tur quiddam hoc aliud exiſtit praeterquam menſtruum et ſemen? Equidem tertium nullum novi. Verum quoniam corporis ſubſtantia ex his conſtat principiis, plane prima conſtitutio non ex pluribus quam commemoratis iisque ſolis corporibus conſtare praedicabitur. Quid autem plane primum profero? Si namque qualem expoſuerit ſextanum genituram Hippocrates in mentem revocaverimus, dilucide percipiemus etiamnum innatum in ipſa corpus permanere. Priusquam enim aliqua oſſis aut venae aut arteriae aut nervi aut cartilaginis aut ligamenti in fetus natura appareat, ſolum ipſis corpus calidum innatum eſt. Informis enim quaedam caro mollis ſanguinis grumo ſimilis primam fetus formam quandam in ſe ſuſcipit tanquam ſugillationes haemalopas, ut Hippocrates nominavit, ex ſeminis ſubſtantia quae ipſius candoris eſt effectrix, deinde vero permultam quae aſſidue fit mutationem quaedam oſſis delineatio, cartilaginis, ligamenti, nervi, arteriae et venae abſolvitur, quo jam tempore adhuc innatum calidum cor-

Ed. Chart. IX. [372. 373.] Ed. Baſ. V. (335.)

τοῖς κνουμένοις ἐστὶν, ἀλλὰ πλεῖστον ἀεί τε καὶ μᾶλλόν ἐστιν ὅσον αὔξεται τὰ κνούμενα. τὸ μὲν ἔμφυτον αὐτῶν σῶμα θερμὸν, ὅπερ ἦν αἷμα καὶ σπέρμα μεῖον γίγνεται. ποικιλία δὲ ἐπικτήτων προσγίνεται σωμάτων. οὐδὲν γὰρ τῶν εἰρημένων τοῖς ζώοις ἔμφυτόν ἐστιν, ἀλλ' ἐπίκτητα πάντα καὶ εἴπερ ὅλον τ' ἦν γενέσθαί ποτε ζῶον ὄστινον ἢ νεύρινον, ἐφθείρετ' ἂν οὕτως τὸ ἔμφυτον θερμόν. ἀλλὰ τοῦτο μὲν ἀδύνατον, ἐπικρατεῖν δὲ τὴν τῶν ὀστῶν καὶ χόνδρων καὶ συνδέσμων καὶ νεύρων καὶ ἀρτηριῶν οὐσίαν ἐγχωρεῖ. τὰ γοῦν εἰς ἔσχατον γῆρας ἀφι- [373] κόμενα τῶν ζώων ἐλαχίστην ἔχοντα τὴν αἱματώδη φύσιν ὀλίγου δεῖν, ἐξ ὀστῶν μόνων καὶ νεύρων, ὑμένων τε καὶ συνδέσμων, ἀρτηριῶν τε καὶ φλεβῶν καὶ χόνδρων σύγκειται. ἐκ γὰρ μὲν ὅλων τῶν τοῦ ζώου μορίων ἡ μόνη σὰρξ αἱματώδης ἐστὶν, ἣν ἐλαχίστην ἔχει τὰ γεγηρακότα, καὶ ταύτην ὀλίγαιμόν τε καὶ σκληράν. τῶν δ' ἄλλων τῶν εἰρημένων μορίων οὐδὲν αἱματῶδες ὑπάρχει. οὔκουν ἁπλῶς χρὴ τῷ τῆς οὐσίας ὄγκῳ μετρεῖν τὸ ποσὸν τοῦ συμφύτου σώματος, ὅπερ ἐπὶ τῆς δρα-

pus conceptis permanet, quod tamen dum creſcunt fetus ſemper copioſius ac majus redditur. Ceterum innatum ipſorum calidum quod ſanguis fuerat et ſemen imminuitur. Adſcititiorum quoque corporum accedit varietas. Commemoratorum enim nullum animalibus innatum eſt, ſed adſcititia omnia. Quod ſi poſſet univerſum animal oſſeum fieri aut nerveum, ſic utique innatum calidum interiret. Verum id fieri non poteſt. Probabile tamen eſt oſſium, cartilaginum, ligamentorum, nervorum et arteriarum ſubſtantia exſuperare. Unde quae ad extremam ſenectutem animalia pervenerunt, quum ſanguineae naturae minimum ſortiantur ex ſolis propemodum oſſibus, nervis, membranis, ligamentis, arteriis, venis et cartilaginibus conſtant. Ex omnibus ſiquidem animalis partibus ſola caro ſanguinea eſt, quam quae conſenuere corpora minimum habent quae et pauci ſanguinis ac dura eſt. Aliarum vero partium commemoratarum ſanguinea nulla eſt. Non ergo abſolute innati corporis quantitas ſubſtantiae mole metienda

Ed. Chart. IX. [373.] Ed. Baſ. V. (335. 336.)

στικωτάτης τῶν ἐν αὐτῷ ποιοτήτων ἔμφυτον ὠνόμασται θερμὸν, ἀλλὰ παραβάλλοντας τοῖς οὐκ ἐμφύτοις σκοπεῖσθαι τὴν ἀναλογίαν. ὡς γὰρ ἐν τῷ βαλανείῳ πολὺν ἀτμὸν ἢ νὴ Δία καπνὸν ἤ τι τοιοῦτον ἕτερον εἶναί φαμεν, οὐ πρὸς τὸ μέγεθος ἀναφέροντες ἁπλῶς τῶν οἰκιῶν, ἀλλὰ πρὸς τὸν οἰκεῖον ἀέρα τοῦ βαλανείου, οὕτως καὶ κατὰ τὸν ἄνθρωπον ἐροῦμεν ἤτοι πλείστην εἶναι τὴν οὐσίαν ἢ ὀλίγην τοῦ (336) ἐμφύτου θερμοῦ, παραβάλλοντες τοῖς οὐκ ἐμφύτοις σώμασιν. αἱματωδέστατα γὰρ ἅπαντα ἔχει τὸ βρέφος, ἄχρι καὶ τοῖς ὀστοῖς ἐμφαίνεσθαί τι τοιοῦτον. ἔμπαλιν δὲ οἱ γέροντες ἀναιμότατα πάντ' ἔχουσιν ἄχρι τῶν σαρκῶν· καὶ γὰρ ταύταις ἐλάχιστον αἵματος ὑπάρχει. ἀλλ' ἦν ἔμφυτον σῶμα θερμὸν τὸ αἷμα, περαίνοιτ' ἂν οὖν ἐκ τῶνδε πλεῖστον μὲν εἶναι τὸ ἔμφυτον θερμὸν σῶμα τοῖς αὐξανομένοις, ἐλάχιστον δὲ τοῖς γεγηρακόσιν. οὕτως δὲ καὶ τὸ σπέρμα συγκείμενον ἔκ τε τῆς ὀρῤῥώδους ὑγρότητος καὶ τοῦ πνεύματος τοῦ κατ' αὐτὴν, ἐλάχιστον μὲν ἐν τοῖς γεγηρακόσι, πλεῖστον δ' ἐστὶν ἐν τοῖς τῶν αὐξανομένων σώμασι, καὶ τούτων μά-

eſt, quod ab efficaciſſima quae in eo eſt qualitate, calidum innatum nominatum eſt, ſed facta cum iis quae minime innata ſunt comparatione, analogia perpendenda eſt. Quemadmodum enim in balneo vaporem aut etiam fumum aut hujusmodi alterum multum eſſe dicimus, non abſolute ad aedium magnitudinem referentes, ſed ad peculiarem balnei aërem, ſic et in homine aut plurimum aut paucum innati calidi ſubſtantiam eſſe dicemus, inſtituta cum minime innatis corporibus comparatione. Omnia namque infans habet quam maxime ſanguinea, etiam aduſque oſſa quidpiam hujusmodi conſpicitur. Contra vero ſenibus aduſque carnem exſanguia ſunt omnia. Etenim his carnibus minimum ſubeſt ſanguinis. At ſi calidum innatum corpus ſanguis eſt, colligetur ſane ex his plurimum quidem ineſſe calidi innati corporis creſcentibus, ſenio vero confectis minimum. Sic etiam ſemen ex ſeroſo humore et qui in eo eſt ſpiritu conſtitutum, in ſenium lapſis quidem pauciſſimum, creſcentibus vero corporibus copioſiſſi-

Ed. Chart. IX. [373.] Ed. Baſ. V. (336.)

λιστα ἐν τοῖς νεωτάτοις, ὡς ἐν τοῖς περὶ σπέρματος ὑπομνήμασιν ἀπεδείξαμεν. εἰ γοῦν ἀπορήσεις, εἰ ῥᾳδίως ἀναλίσκεται καὶ διαῤῥεῖ τὸ σῶμα τῶν αὐξανομένων; καὶ μὴν ἐπί γε τῶν ἄλλων οὐκ ἀγνοεῖς ὕδωρ μὲν θερμὸν ἢ ἔλαιον ἤ τι τῶν οὕτως ὑγρῶν ἐλαχίστῳ διαφορούμενον ὅλον. οὔτε γὰρ γῆν οὔτε λίθον οὔτ' ἄλλο τῶν ψυχρῶν φύσει καὶ ξηρῶν. δύο μὲν γάρ εἰσιν ἐν ἅπασι τοῖς οὖσιν ἐπιτηδειότατα ποιότητες εἰς διαφόρησιν, ὑγρότης καὶ θερμότης, δύο δὲ ἔμπαλιν εἰς διαμονὴν, ξηρότης καὶ ψυχρότης, ὥστ' οὐδὲν θαυμαστὸν, εἰ τὰ μὲν τῶν παιδίων σώματα διά τε τὴν ὑγρότητα καὶ θερμότητα ῥᾳδίως διαπνεῖται, τὰ δὲ τῶν γερόντων οὐ ῥᾳδίως ὑπὸ ξηρότητος καὶ ψύξεως πεπηγυῖαν ἐχόντων τὴν οὐσίαν δὲ ὥστ', ὦ βέλτιστε Λύκε, περὶ ὧν ἐχρῆν ἐπιτιμηθῆναί σε, περὶ τούτων ἐγκαλεῖς. ἀγνοῶν οὖν ἐφάνης ἕν τι τῶν πρώτων μαθημάτων, ὃ μηδεὶς τῶν εἰσηγμένων νομίμως ἀγνοεῖ. πολλὴν μὲν γὰρ οὐσίαν ἁπλῆν ὁ τοῦ σώματος ὄγκος κρίνει, σύνθετον δὲ ἐκ διαφερόντων

mum et inter haec potiſſimum natu minimis, ut in commentariis de ſemine demonſtravimus. Num igitur ambiges, an eorum qui creſcunt facile corpus abſumatur ac diffluat? Enimvero in aliis non ignoras aquam calidam aut oleum aut ſi quid aliud ita humidum pauciſſimo tempore totum in habitus reſolvi, non autem terram, neque lapidem, neque aliud natura frigidum et ſiccum. Duae namque rebus omnibus inſunt qualitates ad reſolutionem in halitus maxime idoneae, calor atque humor. Contra vero duae ad manſionem, frigus et ſiccitas. Quare admirandum non eſt, ſi puerorum corpora ob humorem et calorem facile difflentur reſolvanturque; ſenum vero prae ſiccitate et frigore induratam ſubſtantiam conſequuta non facile. Quapropter, Lyce optime, de quibus te arguere oportebat, de his crimen intentas, proindeque unum quoddam idque primum documentum ignorare videris, quod eorum qui in diſciplinas legitime introducti ſint neminem latet. Copioſam ſiquidem ſubſtantiam corporis moles ſimplicem indi-

Ed. Chart. IX. [373. 374.] Ed. Baſ. V. (336.)

ὑπάρχουσαν ἡ τῶν μιχθέντων ἀναλογία, καθάπερ καὶ τὸν ἐγκέφαλον ἤ τι τῶν ἄλλων μορίων. οὕτω γοῦν καὶ μιγνύντες οἶνον ὕδατι τοῦ πιεῖν ἕνεκεν ἤτοι πλείονα τὸν οἶνον λέγουσιν ἢ τὸ ὕδωρ ἢ οὔθ' ἕτερον, ὅταν εἰς συμμετρίαν κράσεως ἥκωσιν. ἔμπληκτος δ' οὐδεὶς οὕτως ἐστὶν, ὡς ἐμβαλὼν εἰς οἴνου πίθον ὕδατος κοτύλην πλεῖον εἶναι λέγει ἐν τῷ πίθῳ τὸ ὕδωρ τοῦ κατὰ τὸ μικρὸν ποτήριον, ὅταν οὕτως ἔτυχεν, ἐν ἐκείνῳ τριῶν ὄντων κυάθων, ὁ μὲν εἷς ὕδατος, οἱ δὲ δύο ὑπάρχουσιν οἴνου. Λύκος δὲ, ὡς οἶμαι, καὶ τὴν τετραφάρμακον ὀνομαζομένην δύναμιν, ἐκ κηροῦ καὶ στέατος καὶ πίττης καὶ ῥητίνης, ἴσων ἁπάντων συντεθειμένων, οὐ φήσει πλείονα μὲν πίτταν ἔχειν, ἐὰν διπλασίαν τις ἐμβάλλῃ τῶν ἄλλων, [374] ἀλλὰ κἀνταῦθα ἐπισκέψασθαι, πότερον πίθος ὅλος ἐστὶ μεσιὸς τῆς τετραφαρμάκου δυνάμεως ἢ μικρόν τι λεκάριον, εἶτα τὸν πίθον ἐρεῖ πολὺ πλείονα τὴν πίτταν ἔχειν τοῦ λεκαρίου, κἂν ὁ μὲν ἐξ ἴσων ἦν τῶν τεττάρων, ἡ πίττα δὲ ὑπάρχει διπλασία τῶν ἄλλων ἐν τῷ λεκαρίῳ. εἴπερ οὖν ἅπαντα τὰ τοιαῦτα ἁμαρ-

cat, compoſitam vero ex diverſis mixtis conſtantem analogia; quemadmodum cerebrum aut aliarum partium aliquam, ſic ſane qui bibendi gratia vinum aquae miſcent aut plus vini aut aquae aut neutrius eſſe dicunt, quum ad mixtionis commoderationem veniant. At ita ſtupidus nullus eſt, ut injecta in vini dolium aquae hemina, plus aquae dicat in dolio eſſe quam in exiguo ſit poculo, quum verbi gratia ex tribus qui in eo continentur cyathis, unus aquae et duo vini exſtiterint. At Lycum arbitror medicamentum quoque tetrapharmacum appellatum ex cera, adipe, pice et reſina, aequis omnibus compoſitum non plus continere picis dicturum, ſi quis picem ceterorum duplam injecerit. Verum hic animadvertat, utrum univerſum dolium tetrapharmaco medicamento plenum ſit vel parvum aliquod vaſculum, mox dolium quam vaſculum plus continere picis dicturus eſt et etiamſi medicamentum in dolio ex aequis quatuor conſtet, vix autem in vaſculo aliorum dupla ſit. Itaque ſi hujusmodi

Ed. Chart. IX. [374.] Ed. Baſ. V. (336.)

τήματα τῶν ἄλλων μὴ δυναμένων ἐστὶ διακρῖναι τὸ κατ' ἀναλογίαν καὶ μῖξιν πολὺ τοῦ κατὰ τὸ κοινὸν μέτρον ἁπλῶς οὕτω λεγομένου, οὐ κατὰ τὸν αὐτὸν τρόπον ἐφ' ὃν ὁ Λύκος ἐνεκάλεσεν Ἱπποκράτει· ἥ τε γὰρ οὐσία τοῦ ἐμφύτου θερμοῦ πλείστη τοῖς αὐξανομένοις ἐστὶν, ὡς πρὸς τὴν τῶν ἄλλων ἀναλογίαν, ἥ τε σὺν αὐτῇ ποιότης ὡσαύτως, ἐπειδήπερ ἀχώριστοι τῶν οὐσιῶν εἰσιν αἱ οἰκεῖαι ποιότητες, ὥσπερ γε τῷ καὶ αἱ δυνάμεις. οὕτω γοῦν κἂν εἰς τὴν τετραφάρμακον ἐμβάλῃς πλέονα τῆς τῶν ἄλλων ἀναλογίας τὴν πίτταν, οὐ τὴν οὐσίαν μόνον αὐτῆς, ἀλλὰ καὶ τὴν ποιότητα καὶ τὴν δύναμιν ἐρεῖς ἐνδεῖξαι πλείονα καὶ διὰ τοῦτο καὶ τὸ ὑγρὸν ὅπερ ἂν τῆς πίττης ἠυξῆσθαι. δῆλον οὖν ὅτι κατὰ τὰ τρία τοῦ πολλοῦ σημαινόμενα τὰ πρὸς τοῦ Λύκου γεγραμμένα πλείων ἥ τε πίττα λεχθήσεται κατὰ τὴν τετραφάρμακον εἶναι τό τ' ἔμφυτον θερμὸν τοῖς ζώοις. ἔτι δὲ μᾶλλον ἐφ' ὧν οὐ κέκραται δι' ὅλων ἀλλήλων ὕλα τὰ μιγνύμενα, κατάδηλόν ἐστι κατὰ τοὺς τρεῖς τρόπους, οἷς ὁ Λύκος εἶπεν, ἕτερον ἑτέρου λέγεσθαι πλέον, ὥσπερ ἐπὶ

omnia errata ſunt aliorum qui per analogiam ac commixtionem id multum ab eo quod communi menſura abſolute ita appellatur diſcernere nequeant. Num eadem eſt ratio, qua Lycus Hippocratem reprehendit? Nam et innati calidi ſubſtantia creſcentibus plurima eſt, aliorum videlicet comparatione et cum ipſa ſimiliter qualitas. Quandoquidem propriae qualitates a ſubſtantiis minime ſunt ſeparabiles, quemadmodum neque facultates. Sic igitur ſi in tetrapharmacum aliorum comparatione plus picis injeceris, non picis modo ſubſtantiam, ſed et qualitatem et facultatem ampliorem detuliſſe dixeris, proindeque etiam quemcunque picis humorem increviſſe. Ergo patet tribus *multi* ſignificatis a Lyco ſcriptis tam picis in tetrapharmaco quam innati calidi in animantibus plus eſſe dictum iri. Quin imo in quibus quae miſcentur, ea tota inter ſe per tota non contemperantur, alterum altero ſecundum tres modos a Lyco proditos liberalius dijudicari manifeſtum

Ed. Chart. IX. [374.] Ed. Baf. V. (336.)

τοῦδε τοῦ φαρμάκου τῶν συνηθεστάτων ὄντος, ὃ σίγκειται μὲν ἔξ ἴριδος καὶ ἀριστολοχίας καὶ τοῦ τῶν ὀρόβων ἀλεύρου καὶ λιβανωτοῦ, πάντων ἀλλήλοις ἴσων τῷ σταθμῷ, δύναιτό τις τὸ ἓν ἐξ αὐτῶν διπλάσιον ἐργασάμενον ἀναμίξαι τοῖς ἄλλοις ἴσοις, οἷον εἰ τύχοι τὴν ἀριστολοχίαν. ἀληθὲς οὖν ἐστι κατὰ τὴν αὐτῶν μῖξιν εἰπεῖν, ὅτι καὶ τῇ οὐσίᾳ καὶ τῇ ποιότητι καὶ τῇ ἐνεργείᾳ πλεῖόν ἐστι καὶ κρατεῖ τῶν ἄλλων ἡ ἀριστολοχία. ταὐτὸν δὴ τοῦτο κἀπὶ τοῦ βαλανείου τις εἴποι, μὴ μόναν ἔχοντος ἐν αὐτῷ τὸν εὔκρατον ἀέρα, προσειληφότα δέ τε καὶ καπνοῦ καὶ ἀτμοῦ. δύναται γὰρ ἐκ τούτων ποτὲ μὲν ὁ καπνὸς εἶναι πλείων, ποτὲ δὲ ὁ ἀτμός, ὥσπερ γε καὶ ὁ κατὰ φύσιν ἀὴρ τοῦ βαλανείου. τὸ δ' ἁπλῶς οὐ τῷ πλείονι κατὰ τὴν τῆς οὐσίας ὑπεροχὴν λέγομεν, ᾧ καὶ τὴν ποιότητα συναύξεσθαι καὶ τὴν ἀπ' αὐτῆς ἐνέργειαν ἀναγκαῖόν ἐστιν. ὑποκείσθω γοῦν εἶναι τὴν οὐσίαν τοῦ καπνοῦ πλείονα τῆς τῶν ἄλλων δυοῖν, ὀρθῶς ἐρεῖς τηνικαῦτα καὶ τὴν ποιότητα τοῦ καπνοῦ τῆς τῶν ἄλλων ποιότητος εἶναι πλείονα καὶ τὴν ἐνέργειαν. ὁμο-

eſt, quemadmodum in hoc medicamento quod maxime uſu fertur quodque ex iride, ariſtolochia, ervi farina et thure aequali omnium pondere compoſitum eſt, poterit quis ceteris paribus ex his unum duplicatum factum immiſcere, ut exempli gratia ariſtolochiam. Itaque verum eſt in eorum commixtione affirmare ariſtolochiam et ſubſtantia et qualitate et facultate cetera exſuperare, quod copioſior ipſa ſit. Hoc idem fane in balneo quispiam aſſeruerit, quod non ſolum contemperatum aërem ſortiatur, ſed et fumi et vaporis aliquid admiſerit. Fieri namque poteſt ex his interdum fumum, interdum vaporem, ut et naturalem balnei aërem copioſiorem eſſe. Id autem abſolute non majori ſecundum ſubſtantiae exſuperantiam mole dicimus, qua et qualitatem et ipſam quae ex ea prodit facultatem ſimul adaugeri neceſſe eſt. Supponatur ergo fumi ſubſtantiam reliquis duobus copioſiorem eſſe, tunc recte et fumi qualitatem et facultatem quam aliarum ampliorem eſſe pronunciaturus es. Conceditur autem qua-

Ed. Chart. IX. [374. 375.] Ed. Baſ. V. (336.)

λογούμενον δὲ οὐ πλείονα γίγνεσθαι ποιότητα ποιότητος, ἀλλὰ σφοδροτέραν, ὥσπερ γε καὶ ἀμυδροτέραν, οὐκ ἐλάττω, παμπόλλης οὔσης τῆς τοιαύτης χρήσεως τῶν ὀνομάτων ἐν ὅλῳ τῷ βιβλίῳ καὶ κατὰ πάσας τὰς τέχνας. καὶ τί δεῖ τῶν ἄλλων μνημονεύειν ἔχοντας ἐναργῶς τοῦ λόγου μαρτύριον ἐπ' αὐτῶν τῶν πυρετῶν, οὓς ὑσημέραι πάντες ποιὲ μὲν μείζονας ἢ ἐλάττονας ἀλλήλων γεγονέναι φασὶ, ποτὲ δὲ ἔλαττον ἢ πλέον πυρέττειν, τὸν δὲ τοῦδε καιὰ τὸν αὐτὸν χθὲς ἢ σήμερον. οὕτως οἶν ὑποκειμένου λέγεσθαι τοῦ καιὰ τὴν ποιότητα πλέονος οὐδὲν θαυμαστὸν, ἐν ᾧ βαλανείῳ πλείων ἐστὶν οὐσία καπνοῦ καὶ τὴν ποιότητα φάναι γεγονέναι πλείονα καὶ τὴν ἐνέργειαν, εἰ μὲν κυρίως ὀνομάζομεν ἰσχυράν τε καὶ σφοδροτέραν, εἰ δὲ καταχρώμενοι μείζονά τε καὶ πλείονα. δήξεται γὰρ δηλονότι τοὺς ὀφθαλμοὺς ὁ καπνὸς εἰς ὅσον [375] αὐξάνεται καὶ τὴν οὐσίαν, ὥστ' ἀεὶ ταῖς οὐσίαις συναυξανομένων τῶν οἰκείων αὐταῖς ποιοτήτων καὶ τῶν ἐνεργειῶν, ἀληθῶς ἂν εἴποι τις ἐν ᾧ τοιούτῳ βαλανείῳ πλεῖσιον εἶναι τὸν καπνόν. ὑποκείσθω δὲ πάλιν, ὡς ἐλέγομεν,

litatem qualitate majorem non effici, ſed vehementiorem, quemadmodum et imbecilliorem, non minorem. Quum is vocabulorum uſus in univerſa vita et in omnibus artibus ſit frequentiſſimus. Ecquid opus eſt aliorum mentionem facere, quum manifeſtum hujusce orationis teſtimonium in ipſis febribus habeamus, quas quotidie omnes interdum majores vel minores inter ſe factas eſſe, interdum etiam eadem ratione alium alio fieri quam hodie plus aut minus febricitare proferunt. Sic igitur ſupponatur *plus* ſecundum qualitatem dici, nihil mirum, in quo balneo plus eſt ſubſtantiae fumi, plus quoque qualitatis eſſe pronunciari, etiam facultatis, quam, ſi proprie loquamur, et validam et vehementiorem, ſi vero ab uſu, tum majorem tum copioſiorem nominabimus. Fumus enim quo plus augebitur, ipſius ſubſtantiae eo magis oculos morſu laedit. Quapropter quum ſemper una cum ſubſtantia propriae augeantur qualitates ac facultates, vere quivis affirmaverit in hujusmodi balneo fumum eſſe plurimum, ſup-

Ed. Chart. IX. [375.] Ed. Baf. V. (336. 337.)

ἁιμοῦ τε καὶ καπνοῦ κατὰ τὸ βαλανεῖον ὑπάρχειν, ἡ δ' οἰκεία τοῦ ἀέρος οὐσία, πλείστη κατὰ τὴν ἀναλογίαν οἰσά τε καὶ γιγνομένη τοῦ τοῖς ζώοις ἐμφύτου θερμοῦ λεχθήσεται γὰρ καὶ νῦν ἐν τῷ βαλανείῳ πλεῖστον εἶναι τὸ οἰκεῖον θερμόν. ἆρ οὖν ἀποδεῖ τι τούτου τὸ καὶ τοὺς ἐν τῷ ζώῳ χυμοὺς, ἐξ οἵων ἁιμιζόντων ἡ προσπίπτουσα θερμασία τοῖς ἁπτομένοις ἔξωθέν ἐστιν; ἄλλη μὲν γὰρ ἀπὸ τοῦ αἵματος ἀνάπτεται θερμότης, ἄλλη δὲ ἀπὸ τοῦ φλέγματος, ἄλλη δὲ ἀπὸ τῆς ξανθῆς ἢ μελαίνης χολῆς. ἐπὶ μὲν οὖν τῶν παιδίων ἡ οὐσία τοῦ αἵματος πλείστη κατὰ τὴν τῆς μίξεως ἀναλογίαν. τούτου γὰρ ἀναμιμνήσκειν ἀεὶ δεῖ, καθάπερ ὑπὸ ληθάργου κατεχομένους, τοὺς τὰ τοιαῦτα ληροῦντας ὁποῖα Λύκος ἔγραψεν, ἥ τε συναυξανομένη ποιότης οὖσα χρηστὴ καὶ φίλιος, οὐκ ἀνιαρὰ καὶ δακνώδης τοῖς ἁπτομένοις, ἥ τ' ἐνέργεια, καθ' ἣν αἱ πέψεις οὐ κνισώδεις γίνονται οὐδ' ὀξώδεις ὡς ἐπὶ (337) φλέγματος. κατὰ πάντας οὖν τοὺς τρόπους, ὦ γενναιότατε Λύκε, τοῖς αὐξανομένοις πλέον ἐστὶ τὸ ἔμφυτον θερμὸν, ὥσθ' οὐδὲν Ἱπποκράτης ἥμαρτεν,

ponamus in balneo, ut dicebamus, aequas et vaporis et fumi partes esse, plurimum autem propriae aëris substantiae, quae proportione respondeat ac generetur. Etenim dicetur etiam nunc in balneo proprium calidum esse plurimum. Utrum igitur ab hoc aliquatenus alienum est, quod in animalis humoribus perpenditur, ex quibus vaporantibus calor exterius tangentibus occurrit? Etenim alius quidem a sanguine calor exsuscitatur, alius vero ex pituita, alius ex bile tum flava tum atra. Ergo pueris substantia sanguinis inest plurima pro mixtionis analogia. Hoc enim eos meminisse semper oportet, qui tanquam lethargo detenti talia vagantur, qualia Lycus scriptis tradidit. Et quae simul increscit qualitas optima et amica est nec tam gentibus molesta nec mordax. Facultas quoque qua coctiones neque indorulentae, neque etiam ut ex pituita acidae efficiuntur. Quamobrem modis universis, Lyce generosissime, plus est crescentibus calidum innatum, proindeque nequaquam aberraverit Hippocrates, sed tu

Ed. Chart. IX. [375.] Ed. Baſ. V. (337.)

ἀλλὰ σὺ μᾶλλον ἐξηλέγχθης ἐπηρεάζων. ἐνδείξω γὰρ ἐξ ὧν ἔγραψας οὐδ' ὅλως εἰσηγμένος ὑπὸ διδασκάλων τῶν Ἱπποκρατείων ἐπαΐειν τι δογμάτων ἐγκαλῶν τε προφανῶς οἷς οὐδ' ὅλως οἶσθα, τήν τ' ἀντιλογίαν ἀμαθεστάτην ποιούμενος ἐφωράθης, τὴν δι' αὐτῆς ἀνατρέπειν ἐγχειρῶν ἁπάσης τέχνης σύστασιν, ἀγνοῶν δὲ ἃ περὶ τούτων ἔγραψε Πλάτων πολλάκις ἐναντία λέγεις σαυτῷ, λυμαινόμενος τοῖς νέοις, ὅσοι καθάπερ σὺ λογικῆς θεωρίας ἀγυμνάστως ἔχοντες ἀγνοοῦσι διακρίνειν ἀληθεῖς λόγους ψευδῶν. ἐφ' ἅπασι δὲ τούτοις τολμηρότατός τε ἅμα καὶ φλύαρος ὤφθης, ἐπιχειρήσας γράφειν ἐξηγήσεις τῶν ὑφ' Ἱπποκράτους εἰρημένων ἄνευ τοῦ μεμαθηκέναι πρότερον αὐτά.

potius calumniari deprehenderis. Nam quae ſcripſiſti, ex his planum fecimus te a nullis omnino Hippocraticis praeceptoribus introductum fuiſſe, ut aliquod Hippocratis decretum percipere potueris et quae prorſus ignoras, ea etiam manifeſto arguere et controverſiam moliri imperitiae pleniſſimam declaratus es, qua univerſae artis ſtatum evertere ſis aggreſſus, neque noveris, quae de his ſaepius Plato literis mandavit, tibique ipſi pugnantia profers in juvenum detrimentum quicunque peraeque ac tu in logica ſpeculatione exercitati non fuerint, veras a falſis rationes diſtinguere neſciunt. His autem in omnibus tum audaciſſimus tum ſimul nugaciſſimus viſus es, qui decretorum Hippocratis explanationes ſcribere aggreſſus es, priusquam ipſe didiceris.

ΓΑΛΗΝΟΥ ΠΡΟΣ ΤΑ ΑΝΤΕΙΡΗΜΕΝΑ ΤΟΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ΑΦΟΡΙΣΜΟΙΣ ΥΠΟ ΙΟΥΛΙΑΝΟΥ ΒΙΒΛΙΟΝ.

Ed. Chart. IX. [376.] Ed. Baf. V. (337.)

α'.

[376] Ἄμεινον μὲν ἦν, ὥσπερ οἱ νομοθέται τοὺς ψευδῶς ἐγκαλέσαντας ὁμοίως τιμωροῦνται τοῖς ἐγκληθεῖσιν, εἴπερ ἤλωσαν, οὕτω καὶ τοὺς ἀντιλέγοντας ψευδῶς ὧν οὐκ ἔμαθον ὑπέχειν ἀξίαν ὧν πλημμελοῦσι τιμωρίαν ἐπεὶ δ' οὐκ οἶδ' ὅπως ὕβρεως μὲν ἐφεῖται δικάζεσθαι, νόμος δ' οὐδεὶς κεῖται περὶ τῶν ψευδῶς ἐγκαλούντων, εἰκότως οἶμαι

GALENI ADVERSUS EA QUAE JULIANO IN HIPPOCRATIS APHORISMOS ENUNCIATA SUNT LIBELLUS.

I.

Praeſtantius quidem foret, quemadmodum legislatores eos qui falſo reos accuſaverint, iisdem poenis quibus accuſatos, ſi poenas luerint, afficiunt, ſic etiam qui falſo contra dicunt quae nequaquam didicerint eos meritas pro ineptis quos commiſerunt erroribus poenas ſubire. Quoniam vero non novi quo pacto liceat de illata quidem

Ed. Chart. IX. [376. 377.] Ed. Baf. V. (337.)

κατὰ τῶν ἀρίστων ἀνδρῶν οἱ σκαιότατοι λέγειν τολμῶσιν. ἐχρῆν γὰρ ὥσπερ ἐν Αἰγύπτῳ πάλαι τῶν κατὰ τὰς τέχνας εὑρισκομένων ἕκαστον ὑπὸ κοινοῦ συνεδρίου τῶν πεπαιδευμένων κριθὲν ἐνεγράφετο στήλαισί τισιν ἀποκειμέναις ἐν ἱεροῖς χωρίοις, οὕτω καὶ παρ' ἡμῖν εἶναί τι συνέδριον ἀνδρῶν δικαίων τε ἅμα καὶ πεπαιδευμένων, οἳ δοκιμάζοντες τὰ νέα συγγράμματα θήσουσι μὲν ἐν δημοσίοις χωρίοις τὰ χρηστά, διαφθεροῦσι δ' ὅσα μοχθηρά, βέλτιον δ' ἦν, εἰ μηδὲ τοὔνομα τοῦ γράψαντος ἐφύλαττον, ὥσπερ οὐδ' ἐν Αἰγύπτῳ τὸ ἀρχαῖον. ἐκωλύθη γὰρ ἂν οὐχ ἥκιστα κἀκ τοῦδε τῶν φιλοτίμων ἡ περὶ δόξαν ἄμετρος σπουδή. [377] νῦν δ' ἐπειδὴ καὶ γράφειν ἔξεστιν ἅπασι καὶ κρίνειν τοῖς ἐπιτυχοῦσιν, εὐδοκιμοῦσι παρὰ τοῖς πολλοῖς οἱ τολμηρότατοι, καθάπερ ὁ Θεσσαλὸς ὢν ἔγραψε λοιδορηθεὶς Ἱπποκράτει. καίτοι βιβλίον ἓν συνθεὶς, ἐν ᾧ καθάπερ οἴεται, τοὺς ἀφορισμοὺς ἐξελέγχει δεικνὺς ἐναργῶς ἡμῖν ἑαυτὸν οὐδὲ

injuria in jus vocare, lex autem de falso contradicentibus minime lata sit, jure mea quidem sententia imperitissimi quique audent in optimos viros invehi. Oportebat enim, quemadmodum olim in Aegypto singula artium inventa a publico peritorum virorum consessu judicata columnis quibusdam in sacris locis repositis inscribebantur, sic apud nos aliquod constitui concilium justorum simulque eruditorum virorum, qui nova opera explorarent, in publicis locis utilia ac proba exponerent et prava quaeque perderent. Praestaret autem, si ne auctoris quidem nomen referrent, quemadmodum et in Aegypto observabat antiquitas. Hac enim lege ambitioforum immoderatum gloriae studium non minime reprimeretur. Nunc autem quum omnibus scribere liceat etiam idiotis judicare, qui apud vulgus audaciissimi celebrantur, quemadmodum Thessalus, qui suis scriptis Hippocratem calumniatus est, etiam si librum unum composuerit, in quo, ut auguratur, aphorismos redarguit, perspicue nobis se ipsum prodit ne mini-

Ed. Chart. IX. [377.] Ed. Baſ. V. (337.)

τοὐλάχιστον ἐπιστάμενον τῆς Ἱπποκράτους τέχνης. καίτοι δίκαιόν γε ἦν ἐκμαθόντα πρότερον αὐτὴν οὕτως ἐπιχειρεῖν ἀντιλέγειν, ἢ τοῦτο μὲν ἴσως οὐκ ὀρθῶς εἶπον. οὐ γὰρ ἂν ἐτόλμησε τοῖς ἀληθέσιν ἀντειπεῖν, εἴπερ ἔμαθεν αὐτὴν πλὴν εἰ παντάπασιν ἀναίσχυντός τις ἦν. οἷος καὶ ὁ νῦν ἐπὶ τῆς Ἀλεξανδρείας γέγονεν Ἰουλιανὸς, οὗ βίβλους εἶναί φασιν ὀκτὼ καὶ τεσσαράκοντα πρὸς τοὺς Ἱπποκράτους ἀφορισμοὺς, ἐξ ὧν ἔναγχος ἔλαβε τὴν δευτέραν, ἐν ᾗ τὸν ἀφορισμὸν, ὡς οἴεται, ψευδῆ εἶναι τοῦτον· ἐν τῇσι ταραχῇσι τῆς κοιλίης καὶ τοῖσιν ἐμέτοισι τοῖσιν αὐτομάτως γιγνομένοισιν, ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν, ἢν δὲ μὴ, τοὐναντίον. οὕτω δὴ καὶ κενιαγγείη, ἢν μὲν οἷα δεῖ γίγνεσθαι γίγνηται, συμφέρει τε καὶ εὐφόρως φέρουσι, ἢν δὲ μὴ, τοὐναντίον. χάρις γε τύχῃ τοῦτο ἡμῖν πρῶτον ἐγχειρισαμένῃ τὸ βιβλίον, ὅπως μὴ μάτην ὁ χρόνος τρίβοιτο μακρὸν ἀναγινωσκόντων ὧν ἔγραψε πρὸς τὸν πρῶτον ἀφορισμὸν, ὧν ἑξῆς ἁπάντων ἐστὶ προοίμιον. ἴσως γὰρ ἂν ἠναγκάσθην τι καὶ πρὸς ἐκεῖνα γράψας

mum quidem artis Hippocraticae percepiſſe. Atqui ſane aequum erat, prius ipſam edoctum ita controverſias moliri. An id fortaſſis a me non recte enunciatum eſt? Si namque ipſam didiciſſet, veris adverſari nunquam auſus eſſet, niſi quidam prorſus impudens exſtitiſſet, qualis et nunc in Alexandria Julianus repertus eſt, cujus octo et quadraginta libros adverſus Hippocratis aphoriſmos exſtare fama eſt, ex quibus ſecundum nuper aſſumpſi, ubi cenſet hunc aphoriſmum falſum eſſe: *in alvi perturbationibus et quae ſponte oboriuntur vomitionibus, ſi qualia purgari oporteat purgentur, confert et facile ferunt; ſin minus, contra. Sic et voſorum vacuatio, ſi qualem fieri oportet fiat et confert et facile ferunt; ſin minus, contra.* Profecto fortunae gratia habenda eſt quae nobis hunc librum primo prae manibus obtulit, ne fruſtra tempus longius conteratur in his legendis quae in primum aphoriſmum ſcripſit, qui deinceps ceterorum prooemium eſt. Nam contra illa ſcribere coactus nihil inde fortaſſis magni fe-

Ed. Chart. IX. [377.] Ed. Baſ. V. (337.)

οὐδὲν μέγα δοκεῖν πεποιηκέναι, διὰ τὸ μηδέπω θεωρίας ἰατρικῆς ἅπτεσθαι τὸν λόγον. ἀλλ' ὅ γε προειρημένος ἀφορισμὸς οὐ περὶ μικρῶν τῆς τέχνης διαλέγεται, συμβουλεύων τὸν ἰατρὸν τῶν αὐτομάτων γιγνομένων κενώσεων, διά τε τῆς ἄνω καὶ κάτω γαστρὸς μιμεῖσθαι τὰς ὠφελούσας, καὶ διδάσκει γε τίνες εἰσὶν αὗται καὶ πῶς αὐτὰς γνωριοῦμεν, ὥσπερ γε καὶ τίνες αἱ βλάπτουσαι σὺν τοῖς οἰκείοις γνωρίσμασιν. εἰ μὲν οὖν ἐμεμαθήκει τὴν τέχνην Ἰουλιανὸς ὑπὸ διδασκάλων Ἱπποκρατείων, οὐκ ἂν ἐτόλμησε τοῖς ἀληθέσιν ἀντιλέγειν. ἐπεὶ δὲ οὔτ' αὐτὸς οὔθ' ὁ τῆς τοιαύτης ἐμπληξίας ἡγεμὼν αὐτοῦ Θεσσαλὸς ἐγνώκασι τὴν τῶν Ἀσκληπιαδῶν τέχνην, θαυμαστόν γ' οὐδὲν ἀγνοεῖν αὐτοὺς ἃ μηδ' οἱ χωρὶς λόγου φάσκοντες ἰατρεύειν ἠγνόησαν. ἀκοῦσαι γοῦν ἐστιν ἐκείνων λεγόντων αὐξηθῆναι μάλιστα τὴν τέχνην ἐκ τῆς μιμητικῆς πείρας. ὅσα γὰρ ἐκ περιπτώσεως γενόμενα τοὺς κάμνοντας ὠφέλησε, ταῦθ' ἡμεῖς, φασὶ, μιμούμενοι πολλάκις συνεστησάμεθα καὶ διαιρούμενοι ταῦτα φυσικὰ μὲν ὀνομάζουσιν ὧν ἐκ τοῦ σώματος ἡ αἰτία. κατὰ

ciſſe viderer, quod nondum medicam contemplationem attingat oratio. Verum aphoriſmus propoſitus non de minimis artis praeceptis differit, qui medico conſulit, quum vacuationes ſpontaneae tum per ſuperiorem tum inferiorem ventrem fiant, eas quae juvant imitari et quae illae et quomodo ipſa, ut et quae laedunt, propriis indiciis a nobis dignoſcenda ſint edocet. Quodſi Trallianus artem ab Hippocraticis praeceptoribus didiciſſet, veritati reluctari non auſus fuiſſet. At quum neque ipſe, neque hujusmodi temeritatis ipſius princeps Theſſalus Aſclepiadarum artem noverint, mirum non eſt ipſos ignorare quae hi non intellexerunt, qui citra rationem ſe mederi profitentur. Licet enim illos audire, quum dicunt artem ex imitatrice experientia maxime incrementum ſumpſiſſe. Nam quaecunque fortuita occaſione oborta aegris praefuerint, haec nos, inquiunt, imitantes ſaepenumero artem conſtituimus, eaque partiti naturalia appellant, quorum ab ipſo corpore cauſa prodit; quorum vero exterius, haec a ſor-

Ed. Chart. IX. [377. 378.] Ed. Baſ. V. (337.)

τύχην δὲ γίγνεσθαί φασιν ὧν ἔξωθεν, ὥσιε μὴ μόνης φύσεως, ἀλλὰ καὶ τύχης εἶναι μιμητικὸν τὸν ἰατρόν. εἴρηται γοῦν ὑπ' ἐκείνων τῶν ἀνδρῶν ἄλλα τε πολλὰ τῶν κατὰ τύχην ὠφελησάντων παραδείγματα καὶ ὁ τὴν ἐν μετώπῳ φλέβα διακοπεὶς ἐκ τοῦ καταπεσεῖν. ἐπεὶ γὰρ ὁμοίως διακειμένου τὴν αὐτὴν φλέβα τεμεῖν ἐτόλμησαν, φασὶν, ἐλπίδι τῆς αὐτῆς ὠφελείας. ἀλλὰ καὶ γαστὴρ ἀξιολόγως ὑπελθοῦσα φλεγμαινόντων ὀφθαλμῶν, εἶτ' ὀνήσασα μεγάλως ἐπὶ τὴν τοῦ γενομένου μίμησιν ἡμᾶς προύτρέψατο. ὡσαύτως δὲ καὶ τοὺς ἐκτεριῶντας ἀθρόα χολωδῶν διαχωρημάτων [ἔμετος] ὤφθη πολλάκις ὠφελοῦσα καὶ τοὺς ὑδεριῶντας ὑδατωδῶν καὶ τοὺς τὸν καλούμενον ἐλέφαντα νο- [378] σοῦντας ἡ τῶν μελανῶν χυμῶν κένωσις, καὶ ἐκ τούτων πρόδηλόν ἐστιν ὅτι καὶ τοῖς ἰατροῖς προσήκει μιμεῖσθαι. καὶ τί δεῖ λέγειν αὐτομάτους κενώσεις, ὅπου καὶ τὰ τῶν διδασκάλων ἔργα μιμούμενοι μανθάνομεν τὴν τέχνην; ἢ Θεσσαλὸν μὲν, ἐὰν διὰ κλύσματος οὔτινος ὑπαγωγοῦ τὴν γαστέρα θεραπεύσῃ τὸν κάμνοντα, μιμητέον ἐστὶ τοὺς τούτου μαθητὰς, ἐὰν δ'

tuna manare proferunt, proindeque non ſolius naturae, ſed et fortunae imitatorem medicum eſſe. Alia ſane multa ab illis viris proferuntur eorum exempla quae fortuna profuere; ut illius cui quod decidiſſet vena frontis ſecta eſt; poſtea vero ſimiliter eandem laborantis venam, inquiunt, ſecare auſi ſunt, ejusdem auvilii ſpe dueti. Sed et alvus copioſe fluens inflammatis oculis ut magnopere contulit, ſic nos ad iſtius operationis imitationem impulit. Eodem quoque modo repentinus et copioſus bilioſorum excrementorum vomitus ictero laborantibus opem attuliſſe viſus eſt, ſic hydropicis aquoſorum, ſic elephante morbo nominato affectis atrorum humorum vacuatio proſuit. Atque inde perſpicuum eſt, quod imitari medicos deceat. At cur ſpontaneae vacuationes referendae ſunt, quum et praeceptorum effectus imitantes artem addiſcimus? An ſi clyſtere quovis alvum ſubducente aegrum curaverit Theſſalus, a propriis diſcipulis ipſe imitandus eſt, ſi vero haec ſponte ſubducta ſit, non imitandus? An vero ſi ſuppreſ-

Ed. Chart. IX. [378.] Ed. Baſ. V. (337. 338.)

αὐτομάτως ὑπελθοῦσα τύχῃ, φευκτέον; ἢ τῆς ἐμμήνου καθάρσεως ἐχομένης, ἐὰν αἵματος μέγεθος γένηται τῇ γυναικὶ, κἄπειτα Θεσσαλὸς ἤτοι κινήσας τὴν κάθαρσιν ἢ φλέβα τεμὼν ἰάσηται τὸ πάθος, οὐκ ἂν ἁμάρτοιεν οἱ μαθηταὶ μιμούμενοι τὸν διδάσκαλον, ἐὰν δ' αὐτομάτως ῥαγέντων τῶν καταμηνίων ἡ κάμνουσα ῥαστωνήσῃ, τοῦτο οὐκέτ' αὐτοὺς μιμητέον; καὶ μὴν οὐδὲν διαφέρει πρὸς τὴν ἑκατέραν μίμησιν ἄν θ' ὑπὸ τῆς μαίας ἄν θ' ὑπὸ τοῦ Θεσσαλοῦ κινηθέντων τῶν καταμηνίων ἄν τε καὶ χωρὶς τούτων αὐτομάτως ἐκκριθέντων ἡ κάμνουσα ῥαστωνήσῃ. διὰ γάρ τοι τὴν κένωσιν, οὐ διὰ τὸ ποιῆσαι αὐτὴν ἡ ὠφέλεια γίγνεται, καὶ τοῦτο διδάσκων ὁ Ἱπποκράτης ἔγραψε τὸν ἀφορισμὸν ἐκεῖνον· γυναικὶ αἷμα ἐμεούσῃ τῶν καταμηνίων ῥαγέντων λύσις. ὅπως ἂν ῥαγῇ, φησὶ, τὰ καταμή- (338) νια λύσις ἔσται τοῦ παθήματος. εἴτε φυσικῶς εἴτε καὶ ἡμῶν τοῦτο ἐργασαμένων. οὐ γὰρ τὸ ποιῆσαν αἴτιον, ἀλλὰ τὸ γινόμενον ὠφελεῖ τὴν νοσοῦσαν. ἓν μόνον ὑπαρχέτω τοῖς καταμηνίοις τὸ ἀῦρόως ἐκκριθῆναι, ὅπως ὁ Ἱπποκράτης ὠνό-

ſis mulieri menſibus ſanguinis vomitus ſuboriatur ac deinde concitata purgatione aut ſecta vena morbum ſanaverit Theſſalus, non aberrent diſcipuli praeceptorem imitati? Si cutem ſponte menſtruis erumpentibus aegra levetur, num hoc ipſis imitandum eſt? Atqui ad utramque imitationem nihil intereſt ſive ab obſtetrice, ſive a Theſſalo menſtruis provocatis, etiam ſine his ſponte excretis aegra liberetur. Nam propter vacuationem praeſidium, non hoc ob ipſam efficientem oboritur, atque hoc docens Hippocrates aphoriſmum illum ſcripſit: *mulieri ſanguinem vomenti, menſtruis erumpentibus ſolutio contingit.* Quomodocunque eruperint menſtrua, morbi ſolutionem fore pronunciat, ſive natura, ſive nobis id efficientibus. Non enim cauſa efficiens, ſed quod efficitur, aegrotanti auxiliatur. Unum duntaxat detur menſtruis confertim excerni, quod verbum erumpentibus Hippocrates notavit. Ipſi nam-

Ed. Chart. IX. [378.] Ed. Baf. V. (338.)

μασε, ῥαγένιων, ἔθος ὂν αὐτῷ τὰς ἀθρόας κενώσεις οὕτω προσαγορεύειν, ὡς εἰ καὶ κατὰ τήνδε τὴν λέξιν εἰρῆσθαι, γυναικὶ αἷμα ἐμεούσῃ τῶν καταμηνίων ἀθρόως ἐκκριθέντων λύσις. ἐπιλείποι δ' ἄν με ἡ ἡμέρα διερχόμενον ὅσα μεμοῦνται τῶν αὐτομάτως γιγνομένων οἱ ἄνθρωποι, οὐ μὴν οὐδ' ἀμφισβητεῖ τις ἕτερος, ἀλλ' ὡς κοινὴν ἔννοιαν δέχονται, πλὴν τῶν μιαρῶν σοφιστῶν, ὅσοι περὶ μὲν τὰ τῆς τέχνης ἔργα καὶ τῶν ἰδιωτῶν εἰσι χείρους, ἱκανοὶ δ' ἀπαναισχυντῆσαι καὶ μακρὰς φλυαρίας συνθεῖναι κατὰ τῶν ἀρίστων ἰατρῶν, οἷος καὶ νῦν γέγονεν Ἰουλιανὸς οὗτος, ὃν οἱ πάντες μὲν ἴσασι μηδεπώποτε τῶν τῆς τέχνης ἔργων μεταχειρισάμενον, ἀναισχύντως δ' ὑβρίζοντα τοὺς παλαιοὺς ἰατρούς.

β'.

Ἄγ' οὖν ἐτόλμησε γράψαι πρὸς τὸν ἀρτίως εἰρημένον ἀφορισμὸν οὐδ' εἰπεῖν οἷόν τε πηλίκην ἤτοι γε ἀμαθίαν ἢ ἀναισχυντίαν ἢ τόλμην ἐνδείκνυται, μᾶλλον δ' εἰ χρὴ

que mos eſt copioſas vacuationes ſic appellare, ac ſi hiſce verbis loquutus fuerit: *mulieri ſanguinem vomenti menſtruis confertim erumpentibus ſolutio.* Me dies deficiat, ſi quaecunque ſponte facta imitantur homines recenſere velim nec ſane alius quispiam hac de re dubitat; imo hoc omnes tanquam communem notionem recipiunt, improbis ſophiſtis exceptis, qui in artis operibus etiam idiotis ſunt deteriores. Poſſunt autem impudenter attentare et prolixas in optimos medicos nugas adſtruere, qualis nunc Julianus iſte factus eſt, quem omnes norunt nunquam in artis operibus verſatum eſſe, pudore tamen vacuum veteres medicos injuriis oblaedere.

II.

Quae igitur adverſus paulo ante commemoratum aphoriſmum auſus eſt mandare literis ea quam ignorantiam aut impudentiam aut audaciam divulgent, imo ſi verita-

Ed. Chart. IX. [378. 379.] Ed. Baf. V. (338.)

ταλη̃θὲς εἰπεῖν καὶ ταῦτα πάντα καὶ τούτων ἔτι πλείω. τάχα μὲν οὖν ἄμεινον ἦν μηδ' ἀντιλογίας ἀξιοῦν αὐτὰ τῆς διὰ γραμμάτων, μηδ' ἀπολλύναι τινὰ καὶ πρὸς τοῦτο χρόνον. δεηθέντων δέ μου λιπαρῶς πάνυ πολλῶν φίλων, ὅσα προκομισθέντος μοι τοῦ βιβλίου, καθ' ὃ τὸν προειρημένον ἀφορισμὸν ἐξελέγχειν Ἰουλιανὸς ἐπεχείρει, διῆλθον ἐν ὑπομνήμασιν αὐτὰ παρασχεῖν, ὑπέμεινα καὶ τοῦτον οὐ σμικρὸν ἆθλον, ἀλλ' εἰ [379] χρὴ ταλη̃θὲς εἰπεῖν, πολὺ μείζω τῶν κατὰ τοὺς αὐτοσχεδίους, οὓς ἡμερῶν ἓξ ἢ πλεόνων ἐποιησάμην, ἐπιδεικνὺς τὸ πλῆθος τῶν λήρων τῶν Ἰουλιανοῦ λόγων, ὧν ἐνέγραψε τῷ βιβλίῳ. κυριώτατον γὰρ ἄν τις εἴποι τοῦτο δὴ τὸ σύνηθες λεγόμενον, ὡς οὐδέν ἐστιν ἀπεραντολογώτερον τἀνθρώπου. Θερσίτης δέ τις μοῦνος ἀμετροεπὴς ἐλάλει, τούτῳ μᾶλλον ἂν ἢ Θερσίτῃ πρέπει, πάντας ὑπερβάλλοιτα τοὺς πώποτε γεγονότας ἐν ἀμετροεπίαις. καὶ τοίνυν οἱ παραγενόμενοι τοῖς λόγοις ἀναγινωσκόμενοι αὐ-

tem enunciare oporteat, et haec omnia et his etiamnum plura verbis aperire non poſſumus. At praeſtitiſſet fortaſſis illa neque oppoſita oratione digna ſcriptis cenſere, neque etiam in his tempus conterere. Verum quum amicorum meorum plerique me adſiduo obnixe rogaſſent, ut quae oblato mihi libro, quo praedictum aphoriſmum arguere Julianus conatur, diſſeruerim, ea commentariis proderem, atque hoc non exiguum munus pertuli, imo longe majus, ſi verum fatendum ſit, extemporalibus commentariis, quos per ſex aut plures dies compoſui, quibus nugarum in Juliani ſermonibus ſuo in libro ſcriptis eſſe multitudinem demonſtravi. Quod enim vulgo dici conſuetum eſt, id ſane quisque ipſi accommodatiſſimum pronunciaverit, hoc homine loquacius eſſe nihil. At Therſites quidam ſolus locutulejus dicebatur, huic tamen magis quam Therſitae hoc dicterium congruit, qui quotquot fuerint garruli, omnes garrulitate ſuperat. Quapropter qui his ſermonibus aderant quum ipſi legebantur, haec

Ed. Chart. IX. [379.] Ed. Baſ. V. (338.)

τοὺς, δύο ταύτας ἔθεντο προσηγορίας τἀνθρώπῳ, τὴν ἀμετροεπίαν καὶ τὴν ἀπραντολογίαν, ὥστ' οὐκ ἐμοῦ σωφρονίζοντος, ἀλλ' Ὀδυσσέως τινὸς ἐδεῖτο τοῦ τῷ σκήπτρῳ καθεζομένου. σωφρονίσαι γὰρ τὸν οὕτως ἐμπληκτον οὐδ' αὐτὸς ὁ τῶν Μουσῶν δύναται χορός. ἐπεὶ τοίνυν ἄκων ἠναγκάσθην γράφειν, ταῦτα δ' εἰσί μοι προοιμίου τινὸς, ὅπως μὴ καταγνωσθῇ ὑπὸ τῶν ἀναγνωσομένων αὐτά. μέλλων γὰρ ἐλέγχειν ἄνθρωπον ἔμπληκτον, ἀμαθῆ, δυξύσοφον, ἐν ἀπαιδεύτοις μειρακίοις ἅπαντι τῷ βίῳ φλυαρήσαντα, παρ' οἷς ἐξ ὧν ἐβλασφήμει τοὺς παλαιοὺς ἐπίστευσέ τις εἶναι. δέομαι οὖν συγχωρῆσαί μοι κολάσαι τὴν ἀπαιδευσίαν αὐτοῦ λόγοις τραχυτέροις, ὧν οὐκ εἴθισμαι χρῆσθαι. δεινὸν γὰρ εἰ τοῦτον ἐξέσται λοιδορεῖσθαι τῶν παλαιῶν τοῖς ἀρίστοις, ἡμῖν δ' οὐκ ἐξέσται δι' ἀποδείξεων ἐναργῶν ἐξελέγχειν αὐτοῦ τὴν ἀπαιδευσίαν. εἰς τοσοῦτον γὰρ ἦκει μεγέθους ὡς οὐδ' ὅθεν ἄρξηταί τις εὑρεῖν εὐπετές.

---

duo homini impoſuerunt vocabula tum garrulitatem tum loquacitatem. Quare non me ſapientiam edocente, ſed Ulyſſe quodam ſceptro adſidente opus habet. Hominem enim ita ſtupidum ſapientem reddere ipſe muſarum chorus nequaquam poteſt. Quum igitur conſultus ſcribere coactus ſim, haec mihi ſunt inſtar praefationis, ne quae jam a me enarrata ſunt, ab ipſa lecturis arguantur. Quum enim hominem ſtupidum, indoctum et ſui opinione ſapientem nugas inter ineruditos adoleſcentes tota vita balbutientem, apud quos ob eas injurias quibus veteres inceſſit, ſe aliquem eſſe credidit, reprehenſurus ſum. Propterea rogo mihi concedi, ut ipſius imperitiam aſperioribus verbis erudiam, quibus uti non conſuevi. Iniquum ſiquidem foret, ſi huic concederetur, veterum praeſtantiſſimos conviciis infectari, nobis autem prohiberetur ejus ignorantiam manifeſtis demonſtrationibus convincere. In tantam enim ea venit magnitudinem, ut unde quis exordiatur haud facile ſit invenire.

Ed. Chart. IX. [379.] Ed. Baſ. V. (338.)

γ'.

*Κατὰ μὲν τὴν ἀρχὴν τοῦ βιβλίου τὰ πλείω πρὸς Σαβῖνον ἀποτείνεται καταλιπὼν τὸν Ἱπποκράτην, καὶ τοῦτο μέν, ὡς ἔοικεν, ἐν ἁπάσῃ ποιεῖ τῇ πραγματείᾳ. καίτοι πρὸς τοὺς Ἱπποκράτους ἀφορισμοὺς ἐπιγράφει αὐτὴν, οὐ πρὸς τὰς Σαβίνου ἐξηγήσεις, εἶτα φλυαρεῖ πολλὰ, καθάπερ ἔθος αὐτῷ, λῆρόν τινα ῥημάτων ἀσαφῶν συντιθεὶς, ὧν εἰ μὲν ἐλέγχειν τις ἐπιχειροῖ, φθάσει πληρώσας βιβλίον μέγιστον, πρὶν ἅψασθαι δόξῃ, συγχωρῶν οὐ λελέχθαι πάντα. γράφοντα μὲν οὖν δυσδιάθετον καὶ τοῦτο, μᾶλλον δ' ἄπορον ἐσχάτως. ἐν μέντοι τοῖς αὐτοσχεδίοις λόγοις, οὓς πολλάκις ἐποιησάμεθα, παρόντων ἀνδρῶν πεπαιδευμένων ἐπιδέδεικταί τις ἡμῖν εὐπορία, καθ' ὁμοιότητα τῶν εἰς τοὺς παλαιοὺς ἐξηγήσεων εὑρεθεῖσα· καθάπερ γὰρ ἐκείνων τὸ προβληθὲν βιβλίον ἐν ταῖς δημοσίοις ἐπιδείξεσιν ἐξηγούμεθα. * * * * εἰ δὲ ὁ μεθοδικὸς φαίη λεληθότως φυσικευόμενος, ὅτι μὴ ἀλαζὼν μηδὲ μεγαληγόρος, μηδ' εἰς μέσον φέρω τὴν ἄνωθεν ῥίζαν τοῦ κεκρυμμένου δόγματος, δύο εἶναι τὰ*

III.

In libri quidem exordio pluribus verbis Hippocratem praetervectus in Sabinum invehitur, idque hoc in univerſo opere agere videtur, etiamſi illud in Hippocratis aphoriſmos non in Sabini explanationes inſcribat. Deinde quemadmodum ipſi mos eſt multa nugatur quibusdam obſcurorum verborum nugis compoſitis, quas ſi quis arguere conetur, maximum prius librum impleverit quam rem attigiſſe videatur et omnia expoſita fuiſſe concedat. Unde nec facile ſit ſcribenti haec tractare, imo ſumme perarduum. Attamen in extemporalibus ſermonibus, quos apud eruditos viros ſaepenumero fecimus, quaedam facilis facultas a nobis declarata eſt per explanationem in veteres ſimilitudinem inventa. Nam ut propoſitos illorum libros in publicis diſputationibus explicavimus. * * * * *Quod ſi methodicus naturae explorator neque jactabundus neque magniloquus dicat ſe non ſuperiorem abditi decreti radicem in medium proferre, duos nimirum eſſe corporis*

Ed. Chart. IX. [379. 380.] Ed. Baſ. V. (338.)

σώματος πάθη. τῷ γὰρ κατὰ φύσιν συνεστῶτι δύο ἂν ἐφεδρεύσειαν τροπαὶ καὶ μεταβολαὶ ἀλλήλαις ἐναντίαι, ἢ συναγομένου πλείω ἢ χεομένου βίᾳ, διανοητὰ ἂν δοκοίη λέγειν, οὐ μὲν διαφυσικευομένοις τοῖς φιλοσόφοις καὶ περὶ τῆς τῶν ὅλων ὕλης διειλεγμένοις, ἀλλ' ἰατροῖς φυσικοῖς. αὕτη μέν σοι μία ῥῆσίς ἐστι τῶν θαυμασιῶν Ἰουλιανοῦ λόγων, οἷς [380] ἀποχωρῶν ὧν ὁ Ἀσκληπιάδης καὶ Θεμίσων καὶ Θεσσαλὸς ἔθεντο στοιχεῖα, ἐπὶ τοὺς προειρημένους ἥκει φιλοσόφους ἀναιροῦντας ἐκ τοῦδε τοῦ κόσμου παντάπασι τὸ κενόν. ἑτέρα δ' ἐφεξῆς αὐτῆς ἥδε· ἀλλ' ἐπιχωρήσειν καὶ μήτ' ἐκείνης κατάσχοιμ' αὐτὸ λοιπὸν τῆς γλώττης, ὡς μὴ εἴποιμι. τί γὰρ ἂν ἐμοὶ τόδε; ἢ ὅτι ταῖσδε ταῖς τροπαῖς, ὥσπερ ἠκολούθησεν ἡ τῶν στοιχείων γένεσις, οὕτω καὶ θερμοῦ φύσις καὶ ψυχροῦ καὶ ὑγροῦ καὶ ξηροῦ. ἐκείνων γὰρ πρώτων τῶν γόνων ἔγγονα ποιήματα ἂν εἴη. ὅρα πῶς ἐν ὑψηλοτάτοις θρόνοις καὶ μετεωροτάτοις καθημένη ἡ μέθοδος ἐλάνθανεν, ἣν ὑπὸ ἐπιεικείας καὶ μετριότητος βουλόμενος λαν-

affectus. Nam ſecundum naturam conſtituto duae ſibi invicem contrariae converſiones mutationesque inſidiantur aut quum plenius coactum adſtrictumve aut vehementer fuſum fluidumve eſt, quae ſub intellectum cadunt proferre apparuerit, non ſane philoſophis qui res naturales ſcrutantur ac de univerſorum materia differunt, ſed phyſicis medicis. Haec quidem tibi una eſt admirabilium Juliani textuum ſeries, quibus ab iis quae Aſclepiades et Themiſon et Theſſalus elementa ſtatuere diſcedens ad commemoratos ſe confert philoſophos, qui prorſus e mundo vacuum auferunt. Eam vero ſeriem ſubſequitur hujusmodi altera: *verum loqui concedetur, neque enim ab illa lingua reſiduum continebo, quum dicam. Quid enim id mihi? An quod iſtiusmodi converſiones quemadmodum elementorum generatio, ſic et calidi natura, frigidi, humidi et ſicci ſequuta eſt. Ab his enim primis ſeminibus haec opera exoriuntur. Vide quomodo in altiſſimis thronis ac valde ſublimibus ſedens latuit methodus, quam ego volens prae modeſtia et mode-*

Ed. Chart. IX. [380.] Ed. Baſ. V. (338.)

θάνειν ἐν οὐρανῷ ἔδειξα καὶ ἐξεκάλυψα μόνος καὶ πρῶτος ἐπισκοτοῦν νέφος παραγαγὼν καὶ ἐλευθερώσας. ταῦτ' οὖν ὁ Ἰουλιανὸς λέγει καὶ τούτων ἑξῆς. ἄλλο τι μὴ νῦν ξυμφεροίμην Ἐπικούρῳ οὐχ ἑλόμενος αὐτοῦ τὰ στοιχεῖα, οὐχ ἑνώσαντι τὴν οὐσίαν. ἐν μὲν δὴ τῷ περὶ τῆς μεθόδου ταῦτά τε καὶ ἄλλα πολλὰ γέγραπται, τὸ βιβλίον ὅλον Ἰουλιανοῦ ἐπιγράφοντος Φίλωνα. δι' ἄλλου δ' αὖθις, ἐν ᾧ περὶ τῶν ψυχικῶν καὶ σωματικῶν παθῶν ὁ λόγος ἐστὶν αὐτῷ, γράφει ταυτί· σύμμετρον μὲν δὴ κατάστασιν καὶ μεμετρημένην συναγωγῆς τε καὶ χύσεως ὑποστησάμενοι ἐπὶ τῶν ἀνθρωπείων συγκριμάτων, ὄνομα αὐτῇ ἐθέμεθα ὑγείαν. ἥδε δὲ ἡ μεσότης ὑπὸ τῶν νόσων ἐπιβουλευθεῖσα ἐξ ἀνάγκης πάσχει τὰ σώματα συναγόμενα καὶ σκληρυνόμενα καὶ ξηρότερα γιγνόμενα ἢ χεόμενα καὶ μαλακυνόμενα καὶ ὑγραινόμενα.

ratione in coelo deliteſcere declaravi, ſolusque ac primus diſcuſſa ac ſoluta obtenebrante nebula detexi. Haec Julianus profert et ſubſequentia. Aliud nunc cum Epicuro non ſenſerim rejectis illius elementis qui unam non copulet ſubſtantiam. Haec itaque et alia multa in libro de methodo ab Juliano ſcripta ſunt, totum librum Philonem inſcribente. Rurſus vero in alio in quo illi de animae et corporis affectibus eſt oratio haec ſcribit: *jam commoderatum commenſuratumque tum concretionis tum fuſionis ſtatum in humanis compagibus conſtituentes nomen ipſi ſanitatem impoſuimus. At ubi medium illud a morbis obſeſſum eſt, neceſſario patiuntur corpora quae coguntur, indurantur, ſicciora redduntur aut funduntur, molliuntur aut humectantur.*

δ'.

Αὗται μὲν οὖν αἱ ῥήσεις τοῦ λαμπροτάτου σοφιστοῦ, Ζήνωνι καὶ Ἀριστοτέλει καὶ Πλάτωνι τοὺς μεθοδικοὺς ἰα-

IV.

Hae ſunt igitur clariſſimi ſophiſtae, methodicos medicos, Zenonem, Ariſtotelem et Platonem ſequi praedican-

Ed. Chart. IX. [380.] Ed. Baſ. V. (338. 339.)

τροὺς ἕπεσθαι φάσκοντος. ἡμεῖς δ' αὖθις ἀναμνήσομεν αὐτῶν ὡς ἕκαστος τούτων τῶν φιλοσόφων ἅμα πολλοῖς τοῖς μετ' αὐτὸν εὐκρασίαν μὲν ἡγεῖται τὴν ὑγείαν εἶναι θερμοῦ καὶ ψυχροῦ καὶ ὑγροῦ καὶ ξηροῦ. νοσήματα δὲ γίγνεσθαι τὰ γοῦν κατὰ δίαιταν ὑπερβάλλοντος ἑκάστου τῶν εἰρημέ-

νων ἢ ἐλλεί- (339) ποντος, εἶναι δὲ καὶ χυμοὺς ἐν τῷ σώματι, τοὺς μὲν ὑγροὺς καὶ ξηροὺς κατὰ δύναμιν, ἐνίους δὲ θερμοὺς ἢ ψυχροὺς ἀναλογίζοντας νοσήμασιν. οὕτω Πλάτων ἅμα τοῖς ὑπ' αὐτοῦ πᾶσιν, οὕτως Ἀριστοτέλης ἅμα τοῖς ἐκ τοῦ περιπάτου, οὕτω Ζήνων καὶ Χρύσιππος ἅμα τοῖς ἄλλοις στωϊκοῖς ἐγίνωσκον. Ἰουλιανὸς δ' οὐδ' ἀνέγνω τι βιβλίον ὧν εἶπον ἀνδρῶν, οὔθ' ὅλως ἀκολούθου καὶ μαχομένου σύνεσιν ἔχει, πάντως γὰρ ἂν ᾔσθετο τῇ μὲν ἀναιρούσῃ τὸ κενὸν αἱρέσει ταῦθ' ἑπόμενα, τοῦθ' ὑπάρχειν εἰπούσῃ συμμετρίαν μέν τινα πόρων εἶναι τὴν ὑγείαν. ἐν στεγνώσει δὲ καὶ ῥύσει τῶν δι' αὐτὸ φερομένων συνίστασθαι τὰ κατὰ διαίτην νοσήματα. πότερον οὖν Ἀριστοτέλους καὶ Χρυσίππου καὶ τῶν ἄλλων ἁπάντων περιπατητι-

tis ſententiae. Nos vero contra eos reddemus memores hos ſingulos philoſophos hisque multos poſteriores ſenſiſſe ſanitatem eſſe calidi, frigidi, humidi et ſicci temperiem; morbos vero quum ex victu unumquodque commemoratorum exſpueret aut deficiat ortum habere. Humores autem corporis, quorum alii quidem facultate humidi aut ſicci, nonnulli vero calidi vel frigidi morbis analogia reſpondent. Sic Plato cum omnibus ſuis ſectatoribus cenſuit, ſic Ariſtoteles cum peripateticis, ſic Zeno et Chryſippus una cum ceteris ſtoicis. At Julianus neque ullum unquam horum quos recenſuit virorum legit, neque rei conſequentis et pugnantis habet intelligentiam; ea namque omnino noviſſet quae ſectam vacuum tollentem conſequuntur; quae vero id exiſtere affirmat, ſanitatem quandam meatuum ſymmetriam eſſe ſtatuit. In adſtrictione vero et fluxu eorum quae per id feruntur morbos ex victu conſiſtere. Utrum igitur tum Ariſtotelis et Chryſippi tum ceterorum omnium tam peripateticorum quam

Ed. Chart. IX. [380. 381.] Ed. Baſ. V. (339.)

κῶν τε καὶ στωϊκῶν ἐξῆς παραγράψω τὰς ῥήσεις, ἐν αἷς φλέγμα καὶ χολὴν αἰτιῶνται καὶ τὰ πρῶτα νοσήματα τέτταρα ὑπάρ- [381] χειν φασὶν, ὥσπερ καὶ τὰ στοιχεῖα τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὸ ὑγρὸν καὶ τὸ ξηρόν. ἢ τοῦτο μὲν ὡς ἂν οὐχ ἓν ἢ δύο βιβλία πληρῶσαι δυνάμενον, ἀλλὰ καὶ τρία καὶ τέτταρα καὶ πλείω παραλιπεῖν ἄμεινον, ἀρκεσθῆναι δὲ μόνον τοῖς ὑπὸ Πλάτωνος εἰρημένοις. εἰς οὓς ἄμεινον τοῦτο πρᾶξαι καὶ μὴ συναδολεσχεῖν τὰ πάντα ληρώδει σοφιστῇ. τοσοῦτον μόνον εἰπὼν ὑπὲρ τῶν ἐκ τοῦ περιπάτου τε καὶ τῆς στοᾶς τῶν φιλοσόφων ἀπαλλάξομεν. οὐδὲν ἂν εὑροῖς οὔτ' Ἀριστοτέλους οὔτε Θεοφράστου βιβλίον, ἐν ᾧ περὶ νοσημάτων ἀναγκασ ὄντες εἰπεῖν τι θερμοῦ καὶ ψυχροῦ καὶ ὑγροῦ καὶ ξηροῦ μνημονεῦσαι διῆλθον τὸν λόγον, ἀλλὰ καὶ τούτων ἀεὶ μέμνηνται καὶ σὺν αὐτοῖς πολλάκις ἑκατέρας τῆς χολῆς, μελαίνης τε καὶ ξανθῆς, οὐκ ὀλιγάκις δὲ καὶ φλέγματος, οἵ γε τὰς διαφορὰς αὐτῶν διέρχονται, τὸ μὲν ὀξὺ, τὸ δ' ἁλμυρὸν ἢ ἁλυκὸν, ἄλλο δὲ γλυκὺ προσαγορεύοντες. οὐ μὴν οὐδὲ Χρύσιππος ἑτέρως,

ſtoicorum deinceps ſubſcribam ſententias, quibus pituitam et bilem cauſas eſſe conſtituunt et primos morbos quatuor exiſtere pronunciant, quemadmodum et elementa calidum, frigidum, humidum et ſiccum? An hoc praetermittere ſatius fuerit, quod non unus aut duo dumtaxat, ſed et tres et quatuor etiam plures libri compleri poſſint, hisque ſolum eſſe contentos quae a Platone referuntur, quibus praeſtat hoc agere, non cum garrulo ſophiſta uſque quaque nugari. Hoc tantummodo de peripateticis et ſtoicis praefatus ab his diſcedam. At neque Ariſtotelis, neque Theophraſti ullum librum inveneris, in quo ſi de morbis differere coacti ſint, calidi, frigidi, humidi et ſicci non memores facti orationem abſolverint. Imo et horum ſemper meminerunt et cum ipſis ſaepius utriusque bilis tum atrae tum flavae nec raro pituitae, cujus differentias explicant, quum hanc acidam, illam ſalſam vel ſalſuginoſam, aliam denique dulcem appellitant. Neque ſane aliter Chryſippus, imo ita ſemper et

Ed. Chart. IX. [381.] Ed. Baſ. V. (339.)

ἀλλ' οὕτως ἀεὶ καὶ περὶ νοσημάτων καὶ περὶ τῶν χυμῶν διαλέγεται. εἴ τις ἐθέλοι μόνων τῶν εἰρημένων τριῶν ἀνδρῶν ἐκλέγειν τὰς ῥήσεις, οὐκ ὀλίγα πληρώσει βιβλία, σχολάζων δ' οὕτως τις ὥσπερ Ἰουλιανὸς ἐπὶ τῆς Ἀλεξανδρείας ἐσχόλαζεν. ἐὰν δὲ καὶ τῶν ἄλλων τῶν στωϊκῶν ἢ περιπατητικῶν ἑκάστου ἐκλέγειν τὰς ῥήσεις, ὅλην βιβλιοθήκην πληρώσει· ἀλλ' ὥσπερ ἔφην, ἐάσας τούτους, ἀρκεσθήσομαι μόνον τοῦ Πλάτωνος ῥήσεσιν, ἑπομένου κατὰ πάντα τοῖς τοῦ Ἱπποκράτους δόγμασιν. οὐ μὴν οὐδὲ παρὰ τούτων τῶν ἄλλων ἐκλέξας βιβλίων ὄντων πολλῶν, ἀλλ' ἐξ ἑνὸς ἀρκεσθησόμενος μόνου τοῦ Τιμαίου περιγράψομαι ταῦτα. τὸ δὲ τῶν νόσων ὧ ξυνίστανται, δῆλόν που καὶ παντί. τεττάρων γὰρ ὄντων γενῶν ἐξ ὧν συμπέπηγε τὸ σῶμα, γῆς καὶ ὕδατός τε καὶ πυρὸς καὶ ἀέρος, τούτων ἡ παρὰ τὴν φύσιν πλεονεξία καὶ ἔνδεια καὶ τῆς χώρας μετάστασις ἐξ οἰκείας ἐπ' ἀλλοτρίαν γινομένη. πυρός τε αὖ καὶ τῶν ἑτέρων, ἐπειδὴ πλέονα γένη ἑνὸς ὄντα τυγχάνει, τὸ μὴ προσῆκον ἕκαστον ἑαυτῷ προσλαμβάνει καὶ πάνθ' ὅσα τοιαῦτα, εἰ στάσεις

de morbis et de humoribus differit. Si quis velit ſolummodo trium enunciatorum virorum ſententias ſeligere, non paucos libros impleturus eſt, praeſertim ſi ita det operam, quemadmodum Alexandriae Julianus otiabatur. Quod ſi etiam aliorum tam ſtoicorum quam peripateticorum cujusque ſententias ſeligere velit, univerſam quoque bibliothecam implebit. At his miſſis, quemadmodum dixi, ſolius Platonis textibus contentus ero, qui in omnibus Hippocratis decreta ſectatur; non tamen ex aliis qui multi ſunt libris, ſed ex uno ſolo Timaeo ſatis facturus haec collecta deſcribam: *porro unde morbi conſiſtant patet omnibus. Quum enim quatuor ſint genera, ex quibus corpus conformatur, terra, ignis, aqua, aër. Horum praeter naturam exſuperantia et penuria et ex propria in alienam ſedem transmutatio; ac rurſus ignis ac ceterorum, quum in uno plura ſint genera, unumquodque, ubi quod ſibi conſentaneum non eſt ſuſcipit, hujusmodi omnia ſedi-*

Ed. Chart. IX. [381.] Ed. Baſ. V. (339.)

καὶ νόσους παρέχει. παρὰ φύσιν γὰρ ἑκάστου γιγνομένου καὶ μεθισταμένου, θερμαίνειεν ὅσα ἂν περ πρότερον ψύχηται. ξηρὰ δ' ὄντα εἰς ὕστερον γίνεται νοτερὰ καὶ κοῦφα δὴ καὶ βαρέα καὶ πάσας πάντη μεταβολὰς δέχεται. ἐν ταύτῃ μὲν οὖν τῇ ῥήσει σαφῶς ὁ Πλάτων ἀκολουθεῖ τῷ Ἱπποκράτει κατὰ πρῶτα στοιχεῖα καὶ τὰς ποιότητας αὐτῶν. ἐν δὲ τοῖς μετὰ ταῦτα καὶ τοὺς χυμούς πως αἰτιώμενος τῶν νοσημάτων ὠδί πως φησί· τὸ δὲ λευκὸν φλέγμα διὰ τὸ τῶν πομφολύγων πνεῦμα χαλεπὸν ἀπολῃφθὲν, ἔξω δὲ τοῦ σώματος ἀναπνοὰς ἴσχον ἠπιώτερον μὲν, καταποικίλλει δὲ τὸ σῶμα, λεύκας, ἀλφούς τε καὶ τὰ τούτων συγγενῆ νοσήματα ἀποτίκτον. μετὰ δὲ χολῆς μελαίνης κερασθὲν ἐπὶ τὰς περιόδους τὰς ἐν τῇ κεφαλῇ θειοτάτας οὔσας ἐπισκιδαννύμενον καὶ ξυνταράττον αὐτὰς, καθ' ὕπνου μὲν ἐὸν πρᾳότερον, ἐγρηγορόσι δὲ ἐπιτιθέμενον δυσαπαλλακτότερον· νόσημα δ' ἱερᾶς ὂν φύσεως ἐνδικώτατα ἱερὸν λέγεται. καὶ ταύτῃ γε τῇ ῥήσει πάλιν ἐπιφέρον ἑτέραν φησί· φλέγμα δ' ὀξὺ καὶ ἁλμυρὸν, πηγὴ πάντων νοσημάτων ὅσα γίνεται κα-

tiones morbosque conſtituunt. Quum enim unumquodque praeter naturam redditur ac mutatur, caleſcunt quaecunque prius frigebant, quae ſicca ſunt in poſterum humeſcunt; levia quoque et gravia omnes omnino mutationes ſuſcipiunt. Hac itaque in oratione Plato quantum ad prima elementa eorumque qualitates ſpectat Hippocratem dilucide ſectatur. At in ſequentibus humores etiam morborum cauſas ſtatuens hoc modo eloquitur: *alba autem pituita ob bullarum ſpiritum intus detenta difficilis; extra vero corporis ſpiracula coercens mitior quidem eſt; varie tamen corpus inficit, albas atrasque vitiligines atque his congeneres morbos procreat, ſed cum atra bile mixta, ſi in diviniſſimos qui in capite ſunt meatus illabatur ipſos diſſolvit perturbatque. Quod ſi per ſomnum contingat, mitior eſt; ſi vigilantes invadat, ſolutu difficilis; qui morbus quum ſacrae naturae ſit, ſacer meritiſſimo dicitur.* Atque huic ſententiae his verbis alteram affert: *acida vero et ſalſa pituita omnium qui a defluxionibus oriuntur*

Ed. Chart. IX. [381. 382.] Ed. Baſ. V. (339.)

ταῤῥοικά, διὰ δὲ τοὺς τόπους εἰς οὓς ῥεῖ παντοδαποὺς ὄντας, παντοῖα ὀνόματα εἴληφεν. οὕτω μὲν οὖν ὁ Πλάτων περὶ τοῦ φλέγ- [382] ματος ἀπεφήνατο καὶ σὺν αὐτῷ μέλαίνης χολῆς. ἐφεξῆς δ' ἄκουε ἃ λέγει περὶ τῆς ξανθῆς· ὅσα δὲ φλεγμαίνειν λέγειαι τοῦ σώματος ἀπὸ τοῦ κάεσθαί τε καὶ φλέγεσθαι, διὰ χολὴν γέγονε πάντα. λαμβάνουσα μὲν οὖν ἀναπνοὴν ἔξω παντοῖα ἀναπέμπει φυσήματα ζέουσα, καθειργνυμένη δὲ ἐντὸς πυρίκαυστα νοσήματα πολλὰ ἐμποιεῖ. μέγιστον δ' ὅταν αἵματι καθαρῷ συγκερασθεῖσα τὸ τῶν ἰνιῶν γένος ἐκ τῆς ἑαυτῶν διαφορᾷ τάξεως, αἷ διεσπάρησαν εἰς αἷμα, ἵνα συμμέτρως λεπτότητος ἴσχοι καὶ πάχους καὶ μήτε διὰ θερμότητα, ὡς ὑγρὸν ἐκ μανοῦ τοῦ σώματος ἐκρέοι, μήτ' αὖ πυκνότερον δυσκίνητον ὂν μόγις ἀντιστρέφοιτο ἐν ταῖς φλεψί. καιρὸν δὴ τούτων ἴνες τῇ τῆς φύσεως γενέσει φυλάττουσιν, ἃς ὅταν τις καὶ τεθνιότος αἵματος ἐν ψύχει τε ὄντος πρὸς ἀλλήλας ξυναγάγοι, διαχεῖται πᾶν τὸ λοιπὸν αἷμα. ἐαθεῖσαι δὲ παχὺ μετὰ τοῦ περιεστῶτος αὐτὸ ψύχους ξυμπηγνύασι. ταύτην δὴ τὴν

morborum fons eſt, quae ob locos in quos fluit valde multiplices diverſa nomina ſortitur. Sic igitur Plato de pituita cum atra bile pronunciaverat. Quae vero de flava deinceps proferat, auſculta: *quaecunque partes corporis quod ardeant uranturque, propterea inflammationibus obſideri dicuntur, quae omnes a bile procreantur. Quare ſi bilis exteriora ſubeat ſpiracula, varia fervens exſpirat phyſemata, intus vero occluſa multos urentes morbos gignit, maximum vero quum puro ſanguini commixta fibrarum genus e proprio dimovet ordine, quae in ſanguinem diſperſae ſunt, ut is tenuitatis et craſſitiei commoderationem teneat nec propter calorem, ut qui humidus eſt, ex raro corpore defluat; neque rurſum denſior redditus motionis ſit difficilis vixque per venas fluat et refluat. Hos igitur tempeſtivos uſus naturae generationi praeſtant tutrices fibrae, quas quum quis et mortuo et perfrigerato ſanguine invicem collegerit tum ſanguis univerſus diffluit; miſſae vero ambiente ipſum frigore cito concreſcunt. Quum*

Ed. Chart. IX. [382.] Ed. V. (339.)

δύναμιν ἐχουσῶν ἰνῶν ἐν αἵματι, χολὴ φύσει λαιὸν αἷμα γεγονυῖα καὶ πάλιν ἐκ τῶν σαρκῶν εἰς τοῦτο τετηκυῖα, θερμὴ καὶ ὑγρά, κατ' ὀλίγον τὸ πρῶτον ἐμπίπτουσα, πήγνυται διὰ τὴν τῶν ἰνῶν δύναμιν. πηγνυμένη δὲ καὶ βίᾳ κατασβεννυμένη χειμῶνα καὶ τρόμον ἐντὸς παρέχει. πλεῖον δ' ἐπιῤῥέουσα, τῇ παρ' αὐτῆς θερμότητι κρατήσασα, τὰς ἴνας εἰς ἀταξίαν ζέσασα διέσωσε. καὶ ἐὰν μὲν ἱκανὴ διὰ τέλους κρατῆσαι γένηται, πρὸς τὸ τοῦ μυελοῦ διαπεράσασα γένος, καίουσα ἔλυσε τὰ τῆς ψυχῆς αὐτόθεν οἷον νεὼς πείσματα, μεθῆκε δὲ ἐλευθέραν. ὅταν δὲ ἐλάττων ᾖ, τό τε σῶμα ἀντίσχῃ τηκόμενον, αὐτὴ κρατηθεῖσα ἢ κατὰ πᾶν τὸ σῶμα ἐξέπεσεν ἢ διὰ τῶν φλεβῶν εἰς τὴν κάτω ξυνωσθεῖσα ἢ τὴν ἄνω κοιλίαν, οἷον φυγὰς ἐκ πόλεως στασιασάσης ἐκ τοῦ σώματος ἐκπίπτουσα, διαῤῥοίας καὶ δυσεντερίας καὶ τὰ τοιαῦτα νοσήματα πάντα παρέχετο. ταυτὶ μὲν οὖν ἐν μόνῳ τῷ Τιμαίῳ Πλάτων εἶπεν ἑπόμενος Ἱπποκράτει· τὰ δὲ τῶν ἄλλων αὐτοῦ βιβλίων εἴ τις ἐκλέγοι, πάντα δόξει μιμεῖσθαι μακρολογίας ἕνεκα τὸν Ἰουλιανόν. ἔτι δὲ δὴ μᾶλλον

ergo fibrae hanc in ſanguinem facultatem ſortiantur, bilis quae natura vetus eſt ſanguis, ac rurſum ex carnibus in hunc eliquata, calida et humida paulatim primum incidens fibrarum facultate concreſcit, concreta vero ac vi exſtincta frigus tremoremque concitat. Quod ſi uberior affluat, ſuoque calore fibras ſuperet, confuſionem ferveſcens fovet. Si etiam aduſque finem victoriae par ſit, in medullae genus penetrat, ac exurens animae vincula tanquam navis rudentes ſolvit ipſamque liberam promovet. Quum autem inferior eſt corpusque liqueſcens reluctatur, ipſa devicta aut per univerſum corpus elabitur aut per venas in inferiorem vel ſuperiorem ventrem compulſa ut exſul ex ſeditioſa civitate, ſic e corpore ejicitur, ac tum diarrhoeas, dyſenterias et hujusmodi morbos excitat. Haec ſane Plato in ſolo Timaeo Hippocratem ſectatus protulit. At ſi quis in reliquis ejus libris quae reperiuntur omnia colligere velit, is videbitur prolixae orationis gratia Julianum imitari. Quin etiamnum magis ſi quaecunque a

Ed. Chart. IX. [382. 383.] Ed. Baſ. V. (339.)

εἰ τὰ παρὰ Θεοφράστου καὶ Ἀριστοτέλους καὶ Χρυσίππου καὶ πᾶσι τοῖς περιπατητικοῖς τε καὶ στωϊκοῖς εἰρημένα, περὶ θερμοῦ καὶ ὑγροῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ χολῆς καὶ φλέγματος, ὑγείας τε καὶ νόσου παραγράψῃ σύμπαντα. καὶ γὰρ νῦν ἡγοῦμαι ἤδη τινὰς μέμφεσθαι τοῦ μήκους ἡμῖν τῶν λόγων εἰς ἔλεγχον ἀναισθήτου σοφιστοῦ συγκειμένων. ὃς γὰρ οὐκ ὤκνησεν, ὦ Ζεῦ καὶ θεοί, Πλάτωνα μὲν καὶ Ἀριστοτέλην καὶ Ζήνωνα καὶ τοὺς ἀπ' αὐτῶν φιλοσόφους ἐπαινεῖν, ἐξελέγχειν δὲ τὰ περὶ τῶν τοῦ σώματος στοιχείων ὑφ' Ἱπποκράτους εἰρημένα, τί ἂν ἐπὶ τῶν πάντων ὁ τοιοῦτος εἰπεῖν αἰδεσθῇ; ἢ ταῦτα μὲν ἀφείσθω.

ε'.

[383] Σκέψαι δ' ἑξῆς ἃ γράφει μὴ συγχωρῶν, ὡς ἔοικε, μηδὲ τοὔνομά τινι σκέψασθαι τῆς φύσεως. ἔστι δ' ἀρχὴ τῆς ῥήσεως ἥδε· οὐδ' ἂν πείσειαν ἡμᾶς τε ἢ αὐτοὺς ἐπ' ἀληθείᾳ ὅτι ἴσασί τί ἡ φύσις ἐστὶν, ἢν ἄνω τε

Theophraſto, Ariſtotele, Chryſippo et omnibus peripateticis et ſtoicis de calido, frigido, humido et ſicco, etiam de bile et pituita, ſanitate et morbo prodita ſunt, deſcriberet univerſa. Etenim jam nunc arbitror quosdam me longitudinis ſermonum in ſtupidi ſophiſtae redargutionem compoſitorum arguere. Quem enim non piguit, o Jupiter diique, Platonem, Ariſtotelem, Zenonem et poſteros ipſorum philoſophos laudibus extollere, quae vero ab Hippocrate de corporis elementis pronunciata ſunt reprehendere, quid tandem in omnibus verecunde dicturus eſt? Sed haec miſſa ſint.

V.

At quae deinceps ſcribit ea perpendenda ſunt, qui ne hoc naturae nomen conſiderandum eſſe concedat. Hoc autem exſtat ſui contextus initium: nunquam enim hi nobis aut etiam ſibi ipſis re vera perſuaſerint quod norint.

Ed. Chart. IX. [383.] Ed. Baſ. V. (339. 340.)

καὶ κάτω θρυλοῦσι τραγῳ- (340) δοῦντες πανταχοῦ ἤτοι θερμὸν ἁπλοῦν ἢ κρᾶμα κἀκ μίξεως ἢ ψυχροῦ οὐσίαν καὶ πνεύματος. κἄπειτα ἐξῆς τούτῳ ἐπιφέρει μὴ πολλὰ συγχωρῶν ἐγγνῶναι φύσεως οὐσίαν, ὥσπερ Ἱπποκράτους γεγραφότος ὄνομα φύσεως ἐν τῷ προκειμένῳ νῦν ἡμῖν ἀφορισμῷ, ἀλλ' οὐκ ἐν τοῖς αὐτομάτοις γιγνόμενον εἰρηκότος. πόθεν ἐπεισῆλθε τὸ τῆς φύσεως ὄνομα; πόθεν δ' ἄλλοθεν ἢ ἐκ τῆς συνήθους Ἰουλιανοῦ φλυαρίας ἀφορμὴν παρέξει λόγου μακροῦ, ὃν ἐάν τις ἀναπτύξῃ, προδήλως φωράσει τον λῆρον αὐτοῦ. ἐπεὶ τοίνυν ἅπαντες ἰατροὶ τῶν κενώσεων τὰς μὲν ὑπὸ φύσεως, τὰς δ' ὑπὸ τύχης γίγνεσθαί φασιν, ἐνδεικνύμενοι τὴν αἰτίαν αὐτῶν ἐνίοτε μὲν ἐξ αὐτοῦ τοῦ τῶν καμνόντων ὁρμᾶσθαι σώματος, ἔστι δ' ὅτ' ἔξωθεν ἀφορμὴν ταύτην εἶχε περὶ τοῦ ληρῆσαί τι περὶ τοῦ τῆς φύσεως ὀνόματος. ἔστι δ' ὃ βούλεται λέγειν ἐν κεφαλαίῳ περιλαβόντι τοιόνδε. φυσικὰς κενώσεις οὐδὲ φθέγγεσθαι προσῆκεν, ἀγνοοῦντας ὅ τι ποτ' ἐστὶν ἡ φύσις. ἀλλ', ὦ γενναιότατε

Quid ipſa natura ſit, quam et ſurſum et deorſum jactam ubique tragice decantantes aut calidum ſimplex aut ex mixtione temperamentum aut frigidi ſpiritusque ſubſtantiam eſſe. Deinde his deinceps multa infert, cognoſci naturae ſubſtantiam minime concedens, ac ſi Hippocrates huic propoſito aphoriſmo naturae nomen non adſcripſerit, neque de ſpontaneis potius vacuationibus verba fecerit. Unde illi nomen naturae in mentem venit? Nam aliunde quidem ex conſueta Juliani garrulitate, ut longae orationis occaſionem praeſtaret? Quam ſi quis explicaverit, ipſius nugas perſpicue deprehendet. Quum igitur medici omnes vacuationum alias quidem a naturae, alias vero a caſu fieri praeferunt, qui demonſtrant ipſarum cauſas nonnunquam ex ipſo aegrotantium corpore concitari, nonnunquam vero extrinſecus, hanc nugandi de naturae vocabulo occaſionem nactus eſt. Quod ipſe vult proferre comprehendenti in ſumma hujusmodi licet percipere. Quod ſit natura qui ignorant, eos naturales vacuationes enunciare

Ed. Chart. IX. [383.] Ed. Baſ. V. (340.)

σοφιστῶν οὐδ' ὅτι ψυχὴν ἔχομεν ἢ αἴσθησιν ἢ νοῦν ἢ λογισμὸν ἢ μνήμην ὁ τοιοῦτος λόγος ἐπιτρέψει γιγνώσκειν, ὡς ἑκάστου γε καὶ τούτων δύσγνωστος ἡ οὐσία. καὶ τί θαυμαστόν; ὅπου γὰρ καὶ τὸν ἥλιον αὐτὸν, ὃν ἐναργέστατα βλέπομεν, οὐκ ἴσμεν ἀκριβῶς ὁποῖός ἐστι τὴν οὐσίαν, ἤ πού τε περὶ φύσεως ἢ ψυχῆς ἢ μνήμης ἤ τινος ἑτέρου τῶν τοιούτων ἑτοίμως ἀποφανούμεθα. ἀλλ' ὥσπερ καὶ ταῦτα αὐτῶν ὀρθῶς εἰρήκαμεν καὶ οὕτως ὅταν τὴν ἔννοιαν αὐτῶν ἑκάστου καὶ τὴν τῆς ὑπάρξεως διάγνωσιν ἔχωμεν ἐναργῆ, προσθεῖναι χρὴ τῷ λόγῳ. ἅπαν μὲν γὰρ φυτὸν ὑπὸ φύσεως διοικεῖται, πᾶν δὲ ζῶον ὑπὸ φύσεώς τε ἅμα καὶ ψυχῆς. εἴ γε δὴ τὴν μὲν τοῦ τρέφεσθαί τε καὶ αὐξάνεσθαι καὶ τῶν τοιούτων ἔργων αἰτίαν ὀνομάζομεν ἅπαντες ἄνθρωποι φύσιν, τὴν δὲ τῆς αἰσθήσεώς τε καὶ τῆς ἕξεως αὐτῆς κινήσεως ψυχὴν, ὥστ' οὐδεὶς ἡμῶν οὔτε καταψεύδεται τῶν ἔργων τῆς φύσεως οὔτ' ἐπειδὴ ταῦτα γιγνώσκει καὶ τὴν οὐσίαν αὐτῆς εὐθὺς οἷός τε, καθάπερ οὐδὲ τὴν τοῦ

non decet. Verum o ſophiſtarum generoſiſſime haec tua ratio nos noſſe, ſi animam habeamus aut ſenſum aut mentem aut rationem aut memoriam prohibuerit, quod horum cujusque ſubſtantia cognitu ſit difficilis. Ecquid mirum, quandoquidem et ipſius ſolis, quem evidentiſſime intuemur, notionem qua ſit ſubſtantia explorate neſcimus? An de natura, de anima, de memoria aut quibusdam iſtiusmodi ceteris facile ſententiam ſtatuimus? Verum quemadmodum de iſtis haec recte diximus, ſic etiam quum horum ſingulorum notionem et dilucidam eorum exiſtentiae dignotionem conſequimur, haec orationi addenda ſunt. Omnis quidem planta a natura regitur, omne vero animal a natura ſimul et anima. Enimvero ſi tum nutritionis tum incrementi ac aliorum operum cauſam omnes homines naturam appellamus, quemadmodum ſenſus ejusque habitus et motus animam. Quare nemo noſtrum de naturae operibus mentitur, neque etiam quum quis haec norit, etiam derepente ejus ſubſtantiam noſſe facile pote-

Ed. Chart. IX. [383. 384.] Ed. Baſ. V. (340.)
ἡλίου, [384] ἀλλ' ἀνατέλλοντα μὲν αὐτὸν ὁρῶμεν ἐναργῶς, ὥσπερ γε καὶ δυόμενον ἅπανταί τε τὸν μεταξὺ τόπον ἀμείβοντα τάξει καὶ χρόνῳ ἀφωρισμένῳ, τὴν δ' οὐσίαν ὁποῖός τίς ἐστιν ἐπὶ χολῇ ζητοῦμεν. εἰ μὲν οὖν ἀδύνατον ἦν γνῶναι τὰς φυσικὰς ἐκκρίσεις ὁπότε γίνονται, χωρὶς τοῦ προγνῶναι τὴν οὐσίαν αὐτῆς ἐργαζομένης αὐτὰς φύσεως, εἰκότως ἂν δείξας ἐκεῖνος ἄγνωστον, εὐθὺς αὐτῇ συνανῄρηκε τὴν τούτων γνῶσιν. ἐπεὶ δ' ἐγχωρεῖ κἂν ἐκείνην τις ἀγνοῇ, ταύτας γοῦν γιγνώσκειν, ἐκ περιττοῦ φλυαρεῖ ταῦτα πάνθ' ὁ θαυμασιώτατος Ἰουλιανός. ἡμεῖς γὰρ, ὅταν χωρὶς φαρμάκου καθαίροντος ἔμετος ἢ συχνὴ κάτω γένηται κένωσις, εἴτε δι' ἐντέρων εἴτε κατὰ τὰς μήτρας, ἅπαντα τὰ τοιαῦτα φύσει τε γεγονέναι φαμὲν ἢ ὑπὸ φύσεως ἢ φυσικῶς. οὐδὲν γὰρ διαφέρει, μιμούμεθά τε φανερῶς ὠφελήσαντες τοὺς κάμνοντας. Ἰουλιανὸς δ' ἔοικεν οὐδ' ὃ πάντες ἄνθρωποι λέγουσί τε καθ' ἑκάστην ἡμέραν καὶ γιγνώσκουσιν, οὐδὲ τοῦτ' ἐπίστασθαι, κατὰ φύσιν μὲν ἔχειν τοὺς ὑγιαίνοντας, παρὰ

rit, ut neque ſolis. Sed quemadmodum orientem quidem ipſum, ſic et occidentem manifeſto intuemur et univerſum intermedium locum ordine ac tempore praefinito percurrentem; ſubſtantiam vero quae et qualis ipſa ſit, majori otio perquirimus. Itaque ſi naturales excretiones quo tempore fiunt minime citra praeviam naturae ipſas efficientis cognitionem noſſe poſſimus, merito ille quum demonſtravit hanc ignotam eſſe, quam primum iſtarum etiam notitiam cum ipſa ſimul abſtulit. Quum autem concedat, etiam ſi quis illam ignoret, has tamen cognoſcere, cumulatiſſime haec omnia praeclariſſimus Julianus nugatur. Nos autem quum abſque medicamento purgante vomitus aut copioſa deorſum oboriatur vacuatio, ſive per inteſtina, ſive per uterum, hujusmodi omnia per naturam vel a natura vel naturaliter facta eſſe pronunciamus. Nihil ſiquidem refert, ſi has imitati vacuationes aegrotantibus opem plane tulerimus. At Julianus neque videtur id ſcire quod omnes homines quotidie profitentur et agnoſcunt eos ſecundum naturam ſe habere qui ſanitate fruun-

Ed. Chart. IX. [384.] Ed. Baſ. V. (340.)

φύσιν δὲ τοὺς νοσοῦντας. εἰ γὰρ οὐκ ἔξεστιν οὐδὲν τῶν τοιούτων ὀνομάτων χρῆσθαι, μὴ πρότερον ἐπισταμένους τῆς φύσεως τὴν οὐσίαν, οὔτε τοὺς ὑγιαίνοντας ὅτι κατὰ φύσιν ἔχουσιν ἐροῦμεν οὔτε τοὺς νοσοῦντας ὅτι παρὰ φύσιν. ἀλλὰ γὰρ εἰ βούλει καὶ τοῦτ' αὐτῷ δῶμεν ἐκ περιουσίας καὶ συγχωρήσομεν, εἰ μὴ πρότερον εἰδείημεν ὡς ἐκ θερμοῦ καὶ ψυχροῦ καὶ ὑγροῦ καὶ ξηροῦ τὰ σώματ' ἡμῶν συνέστηκεν, ἀμήχανον εἶναι μιμήσασθαι τὰ καλὰ ὑπὸ φύσεως ἢ τύχης γιγνόμενα. τί οὖν κωλύει γιγνώσκειν ἡμᾶς ἀκριβῶς τοῦτο μέχρις ἂν ἡμεῖς τε λέγειν ἔχωμεν ἀπόδειξιν δόγματος, οἵ τ' ἄριστοι τῶν φιλοσόφων, οὓς καὶ σὺ θαυμάζεις αὐτὸς, ὁμολογῶσιν Ἱπποκράτει τε καὶ ἀλλήλοις, εἰ μή τις τὴν διαφωνίαν ἱκανὸν οἴεται μάρτυρα εἶναι τῆς ἀγνοίας τοῦ δόγματος, ἐξαίφνης ἀπορητικός τις ἀντὶ στωϊκοῦ γεγονώς. εἰ γὰρ δὴ τούτῳ πέπεισαι τῷ λόγῳ, φάσκοντι μηδὲν τῶν διαπεφωνημένων πᾶσι τοῖς φιλοσόφοις εἰς γνῶσιν ἀνθρωπίνην ἀφικέσθαι δύνασθαι, τί δή ποτε οὐ πολὺ πρῶτον

tur, praeter naturam vero eos qui aegrotant. Si namque minime liceat quidquam nos talium nominum uſurpare, priusquam naturae ſubſtantiam noverimus, neque etiam ex ipſis ſanos bene valere, quod ſecundum naturam ſe habeant, neque aegros morbo laborare, quod praeter naturam ſint. Sed enim et hoc ipſi, ſi velit, cumulatiſſime demus et concedamus, niſi prius noverimus ex calido, frigido, humido et ſicco noſtra corpora conſtare, perarduum eſſe nos quae bona a natura vel fortuna procedunt imitari. Quid igitur prohibet nos id accurate cognoſcere, quum et verbis tenus decreti demonſtrationem ſortiamur et praeſtantiſſimi philoſophi, quos tu ipſe quoque admiraris et inter ſe et cum Hippocrate conſentiant? Niſi quis diſſenſionem cenſeat idoneum eſſe teſtem ignorationis decreti ſtatim pro ſtoico quidam aporeticus dubiusve fuerit. Nam ſi ſane huic rationi credideris affirmanti nihil eorum de quibus omnes inter ſe philoſophi digladiantur in humanam cognitionem venire poſſe, cur non longe

Ed. Chart. IX. [384.] Ed. Baſ. V. (340.)

ἁπάντων ἀπισιεῖς ταῖς καλαῖς σου κοινότησιν, ἃς ἡ κατὰ τὸν οὐρανὸν οἰκοῦσα μέθοδος ἐγέννησεν; ἀλλ' οὐδεὶς τῶν ἄλλων ἰατρῶν εἶδεν αὐτὰς ἀμυδρῶς, ἐναργῶς δέ, ὡς νομίζει ὁ Θεσσαλὸς, καὶ τό γε μεῖζον τούτου, ὅτι καίτοι θεασαμένου καὶ δείξαντος αὐτὰς τοῦ Θεσσαλοῦ τῷ λαμπροτάτῳ χορῷ τῶν ἀμφ' αὐτὸν ἰατρῶν, ὅμως οὐδεὶς οὐδενὶ συνεφώνησαν, ἀλλ' ἄχρι δεῦρο πολεμοῦσι μείζονα πόλεμον, ὃν Θεσσαλὸς ἐπολέμησε τοῖς συμφοιτηταῖς. εἴπερ οὖν διαφωνία σημεῖόν ἐστι τῆς τῶν πραγμάτων ἀγνοίας, ἁπασῶν πρῶτον ἀπιστητέον ταῖς τοῦ Θεσσαλοῦ κοινότησι, ὅσον καὶ πλείστη γε περὶ αὐτῶν ἐστιν ἡ διαφωνία. τὸ μέντοι γε τὴν τοῦ σώματος ἡμῶν φύσιν ἤτοι γε ἐξ ἀέρος καὶ πυρὸς καὶ ὕδατος καὶ γῆς ἢ ἐξ ὑγροῦ καὶ ξηροῦ καὶ θερμοῦ καὶ ψυχροῦ συμμέτρως ἀλλήλοις κεκραμένων γεγονέναι διαπεφώνηται μέν, ἀλλ' οὐκ εἰς τοσοῦτον, ὅσον αἱ Θεσσαλοῦ κοινότητες, εἴ γε καὶ Πλάτων καὶ Ζήνων, Ἀριστοτέλης τε καὶ Θεόφραστος, Εὔδημός τε καὶ Κλεάνθης καὶ Χρύσιππος ἅμα πολλοῖς φιλοσό-

etiam magis primum omnium tuis pulchris communitatibus quas in coelo habitans methodus genuit fidem non adhibes? At eas aliorum medicorum nullus obſcure, ſed perſpicue novit, ut arbitratur Theſſalus, ſed et id majus eſt, quod etiamſi illas Theſſalus et viderit et clariſſimo eorum qui illum ſectati ſunt medicorum choro oſtenderit; nullus tamen eorum alteri congruit, imo vehementiori ad hunc uſque diem bello inter ſe dimicant, quam eo quo Theſſalus cum ſuis diſcipulis concertaverat. Si itaque diſſentio rerum ignorationis ſignum ſit, primum omnium nulla Theſſali communitatibus fides erit adhibenda, quo plus de ipſis ineſt controverſiae. Enimvero corporis noſtri natura an ex aëre, igne, aqua et terra aut ex humido, ſicco, calido et frigido inter ſe commoderate temperatis conſtituta; illud in controverſiam adductum eſt, ſed non in tantam quantam Theſſali communitates ſubierunt, quandoquidem Plato, Zeno, Ariſtoteles, Theophraſtus, Eudemus, Cleanthes et Chryſippus ac plerique philoſophi, quo-

Ed. Chart. IX. [384. 385.] Ed. Baſ. V. (340.)

φοις, [385] ὧν οἱ μὲν στωϊκοὺς, οἱ δὲ περιπατητικοὺς, οἱ δὲ Πλατωνικοὺς ἑαυτοὺς ὠνόμασαν, ὁμολογοῦσιν ἀμφ' αὐτάς· αἱ δ' ὑπὸ Θεσσαλοῦ κοινότητες εἰρημέναι, τοσούτου δέουσιν ἀρέσκειν τοῖς ἄλλοις ἰατροῖς, ὥστ' οὐδ' αὐταὶ τούτοις ὁμολογοῦνται τοῖς ἀμεθόδοις μὲν ὄντως, ὀνόματι δὲ σεμνῷ τῷ τῆς μεθόδου, καθάπερ τινὶ προβλήματι κεχρημένοις. οὔτε γὰρ Ἱπποκράτης οὔτε Διοκλῆς οὔτε Πλειστόνικος οὔτε Πραξαγόρας οὔτε Μνησίθεος οὔτε Φιλότιμος οὔτε Ἐρασίστρατος οὔτε Ἡρόφιλος οὔτε ἄλλος τις ἰατρὸς οὔτε λογικὸς οὔτ' ἐμπειρικὸς ἠρίσθη ταῖς Θεσσαλοῦ κοινότησι. καὶ μὴν εἰ χρὴ παραβαλεῖν ἀλλήλαις τὰς διαφωνίας, οὐ μικρῷ τινι προὔχουσαν εὑρήσεις τὴν περὶ τοῦ Θεσσαλοῦ κοινότητα. τριῶν γὰρ οὐσῶν ἐν ἰατρικῇ κατὰ γένος αἱρέσεων, ὡς αὐτοὶ λέγουσιν, ὅταν οἵ τ' ἀπὸ τῆς ἐμπειρίας ὄντες οἵ τε δογματίζοντες ἀναιρῶσι τὰς Θεσσαλοῦ κοινότητας, οὐ μικράν τινα χρὴ νομίζειν τὴν τοιαύτην διαφωνίαν, ἀνυπέρβλητον τὸ μέγεθος αὐτῆς γίγνεται, μήτ' αὐτοῦ

rum alii ſefe quidem ſtoicos, alii vero peripateticos, alii denique Platonicos nominaverunt, de ipſis ſimul conſentiunt. Quas vero appellavit communitates Theſſalus, tantum abeſt ut hae a ceteris medicis probentur, ut ne quidem ipſae ab his re vera amethodis concedantur, ſed gravi methodi nomine tanquam propugnaculo utuntur. Neque enim Hippocrates, neque Diocles, neque Pliſtonicus, neque Praxagoras, neque Mneſitheus, neque Philotimus, neque Eraſiſtratus, neque Herophilus, neque alius quisquam medicus neque rationalis neque empiricus Theſſali communitatibus annuerunt. Et ſane ſi controverſiae inter ſe comparandae ſint, eam quae de Theſſali communitatibus eſt inveneris non re parva alias ſuperare. Quum enim tres genere ſint in arte medendi ſectae, ut ipſi loquuntur, quumque tum empirici tum dogmatici has Theſſali communitates deſtruant, exiſtimandum eſt hanc non exiguam eſſe hujusmodi controverſiam, ſed in immenſum ejus magnitudinem increſcere; quum neque Themiſon

Ed. Chart. IX. [385.] Ed. Baſ. V. (340. 341.)

τοῦ γεννήσαντος τὰς κοινότητας Θεμίσωνος μήτε τῶν ἀπ' αὐτοῦ μηδενὸς, ἀλλὰ μήτε τῶν ἀμεθόδων Θεσσαλείων μηδενὸς φυλάξαντος αὐτάς. οὐδεὶς γοῦν ἐστιν ὃς οὐκ ἤτοι προσέθηκεν αὐταῖς ἄλλο ἢ ἀφεῖλεν ἢ μετεκόσμησέ πως. καίτοι γε οὐδ' εἰ πάντες οὗτοι συνεφώνουν ἀλλήλοις, οὐδ' οὕτω σμικρά τις ἦν ἡ διαφωνία πρὸς τοὺς ἄλλους αὐτοῖς. ὑπότε δ' ἐπ' ἐκείνοις ἅπασιν οὐδ' αὐτοὶ συμφέρονται, μόνος οὖν ἀπολείπεται ὁ Θεσσαλὸς ἔχων οὐδένα, πρὶν ἄχρι λόγου τοῦτον τὸν Ἰουλιανόν. ἔργῳ μὲν γὰρ ἐδείχθη καὶ οὗτος ἐναντιώτατα λέγων αὐτῷ καὶ ὅστις περὶ τούτου πεισθῆναι βούλεται, τοῖς περὶ τῆς μεθοδικῆς αἱρέσεως ὑπομνήμασιν ἡμῶν ἐντυχέτω. ἀλλὰ καίτοι μόνος ὁ Θεσσαλὸς εἰ φαίη τοῖς ὑπὲρ ἀληθείας ἀγωνιζομένοις ἀπόδειξιν εἶναι τὸ κριτήριον καὶ συμφωνίαν τῶν τοῖς ἄλλοις δοκούντων, οὐδεὶς αὐτοῦ καταγνώσεται, εἶτα Θεσσαλοῦ μὲν οὐ προκαταγινώσκομεν, ἅπασι τοῖς ἄλλοις διαφωνοῦντος Ἱπποκράτους, ᾧ πρὸς τοῖς ἀρίστοις ἰατροῖς οἱ κράτιστοι τῶν (341) φιλοσόφων μαρτυροῦσιν, ἀπιστήσομεν δ' ἐκ μόνης διαφωνίας;

ipſe communitatum parens, neque quisquam e ſuis ſectatoribus, imo neque iſtorum amethodorum Theſſaliorum ullus eas tuetur. Nullus enim eſt qui non illis quiddam aut addiderit aut detraxerit aut aliquo modo immutaverit. Atqui etiamſi omnes ipſi inter ſe convenirent, neque tamen ita parva eſſet cum reliquis diſcordia. Quum autem in illis omnibus ipſi non conſentiunt, ſolus relinquitur Theſſalus, neminem habens praeter hunc verbo tenus Julianum. Re namque demonſtratum eſt, eum quoque maxime ſibi contraria protuliſſe. Qui vero de his fidem accipere velit, noſtros de methodica ſecta commentarios adeat. Enimvero ſi ſolus Theſſalus pro rei veritate concertantibus dicat, demonſtrationem eſſe judicium, rerumque aliis apparentium conſenſum nemo ipſum damnaverit. Deinde vero nonne inprimis quidem Theſſalum a ceteris omnibus diſſidentem, etiam ab ipſo Hippocrate damnabimus? Qui praeter optimos medicos philoſophorum quoque praeſtantiſſimi atteſtantur, fidem diſſidii unius gratia

Ed. Chart. IX. [385. 386.] Ed. Baſ. V. (341.)

τίς ἂν τοῦτον ἀνασχέσθαι δύναται; τίς περιμεῖναι τῷ λόγῳ τοιούτῳ; τίς οὐκ ἂν ἀλγήσειεν ἀπολλὺς τὸν χρόνον εἰς ἀντιλογίαν ἀνθρώπου, μήθ' ὧν αὐτὸς εἶπε μεμνημένου μήθ' ὧν γράφει συνιέντος; ἀλλὰ αὐτὸ δὴ τοῦτο τὸ κατὰ τὴν παροιμίαν ὅ τι περ ἂν ἐπὶ γλῶτταν ἔλθοι φλυαροῦντος.

στ'.

Ἀλλὰ γὰρ ἐάσαντες ἤδη καὶ ταῦτα τῶν ἑξῆς εἰρημένων ἀκούσωμεν αὐτῷ καὶ πρώτης γε τῆς ῥήσεως, ἐν ᾗ φησι τὸν προκείμενον ἀφορισμὸν ῥίζαν τε καὶ πηγὴν ἔχειν τὸ ὅτι πλῆθος ὑγρῶν τῶν [386] νοσημάτων ἐστὶ συνεκτικὸν αἴτιον. ἄμεινον ἴσως κἀνταῦθα παραγράψαι τὴν ῥῆσιν ὅλην αὐτοῖς ὀνόμασι. γέγραπται δ' οὕτως ὑπ' αὐτοῦ αὐτίκα ὧδέ πως εἰρημένον. καιρὸς γὰρ ἤδη ἐπὶ τὴν ἐξ εὐθείας παρελθεῖν ἀντίῤῥησιν. ἐν τῇσι ταραχῇσι τῆς κοιλίης, ὡς τὸ παραλειπόμενον τοῦ ἀφορισμοῦ ἅπαν ῥίζαν τε καὶ πηγὴν

non adhibebimus? Quisnam hoc ferre poſſit? quis haſce nugas toleret? quis non potius doleat tempus in hominis controverſiam deperditum? Qui neque eorum quae ipſe dixit memor ſit neque ea quae ſcripſerit intelligat? imo quod eſt in proverbio quidquid in buccam venerit effutiat.

VI.

Sed enim his jam miſſis quae deinceps ab ipſo narrantur auſcultemus: primam nimirum ſententiam in qua praeſentem aphoriſmum eam continere morborum tum radicem tum frontem pronunciat, ſcilicet humorum plenitudinem continentem eſſe morborum cauſam. Praeſtiterit fortaſſis hic quoque textum ipſis vocabulis univerſum adſcribere. Sic autem ſtatim ab eo ſcriptum eſt quod hoc modo enunciatur. Jam enim tempus eſt e directo ad contradictionem accedere: *in alvi perturbationibus*, quod ejus aphoriſmi reliquum deeſt univerſum, eam continet radi-

Ed. Chart. IX. [386.] Ed. Baſ. V. (341.)

ἔχειν τὸ ὅτι πλῆθος ὑγρῶν νοσοποιεῖ τὰ σώματα, κατὰ ἔννοιαν συνεκτικοῦ αἰτίου, ὅθεν ἀποδεδειγμένον τὸ οὐκ ἐν ὑγροῖς εἶναι αἴτια τῶν παθῶν, ψευδὴς γὰρ ἡ δόξα συναποδέδεικται καὶ ἡ τοῦ ἀφορισμοῦ μοχθηρία, ὅτι ἀδήλῳ σπέρματι ἕπονται ψεύδη. αὕτη μὲν ἡ ῥῆσις αὐτοῦ· κάλλιστον δ' ἦν, εἴπερ ἀνεχώρει γενέσθαι θέατρόν τι πληρώσαντας, μὴ τοιοῦτον οἷον ὁ Θεσσαλὸς ὑποθέμενος ἐστεφάνωσεν ἑαυτὸν ἐν τοῖς ληρώδεσι βιβλίοις, ἀλλ' ὄντος μεσιοῦ ἀνδρῶν πεπαιδευμένων, ἐρέσθαι τὸν Ἰουλιανὸν, ὁποίας ὁρμώμενος ἀποδεικτικῆς μεθόδου τὸν εἰρημένον ὑπ' αὐτοῦ ἀληθῆ λόγον νομίζει. γενήσεται γάρ, εἴ τις ἑρμηνεύσει αὐτὸν, ἐν ᾧ προσήκει τοιούσδε· τοῖς ἡγουμένοις ἐπὶ ταῖς κενώσεσιν ὠφελεῖσθαι τοὺς κάμνοντας ἀναγκαῖόν ἐστι συνεκτικὸν αἴτιον ὑποθέσθαι τῶν νόσων πλῆθος. εἰ δ' ἀληθής ἐστιν ὁ λόγος οὗτος, ἡδέως ἂν ὡς ἐπαίδευσα θεάτρου πεπαιδευμένων ἀνδρῶν, ἵνα κἂν ἐκ τοῦ πλήθους αὐτῶν αἴσθηταί ποτε τῆς ἐμπληξίας ὁ ληρώδης Ἰουλιανός. ἐκ μὲν γὰρ αὐτῶν τῶν λεγομένων ἀδύναιον αἰσθέσθαι τοιούτῳ γε

cem, eumque fontem quod humorum plenitudo continentis cauſae ratione morbis afficiat corpora. Unde id demonſtratum eſt, humoribus non inſidere morborum cauſas; haec namque opinio falſa eſt; una quoque aphoriſmi pravitas demonſtrata eſt, quod obſcuram propoſitionem falſo ſequantur. Haec ſunt illius verba. Operae pretium ſane foret, ſi daretur a quibusdam conſtrui aliquod theatrum non tale quale Theſſalus inſtituens ſuis in libris nugatoriis ſe ipſum coronavit, ſed eruditis viris plenum ac in eo Julianum interrogari qua demonſtrativa methodo permotus arbitretur prolatam a ſe rationem veram eſſe. Nam ſi quis eam prout decet interpretetur, talis futura eſt. Qui exiſtimant morbis laborantes vacuationibus juvari, eos continentem morborum cauſam plenitudinem ſupponere neceſſe eſt; at ſi haec vera ſit oratio, lubenter in medio eruditorum virorum theatro illum interrogarem, ut ex eorum plenitudine ſuam ſtupiditatem nugatorius Julianus agnoſceret. Ex iis enim quae dicuntur, quum talis ſit, ſapere non poteſt.

Ed. Chart. IX. [386.] Ed. Baſ. V. (341.)

ὄντι. τοιοῦτος γάρ ἐστιν, οἷον ἑαυτὸν ἐνδείκνυσι διὰ τῶν γραμμάτων, ἀλλ' ὡς ἐν τῷ θεάτρῳ καλῶς ἐγχειρήσει ταῦτα καὶ νῦν ἐρῶ. ἡ τῶν Θεσσαλείων ὄνων ἀγέλη φλεβοτομοῦσι παμπόλλους τῶν πυρεττόντων. εἰ μὲν βλάπτεσθαι νομίζουσιν ἐκ τῆς κενώσεως αὐτοὺς, οὐκ ὀρθῶς φλεβοτομοῦσιν· εἰ δ' ὠφελεῖσθαι, συνεκτικὸν αἴτιον ὑποτεθέντες πλῆθος, ὅπερ οὐ βούλονται. τάχ' οὖν ἄν τις ἐξ αὐτῶν εἴποι· καὶ τίς ἀνάγκη συνεκτικὸν αἴτιον εἶναι τὸ πλῆθος ὠφελούσης τῆς κενώσεως; πρὸς ὃν ἀποκρίνεσθαί μοι ῥᾴδιον, ὡς ἀνάγκη μὲν οὐδεμία. λέγει δ' οὖν ταῦτα τῶν ἐκ τῆς ἀγέλης τῆς ὑμετέρας οὕτωσὶ καὶ δείξω τὸν Ἰουλιανὸν, ἐκεῖνόν τε φήσω δίκαιον εἶναι λόγον ὑπέχειν ὧν ἐλήρησεν. οὕτω μὲν ἐν τῷ θεάτρῳ προσηνέχθη τις αὐτῷ. νυνὶ δὲ, οὐ γὰρ ἔχομεν θέατρον, εἰς τὰς αὐλὰς λαβὰς ὀλίγοι ἥκουσι, πάντες ἄν τ' ἀληθεῖς ὑπάρχωσιν ἄν τε καὶ προφανῶς ψευδεῖς. Ἰουλιανός τε γὰρ ἀεὶ γράφει τὸ ἐπιὸν αὐτῷ, μηδεπώποτε φροντίσας ἀληθείας. ἔγωγε παρ' ὅλον ἐμαυτοῦ τὸν βίον οὐδὲν

Talis enim eſt, qualem ſe libris propriis prodit. At vero in theatro, prout haec probe tractaverit, etiam nunc explicaturus ſum; permultis febricitantibus Theſſaliorum aſinorum grex venam ſecat. Quod ſi ex vacuatione quidem ipſos laedi arbitrentur, non recte venam ſecant; ſi vero juvari continentem cauſam, plenitudinem eſſe ſupponunt, quod tamen nolunt. Fortaſſis eorum aliquis dixerit et quae neceſſitas cogit, conferente vacuatione, continentem cauſam eſſe plenitudinem? Cui reſpondere mihi eſt facile, nullam quidem eſſe neceſſitatem, de grege tamen veſtro is eſt qui iſta proferat, ac demonſtraturus ſum atque illum affirmaturus aequum eſſe ut quae nugatus eſt Julianus, eorum quaeſtionem tutetur. Sic in theatro quisquam cum eo egerit. Nunc vero, non enim theatrum habemus, ad ipſas excuſationes pauci veniunt, omnes ſive ſint veraces, ſive etiam aperte mendaces. Etenim Julianus, quod ipſi in mentem venit, ſcriptis mandat, veritatem non meditatus. Ego vero quum per meam totam

Ed. Chart. IX. [386. 387.] Ed. Baſ. V. (341.)

οὕτω σπουδάσας ὡς γνῶναι πρῶτον μὲν ἀποδεικτικὴν ἐπιστήμην, ἀσκηθῆναι δ' αὐτῆς αὐτὴν μετὰ πάσης σπουδῆς, ἔοικα κάμνειν μάτην. ὅσοι μὲν γὰρ ἀποδείξει παρακολουθοῦσι, τάχα μὲν καὶ γινώσκουσιν ὅτι μηδέπω τῶν Ἰουλιανοῦ ἐφιστάμενοι λήρων. ὅσοι δ' ἐκ τῆς ἀγέλης εἰσὶν αὐτοῦ τὴν ἀρχὴν οὐδὲν μανθάνουσι τῶν λεγομένων. διὰ ταῦτα τοίνυν αὐτὰ καὶ πρόσθεν ἔλεγον, οὐ μικρόν μοι τοῖον ἄθλον οἱ φίλοι προέταξαν, ὧν ἕνεκεν ἐπιστημονικωτέρων ἅψομαι λόγων. ἐχρῆν μὲν δήπου μὴ φθέγγεσθαι μόνον ὀνόματα τῆς διαφορᾶς τῶν αἰτίων προσήκοντα τὸν Ἰουλιανόν, ἀλλὰ καὶ φυλάττειν αὐτῶν τὰ σημαινόμενα. νυνὶ δὲ, καὶ γὰρ τοῦτο ἓν ἐστι τῆς ἀμπλήξιος ἅπαντων τῶν μεθοδικῶν κοινὸν, ἄχρι μὲν τῆς προσηγορίας ἥκει τῶν συνεκτικῶν [387] αἰτίων, οὐ παρακολουθεῖ δ' ὅπη διαφέρει τῶν προηγουμένων ἢ πάντως ἂν ἐγίνωσκον ὅτι ἡ τῶν νοσημάτων αὔξησις τῶν προηγουμένων ἔργων ἐστίν. ἃ γὰρ ὅλως ἤρξαιο τῆς γενέσεως τοῦ νοσήματος, ἀνάγκη ταῦτα αὐξάνειν αὐτὰ μέ-

vitam nulli rei unquam magis ſtuduerim, quam ut demonſtrandi ſcientiam primum addiſcerem, deinde vero ipſam omni ſtudio exercerem, fruſtra me laborare video. Nam qui demonſtrationes aſſequuntur, mox etiam agnoſcunt, ſe Juliani nugis nequaquam incumbere. Qui tamen ex illius grege ſunt, eorum quae dicuntur initium minime percipiunt. Propterea quae prius dicebam non leve mihi certamen amici praefinierunt, quorum gratia magis ſcientificas quaeſtiones tractaturus ſum. Enimvero oportebat Julianum non modo congruentia cauſarum differentiae vocabula proferre, ſed etiam eorum ſignificata obſervare. Nunc autem, etenim hoc unum eſt temeritatis omnium methodicorum commune, ad continentium cauſarum appellationem uſque pervenit, non tamen conſequitur, quomodo ab antecedentibus cauſis differant aut ii omnino agnoſcerent morborum incrementum ab antecedentibus cauſis prodire. Nam quae omnino morbis ortum dederunt et quoad ſimile quiddam egerint easdem adaugere neceſſe eſt.

Ed. Chart. IX. [387.] Ed. Baſ. V. (341.)

χρι περ ἐνεργῆ τι παρόμοιον. εἰ οὕτως ἔτυχε θριμὺ φάρμακον, ὡς ἑλκοῦν δύνασθαι, μιᾷ μὲν ὥρᾳ κατὰ τοῦ δέρματος ἐπιτεθὲν, αὐτὴν μόνην ἑλκώσει τὴν καλουμένην ἐπιδερμίδα. πλέονι δὲ χρόνῳ πλησιάζον ἔργον ἀξιόλογον ἐργάσεται πρώτου μὲν τοῦ δέρματος, εἶτα καὶ τῶν ὑποκειμένων σαρκῶν. καὶ τά γε καλούμενα σηπτὰ μέχρι μὲν τῶν ὑποκειμένων ὀστῶν ἐνίοτε προέρχεται, διακαίοντα τὴν ἐπικειμένην αὐτοῖς ἅπασαν σάρκα. τοιαύτην οὖν φύσιν ἐχόντων τῶν προηγουμένων αἰτιῶν, οὐχ οἷόν τε τὸ γεγονὸς ἤδη πάθος ἰάσασθαι μενόντων. ὅπου γὰρ ἐδείχθη μεῖζον γινόμενον, οὐκ ἂν δήπου τελέως ὑγιασθείη, πρὶν τὸ ποιοῦν ἀρθῆναι. τὰ τοίνυν προηγούμενα τῶν αἰτιῶν οἷόν περ καὶ τὸ πλῆθος, ὑποκείσθω γὰρ πρῶτον ἐν τῷδε τῷ λόγῳ προηγούμενον, εἰ μή τις ἐκκόψει πρότερον, ἀδύνατον αὐτῷ τὸ ἤδη γεγονὸς πάθος ἰάσασθαι καὶ διὰ τοῦτο Ἀσκληπιάδης πλῆθος ἡγεῖται προκατάρχειν νόσων, ὑπό τε τῆς κενώσεως αὐτῆς φησιν ὠφελεῖσθαι τοὺς κάμνοντας, οὐκ εἰς τὸ λύειν ὧν ἐποίει ἤδη

Si medicamentum exempli gratia adeo acre, ut exulcerare queat, cuti per horam impoſitum ipſam ſolam cuticulam epidermidem vocatam ulcerabit; ſi vero diutius admotum immoretur, opus inſigne peraget, cute primum, deinde ſubjectis ipſi carnibus corruptis, quin et quae ſeptica nominantur ad oſſa uſque ſubjecta interdum progrediuntur, ſuperpoſitam ipſis carnem univerſam exurentia. Itaque quum antecedentes cauſae hujusmodi naturam ſortiantur, fieri omnino non poteſt, ut his remanentibus procreatus jam morbus ſanetur. Ubi namque monſtratum eſt majorem morbum effici, niſi prius cauſa efficiens ſublata ſit, nequaquam ſane ſanitas integre revocatur. Sunt igitur cauſae antecedentes, cujusmodi quoque plenitudo eſt. Supponamus enim primum hac in ratione antecedentem cauſam, niſi quis prius exciderit, factum jam morbum ſanari non poſſe. Quamobrem Aſclepiades plenitudinem autumat morbos praecedere et ab illius vacuatione morbo laborantes juvari profitetur. Non quod illa, quos

Ed. Chart. IX. [387.] Ed. Baſ. V. (341.)

παθῶν, ἀλλ' εἰς τὸ μηκέτι αὔξεσθαι αὐτὰ, ἀπαιτεῖ τοῖς ἰατροῖς ἐπιτελεῖσθαι τὴν ἴασιν. ἀλλὰ γὰρ ὑποκείσθω τὸ πλῆθος γίγνεσθαί ποτε νόσων αἴτιον συνεκτικὸν, ἀναγκαῖον αὐτοῦ τῇ κενώσει παύσασθαι τὸ νόσημα. καὶ μὴν οὐδέποτέ ἐστιν, ὡς φησιν Ἀσκληπιάδης, συνεκτικόν. ἀποχωρήσαντας γὰρ ἐνταῦθα, ληρώδους Ἰουλιανοῦ βέλτιον Ἀσκληπιάδῃ διαλεχθῆναι, κἂν εἰ μηδὲν ἄλλο νομίμως ὑπάρχοντο σοφισῇ. λόγους γὰρ εἴωθεν ὁ ἀνὴρ οὗτος πιθανωτάτους ἐρωτᾶν, οὐκ ἀκόμψως πεπανουργημένους, ὅπερ ἦν ἔργον οἶμαι σοφιστοῦ. τοιοῦτος δὲ δή τίς ἐστι καὶ ὧν ἐφεξῆς ἔγραψεν Ἰουλιανὸς, οὐ μὰ τὸν Δία τῆς δυνάμεως αἰσθανόμενος ἑαυτοῦ. πάντα γὰρ ἂν ἐγεγράφει τοὺς τοιούτους, ἀλλ' ἀπομνημονεύσας εἰρημένων ὑπὸ Ἀσκληπιάδου. ὡς εἴ γε τῶν ἰδίων Ἰουλιανοῦ λόγων ἦν, ὁμοίως ἀνεφαίνετο τοῖς ἔμπροσθεν ληρώδης. ὁ τοίνυν Ἀσκληπιάδης φησὶν ὡς, εἴπερ ἦν συνεκτικὸν αἴτιον τὸ πλῆθος τῶν παθῶν ἐπὶ δαψιλέσι κενώσεσιν ἐνίοτε κατὰ τὴν ἀρχὴν τῆς νόσου γινομέναις, εὖ-

jam fecerat morbos ſolvat, ſed quod eos augeri nequaquam ſinat, ob idque a medicis, ut curationem abſolvant exigit. Sed enim ſupponatur plenitudinem interdum eſſe continentem morborum cauſam, neceſſarium eſt ipſius vacuatione morborum ſedari; atqui profecto nequaquam interdum, ut loquitur Aſclepiades, cauſa eſt continens. Praeſtiterit hic garrulo Juliano dimiſſo, cum Aſclepiade diſputationem inſtituere, qui etiam ſi niſi aliud legitime moliatur agit tamen ſophiſtam. Is namque vir rationes maxime probabiles proponere conſuevit, vafre tamen elaboratas quod ſophiſtae mea quidem ſententia munus eſt. Porro hujuscemodi quaedam eſt ratio, quam deinceps ſcripſit Julianus, quae per Jovem minime illius voces ſapit; cetera namque in hunc modum ſcripſiſſet, verum eorum meminit quae ab Aſclepiade prodita ſunt; quod ſi ex propriis haec eſſent Juliani rationibus ſimiliter ac in ſuperioribus garrulus videretur. Ait itaque Aſclepiades, quod ſi plenitudo eſſet cauſa morborum continens, factis per morborum initia copioſis vacuationibus ſtatim ab omnibus

Ed. Chart. IX. [387. 388.] Ed. Baſ. V. (341. 342.)

θὺς ἁπάντων ὀχληρῶν ὁ κάμνων ἀπαλλάττεται· νυνὶ δὲ φαίνεται πολλάκις αὐξανομένας τὰς νόσους ἤδη τοῦ πλήθους καθηρημένου. οὗτος ὁ λόγος ἱκανὸς πιθανός ἐστι καὶ διὰ τοῦτο δεῖται λύσεως ἰδίας, οὐ μὴν ἅπτεται τῶν κατὰ τὸν ἀφορισμὸν Ἱπποκράτους εἰρημένων. οὐ γὰρ ἐκ δόγματος ἐκεῖνα τὴν πίστιν ἔσχηκεν, ἀλλ' ἐκ λογισμοῦ κοινοῦ πάντων ἀνθρώπων, ᾧ καὶ τοὺς ἐμπειρικοὺς ἔφην χρῆσθαι, διο καὶ λύομεν αὐτὸν τὸν Ἀσκληπιάδου λόγον, οὐχ ὡς προσήκοντα τοῖς κατὰ τὸν ἀφορισμὸν εἰρημένοις. ἀλλ' ἐπειδὴ βέλτιον εἶναι δοκεῖ τῶν Ἰουλιανοῦ λήρων ἀνεσχημένον ἄχρι δεῦρο γυμνάσασθαί ποτε διαλεκτικώτερον ἀνθρώπῳ προσπελάσαντας ὅτι σοφιστῇ. ὅταν οὖν ὀνομάζῃ πλῆ- (342) θος ὁ Ἀσκληπιάδης, ἐρωτάτω αὐτὸν ὁπότερόν φησιν, ἆρά γε τὸ πρὸς τὴν δύναμιν, εἴτε τὸ πρὸς τὴν χώραν τῶν ἀγγείων, ὃ δὴ κατὰ τὸ ἔγχυμα καλεῖν εἰσιν εἰθισμένοι; [388] καὶ πότερον τὸ καθ' ὅλον τὸ σῶμα γιγνόμενον, ἢ κἂν ἐν μέρει τινὶ συνίσταται. τὸ μὲν οὖν ὡς πρὸς τὴν δύναμιν οὐδ' εἰ-

moleſtiis aegrotus ſolveretur. Nunc autem purgata jam plenitudine ſaepenumero morbos augeri conſpicimus. Haec ratio non eſt parum probabilis, proindeque propria eget ſolutione, non ea tamen attingit, quae in Hippocratis aphoriſmo pronunciata ſunt. Non enim illa ex decreto fidem adepta eſt, ſed ex communi omnium hominum ratiocinatione, qua etiam empiricos uti diximus. Quare illam Aſclepiadis rationem diluimus, non quod aphoriſmi pronunciato conſentanea ſit, ſed quoniam ſatius eſſe videtur, ut nos qui hucusque Juliani nugas pertulimus, exerceamus tandem magis logice cum homine congredientes qui ſophiſta eſt. Quum igitur plenitudinem nominat Aſclepiades, interrogetur ipſe utram intelligat an eam quae ad vires, an vero eam quae ad vaſorum capacitatem, quae ad affuſionem quoque vocare conſueverunt. Atque utrum univerſalis quae in univerſo corpore an particularis quae in parte aut pluribus conſiſtat? Enimvero quae ad vires ſpectat, ea ab ipſo enunciari non poteſt, qui

Ed. Chart. IX. [388.] Ed. Baf. V. (342.)

πεῖν αὐτῷ δυνατὸν ἀνηρηκότι τὰς δυνάμεις σχεδὸν ἁπάσας αἷς διοικεῖται τὸ ζῶον. τὸ δ' ὡς πρὸς τὴν χώραν τῶν ἀγγείων. ἔστι μὲν δήπου καὶ τοῦτο διττὸν ἢ τῷ καιὰ φύσιν μέτρῳ παραβαλλόμενον ἢ ψιλῷ καὶ μόνῳ τῷ μὴ τέγγεσθαι. δύναται δὲ ἑκάτερον αὐτῶν ἤτοι καθ' ὅλον ὑπάρχειν τὸ ζῶον ἢ καθ' ἕν τι μόριον ἢ πλείω. καὶ δέδεικται πρὸς ἡμῶν ἔν τε τοῖς ὑπομνήμασιν, ἐν οἷς τὰς αἰτίας τῶν συμπτωμάτων διερχόμεθα, κἀν τῷ τῶν παρὰ φύσιν ὄγκων, ὅτι ὁ σπασμὸς ἐνίοτε καὶ ὁ τρόμος ἥ τε φλεγμονὴ διὰ παντὸς ἐρυσίπελάς τε καὶ τὸ καλούμενον ὑπὸ τῶν νεωτέρων ἰατρῶν οἴδημα καὶ πρὸς τοίτοις ἕτερά τε πάθη πληθωρικὴν ὑπόθεσιν ἔχονται καὶ εἴ τις κενώσει τὸ πλῆθος, αὐτίκα τὸ μόριον εἰς τὸ κατὰ φύσιν ἐπανερχόμενον. εἴρηται δὲ καὶ περὶ τῶν συνεκτικῶν αἰτίων ἑτέρωθι δεικνύντων ἡμῶν ὅτι τε τοὔνομα καὶ τὸ πρᾶγμα αὐτό, καθ' οὗ τοὔνομα τῆς στωϊκῆς αἱρέσεώς ἐστι καὶ ὡς οὐκ ὀρθῶς ὑπειλήφασιν, οὔτ' ὀνομάζουσιν οἱ νεώτεροι τῶν ἰατρῶν ἅπαν τοῦτο τὸ γένος,

vires ſeu facultates fere omnes quibus animal regitur ſuſtulerit. Quae vero ad vaſorum capacitatem eſt, haec etiam utique duplex exſtat, tum ea quae menſura ſecundum naturam aeſtimatur tum ea quae hoc modo ſoloque quod perferri nequeat. Poteſt utraque plenitudo aut in univerſo animalis corpore aut in aliqua aut pluribus ejus partibus conſiſtere; atque a nobis demonſtratum eſt et his in commentariis quibus ſymptomatum cauſas explicavimus et in libro de humoribus praeter naturam convulſionem interdum et tremorem, inflammationem vero perpetuo et eryſipelas et quod a recentioribus medicis oedema vocatur et alios praeterea affectus fundamentum habere plethoricum et ſi quis plenitudinem vacuaverit, quam primum partem in eum qui ſecundum naturam eſt ſtatum redire. Verum de continentibus cauſis alibi enunciatum eſt a nobis, ubi oſtendimus tum nomen tum rem ipſam, cui id nomen eſt inditum, a ſecta ſtoica promanaſſe, neque recte juniores medicos univerſum hoc genus ſuſcipere,

Ed. Chart. IX. [388.] Ed. Baſ. V. (342.)

ὅτι τε καὶ ἡμεῖς ἑπόμενοι πολλάκις αὐτοῖς, ὅπως μὴ δόξωμεν ἐρίζειν ὑπὲρ τοῦ ὀνόματος, ἔνια μὲν τῶν αἰτιῶν οὕτω καλεῖσθαι συγχωροῦμεν, οὐ μὰ Δία, ὅσα τῶν ἁπλῶν ὄντων ἐστὶν, ἀλλὰ τῶν ἐν τῷ γίγνεσθαι τὸ εἶναι κεκτημένων. ἐν τούτῳ μὲν ἡ λύσις τοῦ σοφίσματος. ἅπαντα δὲ μεταφέρειν ἐνταῦθα τῆς Ἰουλιανοῦ φλυαρίας ἔργον οὐχ ἡμέτερον, ἀλλ' ἐφ' ἕτερόν τι τῶν προβεβλημένων ἴωμεν ὃ κοινῇ πρὸς ἅπαν ἐστὶ τῶν ἐν ὑγροῖς αἰτίων τὸ γένος ὑπάρχει διττὸν, ἐν πλήθει μὲν τὸ ἕτερον, ἐν διαφθορᾷ δὲ τὸ ἕτερον, ἀλλ' ἀμφοῖν γε ῥᾴδιον ἔσεσθαί φασι τὴν ἴασιν, ἐν ἀκαρεῖ χρόνῳ δυναμένων ἡμῶν καὶ τοῦ πλεονάζοντος ἀποχέεσθαι τὸ περιττὸν καὶ τὸ διεφθαρμένον ὅλον ἐκκενῶσαι, ὥστ' οὐδέποτε χρονίσειν νόσημα. τοῦτον οὖν τὸν λόγον οὕτως ὄντα σαφῆ τε ἅμα καὶ σύντομον ἀσαφῶς καὶ μακρῶς ὁ Ἰουλιανὸς ἔγραψε κατὰ τήνδε τὴν ῥῆσιν· αὐτίκα ἐν τῷ ἀφορισμῷ λῆμμα συνηρπάσθαι οὐκ ἀποδεδειγμένον τὸ ὅτι ὑγροῦ πλῆθος νοσοποιεῖ ἢ μεταβολὴ πρὸς τὸ οὐκ οἰκεῖον τῆς ἰδίας ποιότη-

neque nominare ac nos plerumque eos ſequentes de nominibus contendere videamur, nonnullas cauſas ſic vocari concedere. Non mehercule quae abſolute entia ſunt, ſed quae in fieri ſuam ſortiuntur eſſentiam in his poſita eſt hujus ſophiſmatis ſolutio. Ceterum omnes Juliani nugas huc transferre noſtri non eſt muneris, ſed ad alterum quoddam eorum quae objecta fuere procedamus, quod ad omnia commune ſit. Quae cauſae in humoribus conſiſtunt, earum duplex genus exiſtit; alterum quidem in plenitudine, alterum vero in corruptela. Porro facilem ajunt utriusque fore curationem, quum momento temporis nos poſſimus quod redundantis humoris eſt ſupervacaneum effundere et quod corruptum eſt ita univerſum evacuare, ut nequaquam morbus perduraturus ſit. Hanc ſane rationem dilucidam ſimulque conciſam Julianus obſcure prolixeque hisque verbis deſcripſit. In hoc ſtatim aphoriſmo lemma extortum eſſe inde monſtratum eſt, nimirum quod humorum plenitudo aut ex propria qualitate in alienam permu-

Ed. Chart. IX. [388.] Ed. Baſ. V. (342.)

τος ὄνομα ἰατρῶν παῖδες ἔθεντο κατὰ τοῦ ὅλου εἴδους διαφθορὰν, ὥστε τοῦ νοσοποιοῦ ἀποκρινομένου ὠφέλειαν ἔσεσθαι φαντάζεται σφόδρα. τὰ μὲν πρόσθεν τὴν ἀπὸ τοῦ ἀμάχου φαινομένην κρίσιν, ὑγροῦ τινος ἐν τῷ σώματι πλῆθος, τῆς νόσου τὸ αἴτιον εἶναι νομίζειν ἢ οὐ πλῆθος μὲν, προπὴν δέ. ἀδιανόητον γὰρ καὶ πρὸς τὴν ἀλήθειαν ἀσύμφωνον τόδε τυγχάνειν. ὤμην γὰρ τὰ πάθη εὔλυτα πάντα καὶ ἂν ἦν τι χρόνιον, ἥ τε θεραπεία πᾶσα μονοειδὴς, οὐδ' ἠντιναοῦν δυσχέρειαν ἐργώδη ἔχουσα. ἁπλοῦν γὰρ ἦν ἐκ παρακειμένου κενῶσαι τὸ νοσοποιοῦν καὶ αὐτίκα ἐν ἀρχῇ καὶ κατὰ τὴν πρώτην ὑπόστασιν λύειν τὸ πάθος, ὥσθ' ἑνὸς δεῖσθαι μόνου κενωτικοῦ βοηθήματος καὶ τοῦτο παρὰ πάντα καιρὸν ἐνεστῶτα πεσόντα ὁρίζειν καὶ αἵματος μὲν ὄντος μόνῃ ἀρκεῖσθαι φλεβοτομίᾳ, φλέγματος δὲ φλεγμαγωγῷ, χολῆς δὲ χολαγωγῷ.

---

tatio morbos efficiat, cui univerſae ſpeciei corruptelae nomen medicorum filii impoſuerunt. Quare quin efficiens morbi cauſa excernitur, ingens fore praeſidium imaginantur, quumque etiam augurentur, ex praecedentibus citra contentionem criſis apparere et conjiciant humoris alicujus in corpore plenitudinem morbi cauſam eſſe, aut non plenitudinem quidem, ſed permutationem, vix ſane id mente percipi poteſt, neque ad veritatem accedit conſonum. Putarem enim morbos omnes ſolutu faciles, nullumque fore diuturnum et omnem curationem uniusmodi, quae quodcunque operoſum negotium ſortiatur. Simplex ſiquidem et in promptu eſſet evacuare quod morbum creat ac ſtatim in principio ac primo morbi ſtatu morbum ita ſolvere, ut unico ſolo evacuante praeſidio et eo quocunque tempore ſe occaſio obtulerit. Atque ſi ſanguis exuberans cauſa ſit, ſola phlebotomia, ſi pituita, phlegmagogum, ſi bilis, cholagogum ſit ſatis.

Ed. Chart. IX. [389.] Ed. Baſ. V. (342.)

ζ'.

[389] *Αὕτη μὲν ἡ τοῦ Ἰουλιανοῦ ῥῆσις. ἔστι δ', ὡς ἔφην, ὁ κατὰ ταύτην λόγος τοιόσδε· εἴπερ ἐν ὑγροῖς εἴη τὰ τῶν νόσων αἴτια, δυνατόν ἐστιν ἡμῖν ἐν τάχει κενοῦν αὐτὰ μηδενὶ νοσήματι χρονίζειν ἐπιτρέπειν. ἀλλὰ μὴν χρονίζει γε πολύ, κἂν κατὰ τὴν ἀρχὴν αὐτῶν ἱκανῶς ἐκκενώσομεν τὸ σῶμα. οὐκ ἄρα εἰσὶν ἐν ὑγροῖς τὰ αἴτια. ἀλλ' ὅ γε λόγος οὗτος, εἰ μὲν περὶ τοῦ πρὸς τὴν χώραν τῶν ἀγγείων ἐν ὅλῳ τῷ σώματι συνισταμένου πλήθους ἐστὶν, ἀληθὴς ὑπάρχει. βουληθέντες γὰρ εὐθέως ἐν ἀρχῇ τῆς νόσου κενῶσαι τὸ περιττὸν, ἐκκενοῦμεν ἅπασαν πληθωρικὴν διάθεσιν. εἰ δὲ καὶ περὶ τοῦ κατά τι μόριον, ἐν ᾧ καὶ πλεῖον γιγνόμενον ψευδές. ἐπιδέδεικται γὰρ ἡμῖν ἐκεῖνο τὸ πλῆθος οὐκ ἀεὶ κενοῦσθαι ταχέως δυνάμενον. οὕτω δὴ καὶ περὶ τῆς διαφθορᾶς ὁ λόγος ἐρωτώμενος πρόχειρον ἔχει τὴν λυσιν, οὐ γὰρ οἷόν τε ταχέως αὐτὴν ἐκκενῶσαι, καθάπερ ἐξ ἀσκοῦ τινος ἢ πίθου. κἂν ἐκ τούτων ὅλων ἐκκενώσαιμεν πῇ ποτε τὸ μοχθηρὸν ὑγρὸν οὐκ εὐθέως ἀντεγχέο-*

VII.

Is ipſe eſt Juliani textus, ad quem, ut dixi, hujusmodi ſpectat ratio. Si in humoribus cauſae conſiſterent, nos quam primum eos vacuare poſſumus, neque permittere morbum ullum fieri diuturniorem. At certe morbi etiamſi in principio corpus abunde vacuaverimus, diuturno nihilominus tempore morantur. Quare non in humoribus cauſae ſitae ſunt. Verum ſi haec de plenitudine ad vaſorum capacitatem ratio ſit quae in univerſo corpore conſiſtat, vera eſt; ubi namque per initia morbi quod ſupervacaneum eſt, vacuare conſuluerimus, plethoricum affectum univerſum etiam evacuabimus. Si vero de particulari quadam plenitudine in qua exuberat humor, falſa. A nobis enim oſtenſum eſt hanc plenitudinem non ſemper derepente vacuari poſſe. Ita ſane de corruptione quaeſita ratio expeditam habet ſolutionem. Non enim ipſa poteſt etiam ut ex utre quodam aut dolio propere vacuari. Etiam ſi ex his omnem pravum humorem eo

Ed. Chart. IX. [389.] Ed. Baſ. V. (342.)

μὲν ἕτερον χρηστὸν, ἀλλὰ διανίψαντες καὶ πλύναντες ἀκριβῶς τὸ ἀγγεῖον. ἆρ' οὖν οὕτω δυνατὸν ἐν ἀνθρώπου σώματι κενῶσαι μὲν τὸ διεφθαρμένον αἷμα, χρηστὸν δὲ ἀντεγχέειν παραχρῆμα τοῖς ἐκείνου μορίοις, ἄξιον τοῦτο. πῶς οὖν ἐν τάχει φασὶ δύνασθαι κενωθῆναι τὴν διαφθοράν; οὕτως ὡς καὶ τἄλλα πάντα λέγουσιν εὐχερῶς, οὐδενὶ προσέχοντες τὸν νοῦν, οὐδὲ μετὰ περισκέψεως ἀκριβεστέρας ὅλον ἀθροοῦντες τὸ πρᾶγμα. καὶ μὴν καὶ χολῆς περιεχομένης ἐν τῷ σώματι πολλῆς, ἄνευ μὲν πυρετοῦ ῥᾴδιον ἐκκενῶσαι πολλάκις. εἰ δ' ἁλῶναι φθάσειεν ὁ ἄνθρωπος ὀξεῖ πυρετῷ, χαλεπώτατον. οὐ γὰρ οὔτ' ἐγχωρεῖ χρῆσθαι καθαίροντι φαρμάκῳ ἀκινδύνως. ὁμοίως δὲ καὶ περὶ φλέγματος ἔχει καὶ τῶν ὀρῶδῶν περιττωμάτων. εἴρηται δὲ καὶ περὶ τούτων ἁπάντων ἐν ἄλλαις πραγματείαις καὶ χρὴ τὸν βουλόμενον ἀκριβῶς τι γνῶναι περὶ αὐτῶν ἐκεῖθεν ἐκμανθάνειν. ὅτι μὲν οὖν ἡ φλεγμονὴ πληθωρικόν τι νόσημά ἐστιν, οὐκ ἐν αὐτοῖς μόνοις τοῖς ἀγγείοις στεγομένου τοῦ πλήθους,

modo vacuaverimus, non tamen illico bonum alterum, niſi deterſo prius et accurate eloto vaſe infundimus. Num igitur in hominis corpore corruptum quidem ſanguinem ita vacuare poſſumus, bonum vero pro eo corporis partibus quamprimum affundere? hoc utique expetendum eſſet. Quomodo igitur proferunt ſanguinis corruptionem derepente vacuari poſſe? Sic ut et alia omnia facile proloquuntur, nulli rei mentem adhibent, neque cum accuratiore circumſpectu rem univerſam colligunt. Enimvero quum copioſa bilis in corpore continetur, citra febrem ſaepenumero facilis erit ejus vacuatio. Sed ſi prius hominem acuta febris invaſerit, perardua. Non enim purgante uti medicamento citra periculum conceditur. Eodem modo et de pituita et de ferosis excrementis ſe res habet. Atque de his omnibus in aliis operibus dictum eſt et qui de iſtis aliquid accurate noſſe velit, eum illinc ediſcere oportet. Quod igitur phlegmone quidam morbus ſit plethoricus a plenitudine non in ſolis ipſis vaſis coacta, verum etiam vacua

Ed. Chart. IX. [389. 390.] Ed. Baſ. V. (342.)

ἀλλὰ καὶ τας ἐν τοῖς μυσὶ χώρας κενὰς ἁπάσας καταλαμβάνοντος, ἐξ ἐκείνου μάλιστα μαθήσῃ τοῦ γράμματος, ἐν ᾧ περὶ τῶν παρὰ φύσιν ὄγκων ὁ λόγος ἐστί μοι. ὅτε δ' οὐχ οἷόν τε φλεγμονὴν ἅπασαν ἰάσασθαι ταχέως, ἐν τοῖς θεραπευτικῆς μεθόδου γράμμασιν εἴρηται, κατ' ἐκεῖνα μάλιστα τὰ βιβλία, δι' ὧν ἡ μέθοδος δείκνυται τῆς περὶ τῶν παρὰ φύσιν ὄγκων ἰάσεως. ἐνίοτε γὰρ οὕτως ἰσχυρῶς καὶ δυσλύτοις ἐμπλάττονται ταῖς σαρξὶ γλίσχροι καὶ παχεῖς χυμοὶ, ὥστε κίνδυνον εἶναι χρονιζόντων αὐτῶν ἀκολουθήσειν σκίῤῥον. ἀλλ' οἱ μηδὲν τούτων εἰδότες, ἐξ ὧν ἀγνοοῦσι τὰ τῆς τέχνης ἐπίκαιρα κατηγορεῖν Ἱπποκράτους. καίτοι γε ἀντιστρέψας ἄν τις, εἰ μὲν ἤτοι ψυχθείη τῶν στερεῶν σωμάτων ἢ θερμανθείη, ῥᾳδίαν ἔσεσθαί φησι [390] τῆς εἰς τὰ κατὰ φύσιν ἐπάνοδον αὐτῷ, καθάπερ γε καὶ εἰ πυκνωθείη ποτὲ ἢ μανώτερον γεννηθείη. τό τε γὰρ ψυχθὲν θερμῆναι καὶ τὸ θερμαθὲν ψύξαι καὶ τό τε πυκνωθὲν ἀραιῶσαι καὶ τὸ μανωθὲν πυκνῶσαι χαλεπὸν οὐθέν. ἐμπεπλασμένον δὲ χυμὸν ἢ γλίσχρον ἢ παχὺν ἐν σαρκώδεσι μορίοις

omnia muſculorum loca occupante illo praeſertim libro didiceris, in quo de humoribus praeter naturam nobis eſt oratio. Quod vero omnis phlegmone derepente curari nequeat, in libris methodi medendi demonſtratum eſt; in illis potiſſimum libris quibus curationis tumorum praeter naturam methodus explicatur. Interdum enim ita vehementer ac tenaciter infarciuntur carnibus lenti craſſique humores, ut periculum ſit, ne ſi diutius ipſi immorentur ſcirrhus ſubſequatur. Verum qui nihil eorum norunt, quod maxime neceſſarias artis partes ignorent, Hippocratem damnant. Atque his obvertens aliquis ſive aliquod ſolidum corpus refrixerit, ſive incaluerit, facilem ipſi fore dicat in naturalem ſtatum reditum, quemadmodum etiam ſi denſius aut rarius evaſerit. Etenim refrigeratum caleſacere et caleſactum refrigerare, etiam denſatum rareſacere et rareſactum denſare, non arduum. At humorem lentum craſſumque carnoſis partibus infarctum vacuare perquam ar-

Ed. Chart. IX. [390.] Ed. Baſ. V. (342. 343.)

ἐκκεινῶσαι χαλεπώτατον. ὅπου γὰρ δὴ καὶ τὸν ἐκ τούτων τῶν ἀγγείων τῶν ἀραιῶν ἐκκαθῆραι ῥύπον οὐκ εὐπετὲς, ἢ πού γε τῶν σαρκοειδῶν ἕνεκεν. ὥσιε πάνυ μοχθηρὸς ὁ λόγος αὐτὰς ἐν ὑγροῖς αἰτίοις ἐναντιωτέρας εἶναι φάσκων ἀεὶ τῶν ἐν τοῖς στερεοῖς. εἰ μὲν γὰρ ἁπλῶς πλῆθος εἴη, καθ' ὅλην τοῦ ζώου τὴν ἕξιν ἐν τοῖς ἀγγείοις περιεχόμενον, ὅπερ ἰδίως ὀνομάζουσι πλῆθος, ἕνεκεν τε παραχρῆμα κενῶσαι τοῦτο καὶ τῶν συμπιωμάτων ὁ κάμνων ἀπαλλαγήσεται δι' αὐτοῦ. κακοχυμίας δέ τινος ἢ διαφθορᾶς ὑπαρχούσης ἀδύνατόν ἐσιι διὰ κενώσεως ἀθρόας ἰάσασθαι τὸν ἄνθρωπον, καὶ μέντοι καὶ φαίνεται ταῦθ' οὕτως γιγνόμενα. πολλοὶ μὲν γὰρ βαρυνόμενοί τε τὸ σῶμα καὶ τάσεως αἰσθανόμενοι παραχρῆμα τῶν συμπτωμάτων ἀπηλλάγη- (343) σαν ἐπὶ ταῖς φλεβοτομίαις. ἔνιοι δὲ μῆνα ὅλον ὑπὸ διαφθορᾶς ὀχλούμενοι διετέλεσαν, μήτ' ἀθρόως ἐκκενῶσαι τὸ μοχθηρὸν αἷμα δυναμένων ἡμῶν μήθ' ἕτερον ἀντεγχέαι χρηστόν. ἐκ μὲν γὰρ τῶν σίτων δήπου καλῶς κατεργασθέν-

duum eſt. Ubi enim ex his vaſis etiam patentibus ſordes expurgare facile non eſt, multo minus ex carnoſis partibus prompte expurgabuntur. Quare admodum prava eſt ratio, quae ipſas in humoribus exiſtentes cauſas, quae ſolidis inſident partibus magis eſſe contrarias aſſeverat. Nam ſi plane per univerſum animalis habitum in vaſis plenitudo contineatur, quam proprie plethos nominant; hanc quoque ex tempore vacuare expedit et ipſa vacuatio ne qui morbo laborat ab omnibus ſymptomatibus liberabitur. Sed quum pravus adeſt humor aliquis aut corruptela, copioſa vacuatione aegrum hominem ſanitati reſtituere fieri non poteſt. Et haec ſane ita contingere conſpiciuntur. Enimvero plerique tum gravi corpore tum ſenſionis ſenſu affecti venarum ſectionibus ab iis ſymptomatibus quam primum liberati ſunt. Nonnulli vero qui corruptela per menſem integrum venari permanſerunt, nequeuntibus nobis pravum ſanguinem vacuare, neque in illius vicem alterum meliorem refundere. Nam ex cibis

Ed. Chart. IX. [390.] Ed. Baf. V. (343.)

των ἐν τῷ τοῦ ζώου σώματι, γεννᾶσθαι τὸ χρηστὸν αἷμα πέφυκεν. ἐν αὐτῷ δὲ τῷ προσφέρειν τροφὰς ἐπιτηδείους, κίνδυνός ἐστι τῷ προϋπάρχοντι μοχθηρῷ συνδιαφθαρῆναι τὸ χρηστὸν, ὅθεν οὐδὲ πᾶσαν οἴονται διαφθορὰν ἰάσασθαι, ἀλλ' ἐκείνην μόνην, ἐφ' ἧς ἰσχυρὸν μὲν ἔτι τὸ σῶμά ἐστιν, ἡ δύναμις δ' εὔρωστος. οὐ μὴν ἰῶδες ἐγένετο τὸ αἷμα παντάπασιν, οὐδ' ὅσον συνδιαφθεῖραι τὴν ἐπιῤῥέουσαν τροφὴν, ἀλλ' αὐτὸ μᾶλλον ὑπ' ἐκείνης ἐπικραθῆναι. οὐ μὴν οὐδὲ ὅταν τὸ πρὸς τὴν δύναμιν πλῆθος συστῇ, δυναιὸν ἰάσασθαι ταχέως αὐτὸ, συγκαταλυομένης ἐνίοτε τῇ κενώσει τῆς δυνάμεως. εἴρηται δὲ ἡμῖν καὶ περὶ τῆς διαθέσεως τῆς τοιαύτης ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ. ὀλιγάκις οὖν ἐπὶ τῇ κενώσει τὸν ἄνθρωπον δείξεις ὑγιαίνοντα παραχρῆμα. γενήσεται μέντοι ποτὲ τοῦτο, καθάπερ καὶ φαίνεται καὶ δείκνυσιν ἐναργῶς καὶ πεῖρα τοῦ λόγου τὴν ἀλήθειαν. ἔνιοι γὰρ ἐπὶ ταῖς κενώσεσιν αὐτίκα πάντων ἀπαλλάττονται τῶν ὀχληρῶν, ἀλλ' οὐδ' ἴσασι τὰς διαθέσεις αὐτῶν οἱ ἰατροὶ πάντες, οὔτ' εἰ γινώσκουσιν, εὐθέως δια-

nimirum in animalis corpore probe confectis bonus procreari ſanguis conſuevit; periculum autem eſt tum idonea offerri alimenta tum bona cum praecedente pravo ſimul corrumpi. Unde neque omnem corruptelam curari autumant, ſed illam ſolam, in qua validum etiam corpus et vires robuſtae ſunt. Non eam certe in qua ſanguis prorſus aeruginoſus factus eſt aut qui quod affluit alimentum ſimul corrumpit aut qui potius ab eo corrumperetur. Neque praeterea quum ad vires plenitudo conſiſtat, ipſa cito curari poteſt, quum interdum ſimul cum vacuatione vires diſſolvantur. At de hujusmodi affectu a nobis in opere de methodo medendi dictum eſt. Raro itaque vacuatione hominem derepente convaleſcere oſtenderis. Attamen hoc interdum continget, quemadmodum et apparet et rationis veritatem dilucide demonſtrat experientia. Nonnulli namque omnibus moleſtiis derepente liberantur, neque tamen omnes medici hos affectus agnoſcunt, neque ſi agnoſcunt,

Ed. Chart. IX. [390. 391.] Ed. Baſ. V. (343)

γινώσκειν δύνανται. οὗτοι τοίνυν οἱ μάλιστα ληροῦντες, ὧν εἰ χρὴ τἀληθὲς εἰπεῖν, ὁ κορυφαῖός ἐστιν Ἰουλιανὸς, ἀνομίλητος μὲν ἀεὶ διατελέσας τοῖς ἔργοις τῆς τέχνης. ἐξ ὧν δὲ αὐτὸς γιγνώσκει θρασυνόμενος, ἀλλ' ἡμεῖς γε δι' αὐτῶν τῶν ἔργων τῆς τέχνης πολλάκις ἐδείξαμεν ἐπὶ τῇ κενώσει τοῦ πλήθους ἑκατέρου παραχρῆμα τοὺς ἀνθρώπους ὑγιασθέντας. ἑκάτερον δὲ λέγω, τό θ' ὡς πρὸς τὴν χώραν τῶν ἀγγείων, ὃ καὶ πληθώραν ὀνομάζουσι, τό τε πρὸς τὴν δύναμιν, ὅταν μὴ καταλύηται τῇ κενώσει. ταῦτα μὲν οὖν ὅταν ἄρξηται ταὐτῶν ἐπισκέπτεσθαι τοὺς ἀρρώστους, ἅμα τοῖς ἐπισταμένοις ἰάσασθαι μαθήσεται.

η'.

[391] Τὰ δ' ἑξῆς ἴδωμεν, ἐν οἷς τὸν Ἀσκληπιάδου λόγον ὁ Ἰουλιανὸς μεταχειρίσεται, τοῦτον δὴ τὸν πολυθρύλητον, ὡς οὐχ ἕλκει τῶν οἰκείων χυμῶν ἕκαστον τῶν καθαιρόντων φαρμάκων, ἀλλ' αὐτὸν γεννᾷ. λέλεκται δέ μοι

eos illico dignoſcere queunt. Hi ſunt igitur qui maxime nugantur, quorum, ſi verum dicere oporteat, coryphaeus eſt Julianus, qui nunquam in artis operibus verſatus, ex his tamen quae ipſe novit audax redditur. Nos vero ipſis artis operibus plerumque oſtendimus ab utriusque plenitudinis vacuatione confeſtim homines ſanitati reſtitutos fuiſſe. Utramque autem dicimus, et eam quae ad vaſorum capacitatem ſpectat, quam et plethoricam nominant, et eam quae ad vires, quum vacuatione non diſſolvatur. Atque haec ubi quis incipiat una cum peritis ipſis in aegrotis animadvertere, mederi perdiſcat.

VIII.

Quae ſequuntur perſpiciamus, in quibus Aſclepiadae rationem tractandam ſuſcipit Julianus, hanc certe pervulgatam, quod purgantium medicamentorum unumquodque familiarem ſibi humorem attrahat, ſed ipſum generet. At

Ed. Chart. IX. [391.] Ed. Baſ. V. (343.)

πεϱὶ τούτου βϱαχέα μέν τινα καὶπὶ τῆς τελευτῆς τοῦ πεϱὶ τῶν καθ' Ἱπποκϱάτην στοιχείων, ὥσπεϱ κἀν τῷ πϱώτῳ τῶν φυσικῶν δυνάμεων. ὕστεϱον δὲ τῶν ἑταίϱων ἀξιωσάντων καὶ δι' ἑνὸς ὅλου γϱάμμαιος, ὃ πεϱὶ τῶν καθαιϱόντων φαϱμάκων δυνάμεως ἐπιγέγϱαπται, τὸν μὲν ὅλον λόγον ὃ βουλόμενος ἐξ ἐκείνων μανθανέτω, τοῖς δ' ὑπὸ Θεσσάλου εἰϱημένοις, ἐνταῦθα ἀπανθήσω πϱοσγϱάψας αὐτὰ κατὰ λέξιν. ἀθλητὴν γὰϱ λαμβάνοντες εὐέκτην ὃν βούλονται κατὰ φύσιν ἔχοντα, χϱηστῆς τούτῳ τῆς ὕλης ἐν τῷ σώματι ὑποκειμένης καὶ ἀτϱέπτου καθαϱτικὸν δίδομεν καὶ δείκνυμεν τὰ ἀποκϱινόμενα καὶ σφόδϱα διεφθοϱότα. εἶτ' ἐπιλογιζόμεθα μηδενὸς ἐνίστασθαι δυναμένου πϱὸς τὸ λεγόμενον ἐναντιωτικῶς, ὡς δὴ ἃ νῦν ἐκκϱίνεται, ὀϱιμύτατά τε καὶ διεφθαϱμένα, πϱὸ μὲν τοῦ καθαϱτικοῦ οὐχ ὑπόκειται τοιάδε τῷ ἀθλητῇ, εὐέκτης γὰϱ ἐτύγχανεν ὤν. λείπεται οὖν μηδὲν ἄλλο ἡμᾶς δύνασθαι λέγειν ἢ ὅτι ὑπὸ τοῦ φαϱμάκου ἀμφότεϱα γίνεται, πϱῶτον μὲν τὸ τὴν ὕλην μεταβάλλειν

ea de re pauca quaedam a nobis prodita ſunt in fine libri de elementis ſecundum Hippocratem, ut et in primo de naturalibus facultatibus, poſterius demum amicis rogantibus, integro uno libro qui de purgantium medicamentorum facultatibus inſcriptus eſt. Quare qui univerſam doctrinam deſiderat ex illis ediſcat. Hic autem rebus a Theſſalo propoſitis reſponſurus ſum ipſis ad verbum adſcriptis. Nam quem velint athletam accipiamus bono habitu praeditum, qui ſecundum naturam ſe habeat, huic quum bono firmoque in corpore materiam adeſſe ſupponimus, purgans medicamentum exhibemus et quae excernuntur ea admodum eſſe corrupta oſtendimus; mox vero colligimus, quum his nemo repugnare queat adverſus id quod contrarie dicitur, quae nunc et accerrima et corrupta excernuntur, ea ante purgans medicamentum athletae minime talia ſubjici conſueviſſe, bono ſiquidem erat habitu. Relinquitur igitur nihil nos affirmare poſſe quam utraque a purgante medicamento gigni; primum enim

Ed. Chart. IX. [391.] Ed. Baf. V. (343.)

εἰς διαφθορὰν, δεύτερον δὲ καὶ ἀποκρίνεσθαι, εἴτε δι' ἐμέτου εἴη εἴτε διὰ γαστρός. αὕτη μὲν ἡ τοῦ Θεσσαλοῦ ῥῆσις· ἀκούσατε δὲ καὶ πρὸς ἡμῶν ἐν μέρει ὡς τὸ καθαίρεσθαι πάντας χυμοὺς τὸν εὐέκτην οὐ μᾶλλόν τι τοῦ γεννᾶσθαι νῦν ἐστι δηλωτικὸν ἢ τοῦ περιέχεσθαι πρόσθεν. μάτην οὖν εἴρηκε μηδ' ἑτέραν γε τῶν αἱρέσεων, μήτ' ἀνατρέπων ἐξ ἀνάγκης μήτε κατασκευάζων. εἰ δὲ τῶν ὑπαγόντων τι τὴν γαστέρα διδοῖεν, ἀλλ' οὐ φαρμακῶδές γε τοῦτό ἐστιν αὐτοῖς, οὐδ' ὥσπερ ἀναίσχυντος Θερσίτης δίομεν λέγειν καὶ δείκνυμεν, μήτε δοὺς αὐτὸς ἢ δείξας πώποτε, μηδ' ἄλλου δόντος ἢ δείξαντος θεασάμενος. οὐ μὴν ἡμεῖς γε τοιοῦτοι τολμῶντες λέγειν ἢ γράφειν ἃ μὴ πράττομεν, ἀλλὰ τοῖς ἔργοις αὐτοῖς πρότερον ἀποδεικνύντες τἀληθές, τηνικαῦτα τὴν ἀμφ' αὐτὰ τέχνην ἐξηγούμεθα, ἅπερ ἐστὶν ἀκοῦσαι τῶν ἐκ τῆς ἀγέλης τοῦ Θεσσαλοῦ, πόσους μὲν ὑδερικοὺς ὑδραγωγῷ φαρμάκῳ καθήρας αὐτίκα τὴν γαστέρα προσεσταλμένην ἀπέφηνα, πόσους ἰκτεριῶντας χολαγωγῷ

materiam in corruptionem permutari, alterum etiam ipſam excerni ſive ſurſum vomitu ſive per alvum dejectionibus. Is quidem Theſſali textus eſt. Verum a nobis ſigillatim audiviſtis proſpere valenti omnes humores purgari id non magis quod tunc generentur declarare, quam quod antea continerentur. Fruſtra igitur haec protulit, quibus neutram ſectam neceſſario evertat aut adſtruat. Quod ſi quid alvum ſubducens dederit, non ſane ipſis eſt medicamentoſum. At non quemadmodum inverecundus Therſites exhibemus, inquit, ac demonſtramus, quum ipſe nunquam dederit vel oſtenderit, neque exhibentem alium aut oſtendentem viderit. Nos autem profecto tales non ſumus, qui quae non facimus ea dicere aut ſcribere audeamus. Imo ipſis operibus, ubi prius verum oſtenderimus, tunc his ipſis artem explicamus, quae licet ex iis audire qui de Theſſali grege ſunt. Quod enim hydropicos oſtendimus, medicamento aquas educente purgatos, quibus illico venter detinuit? Quot ictero laborantes, quibus

Ed. Chart. IX. [391. 392.] Ed. Baf. V. (343.)

παραχρῆμα τὸν ἕκτερον ἰασάμην. ἀλλ' οὐδὲ τούτων οὐδὲν οὐδ' ἄλλο τοιοῦτον Ἰουλιανὸς ἐθεάσατο. διὰ τῶν ἀθλητῶν, φησὶ, δίδωμι καθαρτικὸν καὶ δείκνυμι. ἀκόλουθον μὲν γὰρ δηλαδὴ τῷ τοσαύτης ἐμπληξίας μεστῷ καθαίρειν μὲν τοὺς εὐχύμους ἀθλητὰς, μὴ καθαίρειν δὲ μήθ' ὑδεριῶντας μήτε μελαγχολῶντας, μήτε τὸν καλούμενον ἐλέφαντα νοσοῦντα, μήτε καρκίνῳ κάμνοντα, μήθ' ὑπὸ φαγεδαίνης ἢ ἐρυσιπέλατος ἐνοχλούμενον, ἤ τινος ἄλλου κακοχύμου νοσήματος. [392] ἄλις ἤδη μοι καὶ τούτων αὐτοῦ τῶν λήρων. εἰ γὰρ ἅπαντα λέγειν ὧν ἐστιν ἄξιος ἀκούειν Ἰουλιανὸς ἐπιχειρήσειέ τις, οὐ μιᾶς ἢ δυοῖν, ἀλλὰ παμπόλλων αὐτῷ χρεία βίβλων ἐστίν. ἀλλ' ἀκούσωμεν οὖν αὐτοῦ τι τῶν ἐφεξῆς ὠδί πως γράφοντος. ἄλλο δή φημι ἰσχυρότατον ὃ μᾶλλον ὁρῶντας σωφρονίζεσθαι ἐχρῆν καὶ μὴ πάντα τῆς μελαίνης χολῆς ἄγειν. ὅτι δὴ χολῆς ὑπεῖναι δοξαζομένης φλεγμαγωγὸν δίδομεν, καὶ χολὴ μὲν ἀποκρίνεται, φλέγμα δὲ οὐκ, ἢ φλέγματος ὑπονοουμένου φλεγμαγωγὸν, καὶ φλέγμα μὲν οὐκ

dato cholagogo quam primum ſanitatem reſtituimus. Verum neque horum quidquam neque hujusmodi aliud unquam inſpexit Julianus. Athletis purgans, inquit, exhibeo medicamentum et oſtendo. Conſequens enim eſt videlicet eum tanta temeritate turgere, ut athletas probis donatos humoribus purget, non autem hydrope laborantes, neque atra bile vexatos, neque elephante morbo vocato aegrotantes, neque cancro laborantes, neque phagedaena aut eryſipelate aut alio a pravis humoribus orto affectu conflictatos. Jam mihi de his ipſius nugis ſatis. Nam ſi quis omnia quae audire meretur Julianus explicare velit, huic non uno aut altero, ſed permultis libris opus eſt. Verum tamen ipſum audiamus qua de re deinceps hunc in modum ſcribat. Aliud ſane validiſſimum aſſero, quod qui conſpiciunt, eos reſpiſcere oportebat, neque omnino ab atra bile agi. Quia quum ſubeſſe bilis, creditur, cholagogum damus ac tunc bilis non pituita excernitur aut quum pituita eſſe conjicitur, phlegmagogum exhibemus, neque

Ed. Chart. IX. [392.] Ed. Baſ. V. (343.)

ἀποκρίνεται, χολὴ δὲ ἐπ᾽ ἀμφοῖν, ὑδραγωγὸν δίδομεν καὶ τόδε οὔτε ὕδωρ φανήσεται τὸ φερόμενον, πάντων μάλιστα παραδοξότατον, ὑδρωπικῶν σαφῶς ὕδατος παρακειμένου, ἀπόκρισις γένοιτ᾽ ἄν, χολῇ μὲν διὰ χολαγωγοῦ, φλέγματι δὲ διὰ φλεγμαγωγοῦ. αὕτη μὲν ἡ ῥῆσις· ἄξιον δὲ αὐτοῦ ἄγασθαι πρῶτον μὲν τὸ κατὰ τὴν ἀρχὴν εἰρημένον ὡς χρῆν μὴ πάντα τῆς μελαίνης χολῆς ἄγειν. μελαγχολῶντας γὰρ ἡμᾶς δηλονότι λέγει τοὺς ἐπαινοῦντας Ἱπποκράτην. ἀλλ᾽ οὗτός γε ὁ χαριεντισμὸς ἑτέροις μᾶλλον ἔπρεπεν, ὅσοι δογματίζουσιν ὑπὸ μελαίνης χολῆς ἐνοχλεῖσθαι τοὺς μελαγχολῶντας. Ἰουλιανὸς δὲ ὁμοιότατός ἐστι τῷ κατὰ τὸν Αἰσώπου λόγον ὄνῳ, ὃς θεασάμενος ἐν τῶν Μελιταίων κυνίδιον Ἀριστοσίτῳ δεσπότῃ συγκατακείμενον, ἁλλόμενόν τε περὶ αὐτὸν καὶ σκιρτῶν καὶ σεῖον τὴν οὐρὰν, καί τι καὶ φώνημα τερπνὸν ὑποφθεγγόμενον, ἐφ᾽ οἷς ἥδοντό τε καὶ κατεφίλουν αὐτὸ πάντες οἱ σύνδειπνοι, μηδὲν μελλήσας ἀλλ᾽ εὐθὺς ἀναπηδήσας ἐπὶ τὴν κλίνην ὀγκᾶται καὶ κατ᾽ αὐτὸν εἱλεῖτο, σείων τὴν οὐράν. ἀλλὰ τούτῳ παραπλησίως ὢν

pituita quidem excernitur, ſed ex utroque bilis dejicitur. Hydropicis hydragogum damus, neque tamen quod educitur, id eſſe aquam apparuerit, quod praeter omnium opinionem maxime ducitur, quum decumbentis hydropicorum aquae excretio fieret, ſicut bilis cholagago et pituitae phlegmagogo excernitur. Atque is textus eſt. Verum admiratione dignum eſt quod primum per initia ab eo pronunciatum eſt, non oportere ab atra bile agi. Nos enim ab atra bile percitos videlicet appellat qui Hippocratem laudamus. At ſales iſti alios magis decebant qui inſanientes ab atra bile vexari ſtatuunt. Porro Julianus aſino ex Aeſopi fabulis ſimillimus eſt, qui unum catellum intuitus Melitenſem cum Ariſtoſito domino accubantem circumque ipſum ſaltantem ac laſcivientem et caudam commoventem ac etiam voculam quandam jucundam emittentem, quibus convivae oblectabantur, qui et ipſum omnes oſculabantur, nihil moratus ſtatim ipſe in lectum proſiluit et circa illum rudere ac mota cauda ſaltare coepit.

Ed. Chart. IX. [392.] Ed. Baſ. V. (343. 344.)

Ἰουλιανὸς ἐπισκήπτει χαριεντιζόμενος εἰς μελαγχολίαν ἡμᾶς, ἣν αὐτός φησιν ὑπὸ μελαίνης γίγνεσθαι χολῆς. κατέλειπε τοίνυν ἡμᾶς ἐπί σοι λέγειν τὴν μέλαιναν, ὃς οὐδὲ τῶν ἰατρικῶν παιδαρίων ἀμείνων ὑπάρχων τὴν τέχνην ἐπιτιμᾷς Ἱπποκράτους. τίς ταύτης μείζων μελαγχολία; τίς ἀπαιδευσία φανερωτέρα; τίς τόλμη προπετεστέρα; καθ' ἡμῶν, Ἰουλιανὲ, χαριεντίζῃ τοιαῦτα καὶ συνάπτεις αὐτὰ λόγοις ἀμαθέσιν, ὡς ἂν μὴ παῖδα λαθεῖν αὐτῶν τὴν ἀτοπίαν. Ἱπποκράτους γὰρ εἰρηκότος οὔθ' ἡλικίαν οὔθ' ὥραν ἔτους οὔθ' ὅλως οὐδένα καιρὸν εὑρεθῆναι δύνασθαι, καθ' ὃν ἀπόλλυταί τις ἐκ τοῦ σώματος ἡμῶν χυμὸς, ὃν αὐτὸς ἀεί φησιν ὑπάρχειν, αἵματος δηλονότι καὶ φλέγμα- (344) τος καὶ χολῶν διττῶν. ἅπαντας μὲν γὰρ εἶναι διὰ παντὸς, αὐξάνεσθαι δ' ἄλλον ἐν ἄλλῃ κράσει καὶ φύσει σώματος, ἡλικίᾳ τε καὶ ὥρᾳ καὶ χώρᾳ καὶ νοσήματι νομίζεις καταβάλλεσθαι τὸν λόγον, εἰ τῷ χολῶντι φλέγματος ἀγωγὸν δοθείη φάρμακον, τοῦτ' μὲν κενούμενον φαίνοιτο, χολὴ δὲ οὐ κε-

Num huic conſimilis eſt Julianus, qui inſaniae nos jocoſe inſimulat, quam ipſe ait ab atra bile concitari? Sine igitur nos tibi atram bilem exprobrare, qui quum neque medicorum pueris praeſtes, Hippocratis artem improbas. Quae hac major melancholia? Quae manifeſtior imperitia? Quae petulantior audacia? His nos jocoſe inceſſis, Juliane, et ea indoctis rationibus concilias, ut eorum abſurditas ne puerum quidem lateat. Quum enim Hippocrates pronunciaverit nullam aetatem, nullam anni tempeſtatem nullumque omnino tempus inveniri poſſe, in quo ex noſtro corpore humorum aliquis prorſus aboleatur, quos ipſe ait ſemper exiſtere, ſanguinem ſcilicet, pituitam et bilem duplicem. Omnes ſiquidem omnibus ineſſe cenſet, ſed alium in alio corporis temperamento ac natura, in aliaque aetate et anni tempeſtate et regione et morbo incrementum ſuſcipere. Ipſius ſententiam te demoliri putas, ſi bilioſo medicamentum pituitam ducens dederis, haecque vacuari videatur, bilis vero non vacue-

Ed. Chart. IX. [392. 393.] Ed. Baſ. V. (344.)

νοῦται. φέρε τοίνυν ἡμῖν τοῦτο φαίνεται γιγνόμενον, μηδ' ἐκκενοῦν τὸ φάρμακον ἀεὶ τὸν οἰκεῖον ἑαυτῷ χυμόν. ἆρ' οὖν ἐναργῶς ἐδόκει ψευδὲς εἶναι τὸ Ἱπποκράτους δόγμα; εἰ γὰρ ὁμοτίμως μὲν ἅπαντας ἕλκει τοὺς χυμοὺς ἕκαστον τῶν καθαιρόντων, ἀλλοιοῦν δ' εἰς μίαν ἰδέαν αὐτοὺς, ἣν πέφυκεν, οὐδὲν διοίσει τοῦ φλεβοτομεῖν τὸ καθαίρειν. ἀλλ' εἴπερ τοῦτο οὕτως ἔχει, ῥᾷστον ἤδη τῇ πείρᾳ κρῖναι το δόγμα καὶ δυοῖν ἀνθρώπων ἀσκίτην ὕδερον ἐχόντων ἴσον τὸ μέγεθος, ἐπὶ τῇ τοῦ σώματος ἕξει τε καὶ ἡλικίᾳ παραπλησίως διακειμένων, τῷ μὲν ἑτέρῳ δοῦναι τῶν ὑδραγωγῶν τι φάρμα- [393] κον, τοῦ δ' ἑτέρου τεμεῖν τὴν φλέβα, κἄπειτα θεάσασθαι τίς μὲν ἐξ αὐτῶν ὠφελεῖται, τίς δὲ βλάπτεται. δίκαιον μὲν ἦν ἴσον ἑκατέρῳ ποιήσασθαι τὸ πλῆθος τῆς κενώσεως, τοσαύτας κοτύλας ἐχέοντας τοῦ αἵματος, ὅσας τοῦ κενωθέντος, ὡς οὗτοι νομίζουσιν ὕδατος ὑπὸ τοῦ καθαρτικοῦ φαρμάκου. κἂν τοῦτο συγχωρήσωμεν αὐτοῖς καὶ τοῦ μὲν ἑτέρου διὰ τῆς καθάρσεως κενώσομεν κοτύλας ὕδατος, εἰ τύχοι ιε', τοῦ δ' ἑτέρου διὰ τῆς φλε-

tur. Age vero hoc ita fieri etiam nobis videatur, neque medicamentum familiarem ſibi humorem ſemper vacuare. Num igitur falſum eſſe videbitur Hippocratis decretum? Si namque purgantium medicamentorum unumquodque omnes aequaliter humores attrahat atque in unam quam habet ideam ipſos immutet, nihil differt venam potius ſecare quam purgare. At ſi hoc ita ſe habeat, jam facile erit experientia id decretum dijudicare duobus hominibus propoſitis qui aſcitem hyderum habeant aequalem magnitudine, ſintque corporis habitu et aetate ſimiles, alteri quidem quod aquam educat medicamentum exhibeatur, alteri vero ſecetur vena, deinde inſpiciatur, quis eorum juvetur et quis laedatur. Aequum ſane etiam fuit utrique parem vacuationis copiam effici, tot nimirum effuſi ſanguinis, quot, ut ipſi exiſtimant, aquae a purgante medicamento evacuatae heminas. Hocque etiam ipſis concedimus et in altero per purgationem aquae heminas verbi gratia quindecim, in altero per phlebotomiam duas

Ed. Chart. IX. [393.] Ed. Baſ. V. (344.)

βοτομίας δύο μόνας ἐπίδωμεν ὅστις μὲν αὐτῶν ἐσφάγη. τί γὰρ ἂν ἄλλο τις εἴποι περὶ τοῦ φλεβοτομηθέντος ὑδεριῶντος; ὅστις δ' ὤνηται τὰ μέγιστα. τί, λέγομεν, ὦ οὗτος; ἆρα ἴσως ἢ παραπλησίως ὁ νῦν εἰρημένος ἔλεγχος ὅσῳ μικρὸν ἔμπροσθεν ἐγχειρήσας, καθαρτικὸν χολῆς, φησὶ, διδόσθω τινὶ τῶν ὑδεριόντων, κενώσει μέν, ὦ οὗτος, καὶ τουτὶ χολὴν, ἀλλ' ὀλίγην τε καὶ σὺν οὐδενὶ χρηστῷ· καθαρτικὸν ὑδατώδους ἰχῶρος διδόσθω τῷ χολῶντι, κενώσει μὲν ὑδατώδες, ἀλλ' ὀλίγον τε καὶ μετὰ βλάβης. πάλιν οὖν διδόσθω τὸ μὲν ὑδραγωγὸν τῷ τὸν ἀσκίτην νοσοῦντι, τὸ δὲ χολαγωγὸν τῷ τὸν ἴκτερον, καὶ πολὺ κενωθήσεται τῶν ἀνθρώπων ἑκάτερος καὶ σὺν ὠφελείᾳ μεγάλῃ. ταῦτα εἰ μὲν οὐδέπω ἀνέγνω γεγραμμένα παρά τινι τῶν ἰατρῶν ὁ Ἰουλιανὸς, θαυμάζω τὴν φιλοπονίαν τἀνδρός. ἀναγνοὺς δ' εἰ ἐτόλμησε γράφειν ἅπερ ἔγραψεν, ἄξιον ἄγασθαι τὴν σύνεσιν αὐτοῦ. νομίζω γὰρ ἐγὼ νῦν ἀκούσασι τῶν εἰρημένων ἀρτήσειν αὐτῶν τὰ ὦτα. Ἰουλιανὸς δ' ἐν οἷς ἔγραψε περὶ

ſolas, videamus quis eorum jugulatus ſit. Quid enim aliud de hydropico cui vena ſecta ſit aliquis dixerit? Quis vero maxime auxilium conſequutus fuerit? Heus tu quid dicis? Isne tibi eſt elenchus par aut huic ſimilis nunc allatus, quum paulo ante tractabas? Eductorium, inquit, bilis medicamentum cuidam hydrope laboranti exhibeatur, hoc quidem, o bone vir, bilem vacuaverit, verum modicam nulloque emolumento. Purgans aquoſum ſerum medicamentum bilioſo detur, aquoſum humorem vacuabit, ſed et paucum et cum laeſione. Rurſum igitur hydragogum exhibeatur aſcite laboranti, cholagogum vero ictero jacenti aegrotus uterque copioſe vacuabitur magna cum utilitate. Haec ſi apud quendam medicum ſcripta nondum Julianus legerit, etiam admiror viri diligentiam. Si vero legerit et quae ille mandare literis auſus fuerit, par eſt ipſius prudentiam admiratione proſequi. Ego enim qui quae jam prolata ſunt auſcultarunt, eorum aures offendi arbitror. Julianus autem in quibus de ipſis ſcribit

Ed. Chart. IX. [393.] Ed. Baſ. V. (344.)

αὐτῶν ἡγεῖται μελαγχολᾶν ἡμᾶς. ἀποκρίνασθαι τοιγαροῦν ἀναμνησθεὶς τῶν φιλοσόφων οὓς ἐπήνεσε, παρὰ τίνος αὐτῶν ἔμαθε νόμον ἀποδείξεως τοιοῦτον, οἵῳ φαίνεται κεχρημένος. εἰ γὰρ ἐπεφύκει, φησὶ, τὸ χολαγωγὸν φάρμακον ἐκκαθαίρειν τοῦ ζώου τὴν χολὴν, οὐκ αὐτὴν γεννᾶν, οὐκ ἂν ἐκενοῦντο χολὴν τοῖς φλεγματώδεσι. θαυμαστή γε ἡ τοῦ ἀκολούθου γνῶσις· ὦ τῆς μεγάλης διαλεκτικῆς τοῦ σοφιστοῦ. τί συνειὸν οὕτω Χρύσιππος ἢ Ἀριστοτέλης ἢ Πλάτων εἶπεν; οἵ γε, εἰ περὶ τούτων αὐτῶν ἐπισκέψασθαι προὐτάθη, τὸ μηδὲ ὅλως περιέχεσθαι κατὰ τὸ σῶμα χολὴν πάντες ἂν ἔφασαν ἔπεσθαι τὸ μηδ' ὅλως ὑπὸ τῶν χολαγωγῶν ἐκκενοῦσθαι, τὸ δ' ὀλίγον περιέχεσθαι, τὸ τὴν ἑλκομένην ὑπ' αὐτῶν ὀλίγην ὑπάρχειν, ὥσπερ γε εἰ πολὺ περιέχοιτο, πολλὴν εἶναι τὴν ἑλκομένην. ἀλλ' Ἰουλιανὸς ὁ τῆς καινῆς διαλεκτικῆς σοφιστὴς ἀξιοῖ μηδ' ὅλως ἕπεσθαι χολὴν τοῖς χολαγωγοῖς, ὅταν ὀλίγη ποθ' ὑπάρχῃ κατὰ τὸ ζῶον. εἶθ' ἡμᾶς μὲν λέγει μελαγχολῶνιας τοὺς ὑδραγωγὸν διδόντας

nos inſanire putat. Quapropter ſi eorum quos laudavit, philoſophorum meminerit, reſpondeat, a quonam ipſorum hujusmodi demonſtrationis legem didicerit, qua uſus eſſe proditur. Si namque naturam purgandi bilem ex animali cholagogum medicamentum haberet, minime vero ipſam procrearet, non ſane a pituitoſis bilis vacuaretur. Haec miranda eſt conſequentis cognitio. O praeclaram hujus ſophiſtae dialecticam! Quid ita circumſcriptum Chryſippus aut Ariſtoteles aut Plato protulit? Qui ſi de his ipſis haec eſſet inſtituta diſquiſitio, nullam videlicet prorſus bilem in corpore contineri, omnes utique dicerent a cholagogis nihil prorſus evacuari. Si vero pauca bilis contineatur, hanc quoque profiterentur paucam quae ab his attrahatur exiſtere, quemadmodum etiam ſi copioſa contineatur, copioſam quoque eſſe quae trahatur. Verum Julianus novae dialecticae ſophiſta cenſet, bilem non omnino cholagoga ſequi, quum modica in animalis corpore exſtiterit. Deinde nos quidem qui hydragogum medica-

Ed. Chart. IX. [393. 394.] Ed. Baſ. V. (344.)

φάρμακον τοῖς ὑδεριῶσιν. ἑαυτὸν δὲ σωφρονεῖν, οὗ τοῖς δύγμασιν ἕπεται φλεβοτομεῖν αὐτούς. ὁμοιότατον δὲ τούτοις αὐτοῦ τοῖς λόγοις ἐστὶ καὶ τὸ διὰ τῶν ἐχομένων εἰρημένων ἐν τῇδε τῇ ῥήσει· τό τε γίγνεσθαι ἐπὶ τὸ πλεῖστον ἐναλλὰξ ἐπίτασις τε καὶ ἄνεσις, ὑγεία ἀδιόριστος· ὁμοιούμενός τις, ὡς πρὸς ἡμῶν κατὰ πᾶν συνεχείας, ἐν τῷ σπανίως ὀλιγάκις τε φαινομένῳ. ἐν τούτοις Ἰουλιανὸς καταβάλλει τὴν δόξαν τῶν οἰομένων ἀεὶ σωματικὰς εἶναι τὰς κατασκευὰς τῶν παθῶν, ταῦτα ὡς μαρτυροῦντα, γράφοντας ἐπιτάσεις καὶ τὰς ἀνέσεις τῶν νοσημάτων, οἰόμενος συμφωνεῖν μὲν τῇ δόξῃ τῶν μεθοδικῶν, ἐναντιοῦσθαι δὲ τῇ τοῦ παλαιοῦ. καίτοι ταὐτὸ τὸ ἐναντιώτατον εὕροις ἄν. αἱ μὲν γὰρ τοῖς στερεοῖς τοῦ ζώου [394] μέρεσι διαθέσεις ἐστηριγμέναι τ' εἰσὶ καὶ μόνιμοι, τὰ δὲ ὑγρὰ καὶ μεταῤῥεῖν εἰκὸς εἰς ἄλλο μόριον τοῦ ζώου καὶ διαφορεῖσθαι λεπτυνόμενα καὶ κατά τινας αἰσθητοὺς πόρους ἐκκρίνεσθαι, καὶ ποτὲ μὲν ὑπὸ τῆς διοικούσης τὰ ζῶα φύσεως πεπτόμενα χρησιότερα γίνεσθαι,

mentum hydrope laborantibus exhibemus, inſanire praedicat, ſe ipſum vero ſapere, cujus placitis in his venae ſectio ſequitur. His autem ipſius ſermonibus ſimillimum eſt quod ſequentibus hoc textu enarratum eſt: *quod etiam plerumque viciſſim et intenſio et remiſſio fiat indefinita eſt ſanitas; ſi quis aſſimilet illi quod noſtrum comparatione in omni continuitate non ſaepe ſed raro apparet.* Per haec Julianus eorum opinionem reſellit, qui corporeas ſemper eſſe affectuum conſtitutiones exiſtimant. Haec ſcribentes tanquam intenſionibus ac remiſſionibus morborum atteſtantia; ipſe vero methodicorum ſententiae conſentire, ſenis vero plane adverſari, etiam ſi rem maxime contrariam inveneris. Nam qui affectus ſolidis animantis partibus inſunt, firmi ac ſtabiles manent. Humores vero praeterquam quod in alias animalis partes fluant, conſentaneum etiam eſt, eos attenuatos in halitus diſcuti ac per quosdam ſenſiles meatus excerni. Interdum etiam a gubernatrice animalium natura concoctos meliores reddi, in-

Ed. Chart. IX. [394.] Ed. Baſ. V. (344.)

ποτὲ δ' ὑπὸ πυρετώδους θερμασίας ἀλλοιούμενα μοχθηρότερα, καὶ τὰ μὲν διαπνεῖσθαι ὑπὸ τῆς πυρετώδους θερμότητος, τὰ δ' αὐτῶν βελτίω γίγνεσθαι κεραννύμενα χρηστοῖς τροφαῖς, τὰ δὲ συνδιαφθείρεσθαι ταῖς ἐπιῤῥεούσαις, ἤτοι γ' εὐθὺς ἔξωθεν οὔσαις μοχθηραῖς ἢ μὴ καλῶς ἔτι ἐν τῇ γαστρὶ πεφθείσαις, * * * *

τοὺς δ' ἐπὶ σηπεδόνι χυμῶν ἀναπτομένους οὐδὲν δήπου θαυμαστόν ἐστιν ὡς ἂν ἐκεῖνα τύχῃ κατά τε χώρας ἀθροιζόμενά τε καὶ σηπόμενα καὶ κενούμενα, τάς τε γενέσεις ἴσχειν καὶ τὰς παρακμάς. ἀλλ' ἐν μὲν τούτοις ἀνάσχοιτ' ἄν τις ἴσως αὐτῶν· ὃ δ' ἐφεξῆς ἔγραψεν Ἰουλιανὸς οὐκ ἔτι κοινὸν ἁπάντων ὑπάρχον, ἀλλ' ἴδιον ἐξαίρετον ἑαυτῷ, τοῦτ' ἤδη σοι δίειμι. ὅλην δ' ἄμεινόν μοι δοκεῖ παραγράψαι τὴν ῥῆσιν, εἰ καὶ μακροτέρα πώς ἐστιν ἔχουσαν ὧδε. ὅτι δ' ἀδιανόητον ἐπὶ πλῆθος ἢ διαφθοράν, ὃ ἄν τι πρὸς τοῦ νῦν τιθέναι, ἀναφέρειν τὸ ποιητικὸν τῆς νόσου, τί δ' ἄν τις συμμελέσιατα διαγνοίη τοῦ πάθους δι' ὅλου τοῦ σώματος ἀπιόντος; ἀναγκαῖον ὁμολογεῖν πάντα περιττεύειν

terdum vero a febrili calore alteratos deteriores fieri: et hoc quidem a febrili calore perſpirando evaneſcere, illos vero ſe ipſis probis alimentis temperatos meliores evadere, iſtos denique a vitioſis ſecum fluentibus corrumpi, ſive ſtatim cibi exterius pravi exſtiterint, ſive non probe etiam a ventriculo concocti fuerint. * * * *

Febres autem ex humorum accenſas putredine, minime ſane mirum eſt quod illi per locos acerventur, putreſcant et vacuentur tum ortus tum declinationes habere. Verum quiſpiam fortaſſis in illis eos patienter tulerit. Quod vero Julianus ſcripſit, non etiamnum omnibus commune, ſed ſibi proprium ac peculiare exiſtit, hoc jam tibi refero. At praeſtat mea quidem ſententia totum textum, etiamſi quoquo modo prolixior ſit, deſcribere, qui ita ſe habet. Quia vero ſub mentem non cadit, ad plenitudinem aut corruptionem, quod ad rem propoſitam ſpectat, efficientem morbi cauſam referre, quis accuratiſſime id dignoverit, affectu per totum corpus abeunte? Neceſſe eſt

Ed. Chart. IX. [394.] Ed. Baſ. V. (344.)

ἐν παντὶ μέρει τε καὶ μορίῳ. τῷ ἀποτελέσματι γὰρ συμπαρατείνεσθαι χρὴ τὸ συνέχον αἴτιον. χωρεῖ δὲ δι' ὅλου πάθη, ὡς πυρετοὶ ἄλλα τε μύρια, ἐφ' ὧν ἐν τῷ ὅλῳ καὶ τὸ πλῆθος εἶναι δεῖ. καὶ τὸ τοῖς πλεῖον ὅταν πλεῖον καὶ τὸ νόσημα ᾖ καὶ τὸ τοῖς πλεῖον καὶ συγκεχωρημένον οὐδέ πως φάναι. εἰ δέ γε * * * * διὰ ἀντιφῶν τὸ πλῆθος τοῦ ὑγροῦ. καὶ μὴν Ἰουλιανὸς οὐ βούλεται τῶν καθόλου τὸ σῶμα νοσημάτων ἐν ἑνὶ τόπῳ τὴν συνεκτικὴν ὑπάρχειν αἰτίαν. ἀλλὰ κἂν τὴν ῥύσιν ὑπόθηταί τις ἐπὶ τῷ βουβῶνι γίγνεσθαι συνέχον αἴτιον οὖσαν τοῦ πυρετοῦ, εἰς τοσαύτην ἀπορίαν ὁ λόγος ἀχθήσεται. λυομένου γὰρ τοῦ βουβῶνος οὔτε διαμένειν αὐτὴν οὔτε παύεσθαι δυνατὸν, ἐπειδὴ μενούσης μὲν ἀναγκαῖόν ἐστι καὶ τὸν πυρετὸν διαλύεσθαι, λυομένης δὲ συνεκτικὸν ἑαυτῆς αἴτιον ἔχειν τὸν βουβῶνα, κἂν τούτῳ τὸν λόγον ἀνατρέπεσθαι, τοῦ θαυμαστοῦ προστάτου, φάσκοντος ἀδύναιον εἶναι τὸ καθ' ὅλον τοῦ σῶμα πάθος αἴτιον ἐν ἑνὶ τόπῳ συσιῆναι. καὶ μὴν

concedere omnia in omnibus tum partibus tum particulis exuberare. Continentem ſiquidem cauſam una cum affectu protendi oportet. Per totum autem eunt affectus, ut febres, imo et alii innumeri, unde et in toto eſſe plenitudinem oportet eamque aliis majorem, quum major morbus fuerit, atque ita dicere conceſſum eſt. Si vero in parte duntaxat eſſet humorum plenitudo, cauſam quoque parti ineſſe continentem oporteret, reluctatur tamen humorum plenitudo. Atqui minime vult Julianus morborum univerſum corpus occupantium cauſam continentem uno in loco conſiſtere; ſed ſi quis fluxionem ſupponat in bubone febris continentem eſſe cauſam, haec oratio in tantam difficultatem adducetur. Soluto namque bubone neque eam permanere neque ſedari poſſibile eſt. Quandoquidem ea manente febrem ſolvi neceſſe eſt; ſoluta vero continentem ſui ipſius cauſam bubonem habere oportet. Proindeque praeclari hujus defenſoris ratio ſubverti poteſt, dicentis fieri non poſſe ut morbi univerſum corpus occupantis cauſa in unico conſiſtat loco; quum tamen

Ed. Chart. IX. [394.] Ed. Baſ. V. (344.)

οὐδ' ἄλλην τινὰ ἔννοιαν εἰπεῖν ἔχει τοῦ συνέχοντος αἰτίου, παρὰ τὸ γίνεσθαί τι πρὸς αὐτοῦ καὶ παύεσθαι σὺν αὐτῷ, πλὴν εἰ κἀνταῦθα πάλιν ἐξαίφνης ἑαυτὸν εἶναί φησι στωϊκὸν, ὡς ἐν ἄλλοις ἐποίησεν. ἀλλὰ τοῦτό γε πράξας οὐ νόσου μόνον, ἀλλὰ καὶ τῆς ὑγείας αὐτῆς αἴτιον ἀποφανεῖταί τινα καὶ θερμὸν καὶ ψυχρὸν ἀναγκασθήσεταί τι λέγειν εἶναι νόσημα καὶ ξηρὸν καὶ ὑγρὸν, ἅπερ οὐ βούλεται. μὴ τοίνυν ληρείτω μάταια, μηδ' ἐμπλήκτων τρόπον, ἀλλὰ τἄλλα φανταζέσθω, ποτὲ μὲν ἐπαινῶν στωϊκοὺς, ποτὲ δ' ἀναιρῶν αὐτῶν τὰ δόγματα.

nullam aliam certam proferendam habeat continentis cauſae notionem, praeterquam quod ab ea aliquid oboriatur et cum ipſa ceſſet; niſi quoque hoc in loco iterum ſe derepente ſtoicum eſſe profiteatur, quemadmodum etiam alias facere conſuevit. Verum hoc facto non morbi dumtaxat, ſed etiam ſanitatis ipſius cauſam aliquam pronunciabit et, quae minime vult, cogetur aliquem morbum eſſe calidum et frigidum et humidum et ſiccum fateri. Quas ob res ne vana nugetur, neque ſtupidorum more alia alias excogitet, dum ſtoicos extollit interdum et interdum ipſorum decreta evertit.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΤΟ ΠΕΡΙ ΑΡΘΡΩΝ ΒΙΒΛΙΟΝ ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟ ΥΠΟΜΝΗΜΑΤΑ ΤΕΣΣΑΡΑ.

Ed. Chart. XII. [287. 288.] Ed. Baſ. V. (378.)

[287. 288] *Γαληνοῦ προοίμιον. Ὅτι μὲν τὸ βιβλίον ἕπεται τῷ περὶ ἀγμῶν εἴρηται μὲν ἤδη καὶ διὰ τῶν εἰς ἐκεῖνο γεγραμμένων ὑπομνημάτων, εἰρήσεται δὲ καὶ νῦν ἐπὶ βραχύ. πρῶτον μὲν ἀπὸ τῶν ἀρχῶν ἑκατέρου τῶν βιβλίων δῆλον, ἐν ἑκείνῳ μὲν γὰρ οὕτως ἄρχεται, ἐχρῆν τὸν ἰητρὸν τῶν ἐκπτωσίων καὶ κατηγμάτων, ὡς ἰθυτάτας* [288] *τὰς καταστάσιας ποιέεσθαι, μηκύνων σαφῶς*

HIPPOCRATIS DE ARTICULIS LIBER ET GALENI IN EUM COMMENTARII QUATUOR.

Galeni praefatio. Librum hunc illi proxime ſubjectum eſſe qui de fracturis eſt in commentariis in eum jam diximus, quod nunc paucis etiam dicemus. Eam rem ante omnia plane demonſtrat principium utriusque libri, in illo enim ita orditur: medicum oportet quae ſuo loco mota ſunt et fracta recto admodum habitu intendere, ubi aperte de fractis ac luxatis tractaturum ſe indicat.

Ed. Chart. XII. [288.] Ed. Baſ. V. (378.)

ὅτι περὶ καταγμάτων αὐτῷ καὶ ἐξαρθρημάτων ὁ λόγος ἔσοιτο. καιὰ δὲ τοῦτο πάλιν εὐθὺς ἐν ἀρχῇ τὸν δὲ σύνδεσμον ἔγραψεν ἐπὶ προειρημένῳ μέντοι πάντως λεγόμενον, ἀρχόμενον δὲ οὐδέποτε λόγον. καίτοι τινὲς εἰς τοσοῦτον ἦκουσι σοφίας ὥστε τοῦ Ξενοφῶντος οἰκονομικῶν μνημονεύειν οἰόμενοι μαρτυρεῖν αὐτοῖς ἔθος εἶναι τοῖς παλαιοῖς ἐν ἀρχῇ λόγου χρῆσθαι τῷ δὲ συνδέσμῳ, διὰ τοῦτό φασιν ἄρχεσθαι τὸν Ξενοφῶντα τοῦ συγγράμματος οὕτως· ἤκουσα δέ ποτε αὐτοῦ, φησὶ, καὶ περὶ οἰκονομίας τοιάδε μοὶ διαλεγομένου, μὴ γιγνώσκοντες ὅτι τὸ βιβλίον τοῦτο τῶν Σωκρατικῶν ἀπομνημονευμάτων ἐστὶ τὸ ἔσχατον. ἀλλ' ἐπειδή γε τούτοις αὐτὴ τῶν πραγμάτων ἡ διδασκαλία τὴν ἀκολουθίαν ἐνδείκνυται τῷ περὶ τῶν ἄρθρων συγγράμματι πρὸς τὸ περὶ τῶν ἀγμῶν· ἐπαγγειλάμενος γὰρ ἐν ἐκείνῳ περὶ τῶν ἐκπτώσεών τε καὶ καταγμάτων ἐρεῖν, ὅσα μὴ διῆλθεν ἐν αὐτῷ, κατὰ τοῦτο προσέθηκεν, ὡς μηδὲν λείπειν τῇ πραγματείᾳ διὰ τοῦτο. διὸ καί τινας ἔφην οὐχ ὑπ' αὐτοῦ λέγειν Ἱπποκράτους εἰς δύο βιβλία τετμῆσθαι τὴν ὅλην πραγματείαν,

Sed in hoc rurſus ab initio protinus *δὲ* conjunctionem, quam *autem* vertimus, adjungit. Quae ibi adjici ſolet, ubi aliquid agitur, cujus ante mentio facta fuerit, nunquam tamen in principio ſermonis adſcribitur; quamquam nonnulli ad id ſapientiae devenerunt, ut Xenophontis librum qui oeconomicus dicitur afferant, inde putantes fidem facere veteres ſolitos eſſe *δὲ* conjunctionem in principio ſermonis uſurpare, ac propterea Xenophontis libri tale eſſe initium afferunt: *ἤκουσα δέ ποτε αὐτοῦ καὶ περὶ οἰκονομίας τοιάδε μοι διαλεγομένου*, non intelligentes eum librum poſtremum eſſe inter eos quos de Socratis dictis ac factis memorabilibus ſcripſit. Ad haec ipſa rerum doctrina teſtatur librum hunc ei qui de fracturis eſt proxime ſubjici; ibi enim pollicitus de fractis luxatisque tractare, quaecunque ibi explicanda reliquit, hic exſequitur, ſic ut nihil in opere deſideretur. Atque ea de cauſa dixi Hippocratem juxta quorundam ſententiam univerſum hoc opus in duos libros non ſecaſſe, ſed uno colligaſſe

Ed. Chart. XII. [288.] Ed. Baſ. V. (378.)

ἀλλ' ὑπ' ἐκείνου μὲν ἓν γράφισθαι βιβλίον ἐπιγραφὲν ὑπ' αὐτοῦ κατ' ἰητρεῖον, ὕστερον δὲ ὑπ' ἄλλου τινὸς εἰς δύο τμηθῆναι διὰ τὸ μέγεθος. ὅτι δὲ οὐδὲν οὔτ' ἐξαρθρήματος εἶδος οὔτε κατάγματος ὑπελείπετο πλὴν τὰ περὶ κεφαλὴν γινόμενα τῷ ἄλλο ἐπ' ἐκείνοις σύγγραμμα ποιήσασθαι, δῆλον δὴ ἀναμνησθέντι σοι τῶν τ' ἐν τῷ περὶ ἀγμῶν ὑπ' αὐτοῦ διδαχθέντων, ὧν τε ἐν τούτῳ τῷ βιβλίῳ μέλλει διελθεῖν. ἐν μὲν οὖν τῷ περὶ ἀγμῶν ἔγραψε περὶ πήχεος καὶ βραχίονος καὶ κνήμης καὶ μηροῦ κατεαγότων, εἶθ' ἑξῆς περὶ τῶν ἐν ποδὶ καὶ ἄκρᾳ χειρὶ, κἄπειτα περὶ τῶν μεθ' ἕλκους καὶ ὅσα γυμνοῦνται τῶν ὀστῶν, εἶτα περὶ τῶν κατὰ γόνυ καὶ κατ' ἀγκῶνα πάντων· ὑπελείπετο οὖν ἔτι τῶν μὲν ἄρθρων τὸ κατ' ὦμον κατά τ' ἰσχίον καὶ γόνυ καὶ ῥάχιν. τῶν καταγμάτων δὲ τὰ κατὰ τὰς πλευρὰς καὶ γένυν καὶ ῥῖνα καὶ ὦτα, περὶ ὧν ἐν τούτῳ τῷ βιβλίῳ διῆλθεν. ἀλλὰ καὶ περὶ διαστάσεως ὀστῶν καὶ περὶ θλασμάτων τῶν περὶ τὰ ἄρθρα κατ' ἀμφότερα τὰ βιβλία διαλεγόμενος, εἴ τι παρέ-

eumque inſcripſiſſe de officina medici, qui prae magnitudine poſtea ab altero diſtinctus fuit in duos. Nullum autem fracturae aut luxati genus fuiſſe ab Hippocrate praetermiſſum exceptis quae ad caput pertinent, quum alio libro ab ipſo tradantur, evidentiſſimum eſt, ſi in memoriam revocentur et quae in libro de fracturis prodidit et quae in hoc ipſo oſtenſurus eſt. In libro itaque de fracturis ſcripſit de brachio, cubito, crure ac femore comminuto; tum de iis quae pedi incidunt et manui; poſtea de illis fracturis quibus ulcus accedit et oſſa nudantur; poſtremo de omnibus vitiis genu et cubiti. Reſtabant adhuc ex luxatis humeri caput, quod cum lato ſcapularum oſſe committitur; et femoris caput, quod coxa recipitur, maxilla et ſpina; ex fractis coſtae, maxilla, naſus, auriculae, quae in hoc libro perſequitur. Sed et de oſſibus quae dehiſcunt, ac de iis quae circa articulos conteruntur in utroque libro tractat; et ſi quid eo qui de

Ed. Chart. XII. [288.] Ed. Baſ. V. (378.)

λιπεν ἐν τῷ περὶ ἀγμῶν ἐνταῦθα προσέθηκεν, ὥστε μηδὲν ὅλως ἐνταῦθα λείπεσθαι ἔτι μήτε κατάγματος εἶδος μήτε ἐξαρθρήματος μήτε διαστάσεως ὀστῶν. εἴρηται δὲ καὶ περὶ τῶν θλασμάτων ὅσα γίνεται περί τε τοὺς μύας καὶ τὰς φλέβας καὶ τὰ νεῦρα· καὶ τἄλλα μὲν οὖν, ὡς ἔφην, ἱκανὴν τὴν ἀκολουθίαν ἐπιδεῖξαι τοῦδε τοῦ βιβλίου πρὸς τὸ περὶ ἀγμῶν, ἀλλὰ καὶ τὸ μηχάνημα συμβουλεύσας ἐν ἐκείνῳ τῷ βιβλίῳ παρασκευάσασθαι τοῖς ἐν μεγάλῃ πόλει μέλλουσιν ἰατρεύειν, ἐνταῦθα τὴν κατασκευὴν αὐτοῦ σύμπασαν ἔγραψεν ἅμα τῷ καὶ ἀναμιμνήσκειν αὐτὸν ἡμᾶς, ὅτι καὶ πρόσθεν ὑπὲρ αὐτοῦ λόγον ἐποιήσατο. καλοῦσι δὲ τὸ μηχάνημα τοῦτο βάθρον Ἱπποκράτειον οἱ μετ' αὐτὸν ἰατροί. ὅτι μὲν οὖν ἕπεται τὸ βιβλίον τοῦτο τῷ περὶ τῶν ἀγμῶν ἀρκείτω ταῦτα. πρὸς δὲ τὴν ἐξήγησιν ἴωμεν αὐτοῦ τοσοῦτον προεἰπόντες ἔτι, ὃ καὶ ἐπὶ τῆς περὶ ἀγμῶν ἐξηγήσεως προείπομεν, ὡς ἔστιν ἡ ἑρμηνεία τοῦ Ἱπποκράτους ἱκανῶς σαφὴς ἐλαχίστης ἐξηγήσεως δεομένη τῷ τὰ πρῶτα μαθήματα μεμαθηκότι καὶ εἰθισμένῳ λέξεως ἀκούειν ἀνδρὸς πα-

fracturis eſt praeteriit, in hoc adjecit, ita ut nullum ſuperſit genus fracti, prolapſi aut diducti oſſis. Scripſit etiam de muſculis, venis ac nervis colliſis et de aliis quae, ut retuli, ſatis teſtantur hunc librum illi qui de fracturis eſt ſubjiciendum eſſe. Huc accedit quod in ipſo exponit univerſam ſtructuram machinamenti illius quod in eo voluit paratum haberi medicis qui in magna civitate medicinam faciunt, ſimulque in memoriam reducit illius ſe ante mentionem feciſſe. Id machinamentum a medicis qui poſt ipſum fuerunt ſcamnum Hippocratis appellatur; ſed ſatis hactenus oſtendimus librum hunc proxime ſequi eum qui de fracturis eſt. Ad expoſitionem igitur ejus veniamus adhuc illud praefati, quod in enodatione libri de fracturis propoſuimus, nempe ſermonem Hippocratis planum eſſe minimaque expoſitione indigere apud eum qui primis diſciplinis inſtitutus ſit, quique fuerit in Hippocratis ſermone verſatus. Si quis enim ita paratus oſſium

Ed. Chart. XII. [288. 289.] Ed. Baſ. V. (378.)

λαιοῦ· καὶ εἴ τις οὕτως παρεσκευασμένος ἐπ' ἀνθρωπείων ὀστῶν θεάσαιτο τὰς κατὰ τὰς διαρθρώσεις συνθέσεις ἢ πάντως γε ἐπὶ πιθηκείων ἔτι μᾶλλον αὐτῷ σαφῆ φανεῖται τὰ κατὰ τοῦτο τὸ βιβλίον. εἰ δὲ καὶ μυῶν ἀνατομῆς ἐμπείρως ἔχοι καὶ ἄλλως εἴη φύσει [289] συνετὸς, οἶδ' ὅτι καὶ τούτῳ πολλὰ τῶν ἐν τοῖσδε τοῖς ὑπομνήμασι γεγραμμένων φανεῖται περιττὰ φθάνοντι νοεῖν τὴν λέξιν τοῦ παλαιοῦ καὶ πρὸ τῶν ἐμῶν ἐξηγήσεων. ἀλλ' ἐπεὶ μὴ μόνον τοῖς τοιούτοις ὑπομνήματα γράφομεν, ἄμεινον εἶναί μοι δοκεῖ τῶν ἄλλων στοχαζομένῳ, εἰ καὶ βραχεῖά τις ἀσάφεια φαίνοιτο μὴ παρέρχεσθαι ταύτην.

α'.

Ὁμοῦ δὲ ἄρθρον ἕνα τρόπον οἶδα ὀλισθαῖνον τὸν ἐς τὴν μασχάλην.

Ὅτι τῶν διαρθρουμένων ὀστῶν ἀλλήλοις ἄρθρον ὀνομάζειν εἴωθεν, οὐ τὴν ὑποδεχομένην κοιλότητα τὸ τοῦ πλη-

hominis et certe ſimiae commiſſuras inſpexerit, facilius adhuc comprehendet quae in hoc opere traduntur, ſi quis autem incidendis muſculis operam dederit et prudens alioquin natura fuerit, huic, certum ſcio, ſupervacua videbuntur complura eorum quae in iis commentariis poſuimus, quandoquidem verba Hippocratis prius tenebit quam a me exponantur; ſed quoniam non his commentaria ſcribimus, ſatis arbitror et aliorum habita ratione, ſi quid vel parum videatur obſcurum, id nullo modo praeterire.

I.

Articulum autem lati ſcapularum oſſis novi uno modo excidere, nempe in alam.

Oſtenſum jam in ſuperiori libro Hippocratem ſolitum eſſe mutuari nomen ἄρθρου, quem articulum interpretamur,

Ed. Chart. XII. [289.] Ed. Baſ. V. (578.)

σιάζοντος ὀστοῦ πέρας, ἀλλ' αὐτὸ τὸ πέρας, εἴρηται μὲν κατὰ τὸν ἔμπροσθεν ἤδη λόγον, ἀναμεμνήσθω δὲ καὶ νῦν ὅτι κεφαλὴν ἀξιόλογον ὁ βραχίων ἔχων οὐ πάνυ βαθεῖαν κοιλότητα διαρθροῦται τῷ πέρατι τοῦ τῆς ὠμοπλάτης αὐχένος ἐπικείμενος, καὶ ὅτι τὰ τοιαῦτα πράγματα ποτὲ μὲν οὕτως εἴωθεν ἑρμηνεύειν, ὡς νῦν εἴρηκεν, ὦμου δὲ ἄρθρον, ἐνίοτε δὲ οὐχ οὕτως, ἀλλ' ὡς εἰ τὸ κατ' ὦμον ἄρθρον εἰρήκει, καθάπερ ἐν τῷ περὶ ἀγμῶν, τότε κατὰ γόνυ πολλάκις εἶπεν. ἕνα δὲ τρόπον, ὅπερ ἐστὶ διαφορὰν μίαν, εἰδέναι φησὶ τοῦ κατὰ τοῦτο τὸ ἄρθρον ὀλισθήματος. εἰ δ' ὀρθῶς λέλεκται τοῦτ' αὐτῷ κατὰ τὸν ἑφεξῆς λόγον ἐπισκεψόμεθα.

β'.

Ἄνω δὲ οὐδέποτε εἶδον οὐδὲ ἐς τὸ ἔξω.

---

ad ſignificandum oſſium quae inter ſe committuntur non cavum, quo proximi oſſis caput recipitur, ſed ipſum caput. Nunc vero meminiſſe etiam oportet humeri caput, quod grande eſt, inferi in extremitatem cervicis lati ſcapulorum oſſis, quae leviter cava eſt, tum conſueſſe Hippocratem interdum ejusmodi res ita exprimere, ut nunc quum inquit, articulum autem lati ſcapularum oſſis; interdum non ita, ſed ac ſi diceret, articulum qui cum lato ſcapularum eſſe committitur; quemadmodum in libro de fracturis, ubi ſaepenumero ſcribit, articulus qui ad genu. Uno modo, inquit, hoc eſt in unam partem ſcire ſe hunc articulum excidere, quod an vere ſic habeat, in his quae ſequuntur conſiderabimus.

II.

In ſuperiorem vero locum aut in anteriorem nunquam.

Ed. Chart. XII. [289.] Ed. Baſ. V. (578. 579.)

Τῆς κατὰ τὸν ὦμον διαρθρώσεως ἡ κοιλότης, ἣν ἐπὶ τῷ πέρατι τοῦ τῆς ὠμοπλάτης αὐχένος ἔφην ὑπάρχειν, εἰς τὸ πρόσω τέτραπται μέρος, ὥσθ', ὅταν ἀνατείνῃ τις τὸν βραχίονα, καταλαμβάνειν αὐτοῦ τὴν κεφαλὴν ἅπαν ἀκριβῶς τὸ κοῖλον. ἁπάσης δὲ διαρθρώσεως ἓξ τῶν πέριξ χωρῶν οὐσῶν, τῆς ἄνω καὶ κάτω καὶ πρόσω καὶ ὀπίσω καὶ ἔξω καὶ ἔνδον, ἡ μὲν ἀκριβῶς ἄνω μέν τοῦ κατ' ὦμον ἄρθρου τὸ σαρκῶδες ἐπιβεβλημένον ἔχει τοῦ δελτοειδοῦς ὑπὸ τινῶν ὀνομαζομένου μυός, ἡ δ' ὡς πρὸς τὸν τράχηλον ἐκκλινομένη τὴν ῥάχιν τῆς ὠμοπλάτης, ᾗ τῆς κλειδὸς ζευγνυμένης τὸ καλούμενον ἀκρώμιον γεννᾶται. κατὰ δὲ τὴν ἔξω χώραν ἐστὶν ἡ ἀπόφυσις τῆς ὠμοπλάτης, ἣν διὰ τὸ σχῆμα τινὲς μὲν ἀγκυροειδῆ προσαγορεύουσιν, ἔνιοι δὲ κορακοειδῆ. αὕτη μὲν οὖν κωλύει τὴν εἰς τοῦτο τὸ μέρος ἔκπτωσιν τοῦ ἄρθρου, τὴν δ' ὀπίσω τίς ἂν ἡμῶν ἐννοῆσαι δύναιτο τῆς ὠμοπλάτης ἐνταῦθα κειμένης. λοιποὶ τοίνυν ἀφορύρητοι τόποι (579) τέσσαρές εἰσιν, εἰς οὓς ἐννοῆσαι δύναται τὸ ἄρθρον ἐκπίπτειν, ὧν ἁπάντων ἐμνημόνευσε, τοῦ μὲν κάτω

Cavum id quod retuli in extrema cervice lati ſcapularum oſſis ſitum eſt in priorem partem, quare ubi humerus in ſuperiorem partem porrigitur, illius caput eo cavo prorſus toto recipitur. At quum commiſſurae univerſae ſex ſint partes circumſtantes, ſuperior et inferior, prior et poſterior, exterior et interior, pars hujus commiſſurae exquiſitae ſuperior tegitur carnoſa parte illius muſculi, qui quum literam Δ repraeſentet, *δελτοειδὲς* a quibusdam nominatur; qua vero ad collum inclinat, ſuperjectum habet dorſum lati ſcapularum oſſis, qua id ſummum cum jugulo conjungitur. Ab interiori parte objicitur proceſſus lati ſcapularum oſſis quem nonnulli ab ancorae ſimilitudine vocant *ἀγκυροειδῆ*, alii a roſtri figura *κορακοειδῆ*. Hic itaque prohibet quominus in eam partem articulus elabatur, in poſteriorem quis noſtrum poterit concipere, quum ibi latum ſcapularum os ſit? Reſtant quatuor loca non ſepta, in quae putare licet articu-

Ed. Chart. XII. [289. 290.] Ed. Baſ. V. (579.)
κατ' αὐτοῦ τοῦ βιβλίου τὴν ἀρχὴν εἰπὼν, ὤμου δὲ ἄρθρον ἕνα τρόπον οἶδα ὀλισθαῖνον τὸν εἰς τὴν μασχάλην, [290] *τῶν λοιπῶν δὲ τριῶν ὀνομαστὶ, πρώτου μὲν τοῦ ἄνω, δευτέρου δὲ τοῦ ἔξω, τρίτου δὲ τοῦ πρόσω. προσέχωμεν οὖν τὸν νοῦν, τίνα λέγει περὶ τῶν δύο τρόπων ὧν ἐν ταύτῃ τῇ ῥήσει προεχειρίσατο.*

γ'.

Οὐ μέντοι διϊσχυριεῖμαι γε, εἰ ὀλισθαίνοι ἂν ἢ οὔ· καίπερ ἔχων περὶ αὐτοῦ ὅ τι λέγω. ἀτὰρ οὐδὲ ἐς τὸ ἔμπροσθεν οὐδέπω ὕπωπα, οὐδὲ τοῦτο ὅτι ἔδοξέ μοι ὠλισθηκέναι. τοῖσι μέντοι ἰατροῖσι δοκέει κάρτα ἐς τοὔμπροσθεν ὀλισθαίνειν, καὶ μάλιστα ἐξαπατῶνται ἐν τούτοισιν, ὧν ἂν φθίσις καταλάβῃ τὰς σάρκας τὰς περὶ ἄρθρον τε καὶ τὸν βραχίονα. φαίνεται γὰρ ἐν τοῖσι τοιούτοισι παντάπασι ἡ κεφαλὴ τοῦ βραχίονος ἐξέχουσα ἐς τοὔμπροσθεν. ἐγὼ δέ ποτε τὸ τοιοῦτον οὐ σφὰς ἐκπεπτωκέναι ἤκουσα φλαύρως ὑπό τε τῶν ἰατρῶν ὑπό τε τῶν δημοτέων διὰ τοῦτο

lum erumpere, quorum omnium meminit inferioris quidem initio libri, quum inquit articulum autem lati ſcapularum oſſis novi uno modo excidere, nempe in alam, reliquorum vero trium nominatim, primum ſuperioris, deinde exterioris, tertio prioris. Conſideremus igitur quid de duobus modis dicat, quos aggreſſus eſt proximis verbis.

III.

Non eſt tamen quod contendere cupiam, excidatne an non; et ſi de eo non deſit, quod dicam; ſed in priorem partem elapſum nec vidi unquam nec elabi poſſe exiſtimo. Cenſent tamen quidam medici in priorem partem plurimum excidere; decipiuntur autem maxime iis quorum caro circa articulum et humerum tabe conſumpta eſt; ſiquidem in his humeri caput in priori parte prominens ſe oſtendit. Ego quum in eam partem procidiſſe articulum negarem, propterea et a medicis et a vulgo male

Ed. Chart. XII. [290.] Ed. Baf. V. (579.)

τὸ πρᾶγμα. ἐδόκεον γὰρ αὐτοῖσι ἠγνοηκέναι μοῦνος, οἱ δὲ ἄλλοι πάντες ἐγνωκέναι καὶ οὐκ ἠδυνάμην αὐτοὺς ἀναγνῶναι, εἰ μὴ μόλις ὅτι τόδ' ἐστὶ τοιόνδε.

Δύο τρόπους ὀλισθήματος εἰρηκὼς, τόν τε ἄνω καὶ τὸν ἔξω, καὶ ἀποφηνάμενός γε περὶ ἀμφοτέρων, ὡς οὐδέτερον αὐτῶν ἑωρακὼς εἴη, μετὰ ταῦτα προσέγραψε τὴν νῦν ἡμῖν προκειμένην λέξιν, ὡς περὶ ἀμφοῖν διαλεγόμενος. ἀλλὰ τό γε προσκείμενον αὐτῇ κατὰ τὸ τέλος, ἔνθα φησὶ, καίτοι ἔχων περὶ αὐτοῦ ὅ τι λέγω, δοκεῖ φανερῶς ἐπὶ θατέρου τῶν προειρημένων εἰρῆσθαι. περὶ γὰρ ἀμφοτέρων εἴπερ ἠβουλήθη λέγειν, οὐκ ἂν εἶπεν ἑνικῶς αὐτοῦ· μήτ' οὖν περὶ μονῆς τῆς ἔξω διαφορᾶς ποιεῖται τὸν λόγον, ἐκείνῃ γὰρ ἐπενήνεκται τὸ, καίτοι ἔχων περὶ αὐτοῦ ὅ τι λέγω. δύναταί γε μὴν, ὥς τινες ἤκουσαν, ἐν σχήματι λέξεως εἰρῆσθαι παλαιῷ περὶ τῶν τρόπων ἀμφοτέρων, ὡς εἰ καὶ οὕτως ἐγεγράφει, καίτοι ἔχων περὶ τούτου τοῦ πράγματος ὅτι λέγω. ἔνιοι δὲ ἐγχωρεῖν φασιν ἡμαρτῆσθαι τὴν λέξιν, οὐκ ὀρθῶς

audivi; unus enim habitus ſum ignarus, ceterique omnes periti, vixque perſuadere illis potui rem ita ſe habere.

Exſequutus duas partes in quas excidit, ſuperiorem ſcilicet et exteriorem, teſtatusque ex utrisque in neutram ſe vidiſſe articulum luxatum, quaſi de utraque pertractans adſcripta nunc verba propoſuit. Quod autem poſtea ponit quum inquit, et ſi de eo non deſit quod dicam, aperte videtur ad alteram propoſitarum partium referri. Nam ſi referri ad utramque voluiſſet, non loquutus eſſet ſingulari numero de eo. An de ſolo exteriori loco intelligit, ſiquidem verba haec ab eo loco proxime ſubjiciuntur et ſi de eo non ſit quod dicam. Poteſt etiam, ut nonnulli accipiunt, de utroque loco id ſcripſiſſe uſus antiqua loquendi figura, quaſi ita ſcripſerit et ſi non deſit de ea re quod dicam. Ajunt nonnulli dare poſſe ſcripturam hanc cor-

Ed. Chart. XII. [290.] Ed. Baſ. V. (579.)

γράψαντος τοῦ πρώτου βιβλιογράφου, κἄπειτα μηδενὸς αὐτὴν ἐπανορθῶσαι τολμήσαντος ἄχρι δεῦρο διαφυλαχθῆναι τὴν ἁμαρτίαν. ἐγὼ δὲ καθ' ἕν τι τῶν ἀντιγράφων εὗρον οὕτω γεγραμμένον, καίτοι ἔχων περὶ αὐτῶν ὅ τι λέγω. μεταγράψαι δηλονότι τολμήσαντός τινος τὴν ἐναντίως τοῖς ἄλλοις εὑρισκομένην γραφήν· ἀλλ' εἴτε περὶ ἀμφοτέρων τῶν τρόπων εἴτε περὶ θατέρου μόνου φησὶν οὐκ ἔχειν ἰσχυρίσασθαι. καλὸν δὴ ἡμᾶς ἐστι περὶ ἀμφοτέρων ἐπισκέψασθαι, τοσοῦτον ἔτι περὶ τῆς λέξεως αὐτοῦ προειπόντας, ὡς τὸ ἰσχυριείω δηλοῖ τὸ ἰσχυρισικῶς ἔχω, παραπλησίως τῷ ὀψείω, δηλοῦντι καὶ αὐτῷ τὸ ὀπτικῶς ἔχω, παρ' ὃ καὶ Ὅμηρος ἐποίησε τὴν ὀψείοντες φωνὴν, σημαίνων κἀκεῖνος δι' αὐτῆς τοὺς ὀπτικῶς ἔχοντας, ἔνθα φησί·

Τῷ ῥ' οἵ γ' ὀψείοντες ἀϋτῆς καὶ πολέμοιο.

διὰ τί γοῦν ἔφη, καίτοι δυνάμενός τι λέγειν οὐκ ἐθέλω εἰπεῖν, ἐπισκεψώμεθα πρότερον ἐπινοήσαντες αὐτοὶ τίνα ποτ' ἐστὶν ἃ λέγειν ἐδύνατο. δῆλον γὰρ ὡς ἐκ τῆς τῶν

ruptam eſſe, quum a primo librario non recte fuerit deſcripta; et quum nemo deinde auſus fuerit ipſam corrigere, hactenus corruptam perſeverare. Nos autem in quodam exemplo ita ſcriptum invenimus, et ſi non deſit de iis quod dicam, quum aliquis non dubitarit aliter ſcribere quam alibi reperiretur, ſed ſive de utroque loco ſive de altero tantum dicat, non eſt quod contendere cupiam, operae pretium nobis eſt utrumque contemplari quod attinet ad ejus verba, illo duntaxat adjecto quod verbo *ἰσχυριείω* ſignificavit contendere cupio: id enim nihil aliud notat, quemadmodum et verbum *ὀψείω* videre cupio, unde Homerus deduxit vocabulum *ὀψείοντες*, ſignificans cupientes videre, quum inquit:

Τῷ ῥ' οἵ γ' ὀψείοντες ἀϋτῆς καὶ πολέμοιο.

Conſideremus igitur cauſam quamobrem ait nolle ſe aliquid dicere, et ſi non deſit quod dicat, primo intelligentes quaenam ſint quae dicere poſſet. Conſtat autem

Ed. Chart. XII. [290. 291.] Ed. Baf. V. (579.)

μερῶν φύσεως ἡ γοῦν εὕρεσις αὐτῶν τῶν λεχθησομένων ἐγένετο ἂν, εἴπερ ὅλως ἠξίωσεν εἰπεῖν τι, τὴν κατασκευὴν δὲ αὐτῶν ἀκριβῶς ἔχειν ὑφ' ἡμῶν δεδειγμένην ἔν τε τῷ περὶ ὀστῶν βιβλίῳ καὶ τῇ τῶν μυῶν ἀνατομῇ καὶ δηλονότι κἂν ταῖς ἀνατομικαῖς ἐγχειρήσεσιν. ἡ γὰρ ἀρτηριῶν καὶ φλεβῶν καὶ [291] νεύρων φύσις οἰδὲν εἰς τὰ παρόντα χρήσιμος, ἐπειδὴ τὰ κατὰ τὰς ἐκπτώσεις τῶν ἄρθρων ἅπαντα συμπτώματα γίνεταί τε καὶ κωλύεται διά τε τὰ τῶν ὀστῶν ἄρθρα καὶ τοὺς περιέχοντας αὐτὰ μύας· οὐδὲν εἰς αὐτὰ συντελούντων ἢ κωλυόντων οὔτε τῶν ἀρτηριῶν οὔτε τῶν νεύρων ἢ τῶν φλεβῶν. αὐτίκα γέ τοι τὸ κατ' ὦμον ἄρθρον πάντων τῶν ἄλλων ἑτοιμότερον ἐκπίπτει, διότι τε μονοειδές ἐστι καὶ ἁπλοῦν, οὐχ ὥσπερ τὸ κατὰ γόνυ διπλοῦν ἢ τὸ κατ' ἀγκῶνα ποικίλον τε καὶ οὔ ποτε ἁπλοῦν, ὅτι τε τοῦ βραχίονος ἡ κεφαλὴ μεγάλη τ' οὖσα καὶ χωρὶς προμήκους αὐχένους ἀβαθεῖ κοιλότητι διαρθροῦται, τοῦ τε μηροῦ τὴν

ſi quid dicendum omnino ſibi ſtatuiſſet, ex partium natura inveniendum fuiſſe. Partium autem naturam demonſtravimus ad unguem in libro de oſſibus, in eo qui eſt de muſculis incidendis et in eo qui de ratione incidendi corporis; natura enim arteriarum, venarum nervorumque nihil ad hunc locum facit, quia caſus omnes, ubi articuli excidunt, fiunt ac prohibentur et ob oſſium commiſſuram et ob muſculos quibus illa comprehenditur, ad quam rem conferunt aut prohibent venae, nervi et arteriae. Ac ne longius a propoſito diſcedamus, lati ſcapularum oſſis articulus inter ceteros omnes facillime prolabitur, quoniam unius formae eſt et ſimplex, non duplex, quemadmodum qui in genu eſt; neque varius et nullo modo ſimplex, quemadmodum qui in cubito et quoniam humeri caput grande eſt et ſine oblonga cervice in ſinum parum deſidentem conjicitur; femur vero caput parvum habet et cervicem oblongam, id vero cavum quo recipitur valde ſinuatum eſt et altis labris cingitur, adde quod

Ed. Chart. XII. [291.] Ed. Baſ. V. (579.)

κεφαλὴν ἔχοντος μικρὰν καὶ τὸν αὐχένα προμήκη. τὴν δ' ὑποδεχομένην αὐτὸν κοτύλην βαθεῖαν, ὀφρύσιν ἀξιολόγοις στεφανωμένην, μετὰ τοῦ καὶ σύνδεσμον ἰσχυρότατον κατ' ἄκραν αὐτοῦ τὴν κεφαλὴν τῷ βαθυτάτῳ χωρίῳ τῆς κοτύλης τὴν σύμφυσιν ἔχειν. εἰκότως οὖν ὀλιγάκις ὁ μηρὸς ἐκπίπτει, πλειστάκις δὲ ὁ βραχίων, ὡς ἂν μήτε τὸν σύνδεσμον ἔχων μήτ' ἐγκαταβαίνων βαθείᾳ κοιλότητι. τὴν μὲν οὖν ἀρχὴν τῆς ἐκπτώσεως εἰς ἐκεῖνο γίνεσθαι τὸ μέρος ἀναγκαῖόν ἐστιν, εἰς ὅπερ ἂν ἡ τοῦ σχήματος ἄγει βία. μένειν δ' οὐκέτ' ἐξ ἀνάγκης δύναται ἐν ἐκείνῳ διά τε τὴν φυσικὴν εἰς τὸ κάτω ῥοπὴν καὶ τὴν στενοχωρίαν ἐνίοτε τοῦ χωρίου γινομένην, ἤτοι δι' ἐξοχὰς ὀστῶν ἢ συντονίαν μυῶν. ἡ μὲν οὖν ἄνω χώρα τῆς κατ' ὦμον διαρθρώσεως ὑπερκείμενον ἔχει τὸ ἀκρώμιον, ὥστε εἰ καὶ μετασταίη ποτὲ τὸ ἄρθρον εἰς αὐτὴν οὐ παραδεχομένων αὐτὸ τῶν ἐνταῦθα τεταγμένων ὀστῶν, αὐτίκα τῷ βάρει ῥέψαν ἐξενεχθήσεται κάτω. ἡ δ' ἔξω χώρα καὶ μύας ἔχει μεγάλους, ἀλλὰ τὴν εἰς τὸ κάτω ῥοπὴν ἑτοίμην. ἐνδέχεται δέ ποτε καὶ βίαιον

in ſummo capite per validiſſimum ligamentum ad ſuum cavum, qua maxime altum eſt, deſtinetur. Jure itaque femur raro procidit, ſaepe humerus, ut qui neque ligamentum habeat, neque in altiori cavo ſe inſinuet. Neceſſe autem eſt, quum prolabitur, principio in eam partem moveri, in quam compellitur vi illius habitus quo figuratur; ubi manere neceſſario non poteſt et quod ſuopte nutu deorſum feratur et quod interdum prohibeatur anguſtia loci, ſive ob oſſium proceſſus, ſive ob muſculorum vires. Igitur lati ſcapularum oſſis commiſſura ſuperjectum habet a ſuperiori parte ſummum lati ſcapularum oſſis, qua cum jugulo conjungitur, et ideo quamvis in eam aliquando articulus moveatur, quum ab oſſibus quae ibi ſunt non admittatur, ſtatim pondere inclinatum deorſum feretur; ab exteriori vero magis muſculis continetur, praeterquam quod articulus deorſum naturaliter inclinatur. Interdum tamen violentus habitus qui muſculos poſſit inter ſe didu-

Ed. Chart. XII. [291.] Ed. Baſ. V. (579.)

σχῆμα διαστῆσειν ἀπ' ἀλλήλων δυνάμενον εἰς τὴν μεταξὺ χώραν αὐτῶν ἀπώσασθαι τὸ ἄρθρον, ἐν ᾗ σφηνωθῇ, ὑπ' αὐτῶν τῶν μυῶν κατασχεθῆναι. διὰ τοῦτ' οὖν καὶ ὁ Ἱπποκράτης φησὶ, μὴ διϊσχυρίσασθαι βιαίως, εἴτ' ἐκπεσεῖν οἷόν τε τὸ κατ' ὦμον ἄρθρον εἴτε καὶ μή. ὅσῳ μὲν γὰρ ἐπὶ τὸ κάτω ῥέπειν, οὐδ' ἂν ἐν τῇ πρόσω χώρᾳ διαμεῖναι δύναται. διασπάντων δὲ, ὡς εἴρηται, τῶν μυῶν οὐκ ἀδύνατον φαίνεται σφηνωθὲν ἐνταῦθα μένειν. λέγειν μὲν οὖν εἶχε τοιαῦτα περὶ τῆς εἰς ἄλλο τι χωρίον ὅτι μὴ τὴν μασχάλην ἐκπτώσεως. ἐπεὶ δ' οὐδέποτε ἑώρακεν, οὐκ ἠξίωσε γράφειν αἰτίας ἐξ ἐπινοίας λογικῶν, ἀξιοπιστότερον ἡγούμενος ἀεὶ τὸ φαινόμενον ἐναργῶς. οὕτως οὖν καὶ τὰς ἐν ταῖς θεραπείαις ἐπινοίας ἑαυτοῦ τῇ πείρᾳ βεβαιοῖ, πρὶν ἡμᾶς διδάσκειν, οὐχ ὡς ἔνιοι τῶν μετ' αὐτὸν ἰατρῶν ἔγραψαν, ἐν θεραπευτικοῖς συγγράμμασι κελεύοντες ἡμᾶς ποιεῖν ἃ μηδέποτε αὐτοὶ πρόσθεν ἔπραξαν. ἀλλ' ὅ γε Ἱπποκράτης ἐν αὐτῷ τούτῳ τῷ βιβλίῳ περὶ τῶν κατὰ ῥάχιν διαλεγόμενος, εἶθ' ἑαυτοῦ τὴν ἐπίνοιαν εἰπὼν ὑπὸ τῆς πείρας ἀδύ-

cere, poteſt in ſpatium quod inter eos eſt articulum compellere, quo deinde adſtrictus muſculis contineatur; atque hac de cauſa dixit Hippocrates nolle ſe contendere excidatne articulus humeri nec ne. Quatenus enim deorſum fertur, manere in priori parte non poteſt; diductis autem muſculis, ut dictum eſt, nihil alienum videtur adſtrictum ibi contineri. Haec adducere potuit de humeri capite luxato in alium locum quam in alam. Sed quum id nunquam viderit, commentitias cauſas ſcribendas eſſe minime credidit, ubique magis fide dignum exiſtimans, quod evidenter apparet quam quod a ratione ducitur. Sic et quaecunque ipſe ad curationem excogitavit, priusquam nos doceat, experimento comprobat; non ſicut nonnulli ex junioribus medicis qui in ſcriptis de ratione medendi nobis ea imperarunt quae ipſi nunquam ante ſunt experti. Sed et ipſe Hippocrates in hoc libro quum tractaſſet de iis quae ſpinae incidunt, ſubdidiſſetque poſſe experimento redargui quae ipſe excogitaſſet, inquit: pulchra enim hu-

Ed. Chart. XII. [291. 292.] Ed. Baſ. V. (579. 580.)

ναιον ἐλεγχθεῖσαν ἔφη· καλὰ δὲ καὶ τὰ τοιαῦτα μαθήματά ἐστιν, ἃ πειρηθέντα ἀπορηθέντα ἐφάνη καὶ δι' ἄσσα ἠπορήθη.

δ'.

[292] (580) Εἴ τις τοῦ βραχίονος ψιλώσειε μὲν τῶν σαρκῶν τὴν ἐπωμίδα, ψιλώσειε δὲ ᾗ ὁ μῦς ἀνατείνει, ψιλώσειε δὲ τὸν τένοντα τὸν κατὰ τὴν μασχάλην τε καὶ τὴν κλεῖδα πρὸς τὸ στῆθος ἔχοντα, φαίνοιτο ἂν τοῦ βραχίονος ἡ κεφαλὴ ἐς τοὔμπροσθεν ἐξέχουσα ἰσχυρῶς, καίπερ οὐκ ἐκπεπιωκυῖα. πέφυκε γὰρ ἐς τοὔμπροσθεν προπετὴς ἡ κεφαλὴ τοῦ βραχίονος, τὸ δ' ἄλλο ὀστέον τοῦ βραχιόνος ἐς τὸ ἔξω καμπύλον.

Βραχίων μὲν ὀνομάζεται τὸ μεταξὺ τῶν δύο διαρθρώσεων ὅλης τῆς χειρὸς μέρος, ἄκουε δέ μου δύο διαρθρώσεις, τὴν κατ' ἀγκῶνα καὶ τὴν κατ' ὦμον. ἐπωμὶς δὲ τὸ ἐπάνω

jusmodi monimenta ſunt eorum, quae quum experti ſumus, ſine affectu inveniemus et cauſarum propter quas parum proceſſerint.

IV.

Si quis carnem detraxerit ab ea parte quae ſuperjecta commiſſurae humeri cum lato ſcapularum oſſe ad cervicem oſtendit et ab ea qua ſitus eſt muſculus qui verſus ſuperiorem partem extendit et a chorda juxta alam et ab jugulo ad pectus, humeri caput, quamvis prolapſum non ſit, in priori parte admodum ſe oſtendat. Naturaliter enim humeri caput in priorem partem prominet; reliquum vero oſſis humeri in exteriorem convertitur.

Βραχίων, quem humerum vertimus, dicitur ea totius brachii pars quae inter duos articulos ſita eſt, duos autem articulos intelligi volo et eum qui ad latum ſcapularum

Ed. Chart. XII. [292.] Ed. Baſ. V. (580.)

τοῦ ὤμου μέρος ἐπιτεινόμενον ὡς ἐπὶ τὸν τράχηλον. ὦμος γὰρ ὀνομάζεται τὸ περὶ τὴν διάρθρωσιν ἅπαν ὅσον φανερὸν, ὡς τό γε μὴ φαινόμενον ἐκ μὲν τῶν ὀπίσω μερῶν ἐστι τὸ τῆς ὠμοπλάτης ὀστοῦν, ἐκ δὲ τῶν κάτω τὸ κατὰ τὴν ἀνάστασιν ὕλης τῆς χειρὸς φανερὸν γιγνόμενον ὃ προσαγορεύεται μασχάλη. προειπὼν οὖν ὁ Ἱπποκράτης, ἐφ' ὧν ἠιροφήκασιν αἱ κατὰ τὸν ὦμον σάρκες, ἔξέχουσαν φαίνεσθαι τὴν κεφαλὴν τοῦ βραχίονος, ὡς δοκεῖν ἐνίοις ἐκπεπτωκέναι, διδάσκειν τὴν φύσιν αὐτῆς ὅλην ἐξ ἀνατομῆς ἀξιῶν. εἴ τις βούλοιτο θεάσασθαι σαφῶς αὐτὴν, ψιλῶσαι μὲν τῶν σαρκῶν τὴν ἐπωμίδα, τουτέστι περιελεῖν σμίλῃ μέχρι τοῦ γυμνωθῆναι τὰ κατὰ τὴν διάρθρωσιν ὀστᾶ, ψιλῶσαι δὲ τὸν τένοντα τὸν κατὰ τὴν μασχάλην. τρεῖς γάρ τοι μύες εἰσὶν ἐνταῦθα· πρῶτος μὲν ὁ ἀπὸ τῆς ὠμοπλάτης τε καὶ τῆς κλειδὸς ὁρμώμενος, ὃν καὶ δελτοειδῆ ὀνομάζουσι. τούτου τοῦ μυὸς τὸ μὲν σαρκῶδες ἅπασαν καλύπτει τὴν

os et eum qui ad cubitum eſt; ἐπωμὶς vero illa quae ſuperjecta commiſſurae humeri cum lato ſcapularum oſſe ad cervices intendit. Ὦμος enim Graece nominatur ex tota commiſſura id quod oculis ſubjicitur, nam quod lati ſcapularum oſſis minime ſe oſtendit a poſteriori parte ſitum eſt; ab inferiore omne id quod apparet, quum totum brachium ſurſum porrigitur, ala, μασχάλη Graece nuncupatur. Praefatus igitur Hippocrates ubi in carne quae humeri commiſſuram contegit macies ſumma oritur, caput humeri ita exſtans conſpici, ut quibusdam excidiſſe videatur, docet univerſam ejus naturam ex arte corporis incidendi, praecipiens ut ſi quis aperte intueri ipſam velit ab ea parte quae ſuperjecta commiſſurae humeri cum lato ſcapularum oſſe ad cervicem intendit carnem detrahat, hoc eſt ſcalpello circumcidat, donec quae in commiſſura ſunt oſſa nudentur: detrahat ſimiliter ab ea chorda quae juxta alam eſt; terni enim hic muſculi ſunt, primus a lato ſcapularum oſſe ac jugulo oritur, quem a ſimilitudine literae Δ vocant δελτοειδῆ. Hujus muſculi quod carnoſum eſt tegit univerſam commiſſuram, chorda in longitudinem

Ed. Chart. XII. [292.] Ed. Baſ. V. (580.)

διάρθρωσιν, ὁ δὲ τένων εἰς τὸ τοῦ βραχίονος ὀστοῦν ἐμφύεται κατὰ μῆκος, ὥσπερ φύεται τένων ἄλλος ἀξιολόγου μυὸς ἀπὸ τοῦ στέρνου ἀρχομένου, παραφερομένου δὲ τῷ προειρομένῳ κατὰ τὴν τῆς ὠμιαίας φλεβὸς θέσιν, οὗ καὶ αὐτοῦ μέμνηται λέγων, ψιλώσειε δὲ τὸν τένοντα τὸν κατὰ τὴν μασχάλην, ἐν μέντοι τῷ φάναι ψιλώσειε δὲ, ᾗ ὁ μῦς ἀνατείνει, δύναται μὲν καὶ αὐτὸν τὸν δελτοειδῆ λέγειν, οὗ τὸ σαρκῶδες ἅπαν καλύπτει τὸ ἄρθρον, ἐγχωρεῖ δ' αὐτὸν καὶ τοῦ προσθίου κατὰ τὸν αὐχένα μεμνῆσθαι μυὸς ἔχοντος ἐν δύο κεφαλαῖς συνδέσμους εὐρώστους, τὸν μὲν ἕτερον ἐκ τῆς ἀγκυροειδοῦς ἀποφύσεως ἐκφυόμενον, τὸν δὲ ἕτερον ἐκ τῆς ὑψηλῆς ὀφρύος τοῦ τῆς ὠμοπλάτης αὐχένος.

ε'.

Ὁμιλεῖ δὲ ὁ βραχίων τῷ κοίλῳ τῆς ὠμοπλάτης πλάγιος, ὅταν παρὰ τὰς πλευρὰς παρατεταμένος ἔῃ. ὅταν μέντοι ἐς τοὔμπροσθεν ἐκτανυσθῇ ἡ ξύμπασα χεὶρ, τότε ἡ κεφαλὴ τοῦ βραχίονος κατ' ἴξιν τῆς ὠμοπλάτης τῷ κοίλῳ

tendit per os humeri, cui alligatur altera chorda grandioris muſculi, quem a pectore incipiens cum ſuperiori connectit, qua ſita vena eſt quae ſub ala ad cubitum procedit. Meminit etiam hujus ipſius, quum inquit et a chorda juxta alam; ſed quum ait et ab ea qua ſitus eſt muſculus qui verſus ſuperiorem partem extendit, potuit loqui de muſculo qui Δ literam repraeſentat, cujus quod carnoſum eſt operit univerſam commiſſuram. Potuit etiam muſculum illum intelligere qui fertur ad priorem partem humeri et a duobus capitibus ligamenta valida habet, quorum alterum a lati ſcapularum oſſis proceſſu ancorae ſimili, alterum a ſublimiori labro cervicis ejusdem oſſis dependet.

V.

Verſatur humerus in cavo lati ſcapularum oſſis a latere, ubi brachium juxta latus extenditur; at ubi totum in priorem partem porrigitur, humeri caput e regione cavi lati ſcapularum oſſis collocatur, neque amplius

Ed. Chart. XII. [292. 293.] Ed. Baſ. V. (580.)

γίνεται καὶ οὐκ- [293] έτι ἐξέχειν ἐς τοὔμπροσθεν φαίνεται. περὶ οὗ νῦν ὁ λόγος οὐδέποτε εἶδον, οὐδὲ ἐς τοὔμπροσθεν ἐκπεσὸν, οὐ μὴν ἰσχυρείω γε οὐδὲ περὶ τούτου, εἰ μὴ ἐκπέσῃ ἂν οὕτως ἢ οὔ. ὅταν οἶν ἐκπέσῃ ὁ βραχίων ἐς τὴν μασχάλην, ἅτε πολλοῖσιν ἐκπίπτοντος, πολλοὶ ἐπίστανται ἐμβάλλειν. εὐπαιδεύτου δὲ ἐστι τὸ εἰδέναι πάντας τοὺς τρόπους οἷσιν οἱ ἰητροὶ ἐμβάλλουσι καὶ ὡς ἄν τις αὐτοῖσι τοῖσι τρόποισι τούτοισι κάλλιστα χρῶτο. χρέεσθαι δὲ χρὴ τῷ κρατίστῳ τῶν τρόπων, ἢν τὴν ἰσχυροτάτην ἀνάγκην ὁρᾷς, κράτιστος δὲ ὕστατος γεγραμμένος.

Ὁμιλεῖν ἔλεγον οἱ παλαιοὶ τοὐπίπαν οὐκ ἐπὶ τοῦ διαλέγεσθαι, καθάπερ νῦν οἱ πολλοὶ, τὸ συνιέναι δὲ ἀλλήλοις καὶ οἷον ὁμοῦ εἰλεῖσθαι, ταύτῃ προσηγόρευε τῇ φωνῇ. καὶ Ὅμηρος ἐπὶ τῶν κατὰ τὴν ἀσπίδα γεγραμμένων ὑπὸ τοῦ Ἡφαίστου φησίν·

videtur in priorem partem excedere. Ergo quod propoſitum eſt nunquam vidi humeri caput in priorem partem promoveri; non tamen contendere velim eo necne promoveatur. Quum humerus igitur in alam excidat, complures reſtituendi peritiam habent, quippe quum multis excidat; callere autem omnes modos, quibus medici luxatum reponant et qua ratione ipſis utendum ſit, eruditi eſt. Tunc autem adhibere modum validiſſimum debes, quum maxime opus eſſe intelligis; validiſſimus autem eſt qui omnium poſtremus adſcribitur.

Verſari dixi ὁμιλεῖν, quod vocabulum Graece fere mutuantur antiqui non ad ſignificandum *colloqui*, quemadmodum nunc plerique, ſed hac voce intelligunt *inter ſe convenire et quaſi una verſari*, quod ὁμοῦ εἰλεῖσθαι dicebant, quin et Homerus eodem modo id uſurpat in iis quae ſcribit in clypeo appicta fuiſſe a Vulcano, quum inquit:

Ed. Chart. XII. [293.] Ed. Baſ. V. (580.)

ὠμίλεον δ' ὥστε ζωοὶ βροτοὶ ἠδ' ἐμάχοντο.

τίς οὖν βραχίονα τῷ κοίλῳ τῆς ὠμοπλάτης ὁμιλεῖν ἔφη πλάγιον, ὅταν παρὰ τὰς πλευρὰς ἡ χεὶρ ᾖ παρατεταμένη, διὰ τοῦ ὁμιλεῖν ῥήματος δηλῶν τό τε ὁμοῦ εἶναι καὶ ψαύειν αὐτῆς. ὅταν μέντοι φησὶν ἡ σύμπασα χεὶρ ἐκταθῇ, τότε κατὰ τὴν εὐθυωρίαν ὁ βραχίων γίνεται τῷ κοίλῳ τῆς ὠμοπλάτης καὶ οὐκέτ' ἐξέχειν εἰς τὸ πρόσω διὰ τὸ ἄρθρον αὐτοῦ φαίνεται.

στ'.

Ὅσοισι μὲν οὖν πυκνὰ ἐκπίπτει ὁ ὦμος ἱκανοὶ ὡς ἐπὶ τὸ πλεῖστον αὐτοὶ σφίσιν αὐτοῖσιν ἐμβάλλειν εἰσίν.

Εἴρηταί μοι κἀν τοῖς εἰς τὸ περὶ ἀγμῶν ὑπομνήμασι διὰ δύο αἰτίας ἐκπίπτειν ἄρθρον πυκνῶς καὶ ἐπὶ σμικραῖς προφάσεσιν, ἤτοι διὰ τὸ τῆς κοιλότητος ἀβαθές τε ἅμα, κἀν ταῖς ὀφρύσιν ὕπτιον ἢ διὰ τὴν ὑγρότητα τῶν περικει-

ὠμίλεον δ' ὥστε ζωοὶ βροτοί.

Homerum itaque a latere ait verſari in cavo lati ſcapularum oſſis, ubi brachium juxta latus extenditur, ὁμιλεῖν dicens *verſari*, ut eo verbo ſignificaret ſimul eſſe et ipſum contingere. At ubi inquit: brachium totum in priorem partem porrigitur, humeri caput e regione ſinus lati ſcapularum oſſis collocatur, neque quum erectum maneat, videtur amplius in priorem partem excedere.

VI.

Quibus humeri caput ſaepenumero excidit, ipſi per ſe reſtituere poſſunt.

In commentariis quoque de fracturis oſtendi articulos duabus de cauſis frequenter vel levi occaſione erumpere; aut enim ob ipſos ſinus parum deſidentes, atque ipſis labris reſupinatos, aut ob humorem earum partium

Ed. Chart. XII. [293.] Ed. Baſ. V. (580.)

μένων τῇ διαρθρώσει σωμάτων, δι' ἣν χαλαρά τ' ἐστὶ καὶ ῥᾳδίως ἐκτεινόμενα. λέλεκται δὲ ὡς διὰ τὰς αὐτὰς αἰτίας αἱ ἐμβολαὶ τῶν τοιούτων ἄρθρων εἰσὶ ῥᾴδιαι καὶ διὰ τοῦτο χωρὶς ἰατρῶν ὑπ' αὐτῶν πασχόντων γίνονται.

ζ'.

Ἐνθέντες γὰρ τῆς ἑτέρης χειρὸς τοὺς κονδύλους ἐς τὴν μασχάλην ἀναγκάζουσιν ἄνω τὸ ἄρθρον, τὸν δὲ ἀγκῶνα παράγουσιν ἐπὶ τὸ στῆθος.

Ὁ πρῶτος τρόπος οὗτος τῆς ἐμβολῆς ἐστιν ὑποβάλλοντος εἴτ' αὐτοῦ τοῦ κάμνοντος εἴτ' ἰατροῦ τινος ὑπὸ τὴν κεφαλὴν τοῦ βραχίονος τοὺς κονδύλους τῆς χειρὸς οὐχ ἁπλῶς, ἀλλ' ἐκ τῶν ἔνδον μερῶν ὡς ἀποστῆσαι κάτω πρῶτον, εἶθ' οὕτως εἰς τὴν ἄνω χώραν ἀπώσασθαι καὶ κατ' εὐθὺ ποιῆσαι τῆς ὑποδεξομένης αὐτὴν κοιλότητος. ἐνταῦθα γάρ, οἶμαι, καὶ οἱ περικείμενοι τῇ διαρθρώσει μύες ὑπηρετοῦσί τε καὶ

quae commiſſuram comprehendunt, ob quem laxantur et facile extenduntur. Adjeci etiam articulos iisdem de cauſis prompte reſtitui, quamobrem ab aegrotantibus per ſe citra operam medici reponuntur.

VII.

In alam enim conjicientes tubercula digitorum alterius manus, articulum ad ſuperiorem partem adurgent, cubitum vero ad pectus adducunt.

Primus reſtituendi modus hic eſt, quum ſeu aeger ipſe, ſeu medicus aliquis humeri capiti digitorum tubercula ſubjicit, non quovis modo, ſed a parte interiori ut primo ad priorem partem humeri compellat, deinde ad ſuperiorem ipſumque e regione collocet ſui cavi, ubi, ut arbitror, muſculi qui commiſſuram complectuntur ipſi ſubſervient et efficiendi ſocii erunt; ipſe enim ait in opere de fracturis, quod et nos in libro de motu muſculorum,

Ed. Chart. XII. [293. 294.] Ed. Baſ. V. (580. 581.)

συμ- [294] πραττουσιν αὐτῇ. εἴρηται γὰρ ὑπ' αὐτοῦ κατὰ τὸ περὶ ἀγμῶν, ὥσπερ οὖν καὶ ἡμῖν ἐν τοῖς περὶ μυῶν κινήσεως οἰκείαν τε καὶ σύμφυτον εἶναι τοῖς μυσὶ τὴν εἰς ἑαυτοὺς συνίζησιν. ἐκτείνονται γὰρ οὐχ ὑφ' ἑαυτῶν, ἀλλ' ὑπὸ τῶν ἀντιτεταμένων μυῶν ἡσυχάζοντες καὶ ἀργοῦντες αὐτοί. ἡ τοιαύτη κίνησις τῶν μυῶν καὶ τὴν ἐνεχθεῖσαν εἰς μασχάλην κεφαλὴν τοῦ βραχίονος οὐκ ἐᾷ κατὰ χώραν μένειν, ἀλλ' ἀνασπᾷ μέχρι τῶν πλευρῶν τοῦ θώρακος ὑποπίπτειν τε καὶ ὑποκεῖσθαι τῷ τῆς ὠμοπλάτης (581) αὐχένι, διὸ καὶ ἡ ἐμβολὴ σύνθετός ἐστιν ἐκ τριῶν ἐνεργειῶν, πρώτης μὲν καθ' ἣν ἡμῖν εἰς τὸ πρόσω τὸ ἄρθρον ἄγεται, δευτέρας δὲ καθ' ἣν ἄνω, καὶ τρίτης καθ' ἣν ὀπίσω. αὕτη γὰρ ἀναγκαία τῷ ἐμβάλλοντι, δι' οὗπερ ἂν ἐπιχειρεῖ τρόπου τὴν ἐμβολὴν ποιήσασθαι. ἔνθα μὲν οὖν ὑγρὰ φύσει καὶ χαλαρὰ τὰ περικείμενα σώματα διαρθρώσει μετὰ βραχείας καταστάσεως τῆς χειρὸς ἡ κεφαλὴ τοῦ βραχίονος εἰς τὸ πρόσω μέρος ἀνάγεται. συντόνων δὲ ὄντων ἰσχυροτέρως δεῖται, διὰ τοῦτ' οὖν εὕρηνται πλείους τρόποι τῆς ἐμβολῆς, ἐπεὶ τό γε κεφάλαιον ἁπασῶν ἕν ἐστι τὸ προειρημένον, εἰς

id proprium eſſe atque innatum muſculis, ut in ſe ipſos contrahantur; non enim a ſe ipſis, ſed quieſcentes atque otioſi ab iis qui in contraria parte ſiti ſunt tenduntur. Hic muſculorum motus humeri caput in alam luxatum non patitur in eodem loco manere, ſed ipſum attrahit ad latus, dum expellatur ſubjiciaturque cervici lati ſcapularum oſſis. Quocirca tria in reſtituendo ſunt agenda, primo quidem in priorem partem impellendum eſt, deinde in ſuperiorem, poſtremo in poſteriorem; hoc ſiquidem neceſſe eſt quocunque modo quis reponere id tentaverit. Igitur ubi partes quae commiſſuram comprehendunt naturaliter madent et laxae ſunt, humeri caput vel leviter intento brachio in priorem partem adducitur, at ubi validae ſunt, valentius intendi debet. Quamobrem plures inventi ſunt reſtituendi modi, quorum omnium caput unum eſt quod ego retuli. Spectat autem ad ea tria quae propoſui

Ed. Chart. XII. [294.] Ed. Baſ. V. (581.)

τρεῖς οὓς εἶπον σκοποὺς ἀναγόμενον, αὐτοὺς δὲ τοὺς τρεῖς σκοποὺς εὕρομεν ἐκ τοῦ κοινοτάτου καὶ γενικωτάτου πάντων ὑφ' Ἱπποκράτους μὲν εἰρημένου, πρὸς ἡμῶν δὲ ἀποδεδειγμένου κατὰ τὰ τῆς θεραπευτικῆς μεθόδου βιβλία. λεχθήσεται δὲ καὶ νῦν ὅσον οἷόν τε διὰ βραχυτάτων. οὐδὲν μὲν τῶν κατὰ φύσιν ἐπανορθώσεως δεῖται. φυλάττειν μὲν γὰρ ἡμῖν, οὐκ ἀνασκευάζειν αὐτὰ πρόκειται, τὰ δὲ παρὰ φύσιν ἔχοντα πρόκειται μὲν εἰς τὸ κατὰ φύσιν ἐπανάγειν, ἀναγκαῖον δέ ἐστι τῷ μέλλοντι εἰς τὴν ἀρχαίαν ἐπανέρχεσθαι κατάτασιν, ὅθεν ἐξετράπετο τὴν αὐτὴν ὁδὸν ἀνάπαλιν ἐλθεῖν, ὅπερ οἰδὲν διαφέρει τοῦ φάναι τὴν ἐναντίαν ὁδὸν ἀνίσαι. τοῖς οὖν ἐξ Ἀθηνῶν εἰς Ἐλευσῖνα πορευθεῖσιν οὐκ ἂν ἔχοις ἐναντίαν ὁδὸν ἑτέραν εἰπεῖν ἢ τὴν ἐξ Ἐλευσῖνος Ἀθήναζε· καίτοι γε τὸ πρῶτον ἀνυσθὲν μέρος τῆς ὁδοῦ πορευομένοις ἐξ Ἀθηνῶν ὕστατον ἀναστρεφόντων. σκέπτου τοίνυν ἐφ' ἑκάστης ἐξαρθρήσεως ὁπόθεν μὲν ἤρξατο τῆς μετατάσεως τὸ ἄρθρον, ὅπως δὲ προῆλθεν, ὅποι δὲ

agenda; inveniuntur haec ex eo quod maxime commune eſt et generale, poſitum quidem ab Hippocrate, demonſtratum vero a nobis in libris de ratione curandi, quod et nunc etiam docebimus quantum poterit breviſſime, nempe ex iis quae naturaliter habent nihil eſſe corrigendum; ſiquidem ea nobis eſt conſilium non tollere, ſed tueri; quae vero praeter naturam ſunt propoſitum eſt in naturalem ſtatum reſtituere. Neceſſe autem eſt id quod in antiquam ſedem unde exceſſit reverſurum eſt, rurſus idem iter facere, quod proinde eſt ac ſi dicas contrarium iter facere. Nam iis qui Athenis Eleuſinem proficiſcuntur, iter contrarium non aliud appellari poteſt quam Eleuſine Athenas, quamquam primum iter quod fecerunt Athenis abeuntes poſtremum eſt ubi redeunt. Conſiderato igitur in ſingulis luxatis unde coeperit articulus expelli, qua proceſſerit et ubi conſiterit; oportebit enim excidendi finem principium eſſe revertendi, atque inde rurſus ad

Ed. Chart. XII. [294.] Ed. Baſ. V. (581.)

τὴν τελευτην ἐποιήσατο. διήσει γάρ σε τὴν μὲν τελευτὴν τῆς μεταστάσεως ἀρχὴν τῆς ἐπανόδου ποιήσασθαι, προελθεῖν δὲ ἐντεῦθεν ἀνάπαλιν τὴν ἀρχὴν τῆς ἐμπτώσεως. αὐτίκα γοῦν ἐπὶ τῆς προκειμένης ἐξαρθρήσεως, ὅταν ἀπὸ τῆς οἰκείας ἕδρας εἰς τὴν πρόσω χώραν ἡ κεφαλὴ τοῦ βραχίονος ὑποχωροῦσα κάτω μὲν ἐνεχθῇ τῷ βάρει ῥέψασα, μετὰ ταῦτα δὲ ὀπίσω πρὸς τὰς πλευρὰς ὑπὸ τῶν μυῶν εἰς αὐτὰς συνελκόντων ἀνασπασθῇ, τὴν εἰς τὸ κατὰ φύσιν ἐπάνοδον ἄρξασθαι μὲν ἀπὸ τῆς ὀπίσω χώρας ἀναγκαῖόν ἐστιν, ἐνταῦθα δὲ πρόσω μὲν πρῶτον, εἶτ' ἄνω παράγεσθαι, κἀπειδὰν ἤδη κατ' εὐθὺ τῆς κοιλότητος ᾖ, δυοῖν θάτερον, ἢ τοῖς μυσὶν ἐπιτρέψαι τὸ πᾶν ἢ καὶ αὐτὸν συνεπωθεῖν. ὅταν γε μὴν ἐπιτρέψῃς τοῖσι μυσὶ, μὴ καταλίπῃς τὴν κάτω χώραν ἀφρούρητον. ὀχεῖσθαι γὰρ ἐνταῦθα ἐπί τινος χρὴ τὸν βραχίονα, μή πως ἡτονηκότων τῶν μυῶν ἀνασπᾷν αὐτὸν ἐνεχθῆναι κάτω φθάσῃ, πρὶν ὑπ' ἐκείνων εἰς τὴν οἰκείαν ἐνεχθῇ χώραν. οὐσῶν οὖν τούτων τῶν τριῶν ὁδοιοπορίων, ἄριστον μέν ἐστιν ἑκάστην ποιεῖσθαι κατ' εὐθεῖαν γραμμὴν,

excidendi principium procedere. Ac ne longius diſcedamus in propoſito caſu, quum humeri caput ſuo loco motum in priorem partem venit, ob pondus deorſum fertur; deinde in poſteriorem partem ad latus vi muſculorum ad ſe recurrentium contrahitur. Quum ergo reverti ad ſuam ſedem debet, inchoari a poſteriori regione neceſſe eſt, tuncque primo in priorem partem impelli, poſtea ſurſum adduci; deinde quum ſitum eſt e regione ſui cavi, duorum alterum faciendum eſt, vel res tota muſculis committenda vel una cum ipſis attrahentibus adurgendum eſt; at ubi rem muſculis commiſeris, inferiorem locum ſine ſultura ne relinquito. Suſtineri enim hic re aliqua humerum oportet, ne quum muſculi nondum ſic confirmati ſint ut ipſum attrahant, deorſum feratur, priusquam ab illis in ſuam ſedem adducatur. Ergo quum haec tria itinera ſint, optimum eſt unumquodque ad rectam lineam fieri, primo quidem in priorem partem, deinde in ſupe-

Ed. Chart. XII. [294. 295.] Ed. Baſ. V. (581.)

πρώτην μὲν τὴν πρόσω, δευτέραν δὲ τὴν ἄνω καὶ τρίτην τὴν ὀπίσω. πολλάκις δὲ οὐχ οὕτως, ἀλλὰ καὶ περικυλινδομένου τῆς κεφαλῆς τοῦ βραχίονος τῷ τῆς ὠμοπλάτης αὐχένι τὴν ἐμβολὴν ἐργαζόμεθα καὶ ὅ γε πρῶτος τρόπος ὁ διὰ τῶν δακτύλων ὑπό τε τοῦ πάσχοντος καὶ τῶν [295] ἰατρῶν γιγνόμενος ἐκ τούτου τοῦ εἴδους ἐστίν. ὀνομάζει δὲ αὐτὸν αὐτὸς ὁ Ἱπποκράτης κατὰ περίσφαλσιν ἐπιτυγχανόμενον ἄνευ βλάβης ἐν τῇ κατ' ὦμον διαρθρώσει μηδεμίαν ἐξοχὴν ἐχούσῃ προμήκη, μήτε κατὰ τὴν κεφαλὴν τοῦ βραχίονος, ἀκριβῶς γάρ ἐστι περιφερὴς, μήτε κατὰ τὰς ὀφρῦς τῆς ὑποδεξομένης αὐτὸν κοιλότητος· οἷς μὲν οὖν ἐκπίπτει πυκνῶς ἀνάγκη τήν τε διάρθρωσιν εἶναι χαλαρὰν καὶ τὴν κοιλότητα βροχιίας ἔχειν τὰς ὀφρῦς, καὶ διὰ τοῦτο ῥᾳδίως αὐτοὶ ἑαυτοῖς ἐμβάλλουσι τὸ ἄρθρον οἱ οὕτω κατεσκευασμένοι τοὺς κονδύλους τῶν δακτύλων τῆς ἀπαθοῦς χειρὸς ὑποθέντες εἰς τὴν μασχάλην, ὡς μεταξὺ δηλονότι τὴν ἔνθεσιν αὐτῶν γίνεσθαι τῆς κεφαλῆς τοῦ βραχίονος καὶ τῶν πλευρῶν, καὶ γίνονται ἀντὶ μοχλοῦ τηνικαῦτα τῆς χειρὸς οἱ δάκτυλοι, τελευτώντων μὲν εἰς ὀξὺ πέρας τῶν κονδύλων, ὥσπερ ἡ κώ-

riorem, tertio in poſteriorem. Saepe autem non ſic, ſed circa cervicem lati ſcapularum oſſis circumducentes humeri caput reſtituimus, cujus ſane generis eſt primus reponendi modus per digitos vel ipſius hominis vel medici. Eum modum apellat Hippocrates κατὰ περίσφαλσιν, qui citra noxam proficit in commiſſura humeri cum lato ſcapularum oſſe, quippe quae nullum oblongum proceſſum habeat, neque in capite humeri, ex toto enim rotundum eſt, neque in labris ipſius cavi quo recipitur. Quibus itaque ſaepe promovetur neceſſe eſt commiſſuram eſſe laxam et cavum exiguis labris contineri; atque ea de cauſa ipſi per ſe ipſos articulum reſtituunt, quibus ita habet, integrae manus digitorum tubercula in alam conjicientes, ſicut inter latus et humeri caput demittantur. In quo caſu digiti vicem vectis praeſtant, quum tubercula in acutum definant ad effigiem ſummi cunei; hac igitur ſummi-

Ed. Chart. XII. [295.] Ed. Baſ. V. (581.)

νου κορυφή. αὐτῇ δὲ ταύτῃ τῇ κορυφῇ παρεισερχομένων ῥᾳδίως, ὡς εἰπεῖν, εἰς τὴν μεταξὺ χώραν τῆς τε κεφαλῆς τοῦ βραχίονος καὶ τῶν πλευρῶν. ἦν δ' ἅπαξ ὑπ' αὐτῆς εἰσδεχθῶσι ῥᾳδίας τῆς ἐμβολῆς γινομένης διὰ τὴν ὑγρότητα τῶν κατὰ τὴν διάρθρωσιν σωμάτων. οἱ μέντοι δάκτυλοι παραδεχθέντες εὐθέως ἐν αὐτῷ τούτῳ τὸ ἄρθρον εἰς τὸ πρόσω μέρος ἀφιστᾶσι τῶν πλευρῶν· ὁ δ' ἀγκὼν παρὰ τὸ στῆθος ἀπαγόμενος ὑψοῖ τὸν βραχίονα. συνεπωθούντων δὲ ἐν τῷδε τῶν δακτύλων καὶ κυλινδουμένων κατὰ τῶν κάτω τε καὶ πρόσω μερῶν τῆς διαρθρώσεως ἡ κεφαλὴ τοῦ βραχίονος ἐπὶ τὴν ὀφρῦν ἀναβαίνει τῆς ὑποδεχομένης αὐτὴν κοιλότητος. εἰ δ' ἅπαξ ἐν τούτῳ γένοιτο, διὰ βραχείας ῥοπῆς εἰς αὐτὴν ἐμπίπτει τὴν κοιλότητα· τοῦτο δ' ἦν τὸ πέρας τῆς ἐμβολῆς.

η'.

Τὸν αὐτὸν δὲ τρόπον τοῦτον καὶ ὁ ἰατρὸς ἂν ἐμβάλλοι, εἰ αὐτὸς μὲν ὑπὸ τὴν μασχάλην ἐσωτέρω τοῦ ἄρθρου ἐκπεπτωκότος ὑποτείνας τοὺς δακτύλους ἀπαναγκάζοι ἀπὸ τῶν πλευρέων ἐμβάλλων τὴν ἑωυτοῦ κεφαλὴν ἐς τὸ ἀκρω-

tate facile inter humeri caput et latus inferuntur, quodſi ibi ſemel admittantur, quum facile reſtitui poſſit ob humorem partium quae commiſſuram comprehendunt, digiti quidem ex parte protinus admiſſi articulum a latere in priorem partem reducunt; at cubitus quum ad pectus adducitur humerum attollit, quumque digiti ſimul interim impellant et circumducant juxta inferiorem et priorem partem commiſſurae, humeri caput ad ſui cavi oram adſcendit. Quodſi ſemel eo fuerit compulſum, levi momento in ipſum cavum revertitur; hic autem reſtituendi finis fuit.

VIII.

Eundem reſtituendi modum adhibere medicus poterit, ſi ſub ala ab interiori parte articuli prolapſi digitos demittens a latere ipſum reducat, ſuum vero caput od renitendum objiciat, qua jugulum cum lato ſcapularum

Ed. Chart. XII. [295.] Ed. Baſ. V. (581.)

μιον ἀντερείσιος ἕνεκα, τοῖσι δὲ γούνασι παρὰ τὸν ἀγκῶνα ἐς τὸν βραχίονα ἐμβαλὼν ἀντωθέοι πρὸς τὰς πλευράς. ξυμφέρει δὲ καρτερὰς τὰς χεῖρας ἔχειν τὸν ἐμβάλλοντα, εἰ αὐτὸς μὲν τῇσι χερσὶ καὶ τῇ κεφαλῇ οὕτως ποιοίη, ἄλλως δέ τις τὸν ἀγκῶνα παράγοι παρὰ τὸ στῆθος.

Οἱ ἰατροὶ τὰ μὲν κοινά τινα ταῖς ἰδιωτῶν ἐνεργείαις ἐνεργοῦσιν ἐμβάλλοντες αὐτοῖς τὸ ἐξαρθρῆσαν, καὶ τοῦτο μὲν διαπράττουσι κατά γε τὴν νῦν ἑρμηνευομένην ἐμβολήν, τὰ δέ τινα τοῖς κοινοῖς αὐτοὶ προστιθέασιν ἴδια. κοινὰ μὲν οὖν αὐτοῖς ἐστι πρὸς τοὺς ἰδιώτας ἥ τε διὰ τῶν δακτύλων μοχλεία καὶ ἡ τοῦ βραχίονος ὕψωσις, ἴδια δὲ πρὸς τούτοις ἥ τε τῆς κεφαλῆς ἐς τὸ τοῦ κάμνοντος ἀκρώμιον ἀντέρεισις, ἥ τε διὰ τῶν γονάτων ἀντώθησις ἐρειδομένων εἰς τὸ κάτω τοῦ βραχίονος. γίνεται δὲ ἡ ἀντέρεισις ἕνεκα τοῦ μὴ συνακολουθεῖν τὸν ἄνθρωπον ἀγομένῳ πρόσω τῷ βραχίονι διὰ τῆς τῶν χειρῶν μοχλείας, καὶ πρῶτά γε χρὴ γίνεσθαι ταῦτα,

---

oſſe committitur, genibus juxta cubiti juncturam ad humerum datis ad latus repellat. Expedite autem eum qui reſtituet manu ſtrenua eſſe vel ipſe manibus et capite quod dictum eſt praeſtet, alter cubitum ad pectus adducat.

Medici in reſtituendis luxatis quaedam agunt idiotis quoque communia, id quod nunc faciunt in propoſito reſtituendi modo, quaedam proprie adjiciunt iis quae communia ſunt. Commune eſt medicorum pariter et idiotarum per digitos impellere et humerum attollere, ſed proprium medicorum caput objicere homini, qua jugulum cum lato ſcapularum oſſe committitur et humerum adurgere genibus ad imum ejus datis. Objicitur autem caput ne homo ſequatur, quum humerus digitorum impulſu in priorem partem adducitur; quae primo fieri debent, tum

Ed. Chart. XII. [295. 296.] Ed. Baſ. V. (581. 582.)

τρίτον δ' αὐτοῖς ἔπεσθαι τὴν διὰ τῶν γονάτων ἀντωθησιν ἐν ἐκείνῳ τῷ καιρῷ τῆς ὅλης χειρουργίας ἐπιτηδείως γινομένης, ἡνίκα τελέως ἡ κεφαλὴ τοῦ βραχίονος ἀποχωρήσασα τῶν πλευρῶν οὐκ εὐθὺς ὑποπίπτει τῷ τῆς ὠμοπλάτης αὐχένι. τηνικαῦτα γὰρ οὐδ' ἀνάγειν εἰς τὸ πρόσω χρὴ τὸ ἄρθρον, ἀλλ' ὠθεῖν ἄνω. συμβήσεται δὲ τοῦτο καλῶς, εἰ τὸ κάτω πέρας τοῦ βραχίονος ἐπὶ τὰς πλευρὰς ἀπωθοίη τις. εἰς ὅσον γὰρ [296] τοῦτ' ἔσω τε καὶ κάτω χωρεῖ τὸ ἀντικείμενον αὐτῷ πρὸς ἐναντίους τόπους ἐνεχθήσεται. εἰς τὴν ἄνω δὲ καὶ πρόσω χώραν τοῦ βραχίονος ἡ κεφαλὴ γιγνομένη ῥᾳδίαν ἔξει τὴν ἔμπτωσιν· εἰ δὲ (582) μὴ βούλοιτό τις ἀντωθεῖν τοῖς γόνασι πρὸς τὸ κάτω πέρας τοῦ βραχίονος, ἑτέρῳ κελευσάτω παρὰ τὸ στῆθος ἀνάγειν αὐτὸν, ὅπερ ὁ ἰδιώτης ἔμπροσθεν ἐδείχθη ποιεῖν ὑπὸ τοῦ συνεχῶς ὀλισθαίνειν αὐτῷ τὸ ἄρθρον, ὡς χρὴ ποιεῖν δεδιδαγμένος· ἀλλ' ᾧ γε νῦν πρῶτον ὤλισθεν, οὐχ οἷόν τε τοῦτο πράττειν ἐστὶ, πλὴν εἰ γινναῖός τις εἴη καὶ ἀκατάπληκτος ἐν τοῖς δεινοῖς. ὁ γὰρ τοιοῦτος αὐτὸς ὑψώσει τὸν αὐχένα κελευσθεὶς ὑπὸ τοῦ θεραπεύοντος.

---

tertio genibus adurgendum, quod in eo tempore totius curationis quae per manum admovetur opportuniſſime fit, quum humeri caput a latere penitus reductum non protinus occurrit cervici lati ſcapularum oſſis; tunc enim neque oportet articulum in priorem partem adducere, ſed in ſuperiorem compellere; quod optime continget, ſi quis imum humerum ad latus trudat. Quatenus enim in interiorem atque inferiorem partem fertur, eatenus quod ipſi apponitur in contrarias partes ducitur. At ubi humeri caput in priorem ſimul et ſuperiorem venit, facile reconditur. Sed ſi nolit medicus genibus imum humerum attingere, imperet alteri ut ipſum ad pectus adducat. Hoc ſupra oſtenſum eſt fieri ab idiota, quod ſaepe articulus excidat, edocto qua ratione agendum ſit. Sed cui nunc primum excidit, non licet id efficere, niſi ſi generoſus eſt atque adverſis rebus non perturbatur; hic ſiquidem juſſus a medico per ſe humerum excitabit.

Ed. Chart. XII. [296.] Ed. Baf. V. (582.)

ϑ'.

Ἔστι δὲ ἐμβολὴ ὤμου καὶ ἐς τοὐπίσω ὑποβάλλοντα τὸν πῆχυν ἐπὶ τὴν ῥάχιν, ἔπειτα τῇ μὲν ἑτέρῃ χειρὶ ἀνακλᾶν ἐς τὸ ἄνω τοῦ ἀγκῶνος ἐχόμενον, τῇ δὲ ἑτέρῃ παρὰ τὸ ἄρθρον ὄπισθεν ἐνερείδειν.

Οὗτος ὁ τρόπος τῆς ἐμβολῆς κατὰ περίσφαλσιν γίνεται μᾶλλον τοῦ πρόσθεν. ἔστι δὲ ἐξ ἀνάγκης μὲν καὶ αὐτὸς ἐκ τῶν τριῶν ἐνεργειῶν σύνθετος, οὐ μὴν ἰδίοις πέρασιν ἑκάστης αὐτῶν περιγραφομένης, οὐδὲ ἐν τῇ μεταβάσει γωνίας ποιούσης, ἀλλὰ κατὰ τὰς κυκλοτερεῖς, ὡς εἰ καὶ τετραγώνου τις ἀποθραΐσει τὰς γωνίας. ὁποῖον γάρ τι συμβαῖνόν ἐστιν ἐν τοῖς κατὰ περικύλισίν τε καὶ κατὰ περίσφαλσιν·

Α. Β. Γ. Δ.

σαφῶς νοήσεις οἷς ἐπὶ εἰκόνος τοῦδε τοῦ διαγράμματος τῆς φορᾶς τῆς κεφαλῆς τοῦ βραχίονος, ἣν ἄρθρον ὤμου προσαγορεύει, γιγνομένης κατὰ μὲν τὴν πρώτην ἐνέργειαν ἀπὸ τῶν πλευρῶν εἰς τὸ πρόσω, κατὰ δὲ τῆς ΓΔ γραμμῆς, ἐν-

IX.

Reponitur idem humeri caput, quum retrudatur ad dorſum tum altera manu eminentia cubiti ſurſum compellitur, altera a poſteriori parte urgetur articulus.

Hoc reſtituendi modo magis circumducimus quam ſuperiori, ſed ſub ipſo etiam neceſſe eſt in tres partes articulum agi, quae tamen ſingulae propriis finibus non circumſcribuntur, neque angulum efficit, quum ex una parte ad aliam transfertur, ſed in orbem flectitur perinde ac ſi anguli a quadrato retundantur. Quid autem accidat, quum articulus in orbem agitur circumduciturque, plane intelliges ex deſcriptione hujus figurae:

A. B. C. D.

Concipito caput humeri, quem articulum lati ſcapularum oſſis vocat, quum primo agitur, ferri a latere ad partem priorem per lineam C D, inde ſurſum per lineam D B,

Ed. Chart. XII. [296.] Ed. Baſ. V. (582.)

τεῦθεν δὲ ἄνω ἐπὶ τὴν Δ Β, κἄπειτ' ἐντεῦθεν ἐμβαλλομένης τῇ κοιλότητι κατὰ τὸ Α τεταγμένη. τοιαύτης μὲν οὖν γινομένης αὐτοῦ τῆς φορᾶς οὐχ ἕπεται περίσφαλσις, ὅταν δὲ τῶν κατὰ τὸ Δ καὶ Β γωνιῶν, οἷον ἀποθραυσθεισῶν ἡ φορὰ μηκέτι κάτω τῶν τριῶν εὐθειῶν, ἀλλὰ κατὰ μιᾶς γίγνεται γραμμῆς κυρτῆς τῷ σχήματι, τότε συμβαίνει κυλίζεσθαι καὶ τὸν βραχίονα πρὸς τὴν ὀφρὺν ἀνέρχεσθαι τῆς διαρθρώσεως. ὅταν δὲ ἐπὶ ταύτης γένηται, βραχείας ῥοπῆς προσελθούσης εἰς τὴν ἐντὸς χώραν περισφάλλεται. τοῦτο μὲν οὖν κοινὸν ἁπάντων τῶν κατὰ περίσφαλσιν ἐμβαλλομένων· ἣν δὲ νῦν ἐμβολὴν ἐξηγεῖται, ταύτῃ προσήκει κατὰ μὲν τὴν εἰς τοὐπίσω τε καὶ τὴν ῥάχιν ἀναγωγὴν τοῦ πήχεως ἀκολουθοῦντος αὐτῷ ἐξ ἀνάγκης τοῦ βραχίονος ἡ κεφαλὴ πρόσω τε καὶ ἄνω μεθισταμένη περικυλισθήσεται, πρώτῳ μὲν τῷ κάτω μέρει τῆς διαρθρώσεως, ἑξῆς δὲ τῷ πρόσω μέχρις ἂν ἐπὶ τὴν ὀφρὺν ἀναβῇ τῆς κοιλότητος, ὅθεν δὴ πρὸς τὴν ἐνιὸς χώραν ἐνεχθεῖσα στηριχθήσεται κατ' αὐτῆς. ἔστι γὰρ δὴ τοῦτο πέρας τῆς ἐμβολῆς. ὥσπερ δὲ ἐπὶ τῆς πρὸ ταύτης ἐμβολῆς ἕνεκα τοῦ μὴ συνακολουθεῖν ἐπὶ τὰ πρόσω τὸν ἄνθρωπον ὠθεῖν ὀπίσω τὸ ἀκρώ-

poſtea in ſuum cavum conjici, ubi A, quodſi ita feratur, non circumducitur, ſed ſi anguli D B quaſi infringantur, non amplius per tres lineas rectas feretur, ſed per unam curvam. Sic itaque circumactus humerus ad oram adducitur ſui cavi, ad quam ubi venit, modico impulſu in ſuam ſedem revertitur. Atque hoc commune eſt omnium quae circumducendo reponuntur, id quod etiam evenit ei reſtituendi modo quem nunc exprimit. Siquidem brachio in poſteriorem partem ducto ad ſpinam, quum neceſſario humerus ſequatur, caput hujus in priorem ac ſuperiorem partem translatum circumducetur, primo circa inferiorem partem commiſſurae; deinde circa priorem, donec adſcendat ad oram ſui cavi, in quod ubi conjectum fuerit, continebitur, tuncque reſtituendi finis eſt. Quemadmodum autem in ſuperiori modo reſtituendi, ne homo ſequens in priorem partem converteretur, praecepit medico ut capilo

Ed. Chart. XII. [296. 297.] Ed. Baſ. V. (582.)

μιον ἐκέλευσε διὰ τῆς αὐτοῦ κεφαλῆς τὸν ἰατρὸν, οὕτω νῦν ὑπὲρ τοῦ μὴ συνακολουθεῖν, ὀπίσω τοὐναντίον ἀξιοῖ ποιεῖν ἐπιβαλλοντα τὴν χεῖρα κατὰ τὴν ὀπίσω χώραν ὅλης τῆς διαρθρώσεως, ἀντωθεῖν εἰς τὸ πρόσω τὸν ἄνθρωπον.

ι'.

[297] Αὕτη ἡ ἐμβολὴ καὶ ἡ πρόσθεν εἰρημένη οὐ κατὰ φύσιν ἐοῦσαι ὅμως ἀμφιβάλλουσαι τὸ ἄρθρον, ἀναγκάζουσιν ἐμπίπτειν.

Οὐ κατὰ φύσιν αὐτὰς εἶπε διὰ τὸ μὴ κατ' εὐθείας γραμμὰς γίνεσθαι τὴν κίνησιν τῷ ἄρθρῳ, κατὰ περικύλισιν δὲ μᾶλλον, ὡς εἴρηται. κίνδυνος δὲ ἐν τῷδε γίνεται τῆς περιθραύσεως τῶν ἐξοχῶν. τὸ δὲ ἀναγκάζουσι προσέθηκε, τὸ βίαιον αὐτῶν ἐνδεικνύμενος.

objecto ſummum lati ſcapularum oſſis, qua cum jugulo committitur, retro repelleret, ita nunc ne in poſteriorem partem convertatur, contrarium imperat, ut ſcilicet manu objecta a poſteriori parte totius commiſſurae hominem in priorem repellat.

X.

Hic reponendi modus atque is qui ſuperius poſitus eſt ſecundum naturam non ſunt, circum agentes tamen in ſuam ſedem articulum cogunt.

Dixit non ſecundum naturam eſſe eo quod articulus ad rectam lineam non feratur, ſed in orbem magis, ut oſtenſum eſt. Qua in re periculum eſt ne abſcindatur proceſſus aliqui. Propterea autem adjecit, cogunt, ut vim eorum indicaret.

Ed. Chart. XII. [297.] Ed. Baf. V. (582.)

ια'.

Οἱ δὲ τῇ πτέρνῃ πειρώμενοι ἐμβάλλειν ἐγγύς τι τοῦ κατὰ φύσιν ἀναγκάζουσι.

Διὰ τί ταύτην τὴν ἐμβολὴν ἐγγύς τι τοῦ κατὰ φύσιν ἔχειν ἔφη μαθήσῃ σαφῶς ὅλης αὐτῆς ἀκούσας πρότερον. ἔσται δὲ τοῦτο ταῖς ῥήσεσιν ἀκολουθήσαντι αὐτοῦ.

ιβ'.

Χρὴ δὲ τὸν μὲν ἄνθρωπον χαμαὶ κατακλῖναι ὕπτιον, τὸν δὲ ἐμβάλλοντα χαμαὶ ἵζεσθαι, ἐφ' ὁπότερα ἂν τὸ ἄρθρον ἐκπεπτώκῃ, ἔπειτα λαμβόμενον τῇσι χερσὶ τῇσιν ἑωυτοῦ τῆς χειρὸς τῆς σιναρῆς κατατείνειν αὐτήν, τὴν δὲ πτέρνην ἐς τὴν μασχάλην ἐμβάλλοντα ἀντωθέειν, τῇ μὲν δεξιῇ ἐς τὴν δεξιὴν, τῇ δὲ ἀριστερῇ ἐς τὴν ἀριστερήν. δεῖ δὲ ἐς τὸ κοῖλον τῆς μασχάλης ἐνθεῖναι στρογγύλον τι ἐναρμόττον. ἐπιτηδειότατα δὲ αἱ πάνυ σμικραὶ σφαῖ-

XI.

Sed qui per calcem reponere nituntur, prope ſecundum naturam cogunt.

Qua de cauſa hunc reponendi modum afferat prope ſecundum naturam eſſe aperte intelliges, quum ipſum univerſum cognoveris; quod fiet ubi quae ſubjiciuntur animadvertas.

XII.

Hominem oportet humi reſupinare, medicum vero ab ea parte, abs qua articulus eruperit, humi ſedere; deinde ſuis manibus hominis brachium affectum prehendere ac deorſum verſus extendere et calce in alam demiſſo dextro quidem in dextram, ſiniſtro in ſiniſtram, in contrariam partem urgere. Neceſſe autem eſt in ſinum alae rotundum aliquid demittere quod ibi aptetur. Maxime

Ed. Chart. XII. [297.] Ed. Baſ. V. (582.)

ραι καὶ σκληραὶ, οἷαι πολλαὶ ἐκ τῶν σκυτέων ῥάπτονται· ἢν γὰρ μή τι τοιοῦτον ἐγκέηται, οὐ δύναται ἡ πτέρνη ἐξικνέεσθαι πρὸς τὴν κεφαλὴν τοῦ βραχίονος· κατατείνομένης γὰρ τῆς χειρὸς κοιλαίνεται ἡ μασχάλη. οἱ γὰρ τένοντες οἱ ἔνθεν καὶ ἔνθεν τῆς μασχάλης ἀντισφίγγοντες ἐναντίοι εἰσί. χρὴ δέ τινα ἐπὶ θάτερα τοῦ κατατεινομένου καθήμενον κατέχειν κατὰ τὸν ὑγιέα ὦμον, ὡς μὴ περιέλκηται τὸ σῶμα τῆς χειρὸς τῆς σιναρῆς ἐπὶ θάτερα τεινομένης, ἔπειτα ἱμάντος μαλθακοῦ πλάτος ἔχοντος ἱκανὸν, ὅταν ἡ σφαῖρα ἐντεθῇ εἰς τὴν μασχάλην περὶ τὴν σφαίρην περιβεβλημένου τοῦ ἱμάντος καὶ κατέχοντος, λαβόμενον ἀμφοτερέων τῶν ἀρχῶν τοῦ ἱμάντος ἀντικατατείνειν τινὰ ὑπὲρ κεφαλῆς τοῦ κατατεινομένου καθήμενον, τῷ ποδὶ προσβάντα πρὸς τοῦ ἀκρωμίου τὸ ὀστέον. ἡ δὲ σφαῖρη ὡς ἐσωτάτω καὶ ὡς μάλιστα πρὸς τῶν πλευρέων κείσθω καὶ μὴ ἐπὶ τῇ κεφαλῇ τοῦ βραχίονος.

---

idoneae ſunt pilae parvae admodum ac durae, quae e corio fere ſuuntur: nam niſi tale aliquid indatur, non poteſt calx ad humeri caput pervenire. Brachio enim ab inferiori parte extento ſinuatur ala, quoniam chordae ab utraque parte alam conſtringunt inter ſe adverſae. Oportet autem aliquem ab altera parte ejus qui extenditur ſedentem continere hominem ab integri humeri cum lato ſcapularum oſſe commiſſura, ne corpus ducatur affecto brachio ab altera parte extento; poſt loro molli abunde lato pilam in alam conjectam excipere, cujus lori utrumque caput alter extendat, qui a capite hominis ſedeat pedeque eam partem repellat, ubi jugulum cum ſummitate lati ſcapularum oſſis conjungitur. Pila vero quantum maxime poteſt intus conjiciatur atque ad latus et a capite humeri recedet.

Ed. Chart. XII. [297. 298.] Ed. Baf. V. (582. 583.)

Εἴ τις δὴ τῶν οὕτως εἰρημένων συνίησιν, οὗτος οὐ δεῖται τῆς διὰ τῶν λόγων ἐξηγήσεως, ἀλλὰ τῆς ἐπ' αὐτῶν ἐνεργειῶν δείξεως. διὸ καὶ πολλάκις, ὡς καὶ πρόσθεν ἔφην, ἀξιῶ τὸ βιβλίον ἀναγινώσκειν αὐτοῦ τοῦ Ἱπποκράτους ἐπιμε- (583) *λῶς προσέχοντας τῇ λέξει καὶ πειρωμένους νοεῖσθαι τὸ λεγόμενον. ἐγὼ τοίνυν ὡς ἤδη σοὶ τῶν ὑπ' αὐτοῦ λεγομένων* [298] *ἐν περινοίᾳ γεγονότι τὴν αἰτίαν προσθήσω, δι' ἣν ἐγγύς τι τοῦ κατὰ φύσιν ἔφη τὴν τοιαύτην ἐμβολὴν εἶναι, τὰς ἔμπροσθεν ψαυσάμενος ὡς οὐ κατὰ φύσιν ἐπιτελουμένας. πρῶτον μὲν οὖν ὅτι κατατείνει τὸν βραχίονα μηδεμιᾶς τῶν ἔμπροσθεν ἐχούσης τοῦτο, ὥστε προσηκόντως ἄν τις ἐπαινέσειε τὴν τοιαύτην ἐμβολήν. ἐρρέθη γὰρ ἡμῖν κἀν τῇ περὶ τῶν ἀγμῶν πραγματείᾳ ἥ τε χρεία τῆς κατατάσεως, ὅτι τε προηγεῖσθαι χρὴ πάσης ἐμβολῆς καὶ διαπλάσεως αὐτήν. δεύτερον δὲ ἐπὶ τῷδε τῷ ἔργῳ τὸ διὰ τῆς πιέρνης ὀπίσω τὸν ἄνθρωπον ὠθεῖσθαι, χάριν τοῦ μὴ συνακολουθεῖν ἑλκομένῃ τῇ χειρί. διὰ μὲν οὖν τῶν δυοῖν τούτων ἐνεργειῶν ἡ ἀντίτασις γίνεται, διὰ*

Si quis quae ſic traduntur non intelligat, huic opus eſt non verbo exponere, ſed agendo rem monſtrare. Atque idcirco mihi placet, quemadmodum ſupra retuli, librum ipſum Hippocratis ſaepius legi verbis diligenter conſideratis atque adhibito omnino ſtudio, ut quod proponitur intelligatur. Equidem tibi ut quae ab Hippocrate ſcripta ſunt tenenti cauſam adjiciam, quam ob rem hunc reponendi modum prope ſecundum naturam eſſe affirmet, quosque ſuperius poſuit tanquam non ſecundum naturam reprehendat. Primo quidem hic reponendi modus humerum extendit, quod neuter ex ſuperioribus praeſtitit, quam ob rem a quovis merito laudatur. Nos enim ad quem uſum intenſio adhiberetur extendendumque perpetuo eſſe, antequam reſtituere aut componere tentemus, in opere quoque de fracturis oſtendimus. Deinde in hac curatione calce homo retro repellitur, ne ſequatur, quum brachium attrahitur. Haec itaque duo agentes in diverſa

Ed. Chart. XII. [298.] Ed. Baf. V. (583.)

μὲν τοῦ περιβαλλομένου κατὰ τὴν μασχάλην ἱμάντος εἰς τοὐπίσω τοῦ κάμνοντος ἑλκομένου, διὰ δὲ τοῦ ποδὸς ἀντωθουμένου πρόσω, καὶ σαφῶς γε πάνυ τῶν ἀντιτάσεων ἑκατέραν εἷς ἄνθρωπος ἐργάζεται. ταῦτα μὲν οἶν κατὰ φύσιν ἐν τῷ τρόπῳ τῷδε τῆς ἐμβολῆς γίνεται· ἡ μέντοι μοχλεία λείπεται τοῦ προσήκοντος, οὔτε τῆς μικρᾶς σφαίρας δυναμένης εἰς τὸ μεταξὺ τῶν τε πλευρῶν καὶ τῆς τοῦ βραχίονος κεφαλῆς εἰσελθεῖν οὔτε πολὺ μᾶλλον τῆς πτέρνης· ὅπου δ' οὐδὲν εἰς ταύτην τὴν χώραν παρεισέρχεται, πῶς ἂν ἡ μοχλεία γένηται; μὴ γινομένης δὲ ταύτης οὐδὲ τὴν ἐμβολὴν ἔσεσθαι κατὰ φύσιν.

ιγ'.

Ἔστι δὲ καὶ ἄλλη ἐμβολὴ ὡς κατωμίζουσιν ἐς ὀρθόν· μείζω μέντοι εἶναι χρὴ τὸν κατωμίζοντα, διαλαβόντα δὲ τὴν χεῖρα ὑποθεῖναι τὸν ὦμον τὸν ἑωυτοῦ ἐπὶ τὴν μασχάλην ὀξύν.

---

contendimus; loro quidem circa alam injecto hominem in poſteriorem partem ducimus, pede in priorem repellimus. Patet autem eundem eſſe qui utrumque efficiens in diverſa contendit. Haec in propoſito reponendi modo ſecundum naturam adhibentur. Sed quum impulſus abſit a convenienti modo recedit, eo quod nequeat exigua pila inter latus et humeri caput penetrare ac multo minus etiam calx. At ubi eo nihil indatur, quomodo impellemus? ubi non impellamus, neque reponere ſecundum naturam poterimus.

XIII.

Eſt et alius reponendi modus, quo ſuper ſummum humerum alterius hominem collocant. Major autem eſſe neceſſario is debet, ſuper quem collocatur. Hic autem apprehenſo brachio laborantis ſummum humerum ſuum excitatum alae hominis ſubjiciat.

Ed. Chart. XII. [298.] Ed. Baf. V. (583.)

Πρῶτος μὲν οὖν αὐτῷ τρόπος ἐμβολῆς εἴρηται ὁ διὰ τῶν δακτύλων γινόμενος, ἤτοι τοῦ κάμνοντος ἢ τοῦ ἰατροῦ, δεύτερος δὲ ὁ διὰ τῆς πτέρνης, ἐφ' οἷς τρίτος ὁ διὰ τοῦ κατωμισμοῦ. καλοῦσι γὰρ οὕτως αὐτὸν, ἐπειδὴ καὶ αὐτὸς ἔφη ὡς κατωμίζουσιν ἐς ὀρθόν. ὅπως δὲ γίνεται τοῦτο, σαφῶς αὐτὸς ἐδίδαξε κελεύσας τὸν κατωμίζειν μέλλοντα διαλλάσσειν ταῖς ἑαυτοῦ χερσὶ τὴν ἐξηρθρηκυῖαν χεῖρα καὶ οὕτως ἀποξύναντα τὸν ἴδιον ὦμον εἰς τὴν κάμνοντος ὑποθεῖναι μασχάλην, ὡς ἕδραν αὐτῷ γενέσθαι τῆς ἕξοχῆς τὴν ἐν ἐκείνῳ κοιλότητα.

ιδ'.

Κἄπειτα ὑποστρέψαι, ὡς ἂν ἐνίζηται ἕδρα, οὕτω στοχασάμενον, ὅκως ἀμφὶ τὸν ὦμον τὸν ἑωυτοῦ κρεμάσαι τὸν ἄνθρωπον κατὰ τὴν μασχάλην. αὐτὸς δὲ ἑωυτὸν ὑψηλότερον ἐπὶ τοῦτον τὸν ὦμον ποιεέτω ἢ ἐπὶ τὸν ἕτερον. τοῦ δὲ κρεμαμένου τὸν βραχίονα πρὸς ἑωυτοῦ στῆθος προσαναγκαζέτω ὡς τάχιστα. ἐν τούτῳ δὲ τῷ σχήματι προσα-

Primus reponendi modus quem poſuit per digitos fuit, ſive aegrotantis ſive medici, alter per calcem, tertius eſt quem vocant. *διὰ τοῦ κατωμισμοῦ*, eo quod Hippocrates dixit, *ᾧ κατωμίζουσιν ἐς ἄνθρωπον*, quum ſignificare voluit eum modum, quo ſuper ſummum humerum alterius hominem collocant. Quomodo autem hoc fiat, ipſe aperte docuit, quum praecepit ut qui ſuper ſummum humerum collocaturus hominem eſſet, ſuis manibus prolapſum ipſius brachium prehenderet, atque ita ſummum humerum ſuum attollens in hominis alam conjiceret, ut cavum quod in ea eſt ejusmodi eminentiae locum praeſtaret.

XIV.

Poſtea convertatur, quaſi ſedili velit inſidere, eo ſpectans ut ſummo ſuo humero aeger ala ſuſpendatur; ipſe vero ſe ipſum ab eo humero magis excitat quam ab altero ſuſpenſique humerum ad ſuum pectus quam celerrime adducat. Ita vero figuratus concutiatur, quum homi-

Ed. Chart. XII. [298. 299.] Ed. Baſ. V. (583.)

νασείετω, ὁκόταν μετεωρήσῃ τὸν ἄνθρωπον ὡς ἀντιῤῥέποι τὸ ἄλλο σῶμα αὐτῷ ἀντίον τοῦ βραχίονος τοῦ κατεχομένου. ἢν δὲ ἄγαν κοῦφος ἔῃ ὁ ἄνθρωπος, προσεπικρεμασθήτω τούτου ὄπισθέν τις κοῦφος παῖς. αὗται δὲ αἱ ἐμβολαὶ πᾶσαι καὶ παλαίστρην εὔχρηστοί εἰσιν, ὅτι οὐδὲν ἀλλοίων δέονται ἐπεισενεχθῆναι, χρήσαιτο δ' ἄν τις ἄλλοθι.

---

[299] *Τὴν ὑποστροφὴν φησι δηλῶν τοῦ κατωμίζοντος ὦμον, ὡς ὅταν ἐπελθόντες δίφρῳ περιστρεφώμεθα καθίζοντες ἐπ' αὐτόν. ὅταν δὲ τοῦ κατωμίζοντος ἐκκρεμαθήσεται, δῆλον ὅτι κατὰ τὸν νῶτον αὐτοῦ καὶ οὕτως ἀντίασιν ἐργάσεται τῆς κατατεινομένης εἰς τὸ πρόσω χειρός. εἰ δὲ εἴη κοῦφος ὁ κατωμιζόμενος, προσεκκρεμασθῆναι παῖδα κοῦφον κελεύει, χάριν τοῦ μεῖζον ἐργάσασθαι τὸ βάρος τῆς ἀντιτάσεως. ἀνασείεσθαι δὲ τὸν τοῦ κάμνοντος ὦμον ὑπὸ τοῦ κατωμίζοντος ἀξιοῖ, χάριν τοῦ κατ' εὐθὺ γενέσθαι τὸν βραχίονα τῆς ἰδίας ἕδρας. εἴρηται γὰρ ἡμῖν πολλάκις ὡς*

nem ſuſpenderit, ut reliquum corpus in contrariam partem inclinetur atque humerus contentus. Quodſi homo levis admodum fuerit, appendatur ei a poſteriori parte levis aliquis puer. Hi reſtituendi modi omnes ad palaeſtram ſunt aptiſſimi, quoniam luxata ibi ut reſtituantur nullum aliud machinamentum deſiderant, quibus alibi uti etiam convenit.

Ὑποστρέψαι dixit verbum *convertatur* ſignificare volens, ſummum humerum, ſuper quem homo collocatur converti, ſicut quando ad ſedile accedimus, ut illi inſidamus. Aegrotantem vero quum ab humero pendebit, conſtat a tergo ejus, ſuper quem collocatur, ſuſpendendum eſſe. Hac ſiquidem via in contrariam partem ducetur, atque brachium quod a fronte trahitur. Quod ſi levis fuerit qui ſuſpenditur, appendi levem puerum praecipit, ut gravius reddat pondus quod tendit in partem contrariam. Vult etiam concuti articulum humeri ipſius aegro-

Ed. Chart. XII. [299.] Ed. Baſ. V. (583.)

ὅταν ἐν τυυτῳ καταστῃ τὸ ἐμβαλλόμενον ἄρθρον, ἑτοίμην ἴσχει τὴν ἐμπτωσιν, εἰ καὶ μὴ συνεπωθοῖμεν ἡμεῖς αὐτὸ τῶν μυῶν ἐργαζομένων τὸ δέον.

ιε'.

Ἀτὰρ καὶ οἱ περὶ τὰ ὕπερα ἀναγκάζοντες ἐγγύς τι τοῦ κατὰ φύσιν ἐμβάλλουσι. χρὴ δὲ τὸ μὲν ὕπερον κατειλῆχθαι ταινίῃ τινὶ μαλθακῇ, ἧσσον γὰρ ἂν ὑπολισθάνοι, ὑπηναγκάσθαι δὲ μεσηγὺ τῶν πλευρέων καὶ τῆς κεφαλῆς τοῦ βραχίονος· καὶ ἦν μὲν βραχὺ ἔῃ τὸ ὕπερον, καθῆσθαι χρὴ τὸν ἄνθρωπον ἐπί τινος, ὡς μόλις τὸν βραχίονα περιβάλλειν δύνηται περὶ τὸ ὕπερον. μάλιστα δὲ ἑστιῶ μακρότερον τὸ ὕπερον, ὡς ἂν ἑστιὼς ὁ ἄνθρωπος κρέμασθαι μικροῦ δέῃ ἁμᾷ τῷ ξύλῳ· κἄπειτα ὁ μὲν βραχίων καὶ ὁ πῆχυς παρατεταμένος περὶ τὸν ὕπερον ἑστω. τὸ δὲ ἐπὶ θάτερα τοῦ σώματος καταναγκαζέτω τις ὑπερβάλλων κατὰ τὸν αὐχένα παρὰ τὴν κληῖδα τὰς χεῖρας.

tantis ab eo ſuper quem collocatur, ut e regione ſuae ſedis conſtituatur. Saepius enim diximus, ubi articulus ita collocetur, facile recondi; quum nobis etiam nihil impellentibus muſculi quod expedit efficiant.

XV.

Sed et qui ſuper piſtillum cogunt, prope ſecundum naturam reſtituunt. Involvatur autem piſtillum molli aliqua faſcia, minus enim elabitur, atque inter latus et humeri caput demittatur. Quod ſi piſtillum brevius fuerit, homo alicubi ſedeat, ſic ut vix injicere humerum ſuper piſtillum poſſit. Fere autem piſtillum adhiberi longius convenit, ſic ut homo ſtans paene ex eo pendeat. Deinceps humerus et brachium juxta piſtillum extendatur; corpus vero alter in alteram partem adurgeat, manibus ad collum datis juxta jugulum.

Ed. Chart. XII. [299.] Ed. Baſ. V. (583. 584.)

Καὶ οὗτοι μὲν καθόσον ἀντιτάσει χρῶνται, κατὰ φύσιν ἐμβάλλουσι, καθόσον δὲ ὡσαύτως, ἐφεξῆς περισφάλλεται τὸ κυριὸν τοῦ ἄρθρου ὑπεροειδοῦς ἐν τούτῳ τῷ κατὰ φύσιν ἁμαρτάνουσι. τὰ δὲ κατὰ μέρος τῆς λέξεως ἁπλᾶ.

ισ'.

Αὕτη ἡ ἐμβολὴ κατὰ φύσιν ἐπιεικέως ἐστὶ καὶ ἐμβάλλειν δύναται, ἣν χρησιῶς σκευάσωνται αὐτήν.

Μετρίως αὐτὴν λέγει κατὰ φύσιν εἶναι· τοῦτο γὰρ σημεῖον ἦ τὸ ἐπιεικῶς, ὥσπερ καὶ ὁ ἐπιεικὴς ἄνθρωπος ὁ μέτριος δηλοῦται πρὸς τῶν Ἑλλήνων. ἔνιοι δὲ ᾠήθησαν τὸ ἐπιεικῶς ἀντὶ μάλιστα λέγεσθαι καὶ διὰ τοῦτο οἶμαι καὶ κα- (584) *τὰ τὴν ἀρχὴν τῆς ῥήσεως ἀφείλοντο ἐγγύς τε γράψαντες. οὕτως γὰρ καὶ οἱ περιαναγκάζοντες κατὰ φύσιν ἐμβάλλουσιν. ἐχρῆν δὲ αὐτοὺς, εἰ καὶ μὴ πρὸς αὐτοῦ τοῦ Ἱπποκράτους τοῦτο εἴρητο, κατὰ τὴν ἐφεξῆς ῥῆσιν, ἃ*

Atque hi etiam quatenus in diverſa contendunt, ſecundum naturam reponunt, quatenus vero humeri caput, ut in ſequentibus oſtendit, piſtillo circumducitur, a reponendo ſecundum naturam abſunt. Quae autem hic ſcribit, ſingula in aperto ſunt.

XVI.

Hic reponendi modus moderate ſecundum naturam eſt, ac reſtituere articulum poteſt, ſi recte adhibeatur.

Hunc modum ſecundum naturam eſſe affirmat *moderate*, quod ſignificavit verbo *ἐπιεικέως*, quemadmodum et *homo moderatus* *ἐπιεικὴς* Graece dicitur. Putarunt nonnulli verbum *ἐπιεικῶς* uſurpari pro *maxime*, atque idcirco, ut opinor, in principio hujus orationis removerunt dictionem *prope* ita ſcribentes; ſed et qui ſuper piſtillum cogunt, ſecundum naturam reſtituunt. Debuerunt autem etiamſi Hippocrates id non monuiſſet, per ſe intelligere

Ed. Chart. XII. [299. 300.] Ed. Baſ. V. (584.)

μέμφεται τῆς [300] τοιαύτης ἐμβολῆς αὐτοὺς ἐννενοηκέναι, μέμφεται δὲ λέγων περὶ τὸ ὑπεροειδὲς ὁ ὦμος ἦν καὶ καταπεπειγῇ, περισφάλλεσθαι τὸ σῶμα κίνδυνος, δι' ὅπερ φησὶν, ἡ διὰ τοῦ κλιμακίου βελτίων ἐστίν. οὐκ οὖν εἰς ἄκρον ἀρετῆς κατὰ τὸ ὑπεροειδὲς ἥκει, ὡς τοῦδε ἐπιεικῶς τὸ μάλιστα συμβαίνει· τὴν γὰρ διὰ τοῦ κλιμακίου μᾶλλον αὐτῆς ἐπαινέσας τί μᾶλλον ἐκείνης ἐπαινεῖ τὴν διὰ ἐμβολῆς.

ιζ'.

Ἀτὰρ καὶ ἡ διὰ τοῦ κλιμακίου ἑτέρη τις τοιαύτη καὶ ἔτι βελτίων, ὅτι ἀσφαλεστέρως ἂν τὸ σῶμα τὸ μὲν τῇ ἀντισηκωθείῃ μετεωρισθέν. περὶ γὰρ τὸ ὑπεροειδὲς ὦμος, εἰ καὶ κατεπεπείγει, περισφάλλεσθαι τὸ σῶμα κίνδυνος ἢ τῇ ἢ τῇ.

---

cujus rei hunc reponendi modum in ſequentibus accuſet. Accuſat enim quum inquit: licet enim piſtillo humeri articulus inhaereat, periculum eſt ne corpus in hanc vel illam partem labatur; ac propterea ait eum modum qui per ſcalam adhibetur meliorem eſſe. Modus igitur qui piſtillo utitur ad ſummum perfectionis non accedit. Quare neque verbo ἐπιεικῶς *maxime* ſignificatur; magis enim eum probat qui per ſcalam eſt, magis item qui per ſpatham habentem in ſummo capitulum rotundum ac leniter cavum.

XVII.

Quin et alius quidam modus eſt per ſcalam adhuc melior, quandoquidem tutius ſuſpenſum corpus non magis in hanc quam in illam partem inclinabitur. Licet enim piſtillo humeri articulus inhaereat, periculum eſt ne corpus in hanc vel illam partem labatur.

Ed. Chart. XII. [300.] Ed. Baf. V. (584.)

Πέμπτος οὗτος αὐτῷ τρόπος ἐμβολῆς ἐστι. διὰ τί δὲ βελτίων ἐστὶ τοῦ προειρημένου τοῦ τετάρτου περὶ τὸ ὑπεροειδὲς, αὐτὸς ἐξηγεῖται σαφέστατα.

ιη'.

Χρὴ μέντοι καὶ ἐπὶ τῷ κλιμακτῆρι ἐπιδεδέσθαι τι ἄνωθεν στρογγύλον, ἐναρμόσσον ἐς τὸ κοῖλον τῆς μασχάλης, ὃ προσδιαναγκάσῃ τὴν κεφαλὴν τοῦ βραχίονος ἐς τὴν φύσιν ἀπιέναι.

Ἐξ αὐτοῦ τοῦ κατὰ τὸν κλιμακτῆρα ξύλου τοιοῦτον ἔξέχον εὐθὺς ἀπ' ἀρχῆς γίνεται κατὰ τὸ μηχανικὸν κλιμάκιον, ᾧ καὶ ἡμεῖς συνήθως χρώμεθα. παραπλήσιον δέ ἐστι τῷ κατὰ τὴν ἐφεξῆς ὑπ' αὐτοῖ μέλλοντι γράφεσθαι ξύλῳ κατὰ τὴν ἄμβην ἔχοντι τὸ πέρας, ἐφ' οὗ καὶ πάλιν προσαγορεύουσιν αὐτὸ ἄμβην οἱ μετ' αὐτὸν ἰατροὶ πάντες. ἐπιτιθέναι δὲ τοῦτο καὶ τοῖς στασίμοις ὀργάνοις, οἷον ἐστι τό τε τοῦ Ἀνδρέου καὶ τὸ τοῦ τέκτονος, ὧν οὐδενὸς ἀναγκαίου

Quintus hic eſt reponendi modus. Ob quam vero cauſam utilior ſit quam qui poſitus eſt quarto loco aperte ipſe expoſuit.

XVIII.

Alligandum autem eſt ſuper gradum rotundum aliquid quod alae ſinui conveniat, ut humeri caput in ſuam ſedem compellatur.

Ex eo ipſo ligno ex quo gradus conficitur tale quidpiam exſtat initio protinus, quum ſcalae machinamentum paratur, quo nos etiam frequenter utimur. Simile autem eſt ligno quod proxime ſubdet, quod ſummum habet capitulum rotundum ac leniter cavum, unde apud recentiores medicos fere omnes Graece ἄμβης nomen invenit. Conſuevit autem illis organis adjici quae e recto collocantur, cujusmodi eſt organum tum Andreae tum fabri.

Ed. Chart. XII. [300. 301.] Ed. Baſ. V. (584.)

ἐστι λέγειν νῦν τὴν κατασκευήν. εἴρηται γὰρ μυρίοις τῶν νεωτέρων ὀργανικῶν, ἐν οἷς γεγράφασι περὶ τῶν ὀργάνων. ἡμῖν δὲ νῦν πρόκειται Ἱπποκράτους ἐξηγεῖσθαι χρωμένου πρὸς ἅπαντα τὰ σφοδροτέρας ἀντιτάσεως καὶ μοχλείας δεόμενα τῷ καλουμένῳ βάθρῳ.

ιθ'.

Κρατίστη μέντοι πασέων ἐμβολέων ἡ τοιήδε· ξύλον χρὴ εἶναι πλάτος μὲν ὡς πεντεδάκτυλον ἢ τετραδάκτυλον τὸ ἐπίπαν, πάχος δὲ ὡς διδάκτυλον ἢ καὶ λεπτότερον, μῆκος δὲ δίπηχυ ἢ ὀλίγῳ ἔλασσον. ἔστω δὲ ἐπὶ θάτερα τὸ ἄκρον περιφερὲς καὶ στενώτατον ταύτῃ καὶ λεπτότατον. ἄμβην δὲ ἐχέτω μικρὸν ὑπερέχουσαν ἐπὶ τῷ ὑστάτῳ τοῦ περιφερέος ἐν τῷ μέρει, ἀλλὰ μὴ τῷ πρὸς τὰς πλευράς, ἀλλὰ τῷ πρὸς τὴν κεφαλὴν τοῦ βραχίονος ἔχοντι, ὡς ὑφαρμόσειε τῇ μασχάλῃ παρὰ τὰς πλευρὰς ὑπὸ τὴν κεφαλὴν τοῦ βραχίονος ὑποτιθέμενος, [301] ὀθονίῳ δὲ ἢ ταινίῃ μαλθακῇ κατακεκολλήσθω ἄκρην τὸ ξύλον, ὅκως

Neutrius autem ſtructuram adſcribere nunc oportet; poſita enim eſt a ſexcentis architectis junioribus, qua de organis ſcribunt. Nobis autem inſtitutum eſt Hippocratem explanare, qui ad omnia validiſſime in contrarias partes ſeu extendenda ſeu impellenda eo machinamento utitur quod ſcamnum appellatur.

XIX.

Inter omnes reponendi modos hic praeſtantiſſimus eſt. Lignum accipitur ad ſummum quinos vel certe quaternos digitos latum, craſſum vero binos aut etiam minus, longum cubitos duos vel paulo brevius, quod ab altero extremo rotundum ſit, anguſtiſſimum ac maxime tenue. In ſummum capitulum rotundum ac leniter cavum habeat, plerumque exſtet ab una parte, non quidem verſus latus, ſed verſus humeri caput, ut huic ſubjectum alae juxta latus accommodetur. Summo item ligno vel

Ed. Chart. XII. [391.] Ed. Baſ. V. (584.)

προσηνέστερον ἔῃ, ἔπειτα χρὴ ὑπώσαντα τὴν κεφαλὴν τοῦ ξύλου ὑπὸ τὴν μασχάλην ὡς ἐσωτάτω μεσηγὺ τῶν πλευρέων καὶ τῆς κεφαλῆς τοῦ βραχίονος, τὴν δὲ ὅλην χεῖρα πρὸς τὸ ξύλον κατατείνοντα προσκαταδῆσαι κατά τε τὸν βραχίονα κατά τε τὸν πῆχυν κατά τε τὸν καρπὸν τῆς χειρὸς, ὡς ἂν ἀτρεμέῃ ὅτι μάλιστα. περὶ παντὸς δὲ χρὴ ποιεέσθαι, ὅκως τὸ ἄκρον τοῦ ξύλου ὡς ἐσωτάτω τῆς μασχάλης ἔσται ὑπερβεβηκὸς τὴν κεφαλὴν τοῦ βραχίονος.

Τὸν ἕκτον τρόπον τῆς ἐμβολῆς, ὃν ἐπῄνεσε μάλιστα, νῦν διδάσκειν ἄρχεται, τὴν κατασκευὴν τοῦ ξύλου γράφων σαφῶς, ᾧ κατὰ τὸ πέρας ἐπικειμένης ὀφρύος ἄμβωνι παραπλησίας ὅλον αὐτὸ προσαγορεύουσιν ἄμβην οἱ ἰατροί. τοιαύτη δέ ἐστιν ἡ ὀφρὺς, οἵη κατὰ τῶν λοπάδων πέρας τὸ ἄνω γίνεται πρὸς τὴν ἐντὸς ἐστραμμένην κοιλότητα· καί τις τῶν κωμικῶν ἐπεῖπεν ἐπισκώπτων τινὰ δὴ τῶν λοπάδων τοὺς ἄμβωνας περιλείχειν. ἀῤῥενικῶς μὲν οὖν ἄμβωνας οἱ Ἀττικοὶ, θηλυκῶς δὲ οἱ Ἴωνες τὰ τοιαῦτα σχήματα καλοῦσιν

linteum vel mollis habena agglutinatur, ut mitius ſit; deinde caput ligni in alam demittitur intro quantum poteſt inter latus et humeri caput, brachium totum ſuper ſignum extenditur alligaturque paulum infra humeri caput ſupra cubitum et ſupra manum, ut quam maxime immobile ſit. Eſt autem maximi momenti extremum lignum ultra humeri caput in alam intime indere.

Sextum reponendi modum, quem potiſſimum laudavit, hic docere ingreditur, aperte exponens ſtructuram ligni, cujus extremo ſuperimpoſitum eſt capitulum rotundum ac leniter cavum. Hoc quia ſimile eſt labro quod Graeci vocant ἄμβωνα, medici totum lignum ἄμβην appellant; tale ſiquidem labrum eſt quale videmus in ollis converſum in interiorem partem verſus cavum. Unde quidam comicus ut per jocum morderet, dixit quendam ollarum ἄμβωνας delingere. Attici igitur maſculino genere ἄμβωνας, Iones feminino ἄμβας hujusmodi librorum figuras

Ed. Chart. XII. [301.] Ed. Baf. V. (584. 585.)

ἄμβας. ἐπιτηδειότατον δὲ ἔτι τοῦτο παραδοῦναι μεταξὺ τῆς κεφαλῆς τοῦ βραχίονος καὶ τῶν πλευρῶν. καὶ μέντοι καὶ μοχλεύουσι χρησιμώτατον ἀσφαλῶς περιλαμβάνον τὴν κυρτότητα τῆς κεφαλῆς τοῦ βραχίονος. τὰ δὲ κατὰ μέρος ἅπαντα τῆς ῥήσεως αὐτοῦ σαφῆ.

κ'.

Ἔπειτα χρὴ μεσηγὺ δύο στύλων στρωτῆρα πλάγιον εὖ προσδῆσαι, ἔπειτα ὑπερενεγκεῖν τὴν χεῖρα ξὺν τῷ ξύλῳ ὑπὲρ τοῦ στρωτῆρος, ὅκως ἡ μὲν χεὶρ ἐπὶ θάτερα ἔῃ, ἐπὶ θάτερα δὲ τὸ σῶμα, κατὰ δὲ τὴν μασχάλην ὁ στρωτήρ. κἄπειτα ἐπὶ μὲν θάτερα τὴν χεῖρα καταναγκάζειν ξὺν τῷ ξύλῳ περὶ τὸν στρωτῆρα, ἐπὶ θάτερα δὲ τὸ ἄλλο σῶμα. ὕψος δὲ ἔχων ὁ στρωτὴρ προσδεδέσθω, ὥστε μετέωρον τὸ ἄλλο σῶμα εἶναι ἐπ' ἄκρων τῶν ποδῶν, οὗτος ὁ τρόπος παραπολὺ κράτιστος ἐμβολῆς ὤμου. δικαιότατα μὲν γὰρ μοχλεύει, ἢν καὶ μόνον ἐσωτέρω ἔῃ τὸ ξύλον τῆς κεφαλῆς τοῦ βραχίονος, δικαιότατα (585) δὲ αἱ ἀντιῤῥο-

appellant. Commodiſſime autem capitulum hoc demittitur inter latus atque humeri caput, utiliſſimumque eſt ad impellendum, quum firmiter quod gibbum eſt ex humeri capite excipiat. In univerſum autem ſingula ipſius verba plana ſunt.

XX.

Poſt haec tignum transverſum inter duas columnas bene alligandum eſt, ſuperque id brachium cum ligno imponendum, ita ut ab una parte brachium ſit, corpus ab altera, ſed tignum juxta alam; dein ab altera parte circa tignum attrahendum brachium cum ligno, ab altera reliquum corpus. Vinciatur autem transverſum lignum ſublime, ut reliquum corpus ſuſpenſum imis pedibus ſit. Modus hic reponendi capitis humeri praeſtantiſſimus eſt: juſtiſſime enim impellit modo lignum retro magis, quam humeri caput demittatur; juſtiſſime item

Ed. Chart. XII. [301.] Ed. Baſ. V. (585.)

παὶ, ἀσφαλέες δὲ τῷ τοῦ βραχίονος ὀστῷ. τὰ μὲν οὖν νεαρὰ ἐμπίπτει θᾶσσον ἢ ὡς ἄν τις οἴοιτο, πρὶν ἢ κατατετάσθαι δοκέειν.

Στύλους μὲν δῆλον ὅτι λέγει τοὺς κίονας, στρωτῆρα δὲ ξύλον μεταξὺ ἦκον ἀπὸ τοῦ ἑτέρου κίονος ἐπὶ τὸν ἕτερον.

κα'.

Ἀτὰρ καὶ τὰ παλαιὰ μούνη αὔιη τῶν ἐμβολέων οἵη τε ἐμβιβάσαι, ἢν μὴ ἤδη ὑπὸ χρόνου σαρξ μὲν ἐπεληλίθῃ ἐπὶ τὴν κοτύλην, ἡ δὲ κεφαλὴ τοῦ βραχίονος ἤδη τρίβον ἑωυτῇ πεποιημένη ἔῃ ἐν τῷ χωρίῳ, ἵνα ἐξεκλίθῃ, οὐ μὴν ἀλλ' ἐμβάλλειν γάρ μοι δοκέει καὶ οὕτω πεπαλαιωμένον ἔκπτωμα τοῦ βραχίονος, τί γὰρ ἂν δικαίη μόχλευσις οὐχὶ κινήσειε; μένειν μέντοι οὐκ ἄν μοι δοκέῃ καιὰ χώραν, ἀλλ' ὀλισθαίνειν ἂν ὡς τὸ ἔθος. τὸ αὐτὸ δὲ ποιέει καὶ περὶ κλιμακτῆρα καταναγκάζειν, τοῦτον τὸν τρόπον σκευάσαντα.

---

in contrarias partes inclinat osque humeri tutum ſervat. Ubi caſus quidem recens ſit, articulus citius opinione reconditur, prius item quam extentus videatur.

Columnas conſtat ab ipſo στύλους appellari, tignum vero transverſum, quod ab una columna ad alteram pervenit, στρωτῆρα.

XXI.

Sed et quae jam diu exciderunt hoc tantum modo reponi poſſunt, niſi tempore caro in cavum venerit atque humeri caput locum ſibi tritum fecerit in quem veniat. Ubi autem luxato malum ita inveteraverit, hac via arbitror poſſe reſtitui: nam quid non moveat juſtus impulſus? manere tamen ſuo loco non puto, ſed prolabi ut conſuevit. Idem efficies, ſi ſuper gradum vim adhibeas, hac reponendi ratione uſus.

Ed. Chart. XII. [302.] Ed. Baſ. V. (585.)

[302] *Τὴν τετριμμένην τε καὶ τετυλωμένην χώραν ὠνόμασε τρίβον, ἥτις ὑπ' αὐτῆς τῆς κεφαλῆς τοῦ βραχίονος γίνεται, πολυχρονίως ἐστηριγμένης ἐκείνῳ τῷ μέρει τῆς περικειμένης τῇ διαρθρώσει σαρκὸς, ἐν ᾗπερ ἂν αὐτὴ ἐξ ἀρχῆς τύχῃ στηριχθεῖσα. κοτύλην δὲ ὠνόμασε τὴν ἐν τῇ διαρθρώσει κοιλότητα κατὰ τὸ πέρας, ὡς εἴρηται, τοῦ τῆς ὠμοπλάτης αὐχένος ἐπικειμένην ὡς τὸ πολύ. τὰς δὲ βαθείας κοιλότητας καὶ μεγάλαις ὀφρύσιν ἐρριζωμένας αὐτός τε καὶ ἄλλοι τῶν ἰατρῶν ὀνομάζουσι κοτύλας. ἀλλὰ νῦν γε κατὰ γνώμην οὕτως προσηγόρευσεν, εἰς ἣν ἐμπίπτουσιν αἱ περικείμεναι σάρκες, ὅταν ἐξάρθρημα γένηται, καταλαμβάνουσαι τὴν χώραν τὴν πρότερον, ἣν ἡ κεφαλὴ τοῦ βραχίονος κατειλήφει. τοιγαροῦν συμβαίνει ἐκ τοῦ ἀποκλεῖσαι τήν τε οἰκείαν χώραν τῆς κεφαλῆς τοῦ βραχίονος, ἔκ τε τοῦ τὰς ὑποδεξαμένας τυλωθείσας ἀντὶ κοτύλης αὐτῶν γενέσθαι, κἂν ἐμβληθῇ ποτε, μὴ δύνασθαι μένειν, ἀποθεμένων μὲν αὐτῇ σαρκῶν ἕνεκα τῶν ἀποκειμένων τῇ κοτύλῃ· παρὰ φύσιν γὰρ αὕτη, ὑποδεξαμένων τοίνυν ὀστῶν ἐκ τοῦ τυλωθῆναι παραπλησίαν διαρθρώσει κοιλότητα λαμβανουσῶν.*

Locum tritum et calloſum nominavit *τρίβον*, quem efficit humeri caput, quod adſtrictum diu continetur in ea parte carnis quae juxta commiſſuram eſt, in quam forte a principio erumpens conſtitit. *κοτύλην* dixit cavum commiſſurae, quod ut dictum eſt ſuperinſidet extremae cervici lati ſcapularum oſſis. Plerumque autem tam ipſe quam alii medici *κοτύλας* appellant alta cava ac magnis oris ſepta; ſed nunc jure ſuo mutuatus eſt hoc vocabulum ad ſignificandum cavum, in quod proxima caro conjicitur, quum articulus luxatur et locum occupat, in quod humeri caput ante recipiebatur. Igitur et propterea quod ipſe ſinus capitis humeri obſtructus eſt et propterea quod locus in quem venit occalleſcens ſinus vicem praeſtat, fit ut, ſi quando reponatur, contineri non poſſit, quum caro, quae juxta erat, ſinum praeter naturam occupet et ea quae oſſi locum facit occalleſcens commiſſurae ſinum referat.

Ed. Chart. XII. [302.] Ed. Baſ. V. (585.)

κβ'.

Πάνυ μὴν ἱκανῶς ἔχει καὶ περὶ μέγα ἕδος Θεσσαλικὸν ἀναγκάζειν, ἢν νεαρὸν ἔῃ τὸ ὀλίσθημα· ἑσκευάσθαι μέντοι χρὴ τὸ ξύλον, ὥσπερ εἴρηται, ἀτὰρ τὸν ἄνθρωπον καθίσαι πλάγιον ἐπὶ τῷ δίφρῳ, κἄπειτα τὸν βραχίονα ξὺν τῷ ξύλῳ ὑπερβαλλέειν ὑπὲρ τοῦ ἀνακλισμοῦ, καὶ ἐπὶ μὲν θάτερα τὸ σῶμα καταναγκάζειν, ἐπὶ δὲ θάτερα τὸν βραχίονα σὺν τῷ ξύλῳ. τὸ αὐτὸ δὲ ποιέειν ἀναγκάζειν καὶ ὑπὲρ δίκλειδος θύρης, χρέεσθαι δὲ τούτοισιν ἃ ἂν τύχῃ παρέοντα.

Θρόνου τι τοιοῦτον ἦν σχῆμα κατὰ Θετταλίαν μάλιστα πλεονάζον πάλαι, κατ' εὐθείας γραμμὰς ἀνατεταμένον εἰς ὕψος ὀρθὸν ἔχον τὸ οἷον ἐπίκλιντρον τοῦ θρόνου, περὶ οὗ τὴν ἀντίτασιν ἀξιοῖ ποιεῖσθαι, καθάπερ ἔμπροσθεν ὑπὸ τοῦ σιρωτῆρος ἐδίδαξεν. ὅπως δὲ χρὴ καθίζειν τὸν χειριζόμενον ἐπὶ τοῦ δίφρου σαφῶς αὐτὸς ἐδήλωσε. τὸ δὲ αὐτὸ ποιεῖ καὶ ἐπὶ δίκλειδος θύρας ἀναγκάζειν. εἰσὶ δέ τινες

XXII.

Satisque omnino fuerit, ſi recens adhuc vitium ſit, ſuper magnum ſedile Theſſalum vim adhibere. Sed parari lignum convenit, quemadmodum dictum eſt, atque hominem in latus converſum ſedili inſidere, brachio cum ligno ſuper eam partem ſedilis injecto, cui ſedentes dorſo inhaerent, atque ab una parte corpus attrahere, ab altera humerum cum ligno. Idem quoque facere licet ſuper fores bipartitas. His autem utendum eſt, prout praeſto ſunt.

Sedilis quondam haec figura fuit potiſſimum in Theſſalia, ut ad rectam lineam attolleretur ea parte, cui ſedentes dorſo inhaerent, ſuper quam adhiberi voluit vim in diverſa extendendi, quemadmodum ante ſuper tignum docuit. Verum quomodo collocare languentem ſuper ſedile oporteat ipſe aperte explicavit. Idem efficient fores bipartitae, ſi ſuper eas vis adhibeatur. Inveniuntur

Ed. Chart. XII. [302.] Ed. Baſ. V. (585.)

τοιαῦται θύραι καιὰ μέσον ἑαυτῶν ἔχουσαι διῆκον ξύλον ἰσχυρὸν οἷον ὀλίγον ἔμπροσθεν ὁ σιρωτὴρ μεταξὺ τῶν δύο κιόνων ὑπάρχειν ἐλέγετο. τοῦδε τοῦ ξύλου κάτωθεν μὲν ἑτέρα τίς ἐστιν ἀνοιγομένη θύρα, ἄνωθεν δὲ ἄλλη, καὶ διὰ τοῦτο δὴ καὶ τὴν θύραν δίκλειδα εἴρηκεν, οἷον διπλῆν τινὰ περιέχουσαν ἐν ἑαυτῇ δύο θύρας μικράς. ὑπερβάλλειν οὖν κελεύει τὸν ἐξηρθρηκότα ὦμον ὑπὲρ τὸ μεταξὺ δύο θυρῶν ξύλον ἕνεκα τῆς ἀντιτάσεως.

autem hujusmodi fores, in quarum medio interjectum eſt lignum firmum, quale paulo ante dixit tignum inter duas columnas. Ex his foribus altera ab inferiori parte aperitur, a ſuperiori altera, atque hac de cauſa bipartitas fores vocavit, quaſi duplicem quandam duas in ſe continentem parvas. Docet igitur prolapſum humerum ſuper lignum inter duas fores ſitum imponi, ut intenſio in diverſa admoveatur.

ΠΕΡΙ ΤΩΝ ΟΥΧ ΕΩΡΑΜΕΝΩΝ ΙΠΠΟΚΡΑΤΕΙ ΕΚΠΤΩΣΕΩΝ.

Ed. Chart. XII. [303.] Ed. Baſ. V. (585.)

[303] *Ὁ μὲν Ἱπποκράτης εἰς μασχάλην μόνον ἑωρακέναι φησὶν ὀλισθαίνοντα βραχίονα· τῶν δὲ μετ' αὐτὸν ἰατρῶν ἔνιοι καὶ ἄλλας ἐκπτώσεις ἔγραψαν, ὡς οἷόν τε καὶ αὐτοὶ καὶ ἡμεῖς δὲ αὐτοὶ πεντάκις εἴδομεν ἄχρι δεῦρο, κατὰ μὲν τὴν Ἀσίαν ἅπαξ, ἐν Ῥώμῃ δὲ τετράκις. ὁσάκις δὲ, οἶμαι, καὶ συνέβη τινὶ γενέσθαι πάθημα τοιοῦτον ἐν τῇ πόλει διὰ τὸ πάντας ἰατροὺς ἐοικέναι ἐμοὶ τὰ παράδοξα δει-*

DE HUMERO IIS MODIS PROLAPSO QUOS HIPPOCRATES NON VIDIT.

Teſtatur quidem Hippocrates humeri caput prolapſum in alam dumtaxat ſe vidiſſe; quidam vero ex recentioribus medicis ſcribunt in alias quoque partes excidere, ut in quas etiam prolabi poſſit. Nos autem quinquies hactenus ejusmodi caſum nacti ſumus, ſemel in Aſia, Romae quater, nec ſaepius arbitror Romae accidiſſe, quoniam medici omnes ut me conſulerent quae praeter opinionem eveni-

Ed. Chart. XII. [303.] Ed. Baſ. V. (585.)

κνύναι συμβολῆς ἕνεκα, ἐγένοντο μὲν τέτταρες ἐκπτώσεις ἅπασαι μὲν ἐν τῇ πρόσω χώρᾳ, διαφέρουσαι δὲ ἀλλήλων πλησιέστερον ἢ πορρώτερον εἶναι τῆς διαρθρώσεως κατὰ τὸ μῆκος τοῦ κώλου καὶ πλάτος. ἐθαύμαζον δή πως τοῦ μὲν οὐδ' ὅλως, τῶν δὲ μετ' αὐτὸν ἑωρακέναι λεγόντων ὁ μέν τις ἅπαξ, ὁ δὲ δὶς, οὐδεὶς δ' οὕτω πολλάκις, ὡς ἡμεῖς ἄχρι δεῦρο. τάχ' ἂν καὶ αὖθις ὀφθῇ μοί τι τοιοῦτον. νομίζω γὰρ οὐ κατὰ τύχην, ἀλλὰ δι' αἰτίας εὐλόγους οὕτως ἀπηντηκέναι τὸ πρᾶγμα, περὶ οὗ ἑξῆς ἐρῶ. κατὰ μέν γε τὴν ἡμετέραν Ἀσίαν τὸ πρῶτον ἐθεασάμην ἔκπτωσιν τοιαύτην, ἔθ' ὑπὸ τοῖς ἐκεῖ διδασκάλοις παιδευόμενος ἐν Σμύρνῃ. ἔστι δὲ ἡ πόλις αὕτη πολλαπλασία τὸ μέγεθος, ἧς Ἱπποκράτης μέμνηται συνεχῶς ὡς ἐπὶ τὸ πλεῖστον ἐν αὐτῇ διατρίψας, μετὰ τὸ τριακοστὸν ἔτος ἐν Ῥώμῃ διέτριψα, πόλει τοσοῦτον ἀνθρώπων πλῆθος ἐχούσῃ, ὡς ἐπαινεῖσθαι Πολέμωνα τὸν ῥήτορα τῆς οἰκουμένης ἐπιτομὴν αὐτὴν εἰπόντα. καὶ τοίνυν ὅτι τέτταρες ἐν αὐτῇ γεγόνασι μέχρι νῦν ἐξαρθρήσεις τοιαῦται σαφές. διὰ δὲ τὸ πάντας, ὡς ἔφην, ἐμοὶ τοὺς ἰατροὺς

rent mihi oſtendebant. Quater igitur procidit ac ſemper in priorem partem. Erat autem diſcrimen eo quod nunc ab ipſa magis ad commiſſuram accedebat, nunc ab ipſa magis diducebatur in longitudinem vel latitudinem membri. Mirabar autem quodammodo, qui fieret ut Hippocrates hoc nunquam viderit; ex recentioribus vero unus dicat ſemel ſe vidiſſe, alter bis. Nemo autem ita ſaepe ſicut nos hactenus conſpeximus et forte rurſus etiam conſpiciemus. Exiſtimamus autem non caſu, ſed ratione id nobis accidiſſe, ut deinceps oſtendemus. In Aſia noſtra primum inſpeximus humerum ita prolapſum quum Smyrnae adhuc a praeceptoribus erudiremur. Eſt autem haec urbs multo major illa cujus ubique meminit Hippocrates, ut qui ibi plurimum eſſemus. Poſt trigeſimum et ſecundum annum Romae degimus, quam urbem tot homines habitant, ut Polemo rhetor eam celebrans dixerit terrae habitatae compendium. Quod autem quater hactenus ejusmodi caſus evenerit patere plane poteſt eo quod omnes

Ed. Chart. XII. [303.] Ed. Baf. V. (585. 586.)

κοινοῦσθαι περὶ τῶν παραδόξων ὀφθέντων, οὐ μόνον ἐν Ῥώμῃ λαθεῖν οὐκ ἐδύνατο συμβαῖνόν τι τοιοῦτον, ἀλλὰ οὐδὲ κατὰ τὸν λιμένα καὶ τὴν πλησίον αὐτοῦ πόλιν ἣν Ὀστίαν ὀνομάζουσι διὰ τὸ καὶ τοὺς ἐν ἐκείνοις τοῖς χωρίοις ἰατρεύοντας ἅπαντας εἶναι φίλους, οὖσι καὶ αὐτοῖς πολυανθρώποις. αἱ δὲ πόλεις, ὧν Ἱπποκράτης ἐμνημόνευσεν, ὡς ἐν αὐταῖς ἐπὶ πλέον διατρίψας ἑνὸς ἀμφόδου τῶν ἐν Ῥώμῃ πλείονας οὐκ εἶχον οἰκήτορας. οὐδὲν οὖν θαυμαστὸν ἐν πόλει πλῆθος ἀνθρώπων ἐχούσῃ πλείους ὁμοίως παθόντας. ἔτι δὲ κἀκεῖνο διδαχθεὶς ἀπὸ τῆς πείρας εἰς τὴν τῆς αἰτίας εὕρεσιν ἐποδηγήθην. ἔνιοι (586) μὲν γὰρ ἐν παλαίστραις τοιούτῳ τρόπῳ πεσόντες, ἐνίοις δὲ ἔοικεν ὑπὸ τῶν ἰατρῶν γενέσθαι. δύο γάρ τινες τῶν ὀφθέντων μοι τὴν μὲν ἔκπτωσιν ἔλεγον εἰς μασχάλην γεγονέναι, μοχλευόντων δὲ ἀμαθῶς τῶν ἰατρῶν σφηνωθῆναι τὸ ἄρθρον, οὐχ ὡς ἐωρᾶτο κατὰ συμβολὰς τῶν μυῶν· ὥστε τῷ κατὰ τὴν τῶν Ῥωμαίων πόλιν πλήθει, εἰ προθείης τὰς εἰρημένας αἰτίας δύο, ζητήσεις οὐ διὰ τί τοσούτους γε εἶδον, ἀλλὰ διὰ τί γε οὐχὶ

medici, ut poſui, mecum communicarent, quaecunque praeter opinionem nacti eſſent, ac non modo Romae nihil latere hujusmodi potuit, ſed neque in portu atque in proxima urbe quam Oſtiam nominant; quum omnibus amicis uterer quicunque illis locis medicinam exercerent, quae et ipſa frequentiſſima ſunt. At urbes quarum meminit Hippocrates, ubi diutius egit, non plures incolunt quam Romae vicum unum. Nihil ergo mirum, ſi in frequentiſſima urbe plures incidunt in idem malum. Illud praeterea experientia diſcens ductus ſum ad cauſam inveniendam; nonnullis enim palaeſtra, nonnullis medicorum opera viſus eſt articulus eo modo excidere. Nam duo quidem ex iis quos vidi articulum in alam veniſſe mihi retulerunt; medicis autem imperite urgentibus muſculorum complexu arcte contentum ſuiſſe ſecus ac principio apparuiſſet. Quocirca ſi Romae has duas cauſas praeter hominum frequentiam adjicias, requires non quidem cur tot nactus

Ed. Chart. XII. [303. 304.] Ed. Baſ. V. (586.)

πλείους εἶδον, οἷς οὕτως ἐξήρθρησεν. ἐπὶ γάρ τοι τῶν Ἱπποκράτους χρόνων οἱ ἰατρεύοντες ἐμεμαθήκεισαν νομίμως καὶ μάλιστα περὶ τὰς τοιαύτας χειρουργίας τέχνην. οἱ δὲ νῦν μὴ μαθόντες ὅλως ἢ παντάπασιν ὀλίγῳ χρόνῳ μαθόντες· εἶτα τῶν παλαισμάτων τῇ ἐμπειρίᾳ θαυμαστὸν ὅσον ἐπιδέδωκε τῶν διδασκόντων αὐτὰ πολυειδῶς ἐκστρεφόντων καὶ λυγι- [304] ζόντων τὰ κῶλα. ζητήσεις οὖν, ἔφην, οὐ διὰ τί τοσούτους εἶπον, ἀλλὰ διὰ τί πλείους οὐκ εἶδον ἐν τοσαύταις μυριάσιν ἀνθρώπων ὑπὸ πολλῶν μὲν παιδοτριβῶν, παμπόλλων δὲ ἰατρῶν ἀμαθῶν εἰς τοιαύτας ἐξαρθρήσεις ἀγομένων. ἡ δ' οὖν ἐμβολὴ καίτοι τῶν ἐξαρθρημάτων τοῖς αὐτοῖς τάσσεται σκοποῖς, ἀντιτάσει τε καὶ μοχλείᾳ καὶ ἀποθέσει. προσήκει δὲ οὐκ ἐπὶ μασχάλης ἐκπτώσεως, οὕτω καὶ νῦν μὲν μοχλεύειν. ἐπ' ἐκείνης μὲν γὰρ ἔδει πρόσω πρῶτον, εἶτ' ἄνω τὸ ἄρθρον ἄγειν, ἄχρις ἂν ἐπ' εὐθείας γένηται τῇ κοιλότητι. νῦν δὲ ἐπειδὴ πάντως μὲν ἐν τοῖς πρόσω μέρεσι τῆς διαρθρώσεώς ἐστιν, ἤτοι δ' ἐγκέκλεισται πρὸς τὴν ἔνδον ἢ τὴν ἔξω χώραν ἐσφηνωμένον ἐν τοῖς μυ-

ſim, quibus humeri articulus ita prociderit, ſed cur non plures. Hippocratis enim ſaeculo medici optime artis praecepta diſcebant, atque ea praeſertim quae ad hujusmodi manus operam pertinent. Ea nunc a medicis vel nullo modo addiſcuntur, vel certe exiguo temporis ſpatio; deinde palaeſtrae uſus mirum in modum increvit, ubi ejus magiſtri membra variis modis contorquent atque pervertunt. Requires igitur, ut dixi, non cur tot, ſed cur in tot hominum millibus non plures viderim quos magiſtrorum numerus in palaeſtra et inſcitia medicorum in hujusmodi noxam compulerit. Reſtituuntur autem luxata haec iisdem conſiliis ſcilicet extendendo, impellendo et collocando. Non convenit autem ita impellere in hoc caſu, ſicut quando in aliam articulus eruperat. Ibi enim opus erat articulum primo in priorem partem, deinde ſurſum adducere, dum collocaretur e regione ſui cavi. Nunc autem quum penitus in priori parte commiſſurae ſit, ſive in interiorem ſive in exteriorem partem adſtrictus a mu-

Ed. Chart. XII. [304.] Ed. Baſ. V. (586.)

σὶν ὠθεῖν αὐτὸ χρὴ πρὸς τὴν ἐναντίαν χώραν ἐμβαλόντα τῶν μυῶν ἀνασπασθὲν εἰς τὴν μασχάλην ἐνεχθῆναι. μάλιστα μὲν οὖν οὔτε ἡ ἀντίτασις ἐᾷ γενέσθαι τοῦτο, καὶ κατὰ ταύτην δὲ τὴν ἀντίτασιν οὐδὲ χεῖρόν ἐστιν ἡσφαλίσθαι τὸ κατὰ τὴν μασχάλην χωρίον, ὡς ἐπράξαμεν ἐν Σμύρνῃ περὶ τὸ γενόμενον οὕτως ἐξάρθρημα. κατὰ παλαίστραν μὲν γάρ τινι συνέβη διαπλωθείσης τῆς χειρὸς ὑπὸ τοῦ παλαίοντος, ὅστις μάλιστα τρόπος εἰς τὸ πρόσω δύναται μετασιῆσαι τὸ ἄρθρον. ὕπτιον δὲ κατακλίναντες τὸν πεπονθότα τὴν ἀντίτασιν ἐποιησάμεθα τῇ διὰ τῆς πτέρνης παραπλησίαν ὄπισθεν μὲν καθίσαντές τινα, περιβάλλοντες δὲ τὴν μασχάλην πλατὺν ἱμάντα προϋποβεβλημένου τινὸς εἰς τὸ κοῖλον ἐκπληρώματος. αὐτοὶ δὲ, ὡς ἔφην, ἔξω τῶν προσεγγόνιων τὸ ἄρθρον μυῶν ἀπώσαντες, εἶτ' ἀνέντες τὴν κατάτασιν ἐπετρέψαμεν ἀνασπασθῆναι πρὸς τῶν μυῶν εἰς ἑαυτοὺς συντρεχόντων ἐμβληθῆναι τῇ κοιλότητι. τοῦτο μὲν οὖν εὐκόλως ἐνέπεσε· καὶ γὰρ παραχρῆμα κατ' αὐτὴν τὴν παλαίστραν ἐπεχειρήσαμεν τῇ θεραπείᾳ. καὶ ἤρκεσέ γε ἡ τῆς πεπον-

ſculis inclinetur, impellere ipſum oportet ad contrariam regionem. In qua faciendo periculum eſt ne ipſe deorſum lapſus a muſculis in alam trahatur, quam rem in diverſa extendentes praecipue vitamus. Non eſt autem abs re, dum in diverſa contenditur, locum ſepire qui ſub ala eſt, quod nos Smyrnae fecimus ad articulum in priorem partem elapſum. Accidit autem in palaeſtra, quum brachium cuidam a luctante duplicaretur, ſub quo modo potiſſimum articulus in priorem partem prorumpit, nos vero homine reſupinato intenſionem in contrarias partes adhibuimus ſimilem illi quae per calcem fit, quodam a poſteriori parte ſedente ac loro lato ſub ala injecto, ſinu aliqua re prius completo. Nos, ut diximus, articulum e muſculis quibus adſtringebatur expellentes, dein remiſſa intenſione ſivimus attractum a muſculis in ſe ipſos recurrentibus in ſuum locum reponi. Hic igitur prompte reſtitutus eſt, in palaeſtra enim protinus curationem aggreſſi ſumus, ſatisque fuit affectum brachium a nobis ipſis

Ed. Chart. XII. [304.] Ed. Baſ. V. (586.)

θυίας χειρὸς ἡ κατάτασις ὑφ' ἡμῶν αὐτῶν γινομένη, καθάπερ ἐπὶ τοῦ διὰ τῆς πτέρνης τρόπου, ἄλλοτε δὴ καὶ διὰ βρόχου τὴν κατάτασιν ἐποιησάμεθα. χρὴ δὲ ἰσότονον εἶναι τὸν βρόχον, οἷός ἐστιν ὅ τε διπλοῦς καρχήσιος ὅ τ' ἐκ δυοῖν διαντέων· ἄλλοτε δὲ κεχρονισμένου τοῦ ἐξαρθρήματος ἐδεήθημεν τοῦ Ἱπποκρατείου βάθρου, περὶ οὗ ποιήσει τὴν διδασκαλίαν αὐτὸς ἐπὶ προήκοντι τῷ συγγράμματι, νυνὶ δὲ ἀρκέσει τῶν κατολισθημάτων. ἑξῆς οὖν αὐτῷ περὶ τῆς διαφορᾶς αὐτῶν τῶν σωμάτων, ἐν οἷς ἧττον καὶ μᾶλλον ἐκπίπτει τὰ ἄρθρα διδάσκοντι συνακολουθήσομεν.

κδ'.

Εἰδέναι μὲν οὖν χρὴ ὅτι φύσιες φυσίων μέγα διαφέρουσιν ἐς τὸ ῥηϊδίως ἐμπίπτειν τὰ ἐκπίπτοντα. διενέγκοι μὲν γὰρ ἄν τι καὶ κοτύλη κοτύλης, ἡ μὲν εὐυπέρβατος ἐοῦσα, ἡ δὲ ἧσσον. πλεῖστον δὲ διαφέρει καὶ τῶν νεύρων ὁ σύνδεσμος, τοῖσι μὲν ἐπιδόσιας ἔχων, τοῖσι δὲ ξυντεταμένος ἐών.

---

extendi, non ſecus atque in eo reponendi modo, ubi calce utimur, interdum etiam extendendi cauſa laqueum injicimus. Sit autem laqueus ex iis qui facultatem habent extendendi aequaliter, qualis eſt duplex carcheſius, qui ex duabus habenis conficitur. Sed ubi jam diu procidit, opus fuit ſcamno Hippocratis quod ipſe in ſequentibus tradet. Haec de articulo prolapſo. Pergamus jam ad ea quae tractat de corporum varietate, quibus magis aut minus humeri caput elabitur.

XXIII.

Illud autem ignorare non oportet, quod in luxatis facile reſtituendis naturae a naturis plurimum differunt et multum cavum a cavo diſtat: nam hoc quidem facilius, illud vero minus facile ſuperatur; multum etiam diſcriminis eſt inter eos quibus nervorum conjunctio laxa eſt et quibus tenſa.

Ed. Chart. XII. [304. 305.] Ed. Baſ. V. (586.)

Συντελέσας τὸν περὶ τῶν ἐμβολῶν λόγον ἤρξατο νῦν διδάσκειν αἰτίας. τισὶν ἐκπίπτει μὲν οὖν ῥᾳδίως ἐμβάλλεταί τε χωρὶς τῆς μεγάλης πραγματείας ὁτιοῦν ἄρθρον. ἐν οἷς δὲ ἐκπίπτει ὀλιγάκις, ἐμβάλλεταί γε χαλεπῶς. εἴρηται δ' ὑφ' ἡμῶν ἔμπροσθεν ἤδη τήν τε τῶν ὀστῶν διάρθρωσιν ἀντιωμένων, τήν τε τῶν προκειμένων αὐτοῖς μυῶν, ἤτοι συντονίαν ἢ χαλαρότητα.

κδ'.

[305] *Καὶ γὰρ ἡ ὑγρότης τοῖσιν ἀθρώποισι γίνεται ἡ ἐκ τῶν ἄρθρων διὰ τῶν νεύρων τὴν ἀπάρτισιν ἢ χαλαρά τε εἴη φύσει καὶ τὰς ἐπιτάσιας εὐφόρως φέρῃ. συχνοὺς γὰρ ἄν τις ἴδοι, οἳ οὕτως ὑγροί εἰσιν, ὥστε ὁπόταν ἐθέλωσι, τότε αὐτοῖσι τὰ ἄρθρα ἐξίστανται ἀνωδύνως καὶ καθίστανται ἀνωδύνως.*

Ἐνηλλαγμένως μοὶ δοκεῖ τὴν ἑρμηνείαν ποιεῖσθαι· διὰ γὰρ τὴν ὑγρότητα τῆς φύσεως τοῦ ἀνθρώπου γιγνομένων

Quum ſermonem de reſtituendo abſolverit, cauſam docere incipit quamobrem nonnullis facile quivis articulus excidit ac ſine magno negotio reponitur, nonnullis contra raro accidit, ſed magno negotio reſtituitur. Qua in re nos ſupra et oſſium commiſſuras cauſati ſumus et ſuperinjectos muſculos valentes aut laxos.]

XXIV.

Quibusdam enim hominibus humor in articulis eſt propter adjunctos nervos, ſi natura laxi fuerint et extendi facile patiantur. Complures autem videre licet ita humidas, ut ubi velint ſine dolore articulos ſua ſede moveant atque item ſine dolore reſtituant.

Commutaſſe mihi ſermonem videtur, quum nervoſa corpora laxiora fiant ob humorem hominis naturalem; at

Ed. Chart. XII. [305.] Ed. Baſ. V. (586.)

τῶν νευρωδῶν σωμάτων χαλαρῶν, οὐ διότι ταῦτά ἐστι χαλαρὰ, διὰ τοῦτο ὑγραινομένων τῶν περὶ τὰ ἄρθρα. ἡ λέξις αὐτοῦ τὸ ἐναντίον εἴρηκε, δοκεῖ μοι βουληθεὶς τὴν ἑτοιμοτάτην ἐπὶ πλέον ἔκτασιν τῶν νευρωδῶν ποιεῖσθαι σωμάτων, ἐκ τῆς τῶν ἀνθρώπων ὑγρότητος οὐ κραιήσαι τουτων κατὰ τὴν ἑρμηνείαν, ἀλλὰ χρησάμενος οὐ κυρίως λίαν συνδέσμῳ πρὸς τὴν τῆς αἰτίας νόησιν ἄγει τοὺς ἀναγινώσκοντας.

κε'.

Διαφέρει μέντοι καὶ σχέσις τις σώματος· τοῖσι μὲν γὰρ εὖ ἔχουσι τὸ γυῖον καὶ σεσαρκωμένοισιν ἐκπίπτει τε ἧσσον, ἐμπίπτει τε χαλεπώτερον. ὅταν δὲ αὐτοὶ σφῶν αὐτῶν λεπτότεροι καὶ ἀσαρκότεροι ἔωσι, τότε ἐκπίπτει τε μᾶλλον, ἐμπίπτει τε ῥᾷον σημεῖον δὲ ὅτι ταῦτα οὕτως ἔχει τόδε· τοῖσι γὰρ βουσὶ τότε ἐκπίπτουσι μᾶλλον οἱ μηροὶ ἐκ τῆς κοτύλης, ἡνίκα ἂν αὐτοὶ σφῶν αὐτῶν λεπτότατοι ἔωσι. γίνονται δὲ καὶ βόες λεπτότατοι τοῦ χειμῶνος τελευτῶντος, τότε οὖν καὶ ἐξαρθρέουσι μάλιστα. εἰ δή τι καὶ τοιοῦτο δεῖ ἐν ἰητρικῇ γράψαι, δεῖ δέ.

non propterea quod laxiora ſint, idcirco humor ſit in articulis, cujus oppoſitum indicant Hippocratis verba. Videtur autem mihi voluiſſe nervoſa corpora propter humorem hominis facile plurimum extendi, non tamen hoc ſua oratione aſſequitur, ſed particula propter abuſus lectorem adducit ad intelligendam cauſam.

XXV.

Differunt etiam inter ſe corporis habitus: quibus enim membrum boni habitus eſt et carnoſum, articulus minus excidit et aegrius reponitur; quibus quam ſoleat tenuius eſt et minus carnoſum, magis elabitur et facilius reſtituitur. Cujus rei indicio ſunt boves, quibus femur ſuo cavo magis erumpit, tunc quum ipſi emacreſcunt. Emacreſcunt autem boves maxime ultima hieme. Tunc igitur maxime his articuli luxantur, modo tale quid in medicina ſcribere conveniat, ſed certe convenit.

Ed. Chart. XII. [305.] Ed. Baſ. V. (586. 587.)

Αἱ μὲν φύσεις καὶ διαφοραὶ τῶν ἄρθρων, ἐφ' αἷς ἢ τὸ ῥᾳδίως ἢ μόγις αἵ τε ἐξαρθρήσεις καὶ ἐμβολαὶ γίνονται, δύο εἰσὶν, ἃς ἐγὼ πολλάκις εἶπον ἔν τε τῇ πρὸ ταύτης ἔγραψα ῥήσει. προσέρχεται δὲ αὐταῖς ἐνίοτε καὶ τρίτη, περὶ (587) ἧς νῦν διδάσκει, κατὰ πάχος τε καὶ λεπτότητα τοῦ σώματος γιγνομένη, ἣν ὀνομάζουσι σχέσιν. ὅσοι γὰρ ἂν εὐρεθῶσιν εὐσαρκότεροι γενηθεῖσιν ἑαυτῶν οἱ ἄνθρωποι, τοσούτῳ δυσκολώτεροι αἵ τε ἐμπτώσεις τῶν ἄρθρων αὐτοῖς, αἵ τε ἐμβολαὶ συντελοῦνται διὰ τὸ σφίγγεσθαι πανταχόθεν αὐτὰ τῷ πλήθει τῶν σαρκῶν. ἔμπαλιν δὲ τοῖς λεπτυνθεῖσι χαλαρὸν μὲν τὸ δέρμα γίνεται τῶν περικειμένων ταῖς ἀρθρώσεσι σαρκῶν ὀλίγοισί τε εἰκῇ ταῖς διαρθρώσεσιν. ἐὰν μέντοι τις ἰσχνὸς ᾖ φύσει, κάκιον οὐδὲν ἔχει τοῦ παχυτέρου. δέδεικται γὰρ ἐν τοῖς περὶ κράσεων ὁ μὲν ἰσχνότερος φύσει ξηρότερος ὢν τὴν κρᾶσιν, ὁ δὲ παχύτερος ὑγρότερος, ὥστε τῶν μὲν ἰσχνῶν σύντονος οὖσα ἰῶν μυῶν ἡ οὐσία σφίγγει τὴν διάρθρωσιν, τῶν δὲ παχυτέρων, καθόσον μὲν πλείους αἱ σάρκες εἰσὶν, ἀποκλείουσί γε τὴν πέριξ τῶν ἄρ-

Naturae atque articulorum differentiae, ſub quibus ipſi ſeu prompte ſeu vix procidunt et revertuntur, duae ſunt, quas ſaepius recenſui, quum in ſuperioribus habeantur. Illis nonnunquam tertia accedit quam nunc exſequitur a craſſitudine vel macie corporis orta, quam *σχέσιν*, id eſt habitum, dicunt. Hominibus enim quo habiliores efficiuntur eo articuli aegrius excidunt ac reponuntur, quoniam carnis copia undique conſtringuntur; contra iis qui emacreſcunt relaxatur cutis ejus carnis quae commiſſuram complectitur, parumque prohibet quominus articulus excidat et revertatur. Nec quidquam deterius agitur cum his qui natura graciliores ſunt quam cum his qui pleniores. Oſtendimus enim in libro de temperamentis graciliorem eſſe naturae ſiccioris, pleniorem magis madere. Quocirca muſculi quum gracilibus robuſtiores ſint, commiſſuram coarctant, plenioribus caro, quatenus magis abundat, adſtringit id quod articulum ambit; quatenus

Ed. Chart. XII. [305. 306.] Ed. Baſ. V. (587.)

θρων χώραν, καθόσον δὲ μαλακαὶ ῥᾳδίως ἀνατρέπονται, παραδέχουσαι τὰς κεφαλὰς ἔξῃς τῶν ἐξισταμένων φαλακρῶν ὀστῶν, ὥστε ἀνίστασθαι τὰ κατὰ τὰς ἐκπτώσεις ἑκατέροις. εἰ μέντοι τις εὔσαρκος φύσει κατά τινα καιρὸν ἰσχνότερος ἑαυτοῦ γίνηται, ῥᾷον ἂν ἐκπίπτει τε τούτῳ καὶ αὖθις ἐμπίπτει κατὰ τὸν καιρὸν ἐκεῖνον ἢ πρόσθεν, ὥσπερ καὶ εἰ σαρκωθείη τις ὢν φύσει λεπτὸς, ἐκπίπτει τ' ἂν αὐτῷ μό-[306] γις, ἐμβάλλοιτό τε χαλεπῶς, τούτου τε λόγου τὰ κατὰ τοὺς βοῦς φαινόμενα γράφει μαρτύρια σαφῶς ἑρμηνεύων, ὡς μηδεμιᾶς ἐξηγήσεως δεῖσθαι, πλὴν εἰ λέξις τις εἴη μία που καὶ δύο τοιαῦται, περὶ ὧν ἐπισημανοῦμαι κἀγώ.

κστ'.

Καλῶς γὰρ Ὅμηρος καταμεμαθήκει ὅτι πάντων τῶν προβάτων βόες ὅτι μάλιστα πονέουσι ταύτην τὴν ὥρην καὶ βοῶν οἱ ἀρόται, ὅτι κατὰ τὸν χειμῶνα ἐργάζονται. τούτοισι τοίνυν ἐκπίπτει μάλιστα, οὗτοι γὰρ μάλιστα λεπτύνονται· τὰ μὲν γὰρ ἄλλα βοσκήματα δύναται βρα-

autem mollis eſt, facile pervertitur, quum rotundorum oſſium quae ſua ſede moventur capita admittat, ſicut utrique quod ad articulos excidentes attinet, aequales ſint. Si quis tamen habitior aliquando emacreſcit, facilius huic articuli elabuntur ac rurſus reconduntur tunc quam antea. Non ſecus etiam ſi quis natura gracilis carne impleatur, ei vix procidit atque aegre revertitur. Quam rem comprobat per ea quae in bobus apparent, ita aperte loquutus, ut nulla explanatione opus ſit, niſi alicubi in uno vel altero vocabulo quae a me notabuntur.

XXVI.

Recte enim ſcripſit Homerus ex omni pecore boves tempore hoc maxime pati, atque inter boves qui arant, quum hieme laborent: his igitur maxime articulus excidit, quoniam maxime extenuantur. Namque aliud pecus paſcere exiguas herbas poteſt, bos non item, priusquam

Ed. Chart. XII. [306.] Ed. Baf. V. (587.)

χεῖαν τὴν πόην βόσκεσθαι, βοῦς δὲ οὐ μάλα, πρὶν βαθεῖα γένηται. τοῖσι μὲν γὰρ ἄλλοισίν ἐστι λεπτὴ ἡ προβολὴ τοῦ χείλεος, λεπτὴ δὲ ἡ ἄνω γνάθος, παχεῖα δὲ καὶ ἀμβλεῖα ἡ ἄνω γνάθος, διὰ ταῦτα ὑποβάλλειν εἰς τὰς βραχείας πόας οὐ δύνανται.

Πρόβατα νῦν εἶπεν ἅπαντα τὰ βοσκήματα, καθάπερ ἐν τῷ περὶ ἱερῆς νόσου γέγραπται κατὰ λέξιν οὕτως· οὐκ ἔστιν ἄλλο πρόβατον οὐδὲν ἢ βόες καὶ αἶγες. καὶ τὸ παρὰ τῷ ποιητῇ τοιοῦτόν ἐστιν, ἔνθα φησί·

Πολλά τε οἱ πρόβατ' ἐστί.

βούλεται γὰρ ἀγέλας βοσκημάτων δηλοῦν. ἐχρήσαντο καὶ ἄλλοι οὕτως τῶν παλαιῶν τῇ φωνῇ.

κζ'.

Τά τε αὖ μώνυχα τῶν ζώων, ἅτε ἀμφώδοντα ἐόντα. δύναται μὲν γὰρ σαρκάζειν, δύναται δὲ ὑπὸ τὴν βραχεῖαν

grandiores fiant. Aliud enim pecus tenuem habet labrorum prominentiam, tenues item malas; bobus contra labrorum prominentia craſſa eſt, malae autem hebetes et craſſae atque idcirco exiguis herbis non poſſunt eas ſubjicere.

Pecus πρόβατα nunc dixit ſignificare volens univerſum pecus, quemadmodum et in libro de morbo comitiali, ubi ad verbum legitur: οὐκ ἔστιν ἄλλο πρόβατον οὐδὲν ἢ βόες καὶ αἶγες. Simile quid apud poëtam legitur ubi ait:

Πολλά τε οἱ πρόβατ' ἐστί.

Vult enim ſignificare gregem pecudum armentumque, quam vocem e majoribus multi ſimiliter uſurparunt.

XXVII.

Verum animalia quae ſolidi pedis ſunt, utpote quae utrimque ſint dentata, vellere poſſunt et exiguis herbis den-

Ed. Chart. XII. [306.] Ed. Baſ. V. (587.)

πόην ὑποβάλλειν τοὺς ὀδόντας καὶ ἥδεται τῇ οὕτως ἐχούσῃ πόῃ μᾶλλον ἢ τῇ βαθείῃ. καὶ γὰρ τὸ ἐπίπαν ἀμείνων καὶ στερεωτέρη ἡ βραχεῖα πόη τῆς βαθείας, ὅτι καὶ πρὶν ἐκκαρπεῖν τὴν βαθεῖαν. διὰ τοῦτο οὖν ἐποίησεν ὧδε τάδε τὰ ἔπη·

ὡς δ' ὁπότ' ἀσπάσιον ἔαρ ἤλυθε βουσὶν ἕλιξιν.

ὅτι ἀσμενωτάτη τοῖσι αὐτοῖσιν ἡ βαθεῖα πόη φαίνεται. ἀτὰρ καὶ ἄλλως ὁ βοῦς χαλαρὸν φύσει τὸ ἄρθρον τοῦτο ἔχει μᾶλλον τῶν ἄλλων, διὰ τοῦτο καὶ εἰλίπουν ἐστὶ μᾶλλον τῶν ἄλλων ζώων καὶ μάλιστα ὅταν λεπτὸν καὶ γηραλέον ἔῃ, διὰ ταῦτα πάντα καὶ ἐκπίπτει βοῒ μάλιστα. πλείω δὲ γέγραπται περὶ αὐτοῦ, ὅτι πάντων τῶν προειρημένων ταῦτα μαρτύριά ἐστι. περὶ οὗ νῦν ὁ λόγος, τοῖσιν ἀσάρκοισι μᾶλλον ἐκπίπτει, ὡς θᾶσσον ἐμπίπτειν ἢ τοῖσιν εὖ σεσαρκωμένοισι καὶ ἧσσον ἐπιφλεγμαίνουσι τοῖσιν ὑγροῖσι καὶ τοῖσιν ἀσάρκοισιν ἢ τοῖσι σκελιφροῖσι καὶ σεσαρκωμένοισι.

---

tes ſubjicere gaudentque ejusmodi herba magis quam grandiori. Omnino enim melior eſt ac firmior exigua herba quam quae grandis eſt, antequam ad maturitatem veniat; ac propterea ſcripſit

Sicut quando redit gratum ver bobus in orbem,
Crura quibus vertuntur,

quoniam grandior herba jucundiſſima illis videtur. Sed et bos natura hunc articulum laxiorem reliquis habet, atque ea de cauſa pedem circumvolvit magis quam cetera animalia, praeſertim ubi macie ſenioque confectus ſit; quas ob res omnes bovi maxime prolabitur. Plurima de ipſo ſcripta ſunt, quoniam haec fidem faciunt eorum omnium quae propoſita ſunt. Sed ut eo revertatur oratio unde digreſſa eſt, gracilibus magis prolabitur articulus ac citius reponitur quam iis qui bono habitu ſunt; minusque inflammatione tentantur madentes ac graciles quam ſicci et carnoſi.

Ed. Chart. XII. [306. 307.] Ed. Baſ. V. (587.)

Τὸ σαρκάζειν ἔνιοι μὲν δηλοῦν φασι συνάγειν ἀλλήλοις τὰ χείλη σφοδρῶς οὕτως, ὡς δύνασθαι καὶ ἀποσπᾶσθαί τι βοτάνης μέρος ὑπ' αὐτῶν, ἔνιοι δὲ τὸ τοῖς ὀδοῦσι τὸ κάτω μετὰ τοῦ ἄνω ἐργάζεσθαι ταὐτὸ, ἐπειδὴ καὶ οἱ σαρκάζοντές τινες δάκνουσι τοῖς ὀδοῦσι τὸ χεῖλος. ἀλλ' ἐκεῖνοι μὲν τοῖς ἄνωθεν ὀδοῦσι τὸ κάτω χεῖλος δάκνουσι, τὰ δὲ μηρυκίζοντα τὸν κάτω στοῖχον μόνον ἔχοντα τῶν ὀδόντων, χρῆ-

[307] *σθαι πρὸς τοὺς δάκνοντας. διότι μὲν ὠνόμασται, φασὶ, σαρκάζειν, ἐπειδὴ καὶ σαρκοφαγοῦντα τοῖς ζώοις ἑκατέροις χρῆται· καὶ τούτοις ἔοικε τὰ συμφραζόμενα τῇ λέξει μαρτυρεῖν, οὐ τὰ μηρυκίζοντα τῶν ζώων εἰρηκότος αὐτοῦ σαρκάζειν, ἀλλὰ τὰ τοὺς δύο τῶν ὀδόντων ἔχοντα στοίχους ἃ καλοῦσιν ἀμφόδοντα. ταῦτα μὲν δύναται καὶ τὰς βραχείας νέμεσθαι πόας, τουτέστι βοτάνας, οἷον ἵπποι καὶ ὄνοι καὶ ἡμίονοι. τῶν δὲ τὸν ἕνα στοῖχον ἐχόντων ἐκεῖνα μόνα δύνανται, οἷς λεπτὴ τοῦ χείλους ἐστὶ προβολὴ καὶ διὰ τοῦτο*

Vellere Hippocrates *σαρκάζειν* dixit, quo vocabulo nonnulli ſignificari volunt labra vehementer inter ſe conjungere, ſic ut herbae partem avellant; alii inferioribus dentibus cum ſuperiori labro idem efficere: nam qui derident, *σαρκάζοντες* Graece dicuntur, dentibus labrum mordent. Verum illi quidem ſuperioribus dentibus mordent labrum inferius; animalia vero quae ruminant, quum inferiorem tantum dentium ordinem habeant, eo ad mordendum utuntur, ac propterea accipiunt alii vocabulum *σαρκάζειν* in illis quae dentes inter ſe committunt, quoniam quae carnem vorant *σαρκοφαγοῦντα* vocantur, tam ſuperioribus quam inferioribus dentibus utuntur, atque his videntur favere verba Hippocratis, quum *σαρκάζειν* dixerit non de iis quae ruminant, ſed de iis quae utrimque dentes habent, quae *ἀμφόδοντα* Graece nuncupantur. Haec quidem paſcere exiguas herbas poſſunt, cujusmodi ſunt equi, aſini, muli; at ex iis quae ab una parte tantum ſunt dentata illa dumtaxat, quibus labri prominentia tenuis eſt, atque idcirco inter animalia quae herbis ve-

Ed. Chart. XII. [307.] Ed. Baſ. V. (587.)

μόνοι τῶν βοτάνας ἐσθιόντων ζώων οἱ βόες ἀποροῦσι τροφῆς ἐν χειμῶνι, διότι μήτε σαρκάζειν δύνανται τὴν βραχεῖαν πόαν, τουτέστι τοῖς ὀδοῦσιν ἀποτέμνειν αὐτὴν, μηδὲ τοῖς χείλεσι παραλαμβάνειν δύνασθαι τὴν βραχεῖαν πόαν ὁμοίως αἴξὶ καὶ προβάτοις. ταῦτα μὲν οὖν τὰ τρία γένη τῶν ζώων ἔχει χηλάς. μώνυχα δέ ἐστι τὰ ἀμφόδοντα, συνῃρημένου τοῦ ὀνόματος, ὥς φασιν οἱ τὰς ἐτυμολογίας τιμῶντες, ἐκ τοῦ μονώνυχας, ἐπειδήπερ ἔχουσιν ὄνων ὄνυχας. τοιοῦτον γὰρ ἐν τοῖς ὅπλοις ἔχουσι ζώοις, οἷς ἐστὶ τὸ κατ' ἄκρους τοὺς πόδας, οἷον ἀνθρώποις οἱ ὄνυχες, καὶ ἧσσον ἐπιφλεγμαίνει τούτοις, ὅτι καὶ ῥᾷον ἐκπίπτει. τούτῳ γὰρ ἕπεται καὶ τὸ τὸ ἐμβάλλεσθαι, τούτοις δ' αὖ πάλιν τὸ μικρὰν ἢ μηδ' ὅλως ἕπεσθαι φλεγμονήν. ἐν γὰρ ταῖς βιαίοις ἐκπτώσεσιν, ὥσπερ καὶ ταῖς ἐμβολαῖς, ὀδύναι γίνονται τοῖς μυσὶν, αἷς ἕπονται φλεγμοναί.

ſcuntur ſoli boves hieme paſtu indigent, quoniam nequeunt exiguam herbam aut *σαρκάζειν*, id eſt dentibus abſcindere aut labris prehendere. Boves enim non habent labra ita tenuia, ut exiguam herbam circumplicare atque comprehendere poſſint, quemadmodum et caprae et oves. Haec tria animalium genera multifidos pedes habent, ſed ſolidi pedis ſunt quae utrimque ſunt dentata. Appellantur autem Graece *μώνυχα* contracto vocabulo, ut afferunt qui nominum interpretationem excolunt, a dictione *μονώνυχα*, eo quod unum unguem habeant Graeci *μόνον ὄνυχα* dicunt; ſolidipedum enim pedes extremi unguibus hominis reſpondent, minusque inflammatione tentantur quum facilius articulus excidat, ſequitur ut ſimiliter recondatur; quo fit ut nulla vel certe quam minima inflammatio ſuperveniat. Namque ubi magna vi procidat ac revertatur, muſculi dolore vexantur, quem ſubſequitur inflammatio.

κη'.

(588) *Καὶ ἦσσόν γε δίδεται ἐς τὸν ἔπειτα χρόνον· ἀτὰρ καὶ ἡ μύξα πλείων ὑπείη τοῦ μετρίου, μὴ ξὺν φλεγμονῇ δὲ, οὕτως ἂν ὀλισθηρὸν εἴη. μυξωδέστερα γὰρ τοὐπίπαν τὰ ἄρθρα τοῖσιν ἀσάρκοισιν ἢ τοῖσι σεσαρκωμένοισίν ἐστιν.*

Ἅπαντα δύναται λέγειν διττὸν ὄντα χρόνον τόν τε μετὰ τὴν ἐμβολὴν εὐθέως, ἐν ᾧ θεραπεύονται τὰ φλεγμαίνοντα μόρια καὶ τὸν τῆς διαδεχομένης αὐτὸν ἐξῆς ἀοχλήτου καταστάσεως. ὁ μὲν γὰρ μετὰ τὴν ἐμβολὴν εὐθέως, ὅταν μετὰ φλεγμονῆς ᾖ, δι' αὐτὴν ἐκείνην ἔχει ἐσφιγμένον τὸ ἄρθρον, ὡς καὶ αὐτὸς εἴρηκεν, ὁ δὲ μετὰ τὴν θεραπείαν ὅτι σύντονός ἐστιν ἐπὶ τῶν τοιούτων ἀνθρώπων ἢ τῶν μυῶν οὐσία καὶ ὅτι διὰ τὰς ἐπιγινομένας φλεγμονὰς μεγάλας οὔσας ὑπολείπεταί τις ἐν τοῖς μυσὶ σκληρότης, ὡς ὑπὸ δεσμοῦ σφίγγεται τὸ ἄρθρον.

XXVIII.

Minusque in poſterum articulus alligatur. Atqui ſi citra inflammationem muci juſto plures fuerint, idcirco etiam facile procidet. Fere autem circa articulos muci redundant magis in gracili quam in pleno.

Quod inquit in poſterum, referri poteſt ad duo tempora et ad id quod repoſito articulo proximum eſt, quum inflammatae partes curantur et ad id quod deinceps citra moleſtiam inſequitur, eo quidem tempore quod repoſito articulo proximum eſt, ubi inflammatio ſit, articulus ab ipſa conſtringitur, quod ipſe etiam narravit. Poſt curationem a validis ejusmodi hominum muſculis et a quadam duritie, quam muſculis ingens inflammatio relinquit, articulus quaſi vinculo coarctatur.

Ed. Chart. XII. [307. 308.] Ed. Baſ. V. (588.)

κθ'.

Καὶ γὰρ αὗται αἱ σάρκες τῶν μὴ ἀπὸ τέχνης ὀρθῶς λελιμαγχημένων αἱ τῶν λεπτῶν μυξωδέστεραί εἰσιν ἢ αἱ τῶν παχέων. ὅσοισι μέντοι ξὺν φλεγμονῇ μύξα ὑπογίνεται, ἡ φλεγμονὴ δήσασα ἔχει τὸ ἄρθρον. διὰ τοῦτο οὐ μάλα ἐκπίπτει τὰ ὑπόμυξα, ἐκπίπτοντα ἂν εἰ μή τι ἢ πλέον ἢ ἔλασσον φλεγμονῆς ὑπεγένετο· οἷσι μὲν οὖν ὅταν ἐκπέσῃ τὸ [308] *ἄρθρον καὶ μὴ ἐπιφλεγμήνῃ τὰ περιέχοντα, χρῆσθαί τε ἀνωδύνως αὐτίκα τῷ ὤμῳ δύνανται. οὗτοι μὲν οὐδὲν νομίζουσι δεῖν ἑωυτῶν ἐπιμελεῖσθαι. ἰητροῦ μήν ἐστι καταμαντεύσασθαι τῶν τοιούτων. τοῖσι τοιούτοισιν ἐκπίπτει καὶ αὖθις μᾶλλον καὶ οἷσιν ἂν ἐπιφλεγμήνῃ τὰ νεῦρα, τοῦτο κατὰ πάντα τῷ ἀνθρώπῳ οὕτως ἔχει καὶ μάλιστα κατ' ὦμον καὶ κατὰ γόνυ. μάλιστα γὰρ οὖν καὶ ὀλισθαίνῃ ταῦτα. οἷσι δ' ἂν ἐπιφλεγμήνῃ τὰ νεῦρα οὐ δύνανται χρέεσθαι τῷ ὤμῳ· κωλύει γὰρ ἡ ὀδύνη καὶ ἡ ξύντασις τῆς φλεγμονῆς. τοὺς οὖν τοιούτους ἰᾶ-*

XXIX.

Sed et caro quoque gracilium, qui arte non fuerint recte extenuati, mucoſa magis eſt quam eorum qui pleni ſunt. Ubicunque autem muci cum inflammatione ſunt, inflammatio articulum illigat, ac propterea non admodum elabitur ubi muci redundant. Qui lapſurus utique fuiſſet, niſi locum vel amplius vel minus inflammatio occupaſſet. Qui repoſito articulo partibus quae juxta ſunt nulla inflammatione affectis protinus humero uti ſine dolore poſſunt, hi nulla cura ſibi opus eſſe arbitrantur; ſed medici officium eſt praeſagire contra eorum opinionem, ſiquidem his rurſus prolabitur, magis quam quibus nervi inflammatione tentantur. Hoc in omnibus articulis ita habet et praecipue in commiſſura humeri cum lato ſcapularum oſſe ac in genu; namque hi praecipue laxantur. At quibus nervi inflammatione vexantur, humero uti non poſſunt, dolore enim prohibentur atque inflammatione extendente. His itaque me-

Ed. Chart. XII. [308.] Ed. Baſ. V. (588.)

σθαι χρὴ κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισι πολλοῖσιν ὑποδέοντα. ὑποτιθέναι δὲ ἐς τὴν μασχάλην εἴριον μαλθακὸν, καθαρὸν ξυνειλίσαντα, ἐκπλήρωμα τοῦ κοίλου ποιέοντα, ἵνα ἀντιστήριγμα μὲν τῇ ἐπιδέσει ἔῃ, ἀνακωχέῃ δὲ τὸ ἄρθρον. τὸν δὲ βραχίονα ἐς τὸ ἄνω ῥέποντα ἴσχειν χρὴ τὰ πλεῖστα, οὕτω γὰρ ἂν οἴῃ ἑκάστῳ εἴη χωρίου, ἐς ὃ ὄλισθεν ἡ κεφαλὴ τοῦ ὤμου. χρὴ δὲ ὅταν ἐπιδήσῃς τὸν ὦμον ἔπειτα προσκαταδεῖν τὸν βραχίονα πρὸς τὰς πλευρὰς ταινίῃ τινὶ κύκλῳ περὶ τὸ σῶμα περιβάλλοντα.

Ὅσοι διὰ λιμὸν ἢ διὰ πολιορκίαν ἢ πένθος ἢ λύπην ἢ ἀνορεξίαν ἐνδεῶς προσφερόμενοι τροφὴν ἐλεπτύνθησαν, οὐκ εὐθέως αἱ σάρκες αὐτοῖς γίνονται ξηραὶ, καθάπερ τοῖς ὑπὸ τέχνης ὀρθῶς λελιμαγχημένοις. ἀλλ' ὑγροτέρας τοὐπίπαν ἐν ἁπάσαις εἴρηκε περιστάσεσιν ἀποτελούσας συντήξεων τινῶν ἐν αὐταῖς γιγνομένων διὰ τὴν ἔνδειαν. οἷς δὲ καὶ λυπεῖσθαι πρόσεστι καὶ μᾶλλον οὗτοι συντήκονται δὴ καὶ

deri oportet cerato pannisque et multas faſcias circumdare; tum lanam mollem ac mundam in alam ſubjicere, donec id cavum compleatur, ut vinculum fulciat et articulum ſuſtineat. Continere autem humerum oportet plerumque in ſuperiorem partem converſum: ſic enim fiet ut humeri caput longe collocetur a loco in quem proruperat. Convenit autem humeri articulo deligato humerum ipſum ad latus devincire, faſcia in orbem circa corpus porrecta.

Quicunque ſeu fame, ſeu obſidione, ſeu luctu, ſeu moerore, ſive etiam cibi faſtidio alimenti non ſatis ſumentes extenuati ſunt, caro non ſtatim ſiccefcit, ſicut illis qui arte recte ſunt extenuati; ſed fere in omnibus propoſitis caſibus madentior efficitur quibusdam tunc ob inopiam liquatis. Magis adhuc tabeſcunt qui in moerore ſunt,

Ed. Chart. XII. [308.] Ed. Baſ. V. (588.)

μελεδόνας οἱ ποιηταὶ τὰς λύπας καλοῦσιν ἐν ἴσῳ τὰ μέλη ἐδούσας καὶ κατεσθιούσας. συντήκεται δὲ ἐν αὐταῖς ἥ τε πιμελὴ πᾶσα καὶ ὅση μαλθακὴ καὶ ὅση νεοπαγής ἐστι σάρξ. ὅταν δὲ ἰατρὸς ἑκὼν ἰσχνότερον ἐργάζηταί τι, σῶμα μὲν εὑρημένοις τε τοῦτο πράττῃ καὶ μετὰ τοῦτο τρίβει ὅτε χρή. εἴ τις γένοιτο σύντηξις, ἐκκενοῦν αὐτὴν εἴτε διὰ τῶν ἱδρώτων αἰσθητῶς ἢ λόγῳ θεωρητῶς καιὰ τὴν ἄδηλον αἴσθησει διαπνοήν. εἰκὸς δὲ δήπου καὶ τῶν ἐδεσμάτων τε καὶ πομάτων οὐκ ἀμελῶς ἔχειν αὐτὸν, ἀλλὰ καὶ διὰ τούτων ἐπιχειρεῖν εὐλύτους ἐργάζεσθαι τὰς ἐκκρίσεις ἁπάσας, οὐ μόνον ὅσαι διὰ τῆς γαστρὸς, ἀλλὰ καὶ διὰ τῶν οὔρων γιγνομένας. οὕτω γὰρ ἂν μάλιστα πανταχόθεν, εἴ τις εἴη κατὰ τὸ σῶμα διὰ τὴν σύντηξιν ὑγρότης περὶ τὴν κένωσιν ἔξω τοῦ σώματος ποιοῖτο. μένουσα γὰρ ἔνδον ὑπομυξώδεις τῷ χρόνῳ τὰς σάρκας ἐργάζεται, κατὰ τὴν ἄδηλον διαπνοὴν ἄνευ τῶν ἄλλων μᾶλλον γιγνομένην. ὅσον μὲν γὰρ ἀκριβῶς λεπτόν ἐστι καὶ ὀρῷῶδες ἐν τοῖς συντήγμασιν ἀπέρχεταί τε καὶ διαφορεῖται. τὸ δὲ ὑποπαχύτερον ὑπομένει μόνον, ὅπερ

quem Graeci poëtae μελεδῶνα idcirco dicunt, quaſi membra edat devoretque; ſub hoc itaque adeps omnis tabeſcit et quaecunque caro mollis ac recens concrevit. Sed ubi medicus de induſtria corpus aliquod extenuat per ea quae excogitavit, moliri id contendit; deinceps frictione utitur, quo tempore opus eſt, ſi quid liquatur, exhaurire vel per ſudorem qui ſenſui ſubjicitur vel per exſpirationem quae non ſenſu, ſed ratione percipitur. Ad haec par eſt ipſum eſculenta aut potulenta non temere dare, ſed conari per haec, ut quaecunque educenda ſunt bene exitum habeant, non modo quae per dejectiones, ſed et quae per urinam. Eo enim pacto ſi quis in corpore humor liquaretur, undique extra corpus efflueret, nam ubi in corpore maneat, tempore mucoſas carnes efficit. Quodcunque igitur tenue omnino ac ſeri naturam habens liquatur effertur et per exſpirationem, quae ſenſu non comprehenditur, magis quam alio modo diſcutitur; tantum autem ſubſiſtit id quod

Ed. Chart. XII. [308. 309.] Ed. Baſ. V. (588.)

ἑνὶ τῷ χρόνῳ γλισχρότητά τινα προσλαμβάνον ὅμοιον μύξῃ γίγνεται.

λ'.

Χρὴ δὲ καὶ ἀνατρίβειν τὸν ὦμον ἡσυχέως καὶ λιπαρῶς. πολλῶν δὲ ἔμπειρον δεῖ εἶναι τὸν ἰατρὸν, ἀτὰρ δὴ καὶ ἀνατρίψιος· ἀπὸ γὰρ τοῦ αὐτοῦ ὀνόματος οὐ τὸ αὐτὸ ἀποβαίνει. καὶ γὰρ ἂν δήσειεν ἄρθρον ἀνάτριψις χαλαρώτερον τοῦ καιροῦ ἐὸν καὶ λύσειεν ἄρθρον σκληρότερον τοῦ καιροῦ ἐόν. ἄλλα διορισεῖται ἡμῖν περὶ ἀνατρίψιος ἐν ἄλλῳ λόγῳ. τὸν γοῦν τοιοῦτον ὦμον μαλ- [309] *θακοῖσι χρὴ χερσὶν ἀνατρίβειν, συμφέρει γὰρ καὶ ἄλλως πρηέως.*

Εἰς τὸ μηδὲν ὑπολειφθῆναι λείψανον τῆς φλεγμονῆς σκιῥῶδες ἐπιτήδειός ἐστιν ἡσύχως τε καὶ λιπαρῶς ἡ τρίψις γιγνομένη. χρὴ δ' αὐτὴν ποιεῖσθαι πολυειδῶς, περιφέρεσθαι τὰς χεῖρας ἄνωθέν τε κάτω καὶ κάτωθεν ἄνω·

aliquatenus craſſum eſt, quod tempore glutinoſum efficitur, a mucis non abhorret.

XXX.

Neceſſe eſt inſuper humeri commiſſuram ſenſim molliterque perfricare. Opus autem medico eſt multarum rerum et frictionis etiam experiente: ſiquidem ab eo quod eodem nomine appellatur, non idem effectus oritur, poteſt enim frictio laxiorem articulum illigare et juſto duriorem ſolvere. Verum de frictione alibi pertractabimus. Ergo hanc humeri commiſſuram convenit mollibus manibus perfricare tum leniter, quod alioquin utile eſt.

Efficit frictio ſenſim molliterque adhibita ne quae remaneant inflammationis reliquiae; varie autem procedat oportet, modo manus a ſuperiori parte deorſum, modo ab inferiori ſurſum ferantur; deinde obliquae non ſolum

Ed. Chart. XII. [309.] Ed. Baſ. V. (588. 589.)
κἄπειτα λοξὰς οὐ κάτωθεν ἄνω μόνον, ἀλλὰ καὶ ἄνωθεν κάτω. καὶ μὲν δὴ καὶ τὰς ἐν κύκλῳ τε καὶ οἷον ἐγκαρσίας ἀπό τε τῶν δεξιῶν ἐπὶ τὰ ἀριστερὰ καὶ αὖθις ἐπ' ἐκείνων ἐπὶ τὰ δεξιὰ, χάριν τοῦ τὰς ἴνας ἁπάσας μαλάττεσθαι τῶν μυῶν. τὸ γὰρ τῆς ἀνατρίψεως ὄνομα τοῖς παλαιοῖς ἀντὶ τοῦ τῆς τρίψεως ἐλέγετο. μὴ τοίνυν ὑπονοήσῃς (589) πῶς ἔδοξάν τινες ἀξιοῦν αὐτὸν ἐκ τῶν κάτω μερῶν ἄνω ποιεῖσθαι τὴν φορὰν τῶν χειρῶν, ὁπότε τὸν ὦμον ἀνατρίβομεν, ἀλλὰ τὸ ἀνατρίβειν αὐτὸ συμβαίνει ὅλου τοῦ γένους τῶν τρίψεων ὂν δηλωτικὸν οὐ μιᾶς διαφορᾶς τῆς κάτωθεν ἄνω. δῆλον δὲ τοῦτο ποιεῖ λέγων αὐτὸς, ἀλλὰ διώρισται περὶ ἀνατρίψεως ἐν ἄλλῳ λόγῳ· οὐ γὰρ δήπου τὸν περὶ μιᾶς διαφορᾶς λόγον ἐρεῖν ἐπαγγέλλεται, τὰς ἄλλας λιπών. καὶ μέντοι κἀν τῷ κατ' ἰητρεῖον ἁπάσας ἐδήλωσεν αὐτὰς ὀνομάζων κἀκεῖ τὸ γένος ὅλον, ἀνάτριψις δύναται λύσαι, δῆσαι, σαρκῶσαι, μινυθῆσαι καὶ τὰ τούτοις ἑφεξῆς, ὑπὲρ ὧν ἐν

ab inferiori parte ſurſum, ſed a ſuperiori deorſum; poſt haec in orbem et quaſi transverſe a dextra in ſiniſtram et rurſus a ſiniſtra in dextram, ut muſculorum fibrae omnes molliantur. Majores enim Graeci ad frictionem ſignificandam ſunt mutuati vocabulum *ἀνατρίψεως* pro *τρίψεως*; at nolim tibi perſuadeas, quemadmodum nonnulli exiſtimarunt, Hippocratem velle manus in perfricanda humeri commiſſura ferri ab inferiori parte ſurſum, quod *τρίψις* frictionem, *ἀνὰ* ſurſum ſignificet; nam verbum *ἀνατρίβειν* univerſum frictionis genus exprimit, non eam dumtaxat quae ab inferiori parte ſurſum procedit, quod et ipſe indicavit quum inquit, ſed de frictione aliquid pertractabimus, ubi frictionem *ἀνάτριψιν* vocavit. Non enim pollicetur ſe de una ſpecie tractaturum ceteris omnibus omiſſis, ſed in libro etiam de officina medici omnes expoſuit, genus univerſum *ἀνάτριψιν* appellans, quum inquit: frictio ad reſolvendum valet et ad ſtringendum, praeter haec ad implendum ac minuendum et quae ſequuntur, quae tum in

Ed. Chart. XII. [309.] Ed. Baſ. V. (589.)

τε τοῖς εἰς ἐκεῖνο τὸ βιβλίον ὑπομνήμασι λέλεκται καὶ μέντοι κατὰ τὴν ὑγιεινὴν πραγματείαν εἴρηται τελεώτατα.

λα'.

Τὸ δὲ ἄρθρον διακινέειν μὴ βίῃ, ἀλλὰ τοσοῦτον, ὅσον ἀνωδύνως κινήσεται. καθίσταται δὲ πάντα τὰ μὲν ἐν πλείονι χρόνῳ, τὰ δ' ἐν ἐλάσσονι.

Οὐδέν ἐστι χρησιμώτερον τῆς τοιαύτης κινήσεως ἐν παρακμαζούσαις φλεγμοναῖς. λύει γὰρ αὐτῶν τὸ λείψανον ἅπαν, ἐξ οὗ πέφυκεν ἀμεληθέντος ἀγκυλοῦσθαί τε καὶ δεσμεῖσθαι τὰ ἄρθρα, καλοῦσι γὰρ ἑκατέρως τὸ πάθημα.

λβ'.

Γινώσκειν δὲ εἰ ἐκπέπτωκεν ὁ βραχίων τούτοισι χρὴ τοῖσι σημείοισι.

commentariis in eum librum perſequuti ſumus tum in opere de tuenda ſanitate latiſſime narravimus.

XXXI.

Articulus non violenter dimovendus eſt, ſed quatenus citra dolorem moveatur. Confirmantur autem omnes, alii quidem longiori tempore, alii breviori.

Inflammatione remiſſa nihil expeditius eſt quam ejusmodi motus; ſolvit enim illius reliquias omnes, quibus neglectis articuli contracti atque illigati redduntur, utrisque enim vocabulis appellantur.

XXXII.

His autem indiciis excideritne humerus intelligendum eſt.

Ed. Chart. XII. [309. 310.] Ed. Baſ. V. (589.)

Κἂν τῷ περὶ τῶν ἀγμῶν ἐπὶ τοὺς ἁμαρτάνοντας ἦκε τῷ λόγῳ προτέρους καὶ νῦν οὕτω πράξας, ἐπειδὴ συνάψας τῷ πρὸς ἐκείνους ἐλέγχῳ καὶ περὶ τῆς ἐμβολῆς εἶπεν, οὐ μόνον ἑπομένοις τοῖς εἰρημένοις, ἀλλὰ καὶ μαρτυροῦσιν, ἐπ' ἐκείνην ἀφίκετο προτέραν, εἶθ' ἑξῆς νῦν διδάσκει τὰ γνωρίσματα τοῦ κατ' ὦμον ὀλισθήματος. ἐπὶ μὲν τῶν ἔργων τῆς τέχνης ἐξ ἀνάγκης προηγούμενα, [310] *κατὰ δὲ τὴν διδασκαλίαν οὐκ ἐξ ἀνάγκης. ἔστω δέ σοι τὸ γνώρισμα τῶν ἑπομένων ἢ προηγουμένων ἐξ ἀνάγκης τὸ μὴ δύνασθαι καλῶς ἤτοι πραχθῆναι τὸ ἑπόμενον ἔργον ἢ νοηθῆναι τὸ μάθημα, πρὶν γνωρισθῆναι τὸ ἡγούμενον. ἡ τοίνυν ἐμβολὴ τῶν ἐξηρθρηκότων πρὸ μὲν τοῦ νοηθῆναι τὴν μετάστασιν τοῦ ἐκπεσόντος εἰς τὶ χωρίον ἐγένετο, διδαχθῆναι σαφῶς οὐ δύναται, πρὶν μέντοι τὰ σημεῖα μαθεῖν αὐτῆς, ἐγχωρεῖ διδαχθῆναι. μόνον γοῦν τοῦτο μεμαθηκότος ἐν ἀρχῇ τοῦ λόγου τὸ γίγνεσθαι τὴν ἔκπτωσιν εἰς μασχάλην, αὐτοί γ ἐπινοῆσαι τὴν ἐμβολὴν ἐδυνάμεθα καὶ διδάσκοντος ἑτέρου μαθεῖν, οὐ μὴν ἄνευ τοῦ γνῶναι σαφῶς ὅτι εἰς μασχάλην*

In libro de fracturis ante ad eos qui errant aggreditur, quod nunc quoque facit; nam poſtquam errantes redarguit, reponendi rationem ſubjicit, quae non ſolum ſequitur quod propoſitum erat, ſed ejus etiam fidem facit. Eam ergo primum exſequutus nunc deinceps indicia ſubjicit humeri capitis luxati, quae in exercenda arte neceſſario praecedunt, in tradenda non item neceſſario; eorum vero quae praecedunt aut ſequuntur illud tibi indicio ſit, quod non recte effici poteſt opus quod ſequitur aut percipi quod praeceptum eſt, antequam intelligatur quod praecedit. Ratio quidem luxati reſtituendi, antequam intelligatur in quam partem articulus eruperit, aperte demonſtrari nequit; ſed nihil eam addiſci prohibet, priusquam notae enarrentur. Principio itaque orationis ſi id unum edocti ſumus, humerum in alam prolabi et ipſi invenire modum reponendi poſſumus et ab altero etiam doceri; non tamen comprehendere modum reponendi, niſi ante ſciverimus humerum in alam procidere, ſicut neque

Ed. Chart. XII. [310.] Ed. Baſ. V. (589.)

ἔκπτωσις γίγνεται πρὸ τοῦ γνῶναι τὴν φύσιν ἅπασαν τῆς διαρθρώσεως. εἰ μὲν οὖν τις εἰπὼν ἐμβολὴν ἐφεξῆς διδάσκει ποίας διαφορὰς ὀλισθήματος εὕρηκεν ἐμβολὴν, ἐναλλάττει τάξιν ἀναγκαίαν, ὥσπερ εἰ καὶ ὅσον τις ἐπὶ τὴν διαφορὰν τῆς ἐκπιώσεως ἀφικόμενος ἐν τῇ διδασκαλίᾳ πρότερον αὐτῆς ἐπὶ τὴν φύσιν ἔρχεται τῆς διαρθρώσεως. εἰ γὰρ ὅλως ἐνόησέ τις ὅπως εἰς μασχάλην ἔκπτωσις γίγνεται περιττὸν αὐτῷ διδάσκεσθαι τὴν φύσιν τῆς διαρθρώσεως. εἰ δὲ πρώτην μὲν ἀκουστέον, ὡς μάθοι ταύτην ὁποία τίς ἐστιν, ἐφεξῆς δὲ τὴν ἔκπτωσιν, οὐδὲν ἐνδεῖ τοῦτο πρὸς τὴν τῆς ἐμβολῆς διδασκαλίαν. ἀμέλει καὶ νῦν ἡμῖν οὐδὲν ἐνενόησεν εἰς τὴν τῶν ἐμβολῶν νόησιν ἡ τῶν σημείων ἄγνοια καὶ τοῦτο ἐν πάσῃ διδασκαλίᾳ θεραπείας ἐστί. δύναται γάρ τις ἥπατος φλεγμονῆς διδάσκεσθαι θεραπείαν ἢ κοιλίας ἢ νεφρῶν ἢ κώλου πρὸ τῆς διαγνώσεως τῶν ἐν αὐτοῖς παθῶν, οὐ μὴν θεραπεῦσαι δύναται πρὸ τῆς διαγνώσεως, ὥσπερ οὐ κατὰ μέθοδον ἢ εὑρεῖν τὴν θεραπείαν ἢ διδαχθῆναι πρὸς

quo pacto in alam procidit, niſi prius noverimus naturam univerſae commiſſurae. Si quis igitur reſtituendi modum praefatus deinceps adjiciat, in quam partem articulum luxatum reſtitui docuerit, neceſſarium ordinem perturbat, id quod accidit etiam ei qui primo incipit oſtendere, in quas partes articulus erumpat, dein tranſit ad commiſſurae naturam exponendam. Nam ſi quis penitus noſſet quomodo articulus in alam excideret, ſupervacuum eſſet commiſſurae naturam hanc docere. Sed qui primo audiet percipiatque, quonam modo haec habeat, deinde in quam partem articulus venerit, huic nihil opus eſt ad hoc ut reſtituendi modum doceatur. Eodem etiam modo nunc nihil nos prohibuit ſignorum inſcitia, quominus reponendi rationem intelligeremus, quae res communiter evenit in omni curatione tradenda. Poteſt enim doceri quis qua ratione curetur inflammatio jecinoris, ſeu ventriculi, ſeu renum, ſive inteſtini craſſioris, antequam ipſorum affectus teneat; non tamen curare poteſt, priusquam eos intelligat,

Ed. Chart. XII. [310.] Ed. Baf. V. (589.)

ἑτέρου, πρὶν ἀκριβῶς γνῶναι τοῦ θεραπευομένου μορίου τὴν φύσιν.

λγ'.

Τοῦτο μὲν ἐπειδὴ δίκαιον ἔχουσι τὸ σῶμα οἱ ἄνθρωποι καὶ τὰς χεῖρας καὶ τὰ σκέλεα παραδείγματι χρέεσθαι δεῖ τῷ ὑγιεῖ πρὸς τὸ μὴ ὑγιὲς καὶ τῷ μὴ ὑγιεῖ πρὸς τὸ ὑγιὲς μήτ' ἀλλότρια ἄρθρα καθορῶντα.

Τὸ ἀκριβῶς ἴσον ἑκατέρωθεν ἐκ δεξιῶν γε καὶ ἀριστερῶν δίκαιον ὠνόμασεν, ἐπεὶ δὲ τῶν κώλων ἰδέαι διαφέρουσαι τοῖς ἀνθρώποις εἰσὶν, ἀξιοῖ παραβάλλεσθαι τὸ τοῦ πεπονθότος αὐτοῦ κῶλον ὁμόζυγον ἐξ ἐκείνου τε τεκμαίρεσθαι πόσον ἐξήλλακται τοῦ κατὰ φύσιν.

ſicut neque ratione curationem invenire aut doceri ab altero priusquam naturam calleat partis quae curatur.

XXXIII.

Partim quidem quum homines juſtum habeant corpus et brachia et crura ad exemplum integri aeſtimare vitiatum oportet et ad exemplum vitiati integrum neque ſpectare alterius hominis articulos.

Quod ab utraque parte, tam dextra quam ſiniſtra aequale eſt ad unguem, juſtum appellavit. Sed quoniam membrorum forma in hominibus varia eſt, imperat ut affectum membrum cum pari ipſius affecti hominis membro conferatur; atque inde quatenus a naturali ſtatu receſſerit conjectura fiat.

Ed. Chart. XII. [310. 311.] Ed. Baf. V. (589.)

λδ'.

Ἄλλοι γὰρ ἄλλων μᾶλλον ἐξαρθροι πεφύκασιν, ἄλλα τὰ αὐτὰ τοῦ κάμνοντος, ἣν ἀνόμοιον ἔῃ τὸ ὑγιὲς τῷ κάμνοντι.

---

[311] Τοὺς ἐκκείμενα καὶ προὔχοντα κεκτημένους τὰ ἄρθρα κέκληκεν ἐξάρθρους ἐν αὐτῷ τῷ κατὰ φύσιν ἔχειν.

λε'.

Καὶ τοῦτο εἰρήσεται μὲν ὀρθῶς, παραξύνεσιν δὲ ἔχει πάνυ πολλήν. διὰ τὰ τοιαῦτα καὶ οὐκ ἀρκέει μοῦνον λόγῳ εἰδέναι τὴν τέχνην ταύτην, ἀλλὰ καὶ ὁμιλίῃ ὁμιλέειν.

Οὐχ ἁπλῶς ἅπασαν ἄγνοιαν ὀνομάζει παρασύνεσιν, ἀλλὰ τὴν παρακειμένην τε καὶ τὴν πλησιάζουσαν τῇ γνώσει. διδάξει δ' αὐτὸς διὰ τῶν ἑφεξῆς, ὅπως ἐξαπατᾶσθαι συμβαίνει τοῖς ἐνίοτε παραβάλλουσι τὸ ἑφεξῆς τὸ ὑγιὲς τῷ πεπονθότι.

XXXIV.

Aliis enim magis exſtant, aliis minus, ſed ipſius laborantis, an integer vitiato diſſimilis ſit.

Eos quibus articuli naturaliter exſtant prominentque, ἐξάρθρους appellavit.

XXXV.

Quae res recte quidem oſtenditur, omnino autem magna ejus inſcitia eſt. Hac de cauſa non ſatis eſt ratione artem hanc ſcire, ſed uſu experiri ipſam oportet.

Inſcitiam dixit παρασύνεσιν, non omnem ſimpliciter intelligens, ſed eam quae conjuncta eſt ac proxima ſcientiae. Indicabit autem ipſe in ſequentibus qui fiat uſ interdum decipiantur, qui protinus cum vitiato integrum conferunt.

Ed. Chart. XII. [311.] Ed. Baſ. V. (589. 590.)

λστ'.

Πολλοὶ γὰρ ὑπὸ ὀδύνης ἢ ὑπ' ἀλλοίης προφάσιος οὐκ ἐξεστεώτων αὐτέοισι τῶν ἄρθρων ὅμως οὐ δύνανται ἐς τὰ ὅμοια σχήματα καθιστάναι, ἐς οἷά περ τὸ ὑγιαῖνον σῶμα σχηματίζεται. προξυνιέναι δὲ δεῖ οὖν καὶ ἐννοεῖν καὶ τὸ τοιόνδε σχῆμα χρὴ, ἀτὰρ καὶ ἐν τῇ μασχάλῃ ἡ κεφαλὴ τοῦ βραχίονος φαίνεται ἐγκειμένη, πολλῷ μᾶλλον τοῦ ἐκπεπτωκότος ἢ τοῦ ὑγιέος. τοῦτο δὲ ἄνωθεν κατὰ τὴν ἐπωμίδα κοῖλον φαίνεται τὸ χωρίον καὶ τὸ τοῦ ἀκρωμίου ὀστέου ἐξέχον φαίνεται, ἅτε ὑποδεδυκότος τοῦ ἄρθρου ἐς τὸ κάτω τοῦ χωρίου.

Μίαν μὲν τήνδε παρασύνεσιν, ὡς αὐτὸς ὠνόμασεν, ἐδίδαξεν ἐν τῷ νῦν λόγῳ περὶ τὰ σχήματα γιγνομένην, (590) *ἐνίοτε γὰρ οὐ δύνανταί τινα σχήματα περιτιθέναι τοῖς πεπονθόσι κώλοις. οἱ κάμνοντες δὲ οὐ δι' ἔκπτωσιν ἄρθρου τοῦτο πάσχουσι, ἀλλὰ δι' ὀδύνην ἢ σύστασιν μυός. ἐφεξῆς δὲ ἑτέραν ἄγνοιαν διδάσκει.*

XXXVI.

Multis enim articuli prae dolore vel alia de cauſa ut non exciderint, nequeunt tamen eo modo quo in ſanis corporibus figurari. Intelligere igitur ac ſcire hujusmodi habitum oportet, nam multo magis in ala ſentitur caput humeri prolapſi, quam ejus qui naturaliter habet; ad haec locus qui a ſuperiori parte ſuper commiſſuram eſt cavus apparet, item latum eſt ſcapularum ſummum, qua cum jugulo committitur, exſtare videtur, quum articulus inferiori loco recipiatur.

Inſcitiam quam ipſe *παρασύνεσιν* dixit nunc unam ponit, quae in figurando accidit. Interdum enim nequeunt affecta membra aliquo modo figurari; quamvis hoc aegris non accidat, propterea quod articulus eruperit, ſed vel dolore vel muſculorum intenſione. Deinceps inſcitiam alteram ſubjecit.

Ed. Chart. XII. [311. 312.] Ed. Baſ. V. (590.)

λξ'.

Παραξύνεσιν μὲν καὶ ἐν τούτῳ ἔχει τινὰ, ἀλλ' ὕστερον περὶ αὐτοῦ γεγράψεται, ἄξιον γὰρ γραφῆς ἐστι.

Τὸ κατὰ τὴν ἐπωμίδα κοῖλον φαίνεσθαι τὸ χωρίον, ἔχειν τινὰ διαμαρτίαν φησὶν, ἣν ὕστερον ἐρεῖν ἐπαγγέλλεται. γίγνεται γὰρ ἐνίοτε τοῦτο διασπασθείσης τῆς κλειδὸς ἀπὸ τῆς ὠμοπλάτης.

λη'.

Τοῦτο δὲ τοῦ ἐκπεπτωκότος ὁ ἀγκὼν φαίνεται ἀφεστεὼς μᾶλλον ἀπὸ τῶν πλευρίων ἢ τοῦ ἑτέρου. εἰ μέντοι τις προσαναγκάζοι, προσάγεται μέν, ἐπιπόνως δέ.

---

[312] *Τοῦτο σημεῖον ἔχει παρακείμενον σφάλμα καὶ εἰ ἔτι ὁ κατὰ τὴν μασχάλην ἀγκὼν ὑποπιπτούσης ἐνταῦθα τοῖς ἅπτομένοις τῆς κεφαλῆς τοῦ βραχίονος, δι' ἣν οὐδὲ προσάγειν δύναται ταῖς πλευραῖς τὴν χεῖρα χωρὶς ὀδύνης μεγάλης.*

XXXVII.

In quo etiam accidit inſcitia, de qua in ſequentibus agemus; eſt enim memoratu digna.

In eo quod locus qui humeri commiſſurae ſubjectus eſt cavus conſpicitur, quendam incidere errorem ait, quem in ſequentibus ſe dicturum pollicetur. Id autem interdum evenit, ubi jugulum a lato ſcapularum oſſe diducitur.

XXXVIII.

Partim etiam a latere cubiti eminentia recedere magis videtur ab eo humero, qui prolapſus eſt, quam ab altero; ſi quis tamen cogat, adducitur quidem, ſed cum dolore.

Indicium quoque hoc fallax eſt, niſi ſub ala humeri caput contingat, quod in eam venit; quo fit ut brachium adduci ad latus ſine dolore non poſſit.

Ed. Chart. XII. [312.] Ed. Baf. V. (590.)

λθ'.

Τοῦτο δὲ ἆρα ἄνω τὴν χεῖρα παρὰ τὸ οὖς ἐκτεταμένου τοῦ ἀγκῶνος οὐ μάλα δύναται, ὥσπερ τὴν ὑγιέα οὐδὲ παράγειν ἔνθα καὶ ἔνθα ὁμοίως. τά τε οὖν σημῖα ταῦτά ἐστιν ὥμου ἐκπεπτωκότος αἵ τε ἐμβολαὶ γεγραμμέναι αἵ τε ἰητρεῖαι αὗται.

Τοῦτο τὸ σημεῖον ὃ μικρὸν ἔμπροσθεν ἔφη παρασύνεσιν ἔχειν. δῆλον δὲ ἐξ ὧν ἐπήνεγκεν εἰπών· πολλοὶ γὰρ ὑπὸ ὀδύνης ἢ καὶ ὑπὸ ἀλλοίης προφάσιος οὐκ ἐξεστεώτων αὐτέοισι τῶν ἄρθρων, ὅμως οὐ δύνανται εἰς τὰ ὅμοια σχήματα καθιστάναι, εἰς οἵαπερ τὸ ὑγιαῖνον σῶμα σχηματίζεται. εἰσενεγκεῖν τὰς χεῖρας πρὸς τὰς πλευράς, ὡς εἴρηκεν, εἰοίμως τις δύναται, βέβαιον γνώρισμά ἐστι τοῦ κατὰ φύσιν ἔχειν τὸ ἄρθρον. ἐὰν δὲ ἐμποδίζηται κατά τι, δυνατόν ἐστι δι' ὀδύνην ἢ σύντασιν μυῶν τοῦτο γίγνεσθαι.

XXXIX.

Adde quod cubito extenſo brachium juxta ejusdem partis aurem non ita porrigi poteſt, quemadmodum et integrum, neque in latera ſimiliter. Haec itaque indicia ſunt humeri capitis luxati; reſtituendi vero modi hi, qui ſcripti ſunt et curationes eaedem.

Hoc quoque ſignum ex illis eſt in quibus eſſe inſcitiam propoſuit, quod evidentiſſimum eſt ex his quae prodidit quum inquit: multis enim articuli prae dolore vel alia de cauſa, ut non exciderint, nequeunt eo modo quo in ſanis corporibus figurari. Si quis, ut ipſe ait, prompte brachium poſſit ad latera porrigere, id certum indicium eſt, articulum naturaliter habere; quodſi aliqua ex parte prohibeatur, poteſt hujus rei cauſa eſſe dolor vel muſculorum intenſio.

μ'.

Ἐπάξιον δὲ τὸ μάθημα, ὡς χρὴ ἰητρεύειν τοὺς πυκνὰ ἐκπίπτοντας ὤμους. πολλοὶ μὲν γὰρ ἤδη ἀγωνίης ἐκωλύθησαν διὰ ταύτην τὴν ξυμφορὰν τἆλλα πάντα ἀξιόχρεοι ὄντες, πολλοὶ δὲ ἐν πολεμικοῖσιν ἀχρήϊοι ἐγένοντο καὶ διεφθάρησαν διὰ ταύτην τὴν ξυμφορὰν ἅμα τε ἐπάξιον καὶ διὰ τοῦτο ὅτι μηδένα οἶδα ὀρθῶς ἰητρεύοντα, ἀλλὰ τοὺς μὲν μηδὲν ἐγχειρέοντας, τοὺς δὲ τἀναντία τοῦ ξυμφέροντος φρονέοντάς τε καὶ ποιέοντας. συχνοὶ γὰρ ἤδη ἰητροὶ ἔκαυσαν ὤμους ἐκπίπτοντας κατά τε τὴν ἐπωμίδα κατά τε τὸ ἔμπροσθεν, ἢ ἡ κεφαλὴ τοῦ βραχίονος ἐξογκέει, κατά τε τὸ ὄπισθεν ὀλίγον τῆς ἐπωμίδος. αὗται οὖν αἱ καύσιες, εἰ μὲν εἰς τὸ ἄνω ἐξέπιπτεν ὁ βραχίων ἢ ἐς τοὔμπροσθεν ἢ ἐς τοὔπισθεν ὀρθῶς ἂν ἔκαιον. νῦν δὲ δὴ ὅτε ἐς τὸ κάτω ἐκπίπτει, ἐμβάλλουσιν αὗται αἱ καύσιες μᾶλλον ἢ κωλύουσιν. ἀποκλείουσι γὰρ τῆς ἄνω εὐρυχωρίης τὴν κεφαλὴν τοῦ βραχίονος. χρὴ δὲ ὧδε καίειν ταῦτα

XL.

Maxima autem animadverſione dignum praeceptum eſt, qua ratione curare eos conveniat, quibus ſaepe humeri caput elabitur, quum multi ob calamitatem hanc quamquam alioquin idonei certare prohibeantur; multi etiam ea de cauſa redditi inutiles ad bellum ac perierint. Ob id etiam animadverſione dignum eſt, quod neminem noverint qui recte curaret, ſed alios quidem manus homini non injicere, alios contrarium ei quod expediret excogitare molirique. Aduſſerunt jam complures medici, ubi humeri articulus excideret, eum locum qui a ſuperiori parte commiſſurae eſt et eum qui a priori, qua promovet humeri caput, et a poſteriori parte paulo infra ſuperiorem ſedem commiſſurae. Profecto hujusmodi uſtiones commodae fuiſſent, ſi humeri caput in ſuperiorem, priorem aut poſteriorem partem veniſſet. Nunc quum in inferiorem erumpat, expellunt magis quam cohibent; excludunt enim humeri caput a ſpatio ſupe-

Ed. Chart. XII. [312. 313.] Ed. Baf. V. (590.)

ἀπολαβόντα τοῖσι δακτύλοισι κατὰ τὴν μασχάλην τὸ δέρμα ἀφελκύσαι κατ' αὐτὴν τὴν ἴξιν μάλιστα, καθ' ἣν ἡ κεφαλὴ τοῦ βραχίονος ἐκπίπτει.

Καὶ ἐν τούτῳ τῷ λόγῳ τὰ πλεῖστά ἐστι σαφῆ, ὧν οὐ μνημονεύσομεν, πλὴν ἐν οἷς ἀσάφειά τις περιέχεται.

μα'.

[313] Ἔπειτα δὲ οὕτως ἀφειλκυσμένον τὸ δέρμα διακαῦσαι ἐς τὸ πέρην.

Ἄξιοῖ μηδὲν ἄκαυστον καταλιπεῖν τοῦ ἀνατεινομένου δέρματος, ἀλλὰ διεκβάλλειν τὸ διάπυρον σιδήριον ἐκ τῶν δεξιῶν ἐπὶ τὰ ἀριστερὰ μέρη τῆς μασχάλης καὶ ἐξ ἐκείνων ἐπὶ τὰ δεξιά.

---

riori. Sic autem adurere hos convenit, cutis ſub ala prehendenda digitis eſt, atque attrahenda e regione potiſſimum ejus partis, in quam humeri caput elabitur.

In hac etiam oratione pleraque plana ſunt, quare a me praetermittentur, niſi ſi qua videantur obſcura.

XLI.

Tum cute ſic attracta ita admovendum candens ferramentum eſt, ut trajiciatur.

Imperat ut ex cute extenta nihil relinquatur quod non uratur, ſed candens ferramentum trajiciatur a dextra parte alae in ſiniſtram, atque ab hac ad dextram.

Ed. Chart. XII. [313.] Ed. Baſ. V. (590.)

μβ'.

Σιδηρίοισι χρὴ τὰ τοιαῦτα καίειν μὴ παχέσι, μηδὲ λίην φαλαγροῖσιν, ἀλλὰ προμήκεσι. ταχυπορώτερα γὰρ καὶ τῇ χειρὶ ἐπερείδειν.

Φαλακρὰ κέκληκε τὰ περιφέρειαν ἔχοντα κατὰ τὸ πέρας, οἷον οἱ κατὰ τὰς μασχάλας ἔχουσι πυρῖνες ἤτοι τὰ διαπύρινα καλούμενα καὶ αἱ σπαθομίλαι. προμήκη δὲ τὰ τούτοις ἐναντίως διακείμενα προσηγόρευσεν, ὧν οὐκ ἔστι περιφερὲς τὸ πέρας, ἀλλ' ὀξύτερόν περ ἐμπλήρωμα παραπλήσιόν πως τοῖς εἰς τὰς παρακεντήσεις ἐπιτηδείοις ὀργάνοις.

μγ'.

Χρὴ δὲ διαφανέσι καίειν ὡς ὅτι τάχιστα περαιωθῇ κατὰ δύναμιν, τὰ γὰρ παχέα βραδέως περαιούμενα πλατυτέρας τὰς ἐκπτώσιας τῶν ἐσχαρῶν ποιέεται καὶ κίνδυνος ἂν εἴη ξυῤῥαγῆναι τὰς ὠτειλὰς, καὶ κάκιον μὲν οὐδὲν ἂν εἴη, αἴσχιον δὲ καὶ ἀντεχνότερον. ὅταν δὲ διακαύσῃς ἐς τὸ

XLII.

Ferramentis autem adurere oportet non craſſis neque nimium rotundis, ſed oblongis; celerius enim manu impulſa trajiciuntur.

Ferramenta extremitate rotunda appellavit *φαλακρὰ*, cujusmodi ſunt capitulata illa, quibus ad alas utuntur, *πυρῖνες* vel *διαπύρινα* nuncupantur, atque item ſpathae capitulatae. Quae vero his contraria oblonga ſunt, *προμήκη* dixit, quorum extremitas non eſt rotunda, ſed acuta, illis aliquo modo ſimilis, quae ad perforandum accommodantur.

XLIII.

Sintque candentia ut trajici quam celerrime poſſint, quaecunque enim plena ſunt, tardius trajiciuntur et cruſtae inde latiores reſolvuntur; periculumque eſt ne ulcera abrumpantur, quod etſi nihilo deterius eſſet, turpius tamen atque expers partis penitus haberetur. Ubi ergo

Ed. Chart. XII. [313.] Ed. Baſ. V. (590. 591.)

πέρην τῶν μὲν πλείστων, ἱκανῶς ἂν ἔχοι ἐν τῷ κάτω μέρει τὰς ἐσχάρας ταύτας μόνας θεῖναι.

Ἐκπεπυρῶσθαι βούλεται τὰ κατὰ τὴν μασχάλην σιδήρια, τὰ γὰρ ἱκανῶς διάπυρα διαφανῆ κέκληκεν.

μδ'.

Ἦν δὲ μὴ κίνδυνος φαίνηται εἶναι ξυῤῥαγῆναι τὰς ὠτειλὰς, ἀλλὰ πολὺ τὸ διὰ μέσου εἴη, ὑπάλειπτρον χρὴ λεπτὸν διέρσαι διὰ τῶν κατηγμάτων, ἔτι ἀναλελαμμένου τοῦ δέρματος· οὐ γὰρ ἂν ἄλλως δύναιο διέρσαι. ἐπὴν δὲ διέρσῃς, ἀφεῖναι τὸ δέρμα, ἔπειτα (591) μεσηγὺ τῶν ἰσχαρῶν ἄλλην ἐσχάρην ἐμβάλλειν λεπτῷ σιδηρίῳ καὶ διακαῦσαι, ἄχρις ἂν τῷ ὑπαλείπτρῳ ἐγκύρσῃ. ὁκόσον δέ τι χρὴ τὸ δέρμα τὸ ἀπὸ τῆς μασχάλης ἀπολαμβάνειν, τοῖσι δὲ χρὴ τεκμαίρεσθαι, ἀδένες ὕπεισιν ὑπὸ τῇ μασχάλῃ, πολλαχῇ δὲ καὶ ἄλλῃ τοῦ σώματος.

---

candens ferramentum trajeceris, fere abunde erit in inferiori parte dumtaxat aduſſiſſe.

Candentia eſſe voluit ferramenta quae ad alam admoventur, quod expreſſit vocabulo *διαφανῆ*.

XLIV.

At ſi nullum inſtare periculum videtur, ne ulcera abrumpantur, ſed magnum ſpatium in medio integrum relinquatur, inſtrumentum quo ad illinendum utimur, tenue trajiciendum eſt ab una uſtionis parte ad alteram, cute adhuc extenta; non enim poſſet aliter trajici. Quo facto remittenda cutis eſt, poſtea inter utramque plagam alia media facienda eſt, admoto tenui ferramento candenti, donec ad prius demiſſum inſtrumentum pertineat. Quatenus vero prehendere cutem ſub ala conveniat, hinc conjicere poteris, quod glandulae ſub ala ſitae ſunt, atque in multis aliis corporis partibus.

Ed. Chart. XII. [314.] Ed. Baſ. V. (591.)

[314] Ὠτειλὰς κέκληκε τὰ ἕλκη παραπλησίως τῷ ποιητῇ περὶ τοῦ πρωσφάτου τραύματος εἰπόντι·

ὄφρα οἱ αἷμ' ἔτι θερμὸν ἀνήνοθεν ἐξ ὠτειλῆς.

Ἐὰν οὖν, ὡς εἶπεν, ἀνατείνας τὸ δέρμα διακαύσῃς ἐγκάρσιον ἐκ δεξιῶν εἰς ἀριστερὰ διερείσας τὸ σίδηρον, ἑτέραν ἐπὶ ταύτῃ δευτέραν καῦσιν ἀξιοῖ σε ποιήσασθαι, καθέντα τὸ διάπυρον σίδηρον, οὐκέτι ἐγκάρσιον ἐκ τοῦ θατέρου μέρους ἐπὶ θάτερον, ἀλλ' οἷον εἰς τὸ βάθος ἄντικρυς ἕως. χρὴ δὲ δῆλον ὅτι τὸ μεταξὺ τῶν προτέρων τραυμάτων ἀξιόλογον γίνεσθαι· μικροῦ γὰρ ὄντος αὐτοῦ κίνδυνος ξυρραγῆναι τὰς ἕλκώσεις καὶ γενέσθαι μεγάλην μίαν, ὑφ' ἧς οὐδὲν μὲν ἀποβήσεται χεῖρον, οἵ γε καίομεν ἕνεκα τοῦ ξηρᾶναί τε καὶ σφίγξαι μέρος· οὐ μὴν ἀναγκαῖόν ἐστιν οὐλὴν μεγάλην ἐργασάμενον αἴσχιον ἀποδεῖξαι τὸ χωρίον, ἐν ᾧ ἐπὶ σμικραῖς τρήσεσι τὴν ἴσην ὠφέλειάν ἐστι ποιήσασθαι.

Ulcera vocavit ὠτειλὰς, quemadmodum et poeta qui de recenti vulnere inquit:

ὄφρα οἱ αἷμ' ἔτι θερμὸν ἀνήνοθεν ἐξ ὠτειλῆς.

Ubi extremam cutem, ut ait, transverſam ferramento trajeceris a dextra in ſiniſtram, praecipit ut iterum aduras demiſſo candenti ferramento non amplius transverſo ab una parte ad alteram, ſed prorſus in altitudinem. Oportet autem inter utramque plagam quam candens ferramentum fecit non exiguum ſpatium interjicere; namque ubi exiguum ſit, periculum eſt ne ulcera abrumpantur atque una magna exulceratio fiat; quamobrem etſi nihil deterius accidat, ſiquidem adurimus, ut partem exſiccemus atque adſtringamus, non tamen neceſſe eſt magna inducta cicatrice locum deformem reddere, quum per exigua foramina liceat aeque ſuccurrere.

Ed. Chart. XII. [314.] Ed. Baſ. Υ. (591.)

μέ.

Ἀλλὰ ἐν ἄλλῳ λόγῳ περὶ ἀδένων οὐλομελίης γεγράψεται, ὅτι τέ εἰσι καὶ οἷα ἐν οἵοισι σημαίνουσί τε καὶ δύνανται. τοὺς μὲν οὖν ἀδένας οὐ χρὴ προσεπιλαμβάνειν, οὐδ' ὅσα ἐσωτέρω τῶν ἀδένων, μέγας γὰρ ὁ κίνδυνος.

Τὴν ὁλόκληρον φύσιν τῆς τῶν ἀδένων φύσεως οὐλομελίην εἴρηκεν, ἣν ἑτέρωθι διδάσκειν ἐπηγγείλατο, οὐ μὴν διασώζεταί γε τοιοῦτον βιβλίον Ἱπποκράτους περὶ ἀδένων οὐλομελίης. ἀλλά τις τῶν νεωτέρων Ἱπποκρατείων ἔγραψε μικρὸν βιβλίδιον ἐπιγράψας Ἱπποκράτους περὶ ἀδένων οὐλομελίης, ὃ καὶ τῇ λέξει καὶ τῇ διανοίᾳ λείπεται πάμπολυ τῶν γνησίων Ἱπποκράτους συγγραμμάτων, οὐ μὴν οὐδὲ ἐμνημόνευσέ τις περὶ αὐτοῦ τῶν ἔμπροσθεν ἰατρῶν, ἀλλ' οὐδ' οἱ τοὺς πίνακας ποιήσαντες ἴσασι τὸ βιβλίον.

XLV.

Sed alibi glandularum univerſam naturam perſequemur, quid ſint quidque et in quibus indicent aut poſſint. Glandulas itaque prehendere non convenit nec quaecunque glandulis interiora ſunt, id ſiquidem valde periculoſum eſt.

Glandularum univerſam naturam appellavit *οὐλομελίην*, quam pollicitus eſt alibi docere; non tamen exſtat hic liber Hippocratis de univerſa glandularum natura. Sed quidam ex medicis junioribus qui Hippocratem ſequuntur parvum libellum confecit, quem inſcripſit Hippocratis de univerſa glandularum natura. Qui tam loquutionibus quam ſententiis longe ſuperatur a germanis libris Hippocratis, adde quod neque ullus veterum medicorum ejus libri meminit, neque ab iis qui indicem ſcripſerunt commemoratur.

Ed. Chart. XII. [314. 315.] Ed. Baf. V. (591.)

μστ'.

Τοῖσι γὰρ ἐπικαιροτάτοισι τόνοισι γειτονεύονται. ὅσον δὲ ἔξωτέρω τῶν ἀδένων ἐπὶ πλεῖστον ἀπολαμβάνειν, ἀσινέα γάρ. γινώσκειν δὲ χρὴ ὅτι εἰ μὲν ἰσχυρῶς τὸν βραχίονα ἀνατείνοις, οὐ δυνήσῃ τοῦ δέρματος ἀπολαβεῖν οὐδὲν τοῦ ὑπὸ τῇ μασχάλῃ, ὅ τι καὶ ἄξιον λόγου κατατεῖναι.

Ὑποκεῖσθαι τῷ ὑπὸ τῇ μασχάλῃ φησὶ τόνους ἐπικαίρους οὕτως ὀνομάζων τὰ νεῦρα. γελοίως οὖν ἔνιοι τῶν νεωτέρων ἰατρῶν οἴονται τόνους τούτους ἐκεῖνα τὰ νεῦρα μόνον προσαγορεύειν νῦν ὅσα κατὰ τὴν συζυγίαν ἐξ ἐγκεφάλου πέφυκεν, ἐπειδὴ κατὰ τὸ βιβλίον τῶν ἐπιδημιῶν ἔφη· δύο δὲ τόνοι ἀπ' ἐγκεφάλου παρὰ τὸ ὀστέον τοῦ μεγάλου σπονδύλου καὶ τὰ τούτων ἐφεξῆς. τὰ γὰρ ἐπὶ χεῖρας φερόμενα πρὸς ἁπάντων ὁμολογεῖται τῶν ἀνατομικῶν ἀπὸ τοῦ κατὰ τὸν τράχηλον ἐκφύε- [315] σθαι νωτιαίου, καθ' ἃ μέρη πλησιάζει τῷ θώρακι καὶ ὡς φαίνεται ταῦτα προσα-

XLVI.

Proximae enim ſunt nervis qui magnam vim habent. Extra glandulas plurimum prehendendum eſt, nam id fit innocenter. Oportet vero ſcire quod ſiquidem fortiter brachium extenderis, nihil quicquam pellis prehendere poteris illius quae ſub ala quod promptum eſt ad extendendum.

Subjectos eſſe ait glandulis in ala nervos magnam vim habentes, quos nuncupavit *τόνους*. Ridicule igitur quidam ex recentioribus medicis exiſtimant nervos illos dumtaxat ab ipſo appellari *τόνους* qui conjugati a cerebro oriuntur, quoniam in ſecundo de morbis vulgaribus, quum dixit: duo enim nervi a cerebro juxta os magnae vertebrae et quae ſequuntur nervos appellavit *τόνους*. Nervi enim qui ad brachia intendunt, ut in confeſſo eſt apud omnes qui incidendi corporis peritiam habent, a ſpinae medulla in cervicibus dependent, qua parte ad

Ed. Chart. XII. [315.] Ed. Baſ. V. (591.)

γορεύων τόνους ἓν τε τῇ νῦν εἰρημένῃ ῥήσει καὶ μετ' αὐτὴν πάλιν ἑφεξῆς δίς. καὶ κατώτερον δὲ πάλιν ἐν τοῖς περὶ τῆς ῥάχεως λόγοις τόνους ὀνομάζει νεῦρα.

μζ'.

Σιμοῦται γὰρ ἐν τῇ ἀνατάσει, οὐδ' αὖ τόνους οὐδεμιῇ μηχανῇ δεῖ τιτρώσκειν. οὗτοι γὰρ πρόχειροι γίνονται καὶ κατατεταμένοι ἐν τούτῳ τῷ σχήματι. εἰ δὲ μικρὸν ἐπάρῃς τὸν βραχίονα, πολὺ μὲν τοῦ δέρματος ἀπολήψῃ, οἱ δὲ τόνοι, ὧν δεῖ προμηθέεσθαι, ἴσω καὶ πρόσω τοῦ χειρίσματος γίνονται.

Καταδαπανᾶσθαί φασι τὸ κατὰ τὴν μασχάλην δέρμα διὰ τῆς ἀνατάσεως ὅλης τῆς χειρὸς, ἐπειδὴ χαλαρὸν ἔμπρο-

thoracem accedat. Quos conſtat ab ipſo nominari *τόνους* tum in propoſitis verbis, ac deinceps bis in iis quae ſubjiciuntur, tum infra rurſus, ubi de ſpina agens nervos appellat *τόνους*.

XLVII.

Illud etiam ignorare non oportet, quod ubi humerum valde in ſuperiorem partem porrexeris, nihil prehendere ex cute ſub ala poteris, quod extendere operae pretium ſit; nam ubi in ſuperiorem partem porrigatur, cutis quae ſub ala eſt abſumitur. Ad haec nervi etiam nulla ratione violandi ſunt, hi ſiquidem in ejusmodi habitu prominent atque extenduntur. Sed ſi humerus paulum excitetur, multum cutis apprehendi poterit et nervi quos cavere oportet intro magis recedent longiusque aberunt ab eo quod apprehenditur.

Abſumi in ala cutem ait, ubi totum brachium ſurſum porrigatur; ante ſiquidem laxa erat, ita ut ſupereſſe vide-

Ed. Chart. XII. [315.] Ed. Baſ. V. (591.)

ɔθεν ὂν, ὡς περιττὸν εἶναι δοκεῖν, ἐν τούτῳ τῷ σχήματι περιγίνεται τοῖς ὑποκειμένοις, ὥστε τὸ περιττεύειν πρότερον φανταζόμενον ἀπόλλυσθαί τε καὶ οἷον ἐκδαπανᾶσθαι κατὰ τὴν ἀνάτασιν τῆς χειρός.

μη'.

Ἆρ' οὖν οὐκ ἐν πάσῃ τῇ τέχνῃ περὶ παντὸς χρὴ ποιέεσθαι τὰ δίκαια σχήματα ἐξευρίσκειν ἐφ' ἑκάστοισι;

Τὰ κατὰ δύναμιν ἴσα, τουτέστιν ἐν οἷς φυλάττεται τὸ κατὰ τὴν ἀξίαν τε καὶ οἰκεῖον ἑκάστῳ πράγματι. νυνὶ γοῦν ἐστι τὸ μὲν προκείμενον πρᾶγμα καῦσις τοῦ κατὰ τὴν μασχάλην δέρματος, ἣν χρὴ ποιήσασθαι, βραχίονα σχηματίζοντα προσηκόντως. εἰ μὲν οὖν εἰς τοσοῦτον εἴη καθήμενος, ὡς ψαύειν τῶν πλευρῶν, εἴη παντάπασιν ὀλίγον ἐξηρμένος, οὐδὲ θεάσασθαι τὸ βάθος τῆς μασχάλης οἷόν τε, μή τί γε τοῖς δακτύλοις ἀνατεῖναι τὸ δέρμα καὶ διακαῦσαι, μέχρι πλεῖστόν τε ἐπαρθέντος τοῦ βραχίονος, οὐδὲν ὅ τι καὶ

retur. Brachio autem ſic figurato extenditur circa partes quas contegit, ita ut quod prius ſupereſſe videbatur pereat et quaſi abſumatur, quum brachium ſurſum porrigitur.

XLVIII.

At nonne in univerſa arte in primis danda opera eſt, ut quo pacto ſingula juſte figurentur inveniamus?

Juſte intellexit quaſi aequaliter. Hoc autem fit ubi ſervatur quod unicuique rei convenit et proprium eſt. Id nunc de quo agitur uſtio cutis in ala eſt, quam admovere oportet humero convenienter figurato; nam ſi ita demittatur ut latus attingat, nimis paulum excitabitur, neque poterit altitudo alae ſe oſtendere, neque cutis ſane digitis extendi atque aduri; ſed ſi humerus plurimum attollatur, digitis extendi nihil fere cutis poterit, ſub hoc enim habitu circa ſubjectas partes extenditur, adde quod nervi

Ed. Chart. XII. [315. 316.] Ed. Baſ. V. (591. 592.)

ἄξιον λόγου δέρματος ἀνατεῖναι τοῖς δακτύλοις ἐγχωρεῖ. περιτείνεται γὰρ ἐν τῷδε τῷ σχήματι τοῖς ὑποκειμένοις σώμασιν, ἅμα δὲ καὶ τὰ νεῦρα πρόχειρα γίγνεται, τοιοῦτον ἐξαίρειν χρὴ τὸν βραχίονα καὶ ἀπάγειν τῆς μασχάλης, οἷον ὁρᾶιαι τὸ χωρίον ἡμῖν παρέξειν καὶ τοὺς δακτύλους εὐμαρῶς ὑποβάλλειν, ἀντιτείνειν τε τὸ δέρμα καὶ διακαίειν δύνασθαι οἷόν τε γένηται ταῦτα πράττειν, κατὰ τοῦτο τὸ σχῆμα τὴν χειρουργίαν προσίεσθαι προσήκει, προσώτερον δὲ μηκέτι ἀνατείνειν. οὐδὲ γὰρ ἄλλου τινὸς ἕνεκεν ἐξήρομεν τὸν βραχίονα, πλὴν τὸ δύνασθαι τὸ περὶ τὴν μασχάλην δέρμα τοῖς δακτύλοις ἀνατείνειν τοσοῦτον, ὡς διακαῦσαι, καθότι προεῖπεν αὐτὸς, ὡς εἴ γε δυνατὸν ἦν ἐνεργεῖν ἡμᾶς ταῦτα καθημένους τοῦ βραχίονος σχήματός ἐστι χρεία, χαλαρώτερον ἐργαζομένου τὸ δέρμα· καὶ γὰρ πλεῖστον οὕτως ἀναταθήσεται καὶ τὰ τῆς χειρουργίας ἀκίνδυνα παντοίως ἔσται.

μθ'.

[316] (592) Ταῦτα μὲν κατὰ τὴν μασχάλην καὶ ἱκαναὶ αὗται αἱ καταλήψιες, ἢν ὀρθῶς τεθῶσιν αἱ ἐσχάραι.

prominent. Eatenus igitur attollere humerum convenit atque ab ala reducere, ut locus in conſpectum veniat; ſitque qua ſubjicere digitos facile poſſimus et cutem extendere atque adurere. Quae quum primum excitato brachio fieri poſſunt, admovenda manus eſt membro ita figurato, neque ulterius attollendum. Non enim alia de cauſa humerus attollitur, niſi ut poſſit cutis ſub ala digitis extendi hactenus, ut candens ferramentum admoveatur, prout ipſe indicavit, ita ut ſi haec praeſtare potuiſſemus humero demiſſo, ejusmodi habitu nihil antiquius fuiſſet, quum laxiorem cutem efficiat; ſic enim plurimum attrahitur ac manus ſine ullo periculo penitus admovetur.

XLIX.

Haec circa alam, ſatisque eſt ſic prehendere, modo quae convenit candentia ferramenta demittantur.

Ed. Chart. XII. [316.] Ed. Baf. V. (592.)

Εἴρηνται αἱ καταλήψεις κατὰ τὸ δέρμα.

ν'.

Κάτωθεν δὲ τῆς μασχάλης δισσὰ μύνα ἐστὶ χωρία, ἵνα ἄν τις ἐσχάρας θείη, τιμωρεούσας τῷ παθήματι.

Τὸ ἔκτοσθεν εἴρηκε νῦν οὐ τὴν τόπου διαφορὰν σημαῖνον, ἀλλ' ὥσπερ καὶ παρὰ Δημοσθένει καὶ τοῖς ἄλλοις ῥήτορσιν ἔξωθέν τι τοῦ πράγματος εἰρῆσθαι λέγεται δηλούντων τὸ πρᾶγμα. τὸ τοίνυν ὑπὸ τοῦ Ἱπποκράτους λεγόμενόν ἐστι τοιοῦτον· καὶ χωρὶς δὲ τῆς εἰρημένης εἰς τὴν μασχάλην καύσεως ἄλλαι δύο καύσεις εἰσὶ βοηθοῦσαι τῷ πάθει. τὸ γὰρ τιμωρεούσας τῷ παθήματι πρόδηλον ὅτι βοηθούσας δηλοῖ, καθάπερ καὶ Εὐριπίδης ἐποίησε τὸν Ὀρέστην λέγοντα·

Ἀνόσια μὲν δρῶν, ἀλλὰ τιμωρῶν τῷ πατρί.

διαφέρει γὰρ τὸ τιμωρῶν τοῦ τιμωρούμενος, ὃ μετὰ τῆς

Prehendere dixit de cute.

L.

Extra alam duae tantum ſedes ſunt, quum aduruntur morbo auxiliantes.

Dictionem *extra* dixit ἔκτοσθεν, quam poſuit non ut loci differentiam notaret, ſed quemadmodum apud Demoſthenem atque alios rhetores uſurpatur, qui quum ἔξωθέν τι τοῦ πράγματος dicunt, *praeter rem* ſignificare volunt. Id igitur quod Hippocrates aſſerit tale eſt: praeter uſtionem alae duae aliae ſedes ſunt morbo auxiliantes, quum aduruntur. Uſus autem eſt vocabulo τιμωρέουσαι, quo conſtat ipſum non aliud ſignificaſſe quam auxiliantes. Quod fecit etiam Euripides, quum Oreſtem induxit haec loquentem:

Ἀνόσια μὲν δρῶν, ἀλλὰ τιμωρῶν τῷ πατρί.

Differunt autem inter ſe τιμωρῶν et τιμωρούμενος, quod

Ed. Chart. XII. [316.] Ed. Baſ. V. (592.)

καλουμένης αἰτιατικῆς πτώσεως σημαίνει τὸ κολάζον· οὕτως γοῦν καὶ ἑαυτὸν τιμωρούμενος ἐπιγέγραπται τὸ Μενάνδρου δρᾶμα.

να'.

Μίαν μὲν ἐν τῷ ἔμπροσθεν μεσηγὺ τῆς κεφαλῆς τοῦ βραχίονος καὶ τοῦ τένοντος τοῦ κατὰ τὴν μασχάλην.

Ἐν τούτῳ τῷ χωρίῳ καὶ ἡμῖν ἑώραται τὸ ἄρθρον ἑστηριγμένον, ὅπερ ἐστὶ μόριον ἁπάσης τῆς ἐμπροσθεν χώρας· οὔσης γὰρ ὅλης αὐτῆς πλατείας ἓν μέν τι μέρος ἐστὶν ἀκριβῶς μέσον, ἄλλα δὲ ἑκατέρωθεν δύο, τὸ μὲν ἐκ τῶν ἐνδοθεν μερῶν, οὗ νῦν ἐμνημόνευσε, τὸ δὲ ἐκ τῶν ἐκτὸς, οὗ μετὰ ταῦτα μνημονεύει. καὶ θαυμάσαι γε ἔστιν αὐτὸν ὅτι μηδ' ὅλως ἑωρακὼς εἰς ἄλλο χωρίον ἐκπῖπτον τὸ ἄρθρον ἢ κατὰ τὴν μασχάλην οὐκ ἤρκεσε τῇ κατ' αὐτὸν καύσει μόνῃ. προστιθεὶς δὲ δύο ἑτέρας ἐκείνων ἀκριβῶς ἐστοχάσατο τῶν χωρίων, ἐν οἷς καὶ ἡμεῖς εἴδομεν ἑστηριγμένην τὴν κεφαλὴν

vocabulum cum accuſandi caſu jungitur; hoc ſiquidem ſignificat *crucians*. Eadem ratione et Menandri fabula inſcribitur *ἑαυτὸν τιμωρούμενος*.

LI.

Una quidem eſt a priori parte inter caput humeri et chordam quae ad alam eſt.

Nos quoque vidimus articulum in hoc loco qui pars totius prioris regionis eſt, nam quum ea lata ſit, una quidem ejus in medio ad unguem eſt, duae autem utrimque; una ab interiori parte, cujus nunc meminit, altera ab exteriori de qua paulo infra loquitur. Eſt autem admiratione dignus, qui quum nunquam viderit humeri caput in aliam partem excidere quam in alam, non contentus fuerit ipſam tantum adurere, ſed adjungens duas alias regiones illas conjecerit, in quibus nos vidimus caput hu-

Ed. Chart. XII. [316. 317.] Ed. Baſ. V. (592.)

τοῦ βραχίονος. ἐν οἷς τῆς ὠμιαίας φλεβὸς χώρα, καθ' ἣν οἱ δύο μύες συμβάλλουσιν, ὅ τε ἀπὸ τοῦ στέρνου μέγας καὶ ὁ δελτοειδὴς ὀνομαζόμενος ἑώραται τετράκις ἡμῖν ὑποδεξαμένη τὴν ἔκπτωσιν. ἡ δ' ἔξωθεν τῆς μέσης χώρας ἅπαξ, ὑπὲρ ἧς ἐφεξῆς ἐρεῖ.

νβ'.

[317] Καὶ ταύτη τὸ μὲν δέρμα τελέως διακαίειν χρὴ, βαθύτερον δὲ οὐ χρή. φλέψ τε γὰρ παχεῖα πλησίη καὶ νεῦρα, ὧν οὐδέτερα θερμαντέα.

Τὴν προσαγορευομένην ὠμιαίαν φλέβα λέγει νῦν παχεῖαν ἐν ἴσῳ τῷ εὐρεῖαν ἢ μεγάλην. ἐπίκειται δὲ αὐτῇ συμβολὴ τῶν προειρημένων δύο μυῶν ἔχουσα παρακείμενον νεῦρον, ἀφ' οὗ πᾶν τὸ πέριξ τῆς φλεβὸς δέρμα ἀπονεμήσεις λαμβάνει. τὸ μὲν οὖν φυλάττεσθαι ψαύειν τε τοῦ νεύρου καὶ τῆς φλεβὸς ἐν τῇ τοῦ δέρματος καύσει σαφῶς

meri fixum, ex his in eam qua vena ſita eſt per ſummum humerum procedens, ubi duo muſculi concurrunt et magnus ille qui a pectore oritur et qui a literae Δ ſimilitudine δελτοειδὴς nuncupatur, quater vidimus humeri caput prorupiſſe; in exteriorem vero partem mediae regionis ſemel, de qua tractabit in ſequentibus.

LII.

Qua demittere candens ferramentum convenit, ut cutem trajiciat, non tamen nimis alte: proxima enim eſt craſſa vena ac nervus, quorum neutrum calefaciendum eſt.

Craſſam venam intelligit nunc eam quae per ſummum humerum fertur ad cubitum, ὠμιαία Graece vocatur, quaſi latam vel grandem, cui innectitur conjunctio duorum muſculorum propoſitorum, cuique adjungitur nervus qui diſtribuitur in partes cutis quae juxta venam eſt. Cavendum autem eſſe ne adurendo nervus aut vena attin-

Ed. Chart. XII. [317.] Ed. Baſ. V. (592.)

ἐδίδαξεν, οὐ μὴν ἐδήλωσέ γε πότερον ἐν τοῖς πρώτοις μέρεσι τῆς φλεβὸς ἢ ἐν τοῖς ἔνδον ἢ κατ' αὐτὴν ἀκριβῶς κελεύει καίειν. ἐγχωρεῖ γὰρ τοῦτο ποιῆσαι πρῶτον μὲν ἀνατείναντα τὸ δέρμα καθ' ὃν εἴρηται τρόπον ἐπὶ τῆς μασχάλης, εἶτ' ἐγκάρσιον διακαύσουσα, κἄπειτα τὸ ὑπάλειπτρον διεκβαλόντα καὶ κατὰ κύκλου τὴν δευτέραν ἐπέρεισιν τοῦ καυτηρίου ποιησάμενον· ὥσπερ γὰρ ἐν τῇ μασχάλῃ, καίτοι γε ὑποκειμένων νεύρων μεγίστων καὶ σὺν αὐτοῖς ἀρτηρίας καὶ φλεβὸς εὐρυτάτης, ὅμως ἐκέλευσε καίειν τὸ δέρμα, τὴν ἀσφάλειαν τοῖς ὑποκειμένοις παρασκευάζων ἐκ τῆς τοῦ ὑπολείπτρου διαρθρώσεως, οὕτω καὶ ἐπὶ τῆς νῦν προειρημένης καύσεως οὐδὲν θαυμαστὸν ἐπ' αὐτοῦ τοῦ κατὰ τῆς φλεβὸς ἐπικειμένου δέρματος ἀξιοῦν αὐτὸν τιμᾶσθαι τὰς ἐσχάρας. ἐκεῖνα μὲν οὖν τὰ νεῦρα τόνους ἐπικαιροτάτους εἶπεν εἰθισμένος χρῆσθαι τούτῳ τῷ ὀνόματι κατὰ τῶν μεγάλην δύναμιν ἐχόντων, ὥσπερ ἔχουσιν ἐκεῖνοι, κατά γε τὸ πλησίον εἶναι τοῦ νωτιαίου καὶ αὐτοὺς παχυτάτους τὴν οὐσίαν ὑπάρχειν, παρὰ δὲ τοῦ τῆς ὠμιαίας φλεβὸς νεῦρον ἁπλῶς εἶπεν,

gatur, aperte declaravit; non tamen oſtendit, a priorine an ab interiori parte venae vel prorſus ſuper ipſam adurendum ſit. Fieri enim hoc poteſt, in primis cutem attrahendo, quomodo in ala diximus; dein transverſam adurendo, poſt haec inſtrumentum quo ad illinendum utitur trajiciendo atque in orbem iterum adurendo. Quemadmodum autem in ala, quamvis ſubſint nervi maximi et cum ipſis arteria ac vena latiſſima, tamen aduri cutem voluit, ſecuritatem ſubjectarum partium comparans eo inſtrumento quo illinimus demiſſo: ſic in propoſita nunc uſtione nihil mirum, ſi cutem venae ſuperjectam aduri jubeat. Illos autem nervos dixit ἐπικαιροτάτους, quod vocabulum mutuari ſolet ad ea quae magnam vim habent, quemadmodum illi, quod non longe diſtent a ſpinae medulla et maxime pleni ſint. Sed circa venam, quae ab interiori parte tendit ad cubitum, nervum ſimpliciter di-

Ed. Chart. XII. [317.] Ed. Baſ. V. (592.)

οὐκέτι προσθεὶς τὸ ἐπίκαιρον. καὶ γὰρ πορρωτάτω καὶ τοῦ νωτιαίου καὶ μικρὸν τῷ μεγέθει.

νγ'.

Ὄπισθεν δ' αὖ ἄλλην ἐσχάρην ἐνδέχεται ἐνθεῖναι, ἀνωτέρω μὲν, συχνῷ τοῦ τένοντος τοῦ κατὰ τὴν μασχάλην, κατωτέρω δὲ ὀλίγῳ τῆς κεφαλῆς τοῦ βραχίονος, καὶ τὸ μὲν δέρμα τελέως χρὴ διακαίειν, βαθεῖαν δὲ μηδὲ κάρτα ταύτην ποιέειν· πολέμιον γὰρ τὸ πῦρ νεύροισιν.

Ἐπὶ τὴν ὑπόλοιπον χώραν τῶν ὑποδεχομένων τὸ κατ' ὦμον ἄρθρον ἐκπῖπτον ἀφίκετο τῷ λόγῳ, αὕτη δέ ἐστιν ἐν τοῖς ἔξω μέρεσι τῆς πρόσω χώρας, εἰς ἣν καὶ αὐτὴν ἑώραταί μοι ἅπαξ ἐκπεσὼν ὁ βραχίων. οὐκ ὀρθῶς δὲ ἐν τοῖς πλείστοις [τῶν ἀντιγράφων ἡ λέξις οὕτως γέγραπται, ὀπισθίην τε αὖ ἄλλην ἐσχάρην· οὐ γὰρ ὄπισθεν ὁ τόπος οὗτός ἐστι τῆς διαρθρώσεως, ἀλλ' ἔξωθεν. εἰ γοῦν τις ἀκριβῶς ἐθέλοι διορίσαι τοὺς περικειμένους τόπους τῇ κατ' ὦμον

xit non adjiciens *ἐπίκαιρον*. Multum enim diſtat a medulla ſpinae atque exiguus eſt.

LIII.

Rurſus alio loco licet adurere ab exteriori parte multo ſupra chordam quae ad alam eſt, paulo infra humeri caput. Trajiciatur autem cutis candenti ferramento, ſed non nimis alte; ignis enim nervis eſt inimicus.

Venit ad tractandum reliquum ex iis locis in quibus recipitur humeri caput prolapſum. Hic autem eſt in exteriori parte prioris regionis in quam ſemel etiam conſpexi humeri caput veniſſe. Non recte autem in plerisque exemplaribus legitur rurſus alius locus, quem licet adurere a poſteriori parte; hic enim locus non a poſteriori parte, ſed ab exteriori parte commiſſurae eſt. Si quis igitur exquiſite definire loca velit quae juxta humeri commiſſu-

Ed. Chart. XII. [317. 318.] Ed. Baſ. V. (592.)

διαρθρώσει πλάτος ἔχοντας, δῆλον ὅτι νοῶν μὲν ἅπαντας ἐν μὲν τοῖς πρόσω μέσην μὲν εἶναί τινα γραμμὴν ἀπλατῆ, νοουμένην ἀκριβῶς μέσην, ἄνωθεν κατὰ μῆκος τοῦ βραχίονος [318] τεταμένην, ἐπὶ πλάτει δ' ἑκατέρωθεν ὁριζομένην τὸ πρόσω· κατὰ μὲν τὴν ἔνδον χώραν ὑπὸ τῆς ὠμιαίας φλεβὸς, ἔξωθεν δὲ μέχρι τοσούτου πάλιν ἄλλου δή τινος διαστήματος, ὧν ἡ φλὲψ αὕτη τῆς ἁπλατοῦς ἀφέστηκεν. οὗτοι μὲν οὖν ὅροι τῆς πρόσω χώρας, ἐφ' ἑκάτερα δὲ τῶν δύο ἕτεροι, ἀφ' ἧς οἱ κατὰ τὴν μασχάλην τένοντες, ὁ μὲν τὴν ἔνδον ὁρίζων χώραν, ὁ δὲ τὴν ἔξω. τὴν μὲν ἔνδον χώραν τῆς διαρθρώσεως νοεῖσθαί σοι τοῦ μετὰ τῆς φλεβὸς καὶ οὐ μεταξὺ τῆς μασχάλης περιγράφοντος ἔξωθεν τένοντος· ἔτι τε τῆς γραμμῆς ἐκείνης, ὧν ἠξίουν ἀπέχειν διαστημάτων μεταξὺ διάστημά τι τῆς ὠμιαίας φλεβὸς καὶ τῆς τ' ἀκριβῶς προσθίας μέσης γραμμῆς, ὥστε κατ' αὐτὴν διαίρεσιν, ὅσον ὑψηλότερόν ἐστι τοῦ κατὰ τὴν μασχάλην

ram ſunt latitudinem habentia, hic profecto omnia intuitus in priori regione mediam dicet eſſe quandam lineam, ſine latitudine conceptam in medio ad unguem, quae ſuperne in humeri longitudinem tendat et utrimque in latitudinem terminari priorem regionem, ab interiori quidem parte ex vena quae ad interiorem cubiti ſedem pertinet; ab exteriori vero alia quadam linea quae diſtet a linea media, ſine latitudine concepta, quantum ipſa vena recedit. Hi ſunt ergo termini prioris regionis; duo autem alii utrimque ſunt, qua feruntur chordae ad alam; unus interiorem regionem, alter exteriorem finit. Eam vero intelligito interiorem commiſſurae regionem quae eſt inter venam et chordam, quae ab interiori parte alam terminat; ſed exteriorem eam quae incipiens a linea quae tantum diſtabat a media linea ſine latitudine concepta, quantum ipſa vena tendit ad chordam quae ab exteriori parte alam finit. Quare juxta diviſionem hanc, quidquid erit ſuperius chorda quae ab exteriori parte alae ſita eſt, non dicetur utique a poſteriori regione commiſſurae, ſed

Ed. Chart. XII. [318.] Ed. Baſ. V. (592. 593.)

ἔξωθεν (593) τένοντος οὐκ ἂν ὀπίσω τῆς διαρθρώσεώς ἐστι τὸ σιμὸν τῆς ὠμοπλάτης, ὥσπερ γε καὶ τὸ κατ' ὦμον ἡ μασχάλη, τὸ δ' ἄνω μεταξὺ τοῦ τ' ἀκρωμίου καὶ τῆς κεφαλῆς τοῦ βραχίονος.

νδ'.

Ἰητρεύειν μὲν οὖν χρὴ διὰ πάσης τῆς ἰητρείης τὰ ἕλκεα, μηδέποτε ἰσχυρῶς ἀνατείνοντα τὸν βραχίονα, ἀλλὰ μετρίως ὅσον τῶν ἑλκέων ἐπιμελείης εἵνεκα, ἧσσον μὲν γὰρ ἂν διαψύχοιτο. ξυμφέρει γὰρ πάντα τὰ καύματα σκέπειν, ὡς καὶ ἐπιεικῶς ἰητρεύεσθαι. ἧσσον δ' ἂν ἐκπλήσσοιτο, ἧσσον δ' ἂν αἱμορῥαγοίη, ἧσσον δ' ἂν σπασμὸς ἐπιγένοιτο.

Τὰς αἰτίας αὐτὸς εἶπε, δι' ἃς κελεύει τὸν βραχίονα μηδέποτε ἀνατεῖναι ἰσχυρῶς· πρώτην μὲν ὅτι πάντα τὰ καύματα συμφέρει σκέπειν, ὡς ἰατρεύεσθαι καὶ μὴ καταψύχεσθαι· καὶ ἄλλως μὲν γὰρ, ὡς αὐτὸς ἔλεγεν, ἕλκεσι τὸ

ab exteriori. Siquidem regio poſterior in commiſſura eſt qua latum ſcapularum os ſimum eſt; inferior in ala continetur, ſuperior vero inter lati ſcapularum oſſis ſummitatem atque humeri caput.

LIV.

Porro mederi in tota curatione ulceribus debemus videntes ne multum attollatur humerus, ſed modice quatenus ulcerum curatio poſtulat, quoniam frigus eo minus adſpirabit. Aduſta enim omnia tegenda ſunt, non ſecus etiam moderate curanda; nam ſic minus hiant, minus ſanguis erumpit, minus nervorum diſtentio ſequitur.

Cauſas ipſe expoſuit cur edicat ne multum humerus unquam attollatur: primum quod uſta omnia tegere expedit, ſic tamen ut curari poſſint et non frigeant, quum alioquin, ut ipſe teſtatur, frigus ulcera mordeat, cutem in-

Ed. Chart. XII. [318.] Ed. V. (593.)

ψυχρὸν δακνῶδες δέρμα περισκληρύνει, ὀδύνην ἀνεκπύητον ποιέει. πολὺ δὲ μᾶλλον ὅσα θερμὸν αἴτιον εἰργάσατο, καθάπερ νῦν τὸ πῦρ, ἧσσον δ' ἂν, φησὶν, ἐκπλήσσοιτο, τουτέστιν ἐπὶ πλέον διΐστασθαι τὸ τοῖς χείλεσιν ἕλκος. ἐν τούτῳ γὰρ ψύχεται μᾶλλον καὶ χρονιώτερον συνουλοῦται καὶ αὐτὰς τὰς οὐλας ἔχει μείζονας. τὸ δ' ἐφεξῆς εἰρημένον, ἧσσον δ' ἂν αἱμορῥαγοίη, προσέθηκεν εἰς τὸν καθόλου λόγον ὑπενεχθεὶς ἁπάντων ἑλκῶν, οὐ τῶν νῦν προκειμένων ἴδιον. εἰ γὰρ ὡς ἐκέλευσεν οὕτω τις τὸ δέρμα διακαύσειεν, οὐδεὶς ἀκολουθήσειε φόβος αἱμορῥαγίας. ἴσως δ' ἂν ἐκ τοῦ ψυχθῆναι τὰ νεῦρα γυμνωθέντος τοῦ δέρματος, οὐ τοῦ σπασμοῦ κίνδυνος ἀκολουθήσειε μόνος, καὶ αὐτοῦ κατὰ τὴν τελευτὴν ἐμνημόνευσε τῆς ὅλης ῥήσεως.

νε'.

Ὅταν δὲ δὴ καθαρὰ γένηται τὰ ἕλκεα ἐς ὠτειλάς τε ἴῃ, τότε δὴ καὶ πανιάπασι χρὴ αἰεὶ τὸν βραχίονα πρὸς τῇσι πλευρῇσι προδεδέσθαι καὶ νύκτα καὶ ἡμέρην.

duret, pus fieri in dolore non patiantur; ac multo magis in iis quae calor excitavit, ſicuti nunc ignis, minus, inquit, hiant, hoc eſt diducuntur ulceris orae. Ob id enim frigore magis excipiuntur et tardius ſaneſcunt grandioremque cicatricem recipiunt. Quod autem ſubdit, minus ſanguis erumpit, communiter ad omnia ulcera refertur, non proprie ad ea quae propoſita nunc ſunt. Nam ſi quis cutem ſic urat, quemadmodum praecepit, periculum nullum ſanguinis eruptionis ſequetur. Fortaſſe autem nervi tantum diſtentione periclitabuntur ob frigus, quod cute nudari contraxerunt, cujus rei in fine orationis meminit.

LV.

Ubi ulcera pura ſint et ad cicatricem intendant, tunc ſane oportet humerum diu noctuque ſemper ad latus deligatum continere.

Ed. Chart. XII. [319.] Ed. Baſ. V. (593.)

[319] Τὰς ὠτειλὰς ἐνταῦθα κυρίως εἶπεν ἐπὶ τῶν οὐλῶν, οὐχ ὡς ἔμπροσθεν ἐπὶ τῶν ἑλκῶν· ἀξιοῖ δέ ποτε μάλιστα φροντίζειν τοῦ μηδέποτε ἀφίστασθαι τῶν πλευρῶν τὸν βραχίονα, πλὴν ἐπὶ βραχὺ μόνον ἐν ἐκείνῳ τῷ καιρῷ, καθ' ὃν ἂν θεραπεύηται τὰ ἕλκη. μάλιστα γὰρ ἀλίσκεσθαι φαίνεται τὰ καθαρὰ τῶν ἑλκῶν οἷς κατὰ τὴν πρὸ ταύτης ῥῆσιν εἶπεν ἅπασι συμπτώμασι καὶ μάλιστα τοῖς ἀπὸ τῶν ἔξωθεν αἰτιῶν. ἐπειδὴ πρόσθεν ἡμῖν ἥκειν ἔτι ὑπαρὰ καὶ φλεγμαίνοντα καὶ τὸν ὑπον αὐτῶν εἶχεν οἷον πρόβλημά τι καὶ σκέπασμά τι καὶ τὴν περιουσίαν τῶν παρὰ φύσιν ὑγρῶν, ἀλλὰ καὶ ἡ θερμασία τῆς φλεγμονῆς ἀντεῖχε τοῖς ἔξωθεν μὴ γινομένοις ψυχροῖς. ἡνίκα δ' ἂν φλεγμαίνει, τότε καθαρὰ καὶ οἷον ἀπέριττα γέγονεν, αἰσθάνεται μᾶλλον ἢ πρόσθεν ὧν πάσχει. διὰ ταῦτα πάντα ῥᾳδίως μὲν ὑπὸ τῶν ἔξωθεν αἰτιῶν καὶ μάλιστα τῶν ψυχρῶν ὀδυνᾶταί τε καὶ ψύχεται. τῷ δ' ἀκριβεῖ τῆς αἰσθήσεως τήν τε ὀδύνην ἴσχει σφοδροτέραν καὶ τὰς ἐπικειμένας αὐτῇ δυσχερείας ἐπικτᾶται.

Ὠτειλὰς nunc proprie de cicatricibus dixit, non de ulceribus, quemadmodum ante. Monet autem maxime dandam operam eſſe ne humerus, niſi paullulum dumtaxat a latere diducatur idque quum ulcera curantur, quoniam pura ulcera opportuniſſima ſunt illis omnibus caſibus quos in oratione proxime praecedente narravit, atque iis praeſertim qui ab exterioribus cauſis oriuntur. Antea ſiquidem ſordida erant atque inflammata, ſordemque et humorem praeter naturam ſuperantem pro velamento ac tegmento quodam habebant; quin et inflammationis calor extrinſeco frigori obſiſtebat. At ubi inflammatio conquievit et pura reddita eſt ac ſine ſuperante humore, magis quam ante ſentiunt ea quibus laeduntur. Ob haec igitur omnia facile ſub exterioribus cauſis ac praecipue frigidis dolent et refrigerantur; propter ſenſum vero acriorem vehementiori dolore cruciantur, cui accedunt ea mala quae ſequi dolorem ſolent.

Ed. Chart. XII. [319.] Ed. Baſ. V. (593.)

νστ'.

Ἀτὰρ καὶ ὅταν ὑγιέα γένηται τὰ ἕλκεα, ὁμοίως ἐπὶ πολὺν χρόνον χρὴ προσδεῖν τὸν βραχίονα πρὸς τὰς πλευράς· οὕτω γὰρ ἂν μάλιστα ἐπουλωθείη καὶ ἀπολειφθείη ἡ εὐρυχωρίη, καθ' ἣν μάλιστα ὀλισθαίνει ὁ βραχίων.

Κἀνταῦθα τὸν σκοπὸν ὃν συνεβούλευσεν αὐτὸς ἐδήλωσεν εἰπών· οὕτως γὰρ ἂν μάλιστα ἐπουλωθείη καὶ ἀπολειφθείη εὐρυχωρίη, καθ' ἣν ὀλισθαίνει ὁ βραχίων, δυνάμει τοῦτο λέγων. ὅσῳπερ γὰρ ἡ οὐλὴ βραχυτέρα γένηται, τοσούτῳ μᾶλλον εἰς ὀλίγον συναχθήσεται τὸ περὶ τὴν μασχάλην δέρμα. μέγιστον δέ ἐστι τοῦτο πρὸς τὸ μὴ ῥᾳδίως ὀλισθαίνειν ἐνταῦθα τὸν βραχίονα.

νζ'.

Ὅσοισι δ' ἂν ὦμος καταπορηθῇ ἐμβληθῆναι, ἢν μὲν ἔτι ἐν αὐξήσει ἔωσιν, οὐκ ἐθέλει συναύξεσθαι τὸ ὀστέον τοῦ

LVI.

At ubi ulcera convaluerunt, humerus diu debet ad latus ſimiliter deligari; namque hac via cicatrix maxime confirmabitur, atque id ſpatium, in quod maxime humerus procidit, contrahetur.

Hic etiam indicavit quo conſilio haec praeceperit, quum inquit: namque hac via cicatrix maxime confirmabitur, atque id ſpatium in quod maxime humerus procidit contrahetur, quaſi ita dixerit: quo minor cicatrix inducetur, eo magis alae cutis contrahetur, quod maximum momentum habet in prohibendo, ne in hanc partem elabatur humerus.

LVII.

Quibus recondi humeri caput non potuit, ſi adhuc creſcunt, humerus non aeque augetur, atque is qui integer

Ed. Chart. XII. [319. 320.] Ed. Baf. V. (593.)

βραχίονος, ὁμοίως τῷ ὑγιεῖ, ἀλλὰ αὔξεται μὲν ἐπί τι, βραχύτερον δὲ τοῦ ἑτέρου γίνεται.

Τὰ συμπτώματα διέρχεται νῦν, ὅσα τοῖς ἔξαρθρον ἔχουσι τὸν ὦμον ἐξ ἀνάγκης ἐπιγίγνεται· πρῶτον μὲν οὖν ἐστι καὶ κοινότατον, ᾧ καὶ τἄλλα ἕπεται πάντα τὸ ἀτροφώτερον ταὐτὸν γίγνεσθαι, τούτῳ δ' αὐτῷ πάλιν ἕπεται. τελειωθέντος μὲν οὖν ἤδη τοῦ κώλου λεπιότης, ἔτι τε αὐξανομένου καὶ ἡ σμικρότης. αὕτη δ' ἀτροφία διά τε τὴν διαστροφὴν γίγνεται τῶν κατὰ κῶλον ἀγγείων τε καὶ μυῶν, αἰτία δὲ ἡ ἀκινησία ὅλου τοῦ ἄρθρου· καὶ γάρ τι τῶν ὑγιῶν κώλων ἐπὶ χρόνῳ πολλῷ παντάπασιν ἀκίνητον μεῖναν σαφῶς ἀτροφώτερον φαίνεται.

νη'.

[320] Καὶ οἱ καλεόμενοι δὲ ἐκ γενεῆς γαλιάγκωνες διὰ δισσὰς ξυμφορὰς ταύτας γίνονται· ἢν γέ τι τοιοῦτον αὐ-

eſt; ſed quamvis aliquid augeatur, altero tamen brevior redditur.

Ea nunc perſequitur quae neceſſario iis accidunt, quibus humeri caput ſuo loco non eſt. Primum ac maxime commune cui reliqua omnia ſuperveniunt eſt quod minus alitur; quam rem ſi membrum jam perfecte increvit, gracilitas ſequitur; ſi adhuc augeatur, exiguitas. Non alitur autem membrum ob muſculorum et venarum quas continet depravationem; ejus quoque rei cauſa eſt totus articulus immobilis, nam et integra membra, ubi diutius omnino immobilia maneant, aperte graciliora conſpiciuntur.

LVIII.

Jam vero quia primo natali die humeros breviores habent, γαλιάγκωνες Graece appellantur, ob duplicem noxam id mali experiuntur vel quod dum in utero ſunt humeri

Ed. Chart. XII. [320.] Ed. Baſ. V. (593.)

τοὺς ἐξάρθρημα καταλάβῃ ἐν γαστρὶ ἐόντας, διά τε ἄλλην συμφορὴν, περὶ ἧς ὕστερόν ποτε γεγράψεται.

Εἴτε ἀπὸ τῆς πρὸς τὰς γαλᾶς ὁμοιότητος ἐκλήθησαν οἱ γαλιάγκωνες εἴτ' ἀπ' ἄλλου τινὸς ἐπιτρέπειν χρὴ τοῖς περὶ αὐτὰ σπουδάζουσιν ἐπιμελῶς ζητεῖν. ἰατρῷ δὲ χρήσιμον ἐπίστασθαι τὸ γεννᾶσθαί τινας ἐξάρθρους ἀμφότερα τὰ κατ' ὦμον ἄρθρα, τό τε ἀριστερὸν καὶ τὸ δεξιὸν, ὅτι τε μικροὺς ἐξ ἀνάγκης ἔχουσιν οὗτοι τοὺς βραχίονας. εἰδέναι δεῖ τινα καὶ ἄλλην συμφορὰν ἐργαζομένην ταὐτὸ πάθημα, περὶ ἧς αὖθις ἐρεῖν ἐπαγγέλλεται. χαλεπὸν δὲ εὑρεῖν ἑτέραν, ἣν αὐτὸς ἐφεξῆς λέγει συμβαίνειν τοῖς νηπίοις. ἔχει δὲ ἡ λέξις οὕτως.

νθ'.

Ἆτὰρ καὶ οἷσιν ἔτι νηπίοισιν ἐοῦσι κατὰ τὴν κεφαλὴν τοῦ βραχίονος βαθεῖαι καὶ ὑποβρύχιοι ἐκπυήσιες γίνονται; καὶ οὗτοι πάντες γαλιάγκωνες γίνονται. καὶ ἢν τε τιμη-

luxentur, vel aliam ob noxam, de qua poſtea aliquando ſcribemus.

Dictine ſint γαλιάγκωνες a ſimilitudine felis, γαλῆ Graece dicitur, an ab alio quopiam, relinquenda eſt quaeſtio iis qui in hujusmodi ſtudia incumbunt. Medicum vero ſcire convenit naſci quosdam utriusque humeri articulo luxato dextro et ſiniſtro, ſicque humeros breviores eſſe; neque ignorare, alteram hujus vitii cauſam de qua tractaturum ſe pollicetur. Difficile autem eſt alteram invenire, praeter illam quam ipſe deinceps ait illis accidere qui teneri ſunt. Inquit ergo.

LIX.

Sed quibus tenera adhuc aetate juxta humeri caput in intimis partibus, alteque ſuppurationes oriuntur, omnibus ſane humeris breviores ſiunt; ac ſive ſecentur, ſive

Ed. Chart. XII. [320.] Ed. Baſ. V. (593. 594.)

θῶσιν ἢν τε καυθῶσιν ἢν τε αὐτόματόν σφιν ἐκραγῇ, εὖ εἰδέναι χρὴ ὅτι ταῦτα οὕτως ἔχει. χρέεσθαι μέντοι τῇ χειρὶ δυναιώτατοί εἰσιν οἱ ἐκ γενεῆς γαλιάγκωνες, οὐ μὴν (594) οὐδὲ ἐκεῖνοί γε ἀνατεῖναι παρὰ τὸ οὖς τὸν βραχίονα ἐκτανίσαντες τὸν ἀγκῶνα δύνανται, ἀλλὰ πολὺ ἐνδεεστέρως ἢ τὴν ὑγιέα χεῖρα.

Δύναται δὲ τοῦτο καὶ κυουμένοις ἐπισυμβαίνειν· συμφορὰν δ' ἄλλην ἔτι κυουμένοις ἐξαρθρήματος αἰτίαν γίνεσθαι χαλεπὸν εὑρεῖν, ἀμφοτέρας δὲ ταύτας οὐκ ἀδύνατον συμβῆναι· καὶ γὰρ ἐκπυῆσαι δυνατόν ἐστι τὸ ἐκραγῆναι καὶ ἀπουλωθῆναι τῷ κυουμένῳ τῷ βρέφει πρὸς τῆς φύσεως καὶ τοῦτο μᾶλλον ἔτι κατὰ ἔμπτωσιν ἐνδέχεται τοῦ κατ' ὦμον ἄρθρου διά τε τὴν ὑγρότητα τῆς φύσεως τοῦ παιδίου καὶ τῆς κατὰ διάρθρωσιν κοτύλης τὸ εὐυπέρβατον.

---

urantur, ſive per ſe pus aperiatur, ſcire licet haec ita ſe habere. Maxime vero brachio uti queunt, quibus a primo natali die humeri breviores ſunt; neque ipſi tamen ſurſum ad aurem porrigere brachium poſſunt cubito extento, niſi multo minus quam ab integra parte.

Poteſt hoc etiam dum in utero ſunt accidere; aliam vero noxam, quae iis qui in utero geruntur cauſa ſit ut articulus elabatur, difficile eſt invenire, ſed has ambas accidere nihil prohibet, poteſt enim dum infans in utero eſt a natura ſuppuratio fieri, aperiri et ad cicatricem ulcus perduci. Quod magis adhuc evenit, ubi humeri caput elabitur ob humorem infantis naturalem et quia cavum commiſſurae ipſius humeri tale eſt ut facile articulum expelli patiatur.

Ed. Chart. XII. [320. 321.] Ed. Baf. V. (594.)

ξ'.

Οἷσι δ' ἂν ἤδη ἂν ἀνδράσιν ἐοῦσι ἐκπέσῃ ὁ ὦμος καὶ μὴ ἐμβληθῇ, ἐπωμὶς ἀσαρκωτέρη γίνεται καὶ ἡ ἕξις λεπτὴ ἢ κατὰ τοῦτο, ὅταν μέντοι ὀδυνώμενοι παύσωνται. ὁκόσα μὲν δεῖ ἐργάζεσθαι ἐπάραντας τὸν ἀγκῶνα ἀπὸ τῶν πλευρέων εἰς τὸ πλάγιον, ταῦτα μὲν οὐ δύναται ἅπαντα ὁμοίως ἐργάζεσθαι. ὁκόσα δὲ δεῖ ἐργάζεσθαι παραφέροντας τὸν βραχίονα παρὰ τὰς πλευρὰς ἢ ἐς τοὐπίσω ἢ ἐς τοὔμπροσθεν. ταῦτα δὲ δύνανται ἐργάζεσθαι· καὶ γὰρ ἂν ἀρίδα ἑλκύσαιεν καὶ πρίονα καὶ πελεκίσαιεν ἂν καὶ σκάψαιεν, ἂν μὴ κάρτα ἄνω αἴροντες τὸν ἀγκῶνα καὶ τἆλλα ὅσα τῶν τοιούτων σχημάτων ἐργάζονται.

---

[321] Ἡ ἐπωμὶς τοῖς οὕτω πεπονθόσι κἂν τῷ παραχρῆμα φαίνηται λεπτοτέρα καὶ ἀσαρκωτέρα τῆς κεφαλῆς τοῦ βραχίονος ἀπολειπούσης τὸν ὦμον, ἀλλὰ καὶ εἰς ὕστερον ἔτι μᾶλλον φαίνεται τοιαύτη, διότι γίνεται τοῦ χρόνου

LX.

Quibus vero aetate jam robuſta humeri caput erupit, neque reſtitutum eſt, pars quae ſupra commiſſuram eſt tenuatur et gracilioris habitus fit; ubi dolore liberantur, non aeque praeſtare poſſunt opera omnia quaecunque requirunt, ut cubitus a pectore diductus in latera attollatur. Ad ea autem valent quaecunque efficienda ſunt, humero vel in priorem partem vel in poſteriorem ad pectus adducto; nam terebra, ſerra, ſecuri ac raſtris utuntur, dummodo cubitum non admodum attollere neceſſe ſit, atque ad alia omnia idonei ſunt quae brachia poſtulant ita figurata.

His qui hoc vitio tenentur pars quae ſuper humeri commiſſuram eſt protinus etiam inter initia tenuior appareret et gracilior, quum humeri caput lati ſcapularum oſſis cavum reliquerit; ſed et iſtiusmodi in poſterum adhuc amplius conſpicitur, eo quod procedente tempore ema-

Ed. Chart. XII. [321.] Ed. Baſ. V. (594.)

περιόντος ἀτροφώτερα τὰ μόρια τοῦ δελτοειδοῦς μυὸς ἀσθενοῦς τεινομένου, διότι κάτω γίνεται βίαιος ἀκολουθῶν εἰς μασχάλην τῆς κεφαλῆς τοῦ βραχίονος. ὅτι δὲ διὰ τὸ μὴ κινεῖσθαι μηδὲ ἐνεργεῖν τὴν οἰκείαν ἐνέργειαν, ἣν εἶχεν ἀνατείνων τὸν βραχίονα, ψυχρότερος καὶ ἀσθενέστερος ἀποτενούμενος καὶ ἀτροφώτερος διὰ τοῦτο γίνεται· κίνησις μὲν γὰρ κρατύνει, ἀργία δὲ τήκει.

ξα'.

Ὅσοισι δ' ἂν τὸ ἀκρώμιον ἀποσπασθῇ, τουτέοισι φαίνεται ἐξέχον τὸ ὀστέον τῶν ἀπεσπασμένων. ἔστι δὲ τοῦτο ὁ σύνδεσμος τῆς κληῖδος καὶ τῆς ὠμοπλάτης· ἑτεροίη γὰρ φύσις ἀνθρώπου ταύτη ἢ τῶν ἄλλων ζώων. οἱ οὖν ἰητροὶ μάλιστα ἐξαπατέονται ἐν τούτῳ τῷ τρώματι, ἅτε γὰρ ἀνασχόντος τοῦ ὀστέου τοῦ ἀποσπασθέντος ἡ ἐπωμὶς φαίνεται χαμαιζήλη καὶ κοίλη, ὥστε καὶ προμηθεῖσθαι τῶν ὤμων τῶν ἐκπεπτωκότων. πολλοὺς οὖν οἶδα ἰητροὺς τἄλλα οὐ φλαύρους ἐόντας, οἳ πολλὰ ἤδη ἐλυμήναντο ἐμβάλλειν πειρώμενοι τοὺς τοιούτους ὤμους, οὕτως οἰόμενοι

creſcant partes muſculi Δ literam referentes, quod redditus ſit imbecillis, quum ſequens humeri caput vi deorſum feratur ad alam, et quod immobilis maneat, neque ſuo munere fungatur, quod erat humerum attollere; quare frigidior et imbecillior redditur atque emacreſcit, quandoquidem labor firmat, ignavia tabidum reddit.

LXI.

Quibus tali ſcapularum oſſis ſummitas diducitur, exſtare videtur os quod recedit. Eſt autem hoc ligamentum juguli cum lato ſcapularum oſſe; diverſa autem eſt hac parte natura hominis a ceteris animalibus. Medici itaque in hoc caſu maxime decipiuntur, excitato enim oſſe quod recedit humeri commiſſurae pars ſuperior apparet depreſſa et cava, ita ut quaſi prociderit humeri caput provideant. Novi ergo complures medicos alioquin non ignobiles, qui ſummopere laederent dum niterentur hujusmodi humeros reſtituere, ut qui luxatos eſſe aeſti-

Ed. Chart. XII. [321.] Ed. Baſ. V. (594.)

ἐκπεπιωκέναι καὶ οὐ πρόσθεν παύονται πρὶν ἢ ἀπογνῶναι ἢ ἀπορῆσαι δοκέοντας αὐτοὶ σφᾶς αὐτοὺς ἐμβαλέειν τὸν ὦμον. τούτοισιν ἰητρείη μέν, ἥπερ καὶ τοῖσιν ἄλλοισι τοιούτοισι κηρωτὴ καὶ σπλῆνες καὶ ὀθόνια καὶ ἐπίδεσις τοιαύτη. καταναγκάζειν μέντοι τὸ ὑπερέχον χρὴ καὶ τοὺς σπλῆνας κατὰ τοῦτο τιθέναι πλείστους καὶ πιέζειν ταῦτα, μάλιστα τὸν βραχίονα πρὸς τῆσι πλευρῆσι προσηρτημένον ἐς τὸ ἄνω μέρος ἔχειν, οὕτω γὰρ ἂν μάλιστα πλησιάζοιτο ἀπεσπασμένον. τάδε μὴν εὖ εἰδέναι χρὴ καὶ προλέγειν ὡς ἀσφαλέα, εἰ ἄλλως ἐθέλοις· ὅτι βλάβη μὲν οὐδεμίη οὔτε μικρὴ οὔτε μεγάλη τῷ ὤμῳ γίνεται ἀπὸ τούτου τοῦ τρώματος, αἴσχιον δὲ τὸ χωρίον. οὐδὲ γὰρ τοῦτο τὸ ὀστέον ἐς τὴν ἀρχαίην ἕδρην ὁμοίως ἂν ἱδρυνθείη, ὥσπερ πέφυκεν, ἀλλ᾽ ἀνάγκη πλέον ἢ ἔλασσον ὀγκηρότερον εἶναι ἐς τὸ ἄνω. οὐδὲ γὰρ ἄλλο ὀστέον οὐδὲν ἐς τὸ αὐτὸ καθίσταται, ὅτι ἂν κοινωνέον ἐστὶν ἑτέρῳ ὀστέῳ καὶ προσπεφυκὸς ἀποπασθῇ ἀπὸ τῆς ἀρχαίης φύσιος. ἀνώδυνον

marent nec prius deſiſterent quam vel rem deſperarent vel indicarent per ſe non poſſe humeri articulum reſtitui. His eadem curatio convenit quae ceteris ejus generis, nempe ceratum, panni, faſciae atque eadem vinciendi ratio; verum tamen deorſum cogendum eſt id quod excidit, tum ea parte plurimi panni injiciendi, maximeque adſtringendum, humerusque ad latus continendus eſt ſuſpenſus a parte ſuperiori. Hac enim ratione id quod receſſit proxime adducetur, quam rem ſcire optime licet atque praedicere omni periculo vacare, ſi alioquin tibi videatur. Ex hoc enim caſu nec parum nec magnum in humeri commiſſura oritur detrimentum, ſed aliquid decoris eo loco amittitur: nunquam enim hujusmodi os in naturalem et antiquam ſedem revertitur, ſed neceſſario ſive amplius, ſive minus a ſuperiori parte prominet. Neque enim aliud os ullum in priſtinam ſedem revertitur, quod receſſerit ab aliquo oſſe, quocum naturaliter jungeretur. Paucis au-

Ed. Chart. XII. [321. 322.] Ed. Baf. V. (594.)

δὲ τὸ ἀκρώμιον ἐν ὀλίγῃσιν ἡμέρῃσιν γίνεται, ἢν χρηστῶς ἐπιδέηται.

Σύνζευξιν ἐνδείκνυται τὸ ἀκρώμιον εἶναι, λέγει δὲ καὶ ὀστοῦν ὑπάρχειν αὐτὸ καὶ συνδεῖν ἄμφω τὰ εἰρημένα. δῆλον οὖν ὅτι χονδρῶδες ὀστοῦν ἐστι τὸ ἀκρώμιον ἐπικείμενον τῇ συνζεύξει τῆς κλειδὸς καὶ τῆς ὠμοπλάτης, ὑμένας [322] ἐκπεφυκότας ἔχον, οἷς συνδεῖται τὰ πέρατα τῶν ὀστῶν. ἀποσπασθέντι δὲ αὐτῷ καὶ κλεὶς εἴωθε συνέπεσθαι καὶ διὰ τοῦτο ἐπανόρθωσις γίγνεται καταναγκαζομένης εἰς τὸ κάτω τῆς κλειδὸς, ὡς ἀποτελεῖσθαί τινας κυκλοτερεῖς καμπὰς αὐτῆς. ἐνταῦθα δὴ καὶ τοῖς νεωτέροις ἡ κατανάγκασις αὕτη μᾶλλον ἐπιτυγχάνει· ὅσῳ γὰρ ἡ ἡλικία προέρχεται, ξηρότερα τὰ σώματα ἡμῶν ἀποτελεῖται. καθάπερ οὖν τὰ ξηρὰ ξύλα πρὸς καμπὰς ἐστιν οὐκ ἐπιτήδεια, τὰ δὲ ὑγρὰ καὶ χλωρὰ ῥᾳδίως πάσχει τοῦτο, κατὰ τὸν αὐτὸν τρόπον καὶ τῶν ἔτι αὐξανομένων ὀστᾶ δύναται κάμπτεσθαι καταναγκαζόμενα, καὶ πολὺ μᾶλλον, ὅταν ᾖ χαῦνα καὶ σηραγγώδη, κα-

tem diebus a dolore liberatur latum ſcapularum os ſummum, ſi commode vinciatur.

Indicat lati ſcapularum oſſis ſummitatem eſſe conjunctionem, dicit etiam ipſam eſſe os quo alligantur propoſita oſſa ambo. Conſtat autem ſummitatem lati ſcapularum oſſis eſſe cartilaginoſum os, quod ſitum eſt qua jugulum cum lato ſcapularum oſſe committitur, a quo dependent membranae quibus extrema oſſium colligantur. Hoc ubi recedat, jugulum etiam ſequi conſuevit et idcirco reſtituitur jugulo deorſum depulſo, ſic ut ea parte in orbem quodammodo inclinetur; quo fit ut in juvenibus facilius cogatur, nam quo magis aetas procedit, eo magis corpora noſtra ſiccantur. Ergo quemadmodum ſicca ligna minime idonea ſunt quae curventur, madentia autem et viridia id facile patiuntur: eodem modo et oſſa eorum qui adhuc increſcunt coacta curvari poſſunt, ac multo magis ubi rara ſint et cavis plena, quale eſt jugulum.

Ed. Chart. XII. [322.] Ed. Baſ. V. (595.)

θάπερ κλεὶς ἐστι. καὶ ἔγωγ' ἐπειράθην αὐτὸς ἐπ' ἐμαυτοῦ καμπτομένης αἰσθανόμενος τῆς κλειδός, ἔσφυξε γὰρ διὰ βάθους ὁπότε σφοδρῶς κατασπασθῇ τῷ βιαίῳ τῆς ἐπιδέσεως, ὑπέμεινα δὲ τοῦτο μέχρι μ' ἡμέρας, ἐν αἷς οὕτω προσήχθη τῇ κεφαλῇ τοῦ βραχίονος ἡ κλεὶς, ὥστε τοὺς μὲν νῦν ὁρῶντας ἀπιστεῖν εἰ ἀπεσπάσθη ποτὲ, τοὺς δὲ ἰδόντας ὁπόταν ἀπεσπάσθη, τριῶν δακτύλων διάστημα τὸ μεταξὺ γενόμενον ὑπερθαυμάζειν τὸ πρᾶγμα. συνέβη μέντοι τὸν βραχίονα τελείως ἀτροφῆσαι κατ' ἐκεῖνον τὸν χρόνον, ὡς ἰσχνὸν παντελῶς γενέσθαι, συνατροφῆσαι δ' αὐτῷ καὶ τὸν πῆχυν. ἀλλὰ ταῦτα μὲν ἐπανορθωσάμενος ἑνὶ βοηθήματι τῷ τῆς ἐπιδέσεως ἀνετράφη σύμπαν τὸ κῶλον, οὐκ ἐν πολλῷ χρόνῳ μετὰ τὸ λυθῆναι τοὺς ἐπιδέσμους. ἐπὶ (595) δὲ μειρακίου καὶ μᾶλλον ἐπὶ παιδίων ἑτοιμότερον ἡ ἐπίδεσις καταναγκάζοι τὸ ὀστοῦν· ἐμοὶ μὲν γὰρ ἔτος ἄγοντι ε' καὶ λ' οὕτω παθεῖν ἐν παλαίστρᾳ συνέβη, οὐ μὴν ἄλλον γέ τινα τῶν ἤδη τελείων ἐδυνήθην ὁμοίως ἰάσασθαι διὰ τὸ μὴ φέρειν αὐτοὺς τὸ βίαιον τῆς ἐπιδέσεως. ἐγὼ δ' οὖν καὶ αὐτὸς ἠσθανόμην ψυχροῦ τοῦ χωρίου πάντως, ὡς ἀναγκάζεσθαι

Equidem experimento ſenſi jugulum in me ipſo curvari; nam quum vinculi vi vehementer compelleretur, alte urgebat. Quod ego pertuli quadraginta dies, quibus jugulum ad humeri caput ita adductum eſt, ut iis qui nunc adſpiciunt nunquam receſſiſſe videatur; quique tunc quum receſſit, diductum intervallo trium digitorum viderunt, rem admirentur. Inde tamen factum eſt ut humerus id temporis minime nutriretur, ita ut penitus emacreſceret, cumque eo brachium etiam nutriri deſineret. Sed his omnibus uno vinculi praeſidio ſuccurrens non multo tempore a ſoluto vinculo totum membrum reſeci. In adoleſcente autem ac multo magis in puero os facilius vinculo cogitur. Ego vero quum id mihi accidit in palaeſtra, annum agebam trigeſimum quintum; nullum tamen alium ex iis qui firmiſſima aetate eſſent aeque licuit ad ſanitatem perducere, eo quod vinculi vim minime ferrent. Ipſe igitur ſenſi frigidum prorſus, ſic ut totum diem ac noctem per-

Ed. Chart. XII. [322.] Ed. Baſ. V. (595.)

δι' ὅλης ἡμέρας καὶ νυκτὸς ἔλαιον καταντλεῖν θερμὸν, ὑποβεβλημένου δέρματος ὅλῳ τῷ σώματι, γυμνὸς γὰρ ἐπ' αὐτοῦ κατεκείμην, ὡς ἂν καὶ τῶν ὑπὸ κύνα καυμάτων ὄντων. ὑποκειμένης οὖν κατὰ τὸ πρὸς τῶν ποδῶν μέρος λεκάνης κενῆς ἐσχημάτισται κατὰ τοῦτο πρὸς ἔκρουν ἐπιτηδείως τὸ δέρμα, πάλιν τε τὸ ἀθροισθὲν ἐν τῇ λεκάνῃ μεταβαλόντες εἰς λέβητα κατὰ πυρὸς ἐπικείμενον ἐθέρμαινον, ἐντεῦθεν λαβόντες ἀπήντλουν τῷ πεπονθότι χωρίῳ παντί. καὶ εἰ βραχύ ποτε διέλιπον, εὐθέως ἠσθανόμην τάσεως τῶν κατὰ τὸν τράχηλον μυῶν, ὡς εἶναι δῆλον ὅτι σπασμὸς ἀκολουθήσει ῥαθυμησάντων περὶ τὴν κατάντλησιν. ἐμοὶ μὲν καὶ ἄλλο τι συνέβη κατὰ τὰς κακοπαθείας τῶν μυῶν αἴτιον οὐ σμικρὸν, ὃ καὶ αὐτὸ καλῶς ἔχει δηλῶσαι, χάριν τοῦ νομίσαι τινὰ διὰ μόνην τὴν κατανάγκασιν τῆς κλειδὸς εὐπαθεῖς γενέσθαι τοὺς μύας. ἀποσπασθέντος γὰρ τοῦ ἀκρωμίου κατὰ παλαίστραν ὁ παιδοτρίβης ἰδὼν ταπεινὴν τὴν ἐπωμίδα καὶ εἰς μασχάλην ὠλισθηκέναι τὸν βραχίονα κατέτεινέ τε καὶ μοχλεύειν ἐπεχείρει καὶ τεχνικῶς ἐνήργει

fundere calidum oleum cogerer, pelle toti corpori ſubjecta, ſuper qua nudus jacebam, quum caniculae aeſtus vigeret. A pedibus igitur inani pelve ſubjecta pellis ita figurata erat, ut oleum per eam commode funderetur; quidquid autem in pelvi coactum erat, in ollam conjiciebatur juxta ignem, ut calefieret, eoque inde accepto totus affectus locus perfundebatur. At quum vel modicum quid aliquando intermittebatur, ſentiebam continuo muſculos juxta cervices diſtendi, ſic ut aperte conſtaret, ſequuturam eſſe nervorum diſtenſionem, ſi ignavi fuiſſent qui perfundebant. Mihi etiam aliud evenit quod non parum in cauſa fuit, ut muſculi male afficerentur. Atque id quoque enarraſſe operae pretium erit, ne quis exiſtimet male affici muſculos, propterea quod jugulum dumtaxat deorſum fuerit coactum. In palaeſtra enim lati ſcapularum oſſis ſummitate diducta magiſter intuitus partem ſuperpoſitam humeri commiſſurae depreſſam, exiſtimans humeri

Ed. Chart. XII. [322. 323.] Ed. Baſ. V. (595.)

ταῦτα. μὴ προχωροῦντος δὲ τοῦ ἔργου καὶ μάτην τοῦ χρόνου τριβομένου νομίσας αὐτὸν ἐν τῇ μοχλείᾳ τι σφάλλεσθαι, τοὺς μὲν ἄλλους μετ' ἐκείνου τείνειν τε τὸν βραχίονα καὶ ἀντιτείνειν ἄνω τὸν ὦμον ἐκέλευον, αὐτὸς ὑποβαλὼν τῆς ἀπαθοῦς χειρὸς τοὺς δακτύλους ὡς ἐσωτάτω τοῦ δοκοῦντος ὠλισθηκέναι τὸν βραχίονα, ἵνα μεταξὺ τῶν πλευρῶν καὶ τῆς κεφαλῆς αὐτοὺς παρενθεὶς ἀναμοχλεύσειεν αὐτὸ μικρὸν τοῦτο μηδὲν εὑρὼν ἐν τῇ μασχάλῃ παρὰ φύσιν ἐκέλευον ἐπισχεῖν τὴν τάσιν τοὺς ἅμα τῷ παιδοτρίβῃ τείνοντάς τε καὶ ἀντιτείνοντας, [323] οὐ γὰρ ἐκπεπτωκέναι τὸ ἄρθρον. οἱ δ' ὡς μετὰ τὴν ὀδύνην μαλθακιζομένου μου περιέτρεπόν τε παρέχειν αὐτὸν ἑαυτοῖς οὐκ ἐμαυτοῦ οὐκ ἐπαύοντό τε τείνοντες, ὥς τις ἂν διέσπασε τὸν μῦν, ὡς ἤδη καὶ ἄλλοις τισὶ συνέπεσεν, εἰ μὴ κατὰ τύχην ἐπιφανὴς ἕτερος εὖ ἰδὼν, μηδέποτ' ἂν διὰ μαλακίαν εἶρξα αὐτοὺς τῆς τάσεως, ἀπέλυσε μὲν ἐκείνους, ἐμοὶ δ' ἐπύθετο τί ποτ' ἂν εἴη τὸ γεγονὸς, ὅ τι τε κελεύοι με πράττειν. εἶπον οὖν αὐτῷ τὸ μὲν γεγονὸς ἀποσπασθῆναι τοῦ ἀκρωμίου, χρῄζειν δὲ ἐλαίου καὶ

caput in alam excidiſſe, intenſionem tentat atque impulſum, quae quidem artificioſe agit. At quum ſine ullo profectu operam perderet, arbitror peccati aliquid in impellendo; quamobrem alios adhiberi jubeo qui cum ipſo humerum et ab inferiori parte et a contraria extendant; atque ipſe integrae manus digitos quantum poſſum intro demitto ad humerum, qui excidiſſe videbatur, ut inditi inter latus et humeri caput ipſum impellerent. Nihil autem inveniens in ala praeter naturam jubeo ut extendere ceſſent, qui cum magiſtro ſimul vim adhibebant, eo quod humeri caput non procidiſſet. Hi vero exiſtimantes me fracti animi ob dolorem eſſe hortantur, ut ſibi me ipſum committam nec ab extendendo deſiſtunt, ita ut muſculum avulſiſſent, quae res aliis jam accidit, niſi forte alter adveniſſet qui optime noverat me nullo modo ob mollitiem extendentes prohibere, hic eos removet ac me rogat quid mali ſit quidque faciendum cenſeam. Reſpondeo ſummitatem humeri diductam eſſe, opus autem mihi eſſe oleo,

Ed. Chart. XII. [323.] Ed. Baf. V. (595.)

ὀθονίου καὶ ἐρίων εἰς τὸ βαλανεῖον αὐτὸς ἐπορεύθην καὶ πολὺ περιχεόμενος ἔλαιον ἐνδιέτριψα τῇ δεξαμένῃ, μέχρι δυνατὸν ἦν, νομίζων ὅπως κομισθείη τὰ πρὸς τὴν θεραπείαν· ὥστε μοι καὶ διὰ ταύτην τὴν κακοπάθειαν οἱ μύες ἐδέοντο συνεχοῦς καταντλήσεως. οἱ πολλοὶ δὲ καὶ μὴ γενομένης αὐτῆς τῆς ἐπιδέσεως οὐ φέρουσιν, ἀλλ' αἱροῦνται τὴν εἰς τὸν ἔπειτα χρόνον ἐκ τοῦ πάθους ἔχειν δυσχέρειαν ὑπὲρ τοῦ μὴ πονεῖσθαι μέχρι τεσσαρακονθημέρου· οὐ γὰρ ἡγοῦμαι θᾶττον δύνασθαι τῶν τοσούτων ἀκριβῶς καμφθῆναι τὸ τῆς κλειδὸς ὀστοῦν. τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα.

ξβ'.

Κληῖς δὲ κατεηγεῖσα ἢν μὲν ἀτρεκέως ἀποκαυλισθῇ, εὐϊητοτέρη ἐστὶν, ἢν δὲ παραμηκέως, δυσιητοτέρη. τἀναντία δὲ τούτοις ἐστὶν ἢ ὡς ἄν τις οἴοιτο· τὴν μὲν γὰρ ἀτρεκέως ἀποκαυλισθεῖσαν προσαναγκάσειεν ἄν τις μᾶλλον ἐς τὴν φύσιν ἐλθεῖν καὶ εἰ πάνυ προμηθηθείη τὸ ἀνωτέρω, κατωτέρω ἂν ποιήσειε σχήμασί τε ἐπιτηδείοισι καὶ ἐπι-

linteis, lana; eo igitur ad balneum multoque oleo perfuſus maneo in labro, quoad poſſum, dum quae ad curationem facerent afferrentur. Quare muſculis aſſidua perfuſio neceſſaria fuit, quum male affecti ea ratione fuiſſent; multi autem vinculum non ſuſtinent, etiamſi id non accidat, ſed malunt in poſterum quae ex eo malo moleſtia ſequitur ferre quam id quadraginta diebus ſuſtinere. Neque enim breviori ſpatio conſequi eos poſſe exiſtimo, ut jugulum ita exquiſite curvetur. Reliqua Hippocratis verba plana ſunt.

LXII.

Jugulum comminutum, ſi ex toto fractum ſit, facilius curatur; ſi in longitudinem, aegrius. Haec autem contraria ſunt, atque aliquis exiſtimet. Id igitur quod ex toto fractum eſt magis utique in ſuam ſedem compelli poteſt; ac ſi ſumma cura provideatur, quod ſublimius eſt magis deorſum cogetur idoneo habitu ac debito vin-

Ed. Chart. XII. [323.] Ed. Baſ. V. (595.)

δέσει ἁρμοζούσῃ. εἰ δὲ μὴ τελέως ἰδρυνθείη, ἀλλ' οὖν τὸ ὑπερέχον γε τοῦ ὀστέου οὐ κάρτα ὀξὺ γίνεται. ὡς δ' ἂν παράμηκες τὸ ὀστέον κατεάγῃ, ἰκέλη ἡ ξυμφορὴ γίνεται τοῖσιν ὀστέοισι τοῖσιν ἀπεσπασμένοισι, περὶ ὧν πρόσθεν γέγραπται· οὔτε γὰρ ἰδρυνθῆναι αὐτὸ πρὸς ἑωυτὸ κάρτα ἐθέλει, ἥ τε ὑπερέχουσα ἀκρὶς τοῦ ὀστέου ὀξεῖα γίνεται κάρτα. τὸ μὲν οὖν σύμπαν εἰδέναι χρὴ ὅτι βλάβη οὐδεμίη τῷ ὤμῳ οὐδὲ τῷ ἄλλῳ σώματι γίνεται διὰ τὴν κάτηξιν τῆς κληῖδος, ἢν μὴ ἐπισφακελίσῃ. ὀλιγάκις δὲ τοῦτο γίνεται.

Λέγει τὴν δι' ὅλως ἀποκαυλισθεῖσαν, ὡς κατὰ μηδὲν προσέχεσθαι, τὸ δὲ ἀντικείμενον τούτῳ τὸ οὐκ ἀτρεκέως ἐστὶν, ὃ καθ' ἕνα τρόπον γινόμενον ἐδήλωσεν εἰπὼν· ἢν δὲ παραμηκέως, δυσιητοτέρη μετ' αὐτοῦ καὶ συνενδείξασθαι τὴν μὲν ἀκριβῶς ἀποκαυλιζομένην ἐγκαρσίαν πάσχειν τοῦτο, τὴν δ' οὐκ ἀκριβῶς κατὰ μῆκος. ὅταν μὲν οὖν ὁλοκλήρως ἀποκαυλισθῇ, παραλλάττειν εἴωθε τοὐπίπαν ἀλλήλων τὰ

culo. Quamvis autem ex toto in ſuam ſedem non collocetur, tamen ea pars quae excedit non valde acuta apparebit. At quibus in longitudinem frangitur ſimile vitium eſt, atque ubi oſſa diducuntur, de quibus ſupra tractavimus. Non ita enim in ſuam ſedem reſtituitur exſtansque oſſis extremitas adſpicitur admodum acuta. In univerſum autem ſcire convenit nihil humeri commiſſuram aliamve partem laedi, quum jugulum frangitur, niſi, quod raro accidit, corrumpatur.

Ex toto frangi dicit quod nulla parte haeret, cujus contrarium eſt quod non ex toto abrumpitur. Id uno modo fieri expreſſit, quum inquit, ſi longitudinem, aegrius; ſimulque demonſtravit quod ex toto abrumpitur transverſum abrumpi, quod non ex toto in longitudinem; ergo ubi ex toto comminuitur, partes cedere inter ſe plerumque ſolent atque una ſurſum ferri, altera deorſum;

Ed. Chart. XII. [323. 324.] Ed. Baſ. V. (595.)

μέρια, καὶ τὸ μὲν ἄνω χωρεῖν, τὸ δὲ κάτω, τὸ μὲν ἔσω, τὸ δὲ ἔξω. καὶ κατὰ τοῦτο φαίνεται μέγα τε τὸ κάταγμα καὶ δυσίατον εἶναι, κατὰ δὲ τὸν ἕτερον τρόπον, ἡνίκα παραμήκης ἐστὶν ἡ διάθεσις τοῦ κατά[illegible]τος, ἡ μὲν φαντασία μικροτέρα, χαλεπωτέρα δὲ ἡ ἴασις. οὐ γὰρ ἐνδέχεται τὴν ἐν κύκλῳ περιβολὴν ὥσπερ τὰ κῶλα μόνην δυναμένην προστείλαι καὶ παραγαγεῖν τὸ παρὰ μῆκος ἐσχισμένον τῆς κλειδός. ἐὰν οὖν, [324] *ὧν εἴρηκα νῦν εἴης μεμνημένος, οὐδὲν ἐνεγκεῖν φαίνεται τῶν ἐφεξῆς ὑπ' αὐτοῦ λεγομένων ἀσαφές.*

ξγ'.

Αἴσχός γε μὴν προσγίνεται περὶ τὴν κάτηξιν τῆς κλεῖδος καὶ τούτοισι τοῖσι τὸ πρῶτον αἴσχιστον, ἔπειτα μὴν ἐπὶ ἧσσον γίνεται.

Βέλτιον ἦν εἰπεῖν ἐπὶ ἧσσον γίνεται· κατ' ἀρχὰς μὲν γὰρ τῷ ξένῳ τοῦ πράγματος αἰσχρὸν αὐτοῖς εἶναι δοκεῖ τὸ

tum altera in interiora, in exteriora altera. Qua de cauſa videtur fractura gravis et aegre ſanabilis. Verum altero modo, quum fractura in longitudinem eſt, levior quidem apparet, aegrius tamen curationem admittit. Nequit enim jugulum faſcia excipi in orbem, ſicut membra, qua via dumtaxat propelli atque adduci poſſet quod in longitudinem fiſſum eſt. Quod ſi haec quae nunc oſtendimus in memoria habeantur, nihil obſcurum videbitur ex iis quae ab Hippocrate in ſequentibus ponentur.

LXIII.

Juguli fracturae deformitatem affert; deformitas autem principio maxima eſt, deinde minor.

Satius fuit dicere minus apparet; principio enim rei novitate deforme vitium videtur, procedente tempore ſicut

Ed. Chart. XII. [324.] Ed. Ba[illegible] (595. 596.)

γεγονός. ἐν δὲ τῷ χρόνῳ συνειθιζομένοις ὥσπερ ἐπὶ τοῖς ἄλλοις ἅπασιν, οὕτω καὶπὶ τῷδε καταφρονεῖται τὸ αἶσχος.

ξδ'.

Συμφύεται δὲ ταχέως κληῖς καὶ τἆλλα πάντα ὅσα χαῦνα ὀστέα. ταχεῖαν γὰρ τὴν ἐπιπώρωσιν ποιέεται τὰ τοιαῦτα. ὅταν μὲν οὖν νεωστὶ καταγῇ, οἱ τετρωμένοι σπουδάζουσιν οἰόμενοι μεῖζον τὸ κακὸν εἶναι ἢ ὅσον ἐστὶν οἵ τε ἰητροὶ προθυμέονται δῆθεν ὀρθῶς ἰῆσθαι. προϊόντος δὲ τοῦ χρόνου οἱ τετρωμένοι, ἅτε οὐκ ὀδυνώμενοι οὔτε κωλυόμενοι οὔτε ὁδοιπορίης οὔτε ἐδωδῆς καταμελέουσιν· οἵ τε αὖ ἰητροὶ ἅτε οὐ δυνάμενοι κατὰ τὰ χωρία ἀποδεικνύναι ἀποδιδράσκουσι καὶ οὐκ ἄχθονται τῇ ἀμελείῃ τῶν τετρωμένων, ἐν τούτῳ δὲ ἡ ἐπιπώρωσις συνταχύνεται. ἐπιδέσιος μὲν οὖν τρόπος καθέστηκε παραπλήσιος τοῖσι πλείστοισι, κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισι μαλθακοῖσιν ἰητρεύειν, καὶ τάδε δεῖ προσιητρεύειν καὶ τάδε δεῖ προσξυνιέναι καὶ μάλιστα ἐν τούτῳ τῷ χει-

(596)

alia omnia quibus aſſuefcimus, ita deformitatem parvi facimus.

LXIV.

Saneſcit autem cito jugulum atque alia oſſa quaecunque rara ſunt, quoniam callo haec maturius obducuntur. Igitur ubi caſus recens eſt aegri ſolliciti ſunt, putantes malum gravius eſſe quam ſit. Medici autem ſedulos in probe curando ſe exhibent, procedente tempore laborantes, ut qui non doleant neque greſſu neque cibo prohibeantur, rem contemnunt. At medici, ut qui locum reddere decorum non poſſunt ſe ſubducunt, neque offenſorum negligentiam iniquo animo ferunt, interim callus feſtinat increſcere. Deligandi autem ratio ea convenit, quae plerisque cerato, pannis, faſciis mollibus adhibitis. Haec autem providiſſe oportet, atque item noviſſe in hac praeſertim curatione, plurimos pan-

Ed. Chart. XII. [324.] Ed. Baf. V. (596.)

ρίσματι, ὅτι τούς τε σπλῆνας πλείστους κατὰ τὸ ἐξέχον χρὴ τιθέναι καὶ τοῖσι ἐπιδέσμοισι πλείστοισι καὶ μάλιστα κατὰ τοῦτο χρὴ πιέζειν. εἰσὶ δὲ δή τινες οἳ ἐπεσοφίσαντο ἤδη μολύβδιον βαρὺ προσεπικαταδεῖν, ὡς καταναγκάζειν τὸ ὑπερέχον. ξυνιᾶσι μὲν οὖν ἴσως οὐδὲ οἱ ἁπλῶς ἐπιδέοντες· ἀτὰρ δὴ οὐδὲ οὗτος ὁ τρόπος κληῖδος κατήξιός ἐστιν, οὐ γὰρ δυνατὸν τὸ ὑπερέχον καταναγκάζεσθαι οὐδὲν ὅ τι καὶ ἄξιον λόγου. ἄλλοι δ' αὖ τινές εἰσιν οἵτινες καταμαθόντες τοῦτο, ὅτι αὗται αἱ ἐπιδέσιες παράφοροί εἰσι καὶ οὐ κατὰ φύσιν καταναγκάζουσι τὰ ὑπερέχοντα. ἐπιδέουσι μὲν οὖν αὐτοὺς σπλήνεσι καὶ ὀθονίοισι χρώμενοι, ὥσπερ καὶ οἱ ἄλλοι, ζώσαντες δὲ τὸν ἄνθρωπον ταινίῃ τινὶ, ἢ εὐζωστότατος αὐτὸς ἑωυτοῦ ἐστιν, ὅταν ἐπιθῶσι τοὺς σπλῆνας ἐπὶ τὰ ὑπερέχοντα τοῦ κατήγματος ἐξογκώσαντες ἐπὶ τὰ ἐξέχοντα τὴν ἀρχὴν τοῦ ὀθονίου προσέδησαν πρὸς τὸ ζῶσμα ἐκ τοῦ ἔμπροσθεν καὶ οὕτως ἐπιδέουσιν ἐπὶ τὴν ἴξιν τῆς κληῖδος ἐπιτανύοντες ἐς τοὔπισθεν ἄγοντες, κἄπειτα περιβαλόντες περὶ τὸ

nos qua os exſtat objiciendos eſſe ac faſcias plurimas ibique maxime premendum. Nonnulli exiſtimarunt plumbi aliquid alligandum, quod oneri eſſet ut deorſum cogeret quod exſtaret. Fortaſſe autem nec illi ſapiunt qui ſimpliciter vinciunt, quandoquidem neque propoſitus modus fracto jugulo convenit: nihil enim fere cogere poteſt quod excedit. Sunt et alii qui cognoſcentes vincula ipſa aliena eſſe neque in naturalem locum adducere quod exſtat, deligant quidem ejusmodi aegrotantes pannis faſciisque ſuperdatis perinde atque alii; ſed hominem faſcia aliqua cingunt, qua parte commodiſſime cingitur. Ubi pannos objecerint qua fractura exſtat, ſic ut ea parte in tumorem adſurgant, caput faſciae ad cingulum a priori parte devinciunt, faſciamque e regione juguli porrigunt ad partem poſteriorem et in cingulum demiſſam ad priorem adducunt, atque inde rurſus ad poſteriorem. Alii faſciam in cingulum

Ed. Chart. XII. [324. 325.] Ed. Baſ. V. (596.)

ζῶσμα ἐς τοὔμπροσθεν ἄγουσι καὶ αὖθις ἐς τοὔπισθεν. οἱ δέ τινες οὐχὶ περὶ τὸ ζῶσμα περιβάλλουσι τὸ ὀθόνιον, ἀλλὰ περὶ τὸ περίνεόν τε καὶ παρ' αὐτὴν τὴν ἕδρην καὶ παρὰ τὴν ἄκανθαν κυκλεύοντες τὸ ὀθόνιον, οὕτω πιέζουσι τὸ κάταγμα. ταῦτα γοῦν ἀπείρῳ μὲν ἀκοῖσαι φαίνεται ἐγγὺς τοῦ κατὰ φύσιν εἶναι, χρεωμένῳ δὲ ἄχρηστα· οὔτε γὰρ μόνιμα οὐδένα χρόνον, οὐδ' εἰ κατακέοιτό τις, καίτοι ἐγγυτάτω ἂν οὕτως, ἀλλ' ὅμως εἰ κατακείμενος ἢ τὸ σκέλος συγκάμψειεν ἢ αὐτὸς καμφθείη, πάντα ἂν τὰ ἐπιδέσματα κινέοιτο ἄλλως τε ἀσηρὴ ἡ ἐπίδεσις.

---

[325] Τὴν αἰτίαν εἶπεν αὐτὸς τοῦ ταχίως τὰ τοιαῦτα συμφύεσθαι, τοῦ μέντοι τὴν πώρωσιν γίγνεσθαι ταχεῖαν, οὐκ ἔτ' εἶπε τὴν αἰτίαν, ὡς ἂν ἐξ αὐτῶν τῶν ὁστῶν τῆς φύσεως ὑπὲρ ὧν ὁ λόγος ἐστὶ νοηθῆναι δυναμένην. τὰ γὰρ χαῦνα πλείονος ἐν αὐτοῖς ὑγρότητος μετέχει. λέλεκται δὲ ἡμῖν ἐν τοῖς ἔμπροσθεν ὡς ἐκχεομένης αὐτῆς, εἶτα πηγνυμένης ὑπὸ τῆς κατὰ τὸ πεπονθὸς ὁστοῦν δυνάμεως ὃ

non demittunt, ſed inter anum et naturale; tum juxta anum ipſum, dein circa ſpinam ducentes ſic fracturam comprimunt. Haec quum ab eo audiuntur qui in uſum non habet, prope videntur ſecundum naturam eſſe; at ubi quis ea experiatur, inutilia comperiet; neque enim aliquod tempus immobiles manent, etiamſi homo cubet, quamquam hoc modo proxima eſſent, tamen ſi cubans crus flectat aut ipſe curvetur, omnes faſciae movebuntur; praeterquam quod haec vinciendi ratio alioquin foeda eſt.

Cauſam ipſe adjungit, quamobrem haec celeriter ſaneſcant; ſed cur callus mature increſcat, cauſam non expreſſit, ut quae ex natura oſſium de quibus tractatur percipi poſſit, quoniam in iis quae rara ſunt multum humoris contrahitur. In prioribus autem demonſtravimus, recepto humore ob affecti oſſis vim ſpiſſato in oris fracturae cal-

Ed. Chart. XII. [325.] Ed. Baſ. V. (596.)

πῶρος ἐπιτρέφεται τοῖς χείλεσι τοῦ κατεαγότος ὀστοῦ. κἀπειδὰν ἱκανῶς τοῦτο γένηται, συνδεῖταί τε καὶ σφίγγεται τὰ χείλη τοῦ κατάγματος, οὐ διὰ τοῦ βάθους ἐῤῥιμμένου τοῦ πεπονθότος ὀστοῦ, κάθαπερ ἐῤῥιμμέναι σάρκες, ἀλλ' ὡς εἴρηται κατὰ τὴν ἐκτὸς ἐπιφάνειαν, οἷον δεσμόν τινα ἀχθομένου. τὰ δ' ἑξῆς ἅπαντα δῆλα τοῖς προσέχουσι τὸν νοῦν.

ξε'.

Ἥ τε γὰρ ἔδρη ἀπολαμβάνεται ἀθρόα τε τὰ ὀθόνια ἐν ταύτῃ τῇ στενοχωρίῃ γίνεται. τά τε αὖ περὶ τὴν ζώνην παραβαλλόμενα οὐχ οὕτως ἰσχυρῶς ἕζωσται, ὡς οὐκ ἀναγκάσαι ἐς τὸ ἄνω τὴν ζώνην ἐπανιέναι καὶ οὕτως ἀνάγκη ἂν εἴη πάντα χαλᾶν τὰ ἐπιδέσματα, ἄγχιστα δ' ἂν τις δοκέῃ ποιέειν, καίπερ οὐ μεγάλα ποιέων, εἰ τοῖσι μέν τισι τῶν ὀθονίων περὶ τὴν ζώνην περιβάλλοι, τοῖσι δὲ πλείστοισι τῶν ὀθονίων τὴν ἀρχαίην ἐπίδεσιν ἐπιδέοι· οὕτω γὰρ ἂν μάλιστα τὰ ἐπιδέσματα μόνιμά τε εἴη καὶ ἀλλήλοισι τιμωρέοι. τὰ μὲν οὖν πλεῖστα εἴρηται ὅσα κατα-

lum increſcere. Qui ubi ſatis increvit, fracturae oras illigat atque adſtringit; neque enim os altioribus partibus ſolidatur, quemadmodum caro, ſed, ut dictum eſt, in ſummo quaſi vinculo adſtringitur. Quae ſequuntur ſi diligenter conſiderentur, omnia plana ſunt.

LXV.

Siquidem anus comprehenditur faſciaeque in hac loci anguſtia colliguntur. Quod vero ad eas faſcias pertinet quae in zonam induntur, non ita arcte haec cingitur quin ſurſum ferri cogatur; quod ubi accidit, neceſſe eſt totum vinculum relaxari. Proxime autem moliri quis ſibi videbitur, quamvis nihil magnum efficiat, ſi faſcias nonnullas in cingulum demittat, ſed plerasque ad primum vinculum adhibeat: hac enim ratione maxime ſtabiles erunt et alteri circuitui alter auxiliabitur. Plurima quidem dicta ſunt ex iis quae ad juguli fra-

Ed. Chart. XII. [325.] Ed. Baf. V. (596.)

λαμβάνει τοὺς τὴν κληῖδα καταγνυμένους, προσξυνιέναι δὲ καὶ τόδε χρὴ, ὅτι κληῖς ὡς ἐπὶ τὸ πουλὺ κατάγνυται, ὥστε τὸ μὲν ἀπὸ τοῦ στήθεος πεφυκὸς ὀστέον εἰς τὸ ἄνω μέρος ὑπερέχειν, τὸ δὲ ἀπὸ τῆς ἀκρωμίης πεφυκὸς ὀστέον ἐν τῷ κάτω μέρει εἶναι. αἴτια δὲ τούτων τάδε, ὅτι τὸ μὲν στῆθος οὔτε κατωτέρω ἂν πουλὺ οὔτε ἀνωτέρω χωρήσειεν.

Οὐκ ἔστι σύνθετον ὄνομα τὸ στενυγροχωρίῳ ἐκ τε τοῦ ὑγροῦ καὶ τοῦ στενοῦ καὶ τῆς χώρας γεγονὸς, ὥς τινες νομίζουσιν, ἀλλ' ἀπὸ τοῦ στενυγρὸν, ὅπερ οὐδ' αὐτὸ πλέον σημαίνει τοῦ στενοῦ κατὰ παραγωγήν τινα γεγενημένης στενυγροχωρίας μηδὲν πλέον δηλούσης τῆς στενότητος. εὖδηλον δὲ τοῦτο καὶξ ὧν Σιμωνίδης εἶπεν, ὧδέ πως ἐχόντων· οὔπω τις οὕτω δασκίοις ἐν οὔρεσιν ἀνὴρ λέγονται δὶς ἐν οὐδὲ πάρδαλιν μοῦνος στενυγρῷ συντυχὼν ἐν ἀτραπῷ. ψιλοῦται δὲ δηλονότι κατὰ τὴν δευτέραν συλλαβήν.

---

cturam attinent. Scire autem licet jugulum plerumque ita frangi ut ea pars quae a pectore eſt ſurſum feratur; quae a ſummitate lati ſcapularum oſſis, deorſum. Cujus cauſa eſt pectus, quod neque admodum ſurſum neque admodum deorſum movetur.

Loci anguſtiam dixit *στενυγροχωρίην*, quod nomen ut quibusdam placet non componitur ex vocabulis *ὑγροῦ*, *στενοῦ* et *χώρας*, quae ſignificarent humidum locum eundemque anguſtum; ſed deducitur a voce *στενυγρὸν*, quae nihil amplius ſibi vult quam *στενὸν*, quod ſignificat anguſtum. Unde quadam additione, quam figuram *παραγωγὴν* dicunt, deducitur *στενυγροχωρίη*, quae nihil aliud ſibi vult quam anguſtiam. Quod ex iis evidenter colligitur quae Simonides ſic ſcribit: *οὔπω τις οὕτω δασκίοις ἐν οὔρεσιν ἀνὴρ λέγεται λῖν, οὐδὲ πάρδαλιν μοῦνος στενυγρῷ συντυχὼν ἐν ἀτράπῳ.* Effertur autem ſecunda ſyllaba tenui ſpiritu.

Ed. Chart. XII. [325. 326.] Ed. Baſ. V. (596. 597.)

ξστ'.

Μικρὸς γὰρ ὁ κιγκλισμὸς τοῦ ἄρθρου τοῦ ἐν τῷ στήθει.

Τὴν βραχεῖαν κίνησιν ὠνόμασε κιγκλισμόν. εἰ δ' ἀπὸ τοῦ ζώου τοῦ κίγκλου γέγονε τοὔνομα, διότι κινεῖ συνεχῶς ἐκεῖνο τὰ πηγάνεια πτέρνα ἢ ἀπό τινος ἄλλου τῆς προκειμένης πραγματείας, οὐκ ἔστιν οἰκεῖον, ἀλλὰ μᾶλλον δεῖται αἰτίαν (597) *εἰπεῖν, δι' ἣν ἡ πρὸς τὸ στέρνον τῆς κλειδὸς διάρθρωσις οὐ τῶν μικροτάτων οὖσα, καθάπερ* [326] *ἕτεραί τινες, ὅμως οὐκ ἔχει κίνησιν ἀξιόλογον. αὐτὸς οὖν ὁ Ἱπποκράτης ἥντινα λέγει τούτου τὴν αἰτίαν εἶναι διὰ τῆς λέξεως ἀκούσωμεν. στῆθος δὲ ἔοικεν οὐ τὸ σύμπαν λέγειν χωρίον, ὅσον ἐν τοῖς πρόσω τοῦ θώρακός ἐστιν, ἀλλὰ τὸ μέσον ὀστοῦν, ἐν ᾧ διαρθροῦνται πλευραὶ, ὃ καλοῦσιν ἰδίως οἱ μετ' αὐτὸν ἰατροὶ στέρνον, ὅπερ ἀληθῶς εἶπεν.*

LXVI.

Exiguus eſt enim motus articuli a parte oſſis pectoris.

Exiguum motum vocavit *κιγκλισμόν*. At ſive vocabulum ſumatur a motacilla ave, quae Graece *κίγκλος* dicitur, eo quod aſſidue caudam moveat, ſive a quovis alio, non pertinet proprie ad hunc locum. Sed magis perſequi cauſam oportet, cur commiſſura juguli cum pectore, quamvis ſicut aliae nonnullae referri inter minimas non debeat, tamen nihil fere moveatur, ſed quam hujus rei cauſam Hippocrates tradat, audiamus de verbis ipſius. Os pectoris *στῆθος* appellat, quo nomine ſignificaſſe nunc videtur non omne id quod eſt a priori parte thoracis, ſed medium os in quod ſe inferunt coſtae, quod Graece a junioribus medicis *στέρνον* vocatur, de quo recte dixit.

Ed. Chart. XII. [326.] Ed. Baf. V. (597.)

ξζ'.

Αὐτὸ γὰρ ἑωυτῷ συνεχές ἐστι τὸ στῆθος καὶ τῇ ῥάχει.

Τὸ μὲν οὖν ἑαυτῷ συνεχὲς εἶναι τὸ στέρνον ἐναργῶς φαίνεται· τὸ δὲ τῇ ῥάχει νοηθήσεται σαφῶς, ἐὰν σκελετῷ ζώῳ τὰς πλευράς ποτε ἴδῃς ἐναργῶς ἐρηρεισμένας ὀπίσω μὲν ἐπὶ τῆς ῥάχεως, ἔμπροσθεν δὲ πρὸς τὸ στέρνον.

ξη'.

Ἄγχιστα μὲν ἡ κλεὶς πρὸς τὸ τοῦ ὤμου ἄρθρον πλοώδης ἐστίν· ἠνάγκασται γὰρ πυκινοκίνητος εἶναι διὰ τὴν τῆς ἀκρωμίης σύζευξιν. ἄλλως τε ὅταν τρωθῇ, φεύγει ἐς τὸ ἄνω μέρος τὸ πρὸς τῷ στήθει προσιχόμενον καὶ οὐ μάλα ἐς τὸ κάτω μέρος ἀναγκάζεσθαι ἐθέλει. καὶ γὰρ πέφυκε κοῦφον καὶ ἡ εὐρυχωρίη αὐτῷ ἄνω πλείων ἢ κάτω. ὁ δὲ ὦμος καὶ τὰ προσηρτημένα τούτοισιν εὐαπόλυτά εἰσιν ἀπὸ τῶν πλευρέων καὶ τοῦ στήθεος καὶ διὰ τοῦτο δύναται καὶ ἀνωτέρω πουλὺ ἀνάγεσθαι καὶ κατωτέρω. ὅταν

LXVII.

Ipſum enim os pectoris ſibi continuatur et ſpinae.

Os pectoris ſibi ipſi continuari manifeſtiſſimum eſt, ſed et ſpinae etiam liquido conſtabit, ſi quando in cadavere detracta carne coſtas videris a poſteriori parte ſpinae, a priori oſſi pectoris inhaerere.

LXVIII.

Sed et jugulum prope humeri articulum ſupernatat. Cogitur autem moveri ſaepiſſime, eo quod cum ſummitate lati ſcapularum oſſis jungatur. Maxime autem ubi perrumpitur pars quae ab oſſe pectoris eſt, ſurſum fertur, neque facile ſolet deorſum repelli, quoniam natura levis eſt, ſpatiumque ipſi latius patet a ſuperiori parte, quam ab inferiori. Latum vero ſcapularum os, humerus et quae his inhaereſcunt, a coſtis et oſſe pectoris optime ſolvuntur; quamobrem poſſunt plurimum attolli atque

Ed. Chart. XII. [326.] Ed. Baf. V. (596.)

γοῦν καταγῇ κληΐς, τὸ πρὸς τῷ ὤμῳ ὀστέον ἐς τὸ κατωτέρω ἐπιῤῥέπει· ἐς τοῦτο γὰρ ἐπιτροχώτερον αὐτὸ ἅμα τῷ ὤμῳ καὶ τῷ βραχίονι κάτω ῥεῦσαι μᾶλλον ἢ ἐς τὸ ἄνω. ὁπότε οὖν ταῦτά ἐστιν, ἀξυνετέουσιν ὅσοι τὸ ὑπερέχον τοῦ ὀστέου ἐς τὸ κάτω καταναγκάσαι οἴονται εἶναι, ἀλλὰ δῆλον ὅτι τὸ κάτω πρὸς τῷ ἄνω προσακτέον ἐστί. τοῦτο γὰρ ἔχει κίνησιν, τοῦτο γάρ ἐστι καὶ τὸ ἀποστὰν ἀπὸ τῆς φύσιος. δῆλον οὖν ὅτι ἄλλως μὲν οὐδαμῶς ἐστιν ἀναγκάσαι τοῦτο· αἵ τε γὰρ ἐπιδέσιες οὐδέν τι μᾶλλον προσαναγκάζουσιν ἢ ἀπαναγκάζουσιν. εἰ δέ τις τὸν βραχίονα πρὸς τῇσι πλευρῇσιν ὡς μάλιστα ἐόντα ἀναγκάζοι ἄνω, ὡς ὅτι ὀξύτατος ὁ ὦμος φαίνεται εἶναι, δῆλον ὅτι οὕτως ἂν ἁρμοσθείη πρὸς τὸ ὀστέον τὸ ἀπὸ τοῦ στήθεος πεφυκὸς ὅθεν ἀπεσπάσθη.

Τροπικοῖς ὀνόμασι καὶ γλωσσηματικοῖς εἴωθεν ὁ Ἱπποκράτης ἐννοιῶν χρῆσθαι, καίτοι πολιτικὴν ἑρμηνεύων ἑρμηνείαν, ὅμοιόν τι τούτῳ πεπονθὼς ὁ Ξενοφῶν· καὶ

---

demitti. Itaque ubi jugulum frangitur, ea pars quae eſt a lato ſcapularum oſſe deorſum convertitur: facilius enim deorſum fertur una cum humero ac lato ſcapularum oſſe quam ſurſum. Quando igitur ſic ſe res habet, decipiuntur qui cenſent poſſe quod ſuperexcedit os deorſum compelli; namque in aperto eſt, inferiorem partem ad ſuperiorem adducendam eſſe, ea ſiquidem movetur, ea a naturali ſede recedit. Conſtat autem hanc aliter nullo modo propelli poſſe, vincula enim nihil magis adducunt quam repellunt. Si quis autem humerum ad latus quantum poteſt adductum ſurſum attollat, ut humeri commiſſura maxime acutam ſe oſtendat, hoc pacto concurret cum oſſe pectoris a quo receſſit.

Solet Hippocrates quasdam figuras ac linguarum proprietates uſurpare, quamvis conſuetam loquutionem ſequatur. Simile quid apud Xenophontem legitur; ipſe enim,

Ed. Chart. XII. [326. 327.] Ed. Baſ. V. (596.)

γὰρ ἐκεῖνος εἴπερ τις καὶ ἄλλος ἑρμηνεύων πολιτικῶς, ὅμως παρεμβάλλει πολλάκις ὀνόματα γλωσσηματικὰ καὶ τροπικά. σπανιώτερον μὲν οὖν παρ' ἐκείνῳ τὸ τοιοῦτον, συνεχέστερον δὲ παρὰ τῷ Ἱπποκράτει, καθάπερ ἐπὶ τῇ προγεγραμμένῃ ῥήσει τὸν κιγκλισμὸν εἶπεν, ἐνταῦθά τε τὸ πλοώδης ἐστίν. ἐνδείκνυται γὰρ διὰ τῆς φωνῆς τὸ οἷον ἀστήρικτος, ᾧ καὶ τὸ ζῶον φαινόμενον μαρτυρεῖ, καθ' ὃ φησιν ἠνάγκαστο, καθ' ὃ πυκινοκίνητος αὐτὸς ἐδήλωσεν εἰπών, διὰ τὴν τῆς ἀκρωμίης σύζευξιν. αὕτη δὲ πάλιν ἡ ἀκρωμίη διὰ τὸ [327] κατ' ὦμον ἄρθρον ἐστὶ πυκινοκίνητος, ἀτενὴς, ἅτε ὑπάρχων αὐτὸς καὶ μεγίστας ἔχων κινήσεις. τὸ δὲ κατ' ἀρχὴν εἰρημένον τῆς ῥήσεως, τὸ ἄγχιστα μὲν τὴν ἀμφιβολίαν ἣν ἔχει πρότερον ἐπὶ τοῦ χωρίου προσῆκεν ἀκούειν ἢ τοῦ πράγματος αὐτοῦ. δῆλον μὲν γὰρ ἐγγυτάτω, ἀλλ' ἤτοι πλησίον τοῦ ἄρθρου πυκινοκίνητον ἐνδείξεται τὴν κλεῖν εἰρημένον, ὅπερ ἐμοὶ δοκεῖ μᾶλλον ἄν τις ἀκούῃ ὀρθῶς, ἐνίοις ἔδοξε συνάπτειν τὸ ἄγχιστα, δεήσει τὸ πυκινοκίνητον εἶναι

ſi quisquam eſt qui uſitata loquutione utatur, in his nomen profitetur ſuum, ſaepius tamen inſerit vocabula linguae propria ac translata. Quod tamen rarius apud hunc, frequentius apud Hippocratem reperitur, quemadmodum in praecedentibus verbis, ubi *κιγκλισμὸν* dixit parvum motum, nunc vero *πλοώδης ἐστὶ*, quod ſupernatat. Id autem quaſi ſine fulcro ſignificat, cujus rei teſtimonium facit quod ſubjicit, quum inquit: cogitur autem moveri ſaepiſſime, eo quod cum ſummitate lati ſcapularum oſſis conjungatur; at ſummitas lati ſcapularum oſſis rurſus ob humeri articulum ſaepiſſime movetur, quum ipſe imbecillis ſit et maximi motus. Initio vero ſermonis prope dixit: dubium autem eſt ad locumne an ad rem debeat referri. Vel enim accipiemus *prope articulum* frequenter jugulum moveri, quam ſententiam magis probo; vel ut quibusdam placet *prope* referemus ad frequentem motum, ita ut mens ejus ſit: jugulum maxime prope accedit ad

Ed. Chart. XII. [327.] Ed. Baſ. V. (596.)

τὸ λεγόμενον, τὸ οὕτω ἐγγυτάτω τὸ πυκινοκινήτου ἡ κλείς ἐστι πλησίον τοῦ κατ' ὦμον ἄρθρου.

ξθ'.

Εἰ οὖν τις τῇ μὲν ἐπιδέσει χρῷτο τῇ νομίμῃ τοῦ ταχέως συναλθεσθῆναι ἕνεκα, ἡγήσαιτο δὲ τἄλλα πάντα μάτην εἶναι παρὰ τὸ σχῆμα τὸ εἰρημένον, ὀρθῶς τε ἂν ξυνίῃ, ἐητρεύοι τ' ἂν τάχιστα καὶ κάλλιστα· κατακέεσθαι μέντοι τὸν ἄνθρωπον μέγα τὸ διάφορόν ἐστι καὶ ἡμέραι ἱκαναὶ τεσσαρεσκαίδεκα, εἰ ἀτρεμέοι, εἴκοσι δὲ πάμπολλαι.

Νομίμην ἐπίδεσιν λέγει τὴν ὑπὸ πάντων εἰθισμένην καὶ ὥσπερ ἄγραφον ἤδη νόμον οὖσαν· οὕτως γὰρ κἀν τῷ βίῳ τινὰ τῶν ἐθῶν, ὅσα πρὸς ἁπάντων ἐπιτηδεύηται, τοῖς νόμοις ἐστὶ παραπλήσια. τὴν μὲν οὖν καταγματικὴν ἐπίδεσιν οὐ πάντῃ ἐπoίουν τοῦ προσήκοντος, καὶ διὰ τοῦτο πλείονα περὶ αὐτῆς ἔγραψεν ἐν πρώτῳ βιβλίῳ περὶ τῶν ἀγμῶν. ἐνταυθοῖ δὲ οὐδεμία παθήματος ἐπίδεσις οὐδενὸς

ea quae frequenter moventur, quum humeri articulo jungatur.

LXIX.

Si quis igitur legitimum vinculum adhibeat, ut celeriter glutinetur; cetera vero omnia extra hujusmodi habitum ſupervacua exiſtimet, recte utique ſentiet celeriterque hominem ad optimam valetudinem perducet. Quem jacere maxime ad rem pertinet, ſatisque ſunt quatuordecim dies, ſi quieſcat; ad ſummum viginti.

Legitimum vinculum appellat quod omnibus in conſuetudine eſt, ac jam eſt veluti lex quaedam non ſcripta: ſic enim et in vita fit, ut quos mores omnes ſtudent legibus ſimiles ſint. Vinculum igitur quod ad fracturas pertinet huc non admodum accommodatur, atque idcirco fuſius de ipſo ſcripſit in primo de fracturis. Hic autem nullum vitium exponitur, ad quod ejusmodi vinculum

Ed. Chart. XII. [327.] Ed. Baſ. V. (597.)

τοιαύτη. δέδεικται γάρ μοι καὶ διὰ τῶν εἰς ἐκεῖνο τὸ βιβλίον ὑπομνημάτων, ἀλλὰ καὶ νῦν ἀνεμνήσθη, πάντα μὲν ὅσα τῷ τρόπῳ τῆς καταγματικῆς ἐπιδέσεως ὑποπίπτει παθήματα, κατ' ἐκεῖνο τὸ βιβλίον ὑπ' αὐτοῦ γεγράφθαι, πάντα δ' αὖ πάλιν ὅσα τῇ λοιπῇ κατὰ τοῦτο. γίνεται γὰρ ἡ καταγματικὴ περιβαλλόντων ἡμῶν ἐν κύκλῳ τὰ ὀθόνια τῷ κατεαγότι μορίῳ. τὸ δεύτερον εἶδος τῆς ἐπιδέσεως ἐπ' ἄλλα μόρια τὴν νομὴν ποιουμένων, καὶ κατά γε τὸ πλεῖστον ἐπὶ τὰ ἀντικείμενα τῷ πεπονθότι, καθάπερ κἀν ἰητρείῳ εἶπεν· ὁμολογέει δὲ ὁμοῦ μὲν ἡ περὶ τὴν ἑτέρην μασχάλην περιβολή.

ο'.

Εἰ μέντοι τινὶ ἐπὶ τἀναντία ἡ κλῆϊς καταγείη, ὃ οὐ μάλιστα γίνεται, ὥστε τὸ μὲν ἀπὸ τοῦ στήθεος ὀστέον ὑποδεδυκέναι, τὸ δὲ ἀπὸ τῆς ἀκρωμίης ὀστέον ὑπερέχειν καὶ ἐποχέεσθαι ἐπὶ τοῦ ἑτέρου, οὐδεμιῆς μεγάλης ἰητρείης ταῦτά γ' ἂν δέοιτο. αὐτὸς γὰρ ὁ ὦμος ἀφιέμενος καὶ

adhibeatur. Oſtendimus enim in commentariis in eos libros et nunc etiam in memoriam redigimus, morbos omnes quibus accommodatur id vinculum quod ad fracturas pertinet traditos fuiſſe ab Hippocrate in eo volumine, in hoc autem omnes qui alteram vinciendi rationem poſtulant. Porro autem in eo vinculo quod ad fracturas pertinet faſcia ſuper affectum membrum in orbem circumdatur, ſed in altera vinciendi ratione fertur ad alias partes, ac plurimum ad eas quae vitiatae ſedi contrariae ſunt, quod in libro de officina medici teſtatur, quum inquit: conſentit autem cum capite humeri faſcia ad alteram alam demiſſa.

LXX.

Si in juguli fractura, quod raro accidit, contrarium eveniat, ut ſcilicet id oſſis quod a pectore eſt ſubjiciatur, id quod a ſummitate lati ſcapularum oſſis ſublimius feratur ac ſuper alteram excedat, nullo magno praeſidio opus eſt; demiſſo enim lato ſcapularum oſſe cum humero

Ed. Chart. XII. [327. 328.] Ed. Baſ. V. (597. 598.)

ὁ βραχίων ἱδρύοι ἂν τὰ ὀστέα πρὸς ἄλληλα καὶ φαύλη ἄν τις ἐπίδεσις ἀρκέοι καὶ ὀλίγαι ἡμέραι τῆς πωρώσιος γένοιτ' ἄν.

Ἔμπροσθεν μὲν ἔλεγεν, ὡς τὸ πολὺ τὸ ἀπὸ τοῦ στέρνου μέρος τῆς κλειδὸς, ὁπόταν ὅλη δι' ὅλης ἑαυτῆς ἀποκαυλι- (598) *σθῇ, πρὸς τὴν ἄνω χώραν μεθίσταται, ταπεινότερον δὲ γίγνεσθαι τὸ ἀπὸ τῆς ἀκρωμίης. νυνὶ δὲ περὶ τοῦ σπανιωτέρου τρόπου γράφει, καθ' ὃν ὑψηλότερον μὲν γίνεται ἀπὸ τῆς ἀκρωμίης, ταπεινότερον τὸ πρὸς τῷ στέρνῳ, ὅ καί* [328] *φησιν εὐιατότερον ὑπάρχειν. αὐταῦ καθιεμένου συγκαθίσταται καὶ τὸ τῆς κλειδὸς μέρος, ὅσον συνεχές ἐστι τοῦ ἀκρωμίου. καὶ οὕτως ἐξ ἴσου τε γενόμενον θατέρῳ τῆς ἐπιδέσεως καὶ τῆς θεραπείας τυγχάνειν.*

οα'.

Εἰ δὲ μὴ καταγείη μὲν οὕτως, παρολισθαίνοι δὲ ἐς τὸ πλάγιον ἢ τῇ ἢ τῇ, ἐς τὴν φύσιν μὲν ἀπαγαγεῖν ἂν δέοι,

recte inter ſe oſſa concurrent, ac quaevis ratio vinciendi ſatis erit et callus paucis diebus increſcet.

In ſuperioribus quidem demonſtravit, ubi totum jugulum transverſum abrumpatur, fere quod a pectore eſt ſurſum converti; quod a ſummitate lati ſcapularum oſſis, deorſum. Nunc eum modum perſequitur qui rarius accidit, ſub quo ea pars juguli quae eſt a ſummitate lati ſcapularum oſſis ſurſum fertur, quae a pectore demittitur; atque hic, ut ait, facilius faneſcit. Nam demiſſa ſummitate lati ſcapularum oſſis, ſimul etiam demittitur ea juguli pars quae ipſi continuatur, ſicque alteri aequata illigatur curaturque.

LXXI.

Quodſi non comminuatur hoc pacto, ſed ab hac vel illa parte in latere erumpat, in ſuum locum collocandum

Ed. Chart. XII. [328.] Ed. Baſ. V. (598.)

ἀναγαγόντα τὸν ὦμον σὺν τῷ βραχίονι, ὥσπερ καὶ πρόσθεν εἴρηται. ὅταν δὲ ἴζηται εἰς τὴν ἀρχαίην φύσιν, ταχείη ἂν ἡ ἄλλη ἰητρείη εἴη. τὰ μὲν οὖν πλεῖστα τῶν παρηλλαγμένων κατορθοῖ αὐτὸς ὁ βραχίων ἀναγκαζόμενος πρὸς τὰ ἄνω.

Ἀκούειν σε χρὴ νῦν εἰρῆσθαι πρὸς αὐτοῦ κατὰ τὴν ἔνδον ἢ ἔξω μετάστασιν τῶν ὀστῶν. ἄκουε δέ μου λέγοντος ἔνδον μὲν εἰς τὸ βάθος ἰοῦ σώματος, ἔξω δὲ ἐπὶ τοῦ πρὸς τὸ δέρμα.

οβ'.

Ὅσα δὲ τῶν ἄνωθεν παρολισθαίνοντα ἐς τὸ πλάγιον ἦλθεν ἢ ἐς τὸ κατωτέρω, συμπορσύνοι ἂν τὴν κατόρθωσιν, εἰ ὁ μὲν ἄνθρωπος ὕπτιος κέοιτο, κατὰ δὲ τὸ μεσηγὺ τῶν ὠμοπλατέων ὑψηλότερόν τι ὀλίγον ὑποκέοιτο, ὡς περιῤῥηδὲς ἔῃ τὸ στῆθος ὡς μάλιστα καὶ τὸν βραχίονα, εἰ ἀνά-

erit, lato ſcapularum oſſe una cum humero excitato, quemadmodum et in ſuperioribus explicavimus. Ubi reſtitutum fuerit in priſtinum ſtatum, reliqua curatio celerrime perficietur. Plerumque igitur quum partes inter ſe ceſſerunt, ipſo humero ſurſum coacto reſtituitur.

Quod ab ipſo nunc proponitur, accipere debemus in oſſe quod in interiorem vel exteriorem partem prolabitur. Intellige nunc quam dico interiorem partem, eam quae alte ſita eſt in corpore; exteriorem, quae in ſuperficie ad cutem.

LXXII.

Ubicunque autem quod a ſuperiori parte eſt in latus vel in inferiorem partem veniat, commode reſtituitur, ſi homo reſupinetur, ſubjecta aliqua re inter ſcapulas quae attollat ſic ut pectus quam maxime recurvetur; aliquis item humerum juxta latus extentum ſurſum adducat.

Ed. Chart. XII. [328.] Ed. Baf. V. (598.)

γοι τις παρὰ τὰς πλευρὰς παρατεταμένον. ὁ δὲ ἰητρὸς τῇ μὲν ἑτέρῃ χειρὶ ἐς τὴν κεφαλὴν τοῦ βραχίονος ἐμβαλὼν τὸ θέναρ τῆς χειρὸς ἀπωθέοι, τῇ δ' ἑτέρῃ τὰ ὀστέα τὰ κατεαγότα εὐθετίζοι, οὕτως ἂν μάλιστα ἐς τὴν φύσιν ἄγοι. ἀτὰρ ὅπερ ἤδη εἴρηται, εὖ μάλα τὸ ἄνωθεν ὀστέον ἐς τὸ κάτω φιλέει ὑποδύνειν. τοῖσι μὲν οὖν πλείστοισιν ὅταν ἐπιδεθῶσι, τὸ σχῆμα ἀρήγει, παρ' αὐτὰς τὰς πλευρὰς τὸν ἀγκῶνα ἔχοντα οὕτως ἐς τὸ ἄνω τὸν ὦμον ἀναγκάζεσθαι. ἔστι δ' οἷσι μὲν τὸν ὦμον ἀναγκάζειν δεῖ ἐς τὸ ἄνω, ὡς εἴρηται.

Ὅταν οὖν τὸ συνεχὲς τῶν στέρνων μέρος τῆς κλειδὸς ἢ εἰς τὸ πλάγιον ἢ εἰς τὸ κάτω παρολισθῇ, τηνικαῦτά φησι συμπαρασκευάζεσθαι εἰς τὴν κατόρθωσιν, εἴ τις τὸν ἄνθρωπον ὕπτιον κατακλίνας ὑποθείη μεταξὺ τῶν ὠμοπλατῶν κατ' αὐτὴν τὴν ῥάχιν, δηλονότι προσκεφάλαιον ἢ ὑπαυχένιον ἤ τι τοιοῦτον, ὡς περικεκλασμένον κατὰ τοῦτο γίνεσθαι τὸν θώρακα σύμπαντα. τὸ γὰρ περιῤῥηδὲς ἔῃ οὕτως εἴρηται καὶ παρὰ τῷ ποιητῇ·

Περιῤῥηδὴς τε τραπέζης κατέπεσε.

Medicus vero altera manu ad humeri caput data prominentiori palmae parte repellat, altera quod diductum eſt componat: ſic enim maxime in naturalem ſedem reſtituet. Sed, ſicut jam diximus, ſuperius os deorſum ferri maxime ſolet. Plerisque ubi alligati ſunt, convenit ita figurari, ut cubitus juxta latus contineatur, ſicque humeri caput excitetur.

Ubi ea pars juguli quae cum pectoris oſſe committitur vel in latus vel in inferiorem partem prorumpat, tunc ait commode reſtitui, ſi homo reſupinetur, ſubjecto inter ſcapulas juxta ſpinam pulvino ſeu cervicali, ſive tali quopiam, ut hac via thorax totus recurvetur. Hoc autem expreſſit vocabulo περιῤῥηδὲς, quod poeta etiam uſurpavit quum inquit:

Περιῤῥηδὴς τε τραπέζης κατέπεσε.

Ed. Chart. XII. [328. 329.] Ed. Baf. V. (598.)

κατὰ τοῦτον οὖν τὸν τρόπον σχηματισθέντος τοῦ ἀνθρώπου τὸν ἰατρὸν ἀξιοῖ τῇ μὲν ἑτέρᾳ χειρὶ τὴν κεφαλὴν τοῦ βραχίονος διανάγειν παρὰ τὰς πλευρὰς παρατεταμένον ἀπωθεῖν ἐκτός. οὕτως γὰρ ἂν διασταίη μάλιστα τὰ κατεαγότα μόρια τῆς κλειδὸς εἰς τοῦτο καὶ τοῦ περιῤῥηδοῦς σχήματος συντελοῦντος οὐ μικρόν. διαπλάττειν δὲ τῇ ἑτέρᾳ χειρὶ καὶ συναπάγειν πρὸς ἄλληλα τὰ διεστῶτα τῆς χειρὸς μόρια τὸν βραχίονα πρὸς τὰς πλευρὰς παρατεταμένον ἀνάγοντα κατὰ τὴν ἐξῆς ῥῆσιν ἐνίοτέ φησιν ἄμεινον εἶναι.

ογ'.

[329] *Τὸν δὲ ἀγκῶνα πρὸς τὸ στῆθος παράγειν, ἄκρην δὲ τὴν χεῖρα παρὰ τὸ ἀκρώμιον τοῦ ὑγιέος ὤμου ἴσχειν· ἢν μὲν οὖν κατακέεσθαι τολμᾷ, ἀντιστήριγμά τι προστιθέναι χρὴ, ὡς ἂν ὁ ὦμος ἀνωτάτω ἔῃ, ἢν δὲ περιίῃ, σφενδόνην χρὴ ἐκ ταινίης περὶ τὸ ὀξὺ τοῦ ἀγκῶνος ποιήσαντα ἀναλαμβάνειν περὶ τὸν αὐχένα.*

Homine igitur ita figurato praecipit ut medicus altera manu humeri ad latus adducti caput in exteriorem partem repellat; ſic enim diductae juguli partes plurimum inter ſe recedent, recurvato pectoris habitu multum ad eam rem conferente; altera manu componat atque in unum adducat diductas juguli partes; humerum vero juxta latus ſurſum compelli interdum ſatius eſſe in ſequentibus adſcribit.

LXXIII.

Sed quibusdam, ut narravimus, debet humeri caput ſurſum urgeri, cubitus autem ad pectus adduci, manus vero ad ſummitatem lati ſcapularum oſſis ab integra parte porrigenda eſt. Quodſi homo cubare non recuſet, aliquid imponere convenit quo fulciatur, ſic ut humeri caput maxime ſublime ſit; at ſi inambulat, fundam a cervicibus ſuſpendere ex faſcia oportet, quae cubiti eminentiam complectatur.

Ed. Chart. XII. [329.] Ed. Baſ. V. (598.)

Τὸ δὲ τοιοῦτον σχῆμα πρὸς τὴν ἐκτὸς χώραν ἀπάγει δηλονότι τὴν κεφαλὴν τοῦ βραχίονος, ὡς συναπάγεται καὶ τὸ τῆς κλειδὸς μέρος τὸ συνημμένον τῷ ἀκρωμίῳ, ἀλλ' οὐκ εἶναι χρείαν φησὶ τοιούτου σχήματος ὡς τὸ πολύ. γίγνεσθαι γὰρ αὐτάρκως τὴν ἐπανόρθωσιν καὶ διὰ τοῦ προτέρου, καθ' ὃ περὶ τὰς πλευρὰς ὁ βραχίων παρατεταμένος ἐπήγετο, τοῦ ἀγκῶνος αὐτόθι μένοντος, οὐχ ὥσπερ νῦν ἐπὶ τὸ στῆθος παραγενομένου. τοῦτ' οὖν παρέχειν ἐπὶ τὸ στῆθος οὐχ ὡς ἀχρήστου τοῦ προτέρου φευκτέον ἡμῖν ἐστιν, ἀλλ' ὡς καὶ διακινουμένου τὰ πολλὰ τῆς προκειμένης ἐνεργείας κατορθοῦσθαι δυναμένης. εἰ δ' ἐν τῷ πράττειν αὐτὴν μὴ ὑπακούοι τὸ ἔργον, οὕτως ἐπὶ τὸ δεύτερον σχῆμα μεταβησόμεθα.

Haec figurandi ratio efficit ut humeri caput in exteriorem partem compellatur, cum quo adducitur et juguli pars quae ſummitati lati ſcapularum oſſis adjuncta eſt. Sed ejusmodi habitu inquit fere opus non eſſe, quod ſuperiori ſatis reſtituatur, ſub quo humerus juxta latus extentus adducebatur cubito ibidem collocato, non quemadmodum nunc pectori ſuperimpoſito. Abſtinere igitur debemus ab imponendo cubito ſuper pectus, non quod hic habitus priori ſit deterior, ſed quod per illum dumtaxat pleraque praeſtari poſſint, quae ad reponendum idonea poſita ſunt. Quomodo ſi res non ſuccedat, ad habitum transibimus ſecundo loco oſtenſum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΤΟ ΠΕΡΙ ΑΡΘΡΩΝ ΒΙΒΛΙΟΝ ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟ ΥΠΟΜΝΗΜΑ ΔΕΥΤΕΡΟΝ.

Ed. Chart. XII. [332. 333.] Ed. Baf. V. (599.)

α'.

[332. 333] (599) *Γνάθος δὲ ὀλίγοισιν ἤδη τελέως ἐξήρθρησε.*

Γνάθον ὀνομάζουσιν οἱ ἀνατομικοὶ τὸ ὑποκάτω τοῦ μήλου καλουμένου. τὸ μῆλον δ' αὐτοῖς ἔξέχον ἐν τοῖς [333] *πρόσω διακρατοῦσιν ἀτρέμα περιφερές. ὁ τοίνυν Ἱπποκράτης οὕτως εἴρηκεν, ὦμου δὲ ἄρθρον ἐν ἴσῳ τοῦ κατ' ὦμον*

HIPPOCRATIS DE ARTICULIS LIBER ET GALENI IN EUM COMMENTARIUS SECUNDUS.

I.

Maxilla paucis hactenus toto loco mota eſt.

Qui operam dant corporibus incidendis *γνάθον* dicunt eam partem quae genis ſubjecta eſt; genas vero, quae *μῆλα* vocant, eas quae leniter rotundae in facie prominent. Quemadmodum igitur Hippocrates dixit, articulum autem

Ed. Chart. XII. [333.] Ed. Baſ. V. (599.)

ἄρθρου, ἵνα καὶ νυνὶ λέγων τὸ κατὰ τὴν γνάθον ἄρθρον ἢ τὴν κάτω γέννυν ὠνόμασε γνάθον. οὕτως δὲ καὶ ὁ ποιητὴς εἴρηκε·

Κόπτων ἀμφοτέρῃσι, χαμαὶ δ' ἅπαντας ὀδόντας
γνάθων ἐξελάσαιμι συὸς ὡς ληϊβοτείρης.

καὶ γὰρ κἀκεῖνος φαίνεται γνάθους ὀνομάζων τὰς γένυας· αὐτός τε πάλιν ὁ Ἱπποκράτης ἐν τοῖς ἐφεξῆς γνάθους αὐτὰς καλεῖ. περὶ μὲν οὖν τῆς προσηγορίας ἱκανὰ καὶ ταῦτα. διὰ τί δέ φησιν ὀλίγοις ἐξαρθρήσασθαι τὴν γένυν αὐτός σε διδάξει διὰ τῶν ἐπιφερομένων, οἷς δὴ πρόσεχε τὸν νοῦν.

β'.

Ὀστέων τε γὰρ τὸ ἀπὸ τῆς ἄνω γνάθου πεφυκὸς ὑπεξίγωται πρὸς τὸ ὑπὸ τὸ οὖς ὀστέῳ προσπεφυκότι, ὅπερ ἀποκλείει τὰς κεφαλὰς τῆς κάτω γνάθου, τῆς μὲν ἀνωτέρω ἐὸν, τῆς δὲ κατωτέρω τῶν κεφαλαίων. τά τε ἄκρεα τῆς

lati ſcapularum oſſis, pro articulo qui cum lato ſcapularum oſſe committitur, ſic nunc maxillae articulum intellexit, quum maxillam ait, quam *γνάθον* appellat. Sic etiam poeta dixit:

Κόπτων ἀμφοτέρῃσι, χαμαὶ δ' ἅπαντας ὀδόντας
γνάθων ἐξελάσαιμι συὸς ὡς ληϊβοτείρης.

Ubi videtur appellaſſe *γνάθους* *malas* et *maxillas*, quas ipſe etiam Hippocrates in ſequentibus *γνάθους* nominat. Atque haec de vocabulo. Cur autem ſcripſerit paucis maxillam toto loco moveri ipſe deinceps docebit; animum igitur adjungito.

II.

Os enim quod a malis procedit cum eo conjungatur quod ab aure; hoc autem maxillae capita excludit, quorum unum a ſuperiori parte ſitum eſt, alterum ſubjectum. Item ex maxillae capitibus unum quidem ob longitudi-

Ed. Chart. XII. [333.] Ed. Baſ. V. (599.)

κάτω γιάθου τὸ μὲν διὰ τὸ μῆκος οὐκ εὐπαρείσθυτον, τὸ δ' αὖ τὸ κόρωνόν τε καὶ ὑπερέχον ὑπὲρ τοῦ ζυγώματος.

Εἴρηταί μοι καὶ πρόσθεν ἔν τε τῇ περὶ τοῦ ἀγκῶνος ἐξηγήσει καὶ τῷ πρώτῳ τῶν ὑπομνημάτων· καὶ εἴ τις οὐ νοεῖ σαφῶς τὰ οὕτως ὑφ' Ἱπποκράτους λεγόμενα, δείκνυσι καὶ τοῦτο πρὸ τοῦ διδάσκοντος ὀστᾶ μάλιστα μὲν ἀνθρώπων, εἰ δὲ μὴ, πιθήκων. ἄμεινον δὲ μὴ νῦν, ὁπόταν ἀναγιγνώσκει τὰ βιβλία, ταύτην ἕξιν γίγνεσθαι τῶν ὀστῶν, ἀλλ' ἔμπροσθεν ἐπὶ χολῆς γεγονέναι. λέλεκται δὲ καὶ ὡς ὑφ' ἡμῶν γέγραπται βιβλίον τοῖς εἰσαγομένοις περὶ ὀστῶν, ὅτι τε τῷ μέλλοντι συνιέναι δῆλον εἰ ἐν τούτοις τοῖς γράμμασιν ὁ Ἱπποκράτης λέγει, προγεγυμνάσθαι βέλτιόν ἐστιν ἐν ἐκείνῳ. καὶ τοίνυν ἔμπροσθεν ἔγραψα καὶ νῦν ποίησω μέσην τινὰ τοῖς θ' ἑωρακόσι καὶ μὴ ἑωρακόσι διδασκαλίαν. οὕτως γὰρ οἱ θ' ἑωρακότες οὐκ ἀνιάσονται τῷ μήκει τῶν λόγων οἵ τ' οὐθ' ὅλως ἑωρακότες οἷον ὑπογραφήν τινα ἕξουσι τῆς ἀκριβοῦς μαθήσεως, ἣν οὐχ οἷόν τε χωρὶς τῆς ἐπὶ τῶν

nem non facile expellitur, quod roſtro ſimile jugale os excedit.

Antea quoque diximus in expoſitione libri de fracturis et in primo commentario, ſi quis non intelligit quae ita clare ab Hippocrate exponuntur, huic opus eſſe monſtratione oſſium, praecipue hominis vel certe ſimiae; ſatius autem non eſt tunc quum liber legitur, ſed prius per otium oſſa inſpicere. Diximus item ſcriptum fuiſſe a nobis librum de oſſibus ad eos qui primas inſtitutiones addiſcunt, in quo ante exerceri melius eſt eum qui percepturus eſt, quae ab Hippocrate ſcribuntur. Atqui ut in ſuperioribus ſcripſi, ſic etiam nunc faciam mediam quandam doctrinam inter eam quae convenit iis qui inſpexerint et eam quae iis qui non inſpexerint. Hoc enim pacto qui inſpexerint moleſte ſermonis longitudinem non ferent; qui non inſpexerint quaſi deſcriptionem quandam habebunt exquiſitae cognitionis, quae haberi non poteſt

Ed. Chart. XII. [333. 334.] Ed. Baſ. V. (599.)

ὀστῶν αὐτοψίας γενέσθαι. νόει δή μοι καὶ τὸ μὲν κινούμενον ἐν τοῖς ὀδοῦσι στόμα τὴν κάτω γένυν εἶναι, τὸ δ' ἀκίνητον τὴν ἄνω, περιέχεσθαι δὲ πρὸ τῶν ὀστῶν τοὺς ἀλλήλους ὀδόντας κατά τε τὸ μέγεθος καὶ τὸ πλῆθος. ἐκπεφυκὸς δὲ τὸ τῆς ἄνω γνάθου λεπτόν ἐστι καὶ συνεχὲς τῷ περιέχοντι τὸ μικρὸν, καθ' ὃν ὀστῷ τούτῳ δ' ἄγαν τ' ἂν ἕτερον ἐκ τοῦ τῶν ἀκουστικῶν πόρων ἐν αὐτῷ περιέχοντος ὀστοῦ. καθ' ὃ δὲ συμβάλλει ταῦτα ἀλλήλοις γίγνεσθαι συνάρθρωσιν ὁμοίαν ῥαφῇ. τὸ τοίνυν ὀστοῦν τοῦτο λεπτὸν, ὃ συνάπτει τὴν ἄνω γένυν τῇ κεφαλῇ, καλεῖται ζύγωμα πρὸς τῶν ἀνατομικῶν, ἐπειδὴ καὶ αὐτὸς ὁ Ἱπποκράτης φάσκων ὑποζυγῶσαι δηλοῖ συνάγειν ἀλλήλοις τὰ δύο ὀστᾶ, καθάπερ ζυγὸν ὑποκείμενον αὐτοῖς. ὑπὸ δὲ τούτῳ τῷ ζυγώματι κοιλότης ἐστὶν ἀξιόλογος, ἣν κατείληφεν ἡ ἑτέρα τῶν ἀποφύσεων τῆς κάτω γένυος, ἥν τε κορώνην θηλυκῶς ὀνομάζουσι καὶ κόρωνον οὐδετέρως, οὔσης καὶ ἑτέρας ἀποφύσεως κατὰ τοῦτο δακνοίη, καθ' ἣν διαρθροῦται τῷ τῆς κεφαλῆς ὀστῷ, πλησίον τοῦ [334] ὠτός. ἀλλ' αὕτη μὲν ἡ ἀπόφυσις βρα-

niſi oſſa ipſa inſpiciantur. Intelligito igitur ex partibus oris quae dentes continent eam quae movetur eſſe maxillam; quae immobilis eſt, malas; in utroque item olſe dentes contineri tam magnitudine quam numero inter ſe aequales. Procedit autem a malis os tenue continuatum illi oſſi, quo continetur angulus oculi temporibus propior, cum hoc alterum os nectitur in quo ſitum eſt foramen auris; qua vero coëunt haec inter ſe, commiſſura ſit futurae ſimilis. Hoc igitur os, quod malas capiti annectit, ab iis qui incidendis corporibus operam dederunt jugale os appellatur; quandoqui idem et ipſe Hippocrates *conjugatur* inquiens oſtendit duo oſſa inter ſe conjungi, quaſi jugo ſubjecta. Huic autem jugo cavum ſubjectum eſt non mediocre, in quod ſe inſerit alterum maxillae caput quod roſtrum refert, hoc et femineo genere *κορώνην* et neutro *κόρωνον* Graeci appellant. Juxta hunc proceſſum maxilla quoque alterum exigit, per quem cum capite prope aurem committitur. Sed hic brevior eſt, alter multo lon-

Ed. Chart. XII. [334.] Ed. Baſ. V. (599. 600.)

χεῖα ἦν κατὰ τὸ μῆκος, ἡ δ' ἑτέρα πολὺ μακροτέρα. διορίζει δὲ ἀμφότερον μέσον τεταμένον τὸ ζύγωμα, τῆς μὲν μακροτέρας ταπεινότερον κείμενον, ὑψηλότερον δὲ τῆς ταπεινοτέρας. ἀμφοτέρας δὲ τὰς ἀποφύσεις τῆς (600) γένυος ὠνόμασεν ὁ Ἱπποκράτης κεφαλὰς ἐν τῷ φάναι τὸ ζύγωμα τὰς κεφαλὰς ἀποκλείειν, ὅπερ ἐστὶ διείργειν καὶ χωρίζειν ἀλλήλων, τῆς μὲν κατωτέρω, τῆς δὲ ἀνωτέρω. πρόδηλον οὖν ὡς δυνατόν ἐστιν ἐκπεσεῖν τῆς οἰκείας διαρθρώσεως τὴν κάτω γένυν ἄνευ τοῦ κατωτέρω χωρῆσαι τοῦ ζυγώματος τὴν κορώνην, οὐ μὴν οὐδ' ἁπλῶς τοῦτο γενόμενον ἔξαρθρον αὐτὴν ἐργάσεται. ἀνοιγομένου γὰρ τοῦ στόματος εἰς τὴν ἰδίαν ἐπανήξει χώραν. εἰ τοίνυν ἔξαρθρος ἔσεσθαι μέλλοι, κωλυθῆναι χρὴ τὴν ἐπάνοδον αὐτῆς εἰς τὸ πλάγιον ἐκτραπείσης. ὀρθῶς οὖν ἐφ' ἑξῆς ἔφη, χωρὶς τοῦ μέγιστον χαίνοντος εἰς τὰ πλάγια ἐκτρέψαι τὴν γένυν, ἀδύνατον αὐτὴν ἐκπεσεῖν. οὔτε γὰρ αὐτὴ ἀποχωρῆσαι δύναται κατωτέρω τοῦ ζυγώματος ἡ κορώνη, πλὴν ἐπὶ πλεῖστον ἀποστῆναι τὴν κάτω γένυν ἢ τὴν ἄνω. τοῦτο δ' ἐν τῷ μέγιστον χαίνειν γίνεται, οὔτ' ἄνευ τῆς εἰς τὸ πλάγιον ἐκτροπῆς ἡ πρὸς τὴν

gior, uterque diſtinguitur jugali oſſe, quod medium inter utrumque ſitum eſt, longiori humilius, breviori ſublimius eſt; utrosque maxillae proceſſus Hippocrates nominavit capita, quum inquit: hoc autem maxillae capita excludit, hoc eſt diducit ſeparatque inter ſe, alterum ab inferiori parte, a ſuperiori alterum. Conſtat igitur procidere maxillam non poſſe, niſi proceſſus roſtro ſimilis jugali oſſe humilior demittatur; at non propterea ſimpliciter luxabitur, ubi illud accidat, aperto enim ore in ſuum locum revertetur. Ad hoc igitur ut luxetur neceſſe eſt reditum prohiberi, eo quod ipſa in latus convertatur. Recte igitur in ſequentibus inquit: luxari autem non poteſt, niſi ore vehementer aperto in latera convertatur; neque enim ferri poteſt ipſe proceſſus infra os jugale, priusquam maxilla a malis plurimum diducatur, quod accidit ubi homo maxime hiat, neque reditu in ſuam ſedem prohibetur,

Ed. Chart. XII. [334.] Ed. Baf. V. (660.)

οἰκείαν χώραν ἐπάνοδος κωλύεται. διά τε οὖν ταῦτα δυσκόλως ἐκπίπτει καὶ διὰ τὴν ἀνεχόντων μυῶν ῥώμην, ὑπὲρ ὧν κατὰ τὴν ἑξῆς λέξιν ἤκουον αὐτοῦ λέγοντος.

γ'.

Ἅμα τε ἀμφοτέρων τῶν ἀκρέων τούτων νευρώδεες τένοντες πεφύκασιν, ἐξ ὧν ἐξήρτηνται οἱ μύες οἱ κροταφῖται καὶ μασσητῆρες καλεόμενοι.

Ἃς ἔμπροσθεν ὠνόμασε κεφαλὰς τῆς κάτω γένυος ἄκρεα νῦν προσηγόρευσεν ἐπ' ἀμφοτέρων λέγων νευρώδεις τένοντας πεφυκέναι. καλεῖν δ' εἴωθε τένοντας ἐκεῖνα τὰ πέρατα τῶν μυῶν ἃ προσαγορεύουσιν ἀπονευρώσεις οἱ ἀνατομικοί, νευρωδέστερα μὲν ἀεὶ τῶν μέσων ὄντα, διαφέροντα δ' ἀλλήλων ἐν τῷ ποτὲ μὲν πλείονα τὴν σαρκώδη φύσιν ἔχειν τῆς νευρώδους, ποτὲ δ' ἐλάττονα. ὁπότε μὲν οὖν ἡ τῆς σαρκὸς οὐσία πλείων ᾖ, σαρκώδη τὴν ἀπονεύρωσιν καλοῦσι τοῦ μυός, ὁπόταν δὲ ἐλάττων ᾖ, νευρώδη προσαγο-

nisi in latus convertatur. Aegre igitur prolabitur et ob haec et ob musculorum robur, quibus ad superiores partes alligatur, de quibus agit proximis verbis.

III.

Jam vero ab utraque parte harum summitatum nervosae oriuntur chordae, quibus musculi illigantur qui κροταφῖται *et* μασσητῆρες *dicuntur.*

Quae ante κεφαλὰς, id est capita, maxillae vocavit, nunc ἄκρεα, id est summitates, appellat, ab utrisque inquiens nervosas chordas oriri, quas τένοντας vocat. Solet autem sic appellare eas musculorum extremitates, quae Graece ab iis qui versantur in corporibus incidendis ἀπονευρώσεις nuncupantur. Semper autem magis nervosae sunt quam medius musculus; verum inter se differunt eo quod aliae naturam magis nervosam habeant, aliae minus, ubi carnosa natura plurimum abundat, musculi

Ed. Chart. XII. [334.] Ed. Baſ. V. (600.)

ρεύουσι. νῦν οὖν ἐπειδὴ τῆς σαρκώδους οὐσίας ἡ νευρώδης ἐστὶ πλείων, εἰκότως ἔφη νευρώδεις τένοντας ἐκπεφυκέναι τῶν κεφαλῶν. ἀπὸ γὰρ τῶν ὑψηλῶν τῆς κάτω γένυος ἐξηρτῆσθαί φασι μύας τοὺς κροταφίτας καὶ μασητῆρας καλουμένους. ἄδηλον δὲ πότερον τοὺς αὐτοὺς μύας τοῖς τοιούτοις προσηγόρευσεν ὀνόμασιν, ἢ ἄλλους μὲν εἶναι βούλεται τοὺς κροταφίτας, ἄλλους δὲ τοὺς μασητῆρας. οἱ μὲν γὰρ μετ' αὐτὸν ἀνατομικοὶ κροταφίτας μὲν ὀνομάζουσι τοὺς ἐκ τῶν κατὰ κροτάφους ὀστῶν τῆς κεφαλῆς ἐκφυομένους, οὓς ἂν διανοίγειν τε καὶ συνάγειν τὸ στόμα σαφῶς ὁρῶμεν ἐντεινομένους, τοὺς δὲ ἐπικεκλεισμένους τοῖς πλατέσι τῆς κάτω γνάθου καὶ τούτοις δὲ ἑκατέρωθεν ἕνα μασητῆρα, ἐπειδὴ περιάγουσιν ἐν τῷ μασᾶσθαι τὴν γένυν, οὔπω δυναμένων τοῦτο ποιεῖν, τῶν ἄνωθεν καταφερομένων. ἀναπῶσι γὰρ ἐκεῖνοι μόνην αὐτὴν, οὐ μὴν εἰς τὰ πλάγια παράγουσι, διὸ κἂν ἐν τῷ συνάγειν τὸ στόμα τούτων χρῄζομεν, ὡς ἂν κἀπειδὰν ἐνδάκνοντές τι τοῖς προσθίοις ὀδοῦσιν ἀποθραύσουσιν, ἢν βουληθῶμεν ἀποθλάσαι τι διὰ τῶν κυνοδόν-

extremitatem carnoſam vocant; contra ubi nervoſa ſuperat, nervoſam. Nunc quia nervoſae magis ſunt quam carnoſae, jure dixit ab utroque horum capitum nervoſas chordas oriri: innecti enim inquit ſummitatibus maxillae muſculos, qui *κροταφῖται* et *μασητῆρες* nuncupantur. Sed incertum eſt num eosdem muſculos his vocabulis appellet, an alios eſſe velit *κροταφίτας*, alios *μασητῆρας*, quoniam qui poſt Hippocratem verſati ſunt in corporibus incidendis *κροταφίτας* vocant eos, qui a temporum oſſibus oriuntur, quos ubi intenduntur claudere et contrahere os aperte videmus; eos vero qui maxillae qua lateſcit illigantur, utrumque ſcilicet unus, *μασητῆρας* appellant eo quod in mandendo maxillam circumagant. Quod efficere non amplius poſſunt qui a ſuperiori parte oriuntur, hi enim ſurſum tantummodo ipſam adducunt; non tamen in latera movent. Quocirca ipſis opus eſt in contrahendo ore, non ſecus etiam ubi prioribus dentibus aliquid mordentes abſcindimus vel ubi comminuere aliquid caninis

Ed. Chart. XII. [334. 335.] Ed. Baſ. V. (600.)

των ὀνομα- [335] ζομένων. ὅταν δὲ ταῖς μύλαις ἐπιβάλλοντες τὰ σιτία καταθραύειν τε καὶ λεαίνειν αὐτὰ προελώμεθα, μάσησις μὲν καλεῖται τὸ τοιοῦτον ἔργον, ὑπὸ δὲ τῶν ὑποβεβλημένων τοῖς πλατέσιν ἐπιτελεῖται παραγόντων αὐτῶν εἰς τὰ πλάγια τὴν γένυν. εὔλογον οὖν ἐστι τούτους μὲν μασητῆρας ὀνομάζειν, κροταφίτας δὲ τοὺς ἐκφυομένους τῶν κατὰ τοὺς κροιάφους ὀστῶν, οἳ καὶ περιλαμβάνουσι νευρώδεις τένοντας, τὴν κορώνην τῆς γένυος ἐν κύκλῳ πᾶσαν περιφερόμενοι. καὶ μὴν καὶ ἄλλη τίς ἐστι συζυγία μυῶν ἐγκατακεκριμένη τῷ στόματι, τὴν μὲν ἄνω ἔκφυσιν ἔκ τε τῶν πτερυγοειδῶν ὀστῶν ἔχουσα καὶ συμπάσης τῆς παρακειμένης αὐτῇ κοιλότητος. ἐμφυομένη δὲ τῇ κάτω γέννι κατ' ἐκεῖνο μάλιστα τὸ μέρος, ὅθεν ἡ πρὸς τὴν διάρθρωσιν ἀπόφυσις ἀναφέρεται. τούτων τῶν μυῶν οἱ περὶ τοὺς μασητῆρας ἐξικνοῦνται μῦς, οὓς κατὰ τῶν πλατέων ἔφην ἔξωθεν ἐπιτετάσθαι τῆς κάτω γένυος, ὡς τῶν ἔνδοθεν αὐτῶν τὸ πλατὺ κατειλήφασιν οἱ προειρημένοι δύο μῦς, ἑκατέρωθεν εἷς. ὅταν οὖν ὁ Ἱπποκράτης εἴπῃ, ἅμα τε ἀμ-

volumus. Sed ubi cibum ut contendamus conteramusque ſuper maxillares imponimus, quae actio *μάσησις* Graece dicitur, muſculi tunc ſuo munere funguntur, qui maxillam cui illigantur qua lateſcit in latera movent. Probabile igitur eſt hos muſculos appellari *μασητῆρας;* eos vero *κροταφίτας*, qui a muſculis juxta oſſa temporum quae Graeci *κροιάφους* dicunt oriuntur, qui et nervoſas chordas continent maxillae ſummitatem roſtro ſimilem circumagentes. Atqui conditum eſt in ore par aliud muſculorum, qui ſuperne ab oſſe quod ab alarum ſimilitudine *πτερυγοειδὲς* vocatur et a toto ſinu juxta poſito oriuntur. Junguntur autem maxillae ea potiſſimum parte, unde proceſſus ad commiſſuram ferturi; perveniunt autem hi muſculi ad eos qui *μασητῆρες* dicuntur, quique, ut dixi, maxillae inhaerent ab exteriori parte qua lateſcit, quum ab interiori parte duo qui propoſiti ſunt, utrimque unus, maxillam qua lateſcit comprehendant. Ergo quum Hippocrates

Ed. Chart. XII. [335.] Ed. Baſ. V. (600.)

φοτέρων τῶν ἀκρείων τούτων νευρώδεις τένοντες πεφύκασιν, ἐξ ὧν ἐξήρτηνται οἱ μύες οἱ κροταφῖται καὶ μασητῆρες καλεόμενοι, πρόδηλος μὲν οὖν ἐστι τῶν ἔξωθεν ἐπιβεβλημένων μυῶν τῇ γένυϊ μηδ' ὅλως μνημονεύων, ἐπὶ δὲ τὰς δύο συζυγίας ἄγων ἡμᾶς τῶν μυῶν, οἵ τε σαφῆ τὴν ἔκφυσιν ἔχουσιν ἐκ τῶν περάτων τοῦ μυὸς καὶ ὅσοι παρὰ τὴν κοιλότητα τὴν πυρὰ τοῖς πτερυγοειδέσιν ὀστοῖς. οὗτοι μὲν γὰρ τὴν ἑτέραν ἀνάπτουσι τὴν εἰρημένην διαρθροῦται τὴν κεφαλὴν, τὸ δ' ἕτερον ζεῦγος, ὅπερ τὰς κορώνας ἔφην ἐμφέρεσθαι, ταῦτα πάλιν αὐτὰ τῆς γένυος τὰ πέραια πρὸς τὴν κεφαλὴν ἀνατείνουσι.

δ'.

Διὰ τοῦτο δὲ καλέονται καὶ διὰ τοῦτο κινέονται, ὅτι ἐντεῦθεν ἐξήρτηνται.

Μασητῆρας εἰπὼν καλεῖσθαι τοὺς προειρημένους μύας αἰτίας ἀποδίδωσι τῆς προσηγορίας αὐτῶν. ὅτι γὰρ ἐντεῦ-

ait: jam vero ab utraque harum ſummitatum nervoſae oriuntur chordae quibus muſculi illigantur, qui *κροταφῖται* et qui *μασητῆρες* dicuntur, conſtat nullo modo loqui de muſculis qui ab exteriori parte maxillae ſuperinjiciuntur, ſed duo muſculorum paria indicaſſe, eos ſcilicet qui evidenter ab extrema fronte oriuntur et eos qui juxta ſinum oſſis *πτερυγοειδοῦς*. Hi enim alterum proceſſum attrahunt, quem inferi in commiſſurae cavum diximus; ſed alterum muſculorum par, quod, ut retuli, maxillae extremitatem roſtro ſimilem in orbem amplectitur, rurſus ipſos maxillae proceſſus ſurſum ad caput adducit.

IV.

Et propterea vocantur ac propterea moventur, quod inde illigantur.

Quum propoſitos muſculos dixerit nominari *μασητῆρας*, cauſam reddidit cur ita appellentur; inde enim illi-

Ed. Chart. XII. [335. 336.] Ed. Baſ. V. (600.)

θεν ἐξήρτηνται, τουτέστιν ἐκ τῶν ἀκρέων τῆς γένυος, διὰ τοῦτο κινοῦνται μασωμένων καὶ καλοῦνται μασητῆρες.

ε'.

Ἐν γὰρ τῇ ἐδωδῇ καὶ ἐν τῇ διαλέκτῳ καὶ ἐν τῇ ἄλλῃ χρήσει τοῦ στόματος.

Ἡ κάτω γένυς ἐστὶν ἡ κινουμένη μόνη, ἀπαγόντων μὲν αὐτὴν ἀπὸ τῆς ἀνωτάτης κατὰ τὸν τράχηλον δυοῖν προσθίων μυῶν, προσαγόντων δὲ τῶν μασητήρων. εἰκότως οὖν ἐναργῆ τὴν κίνησιν ἔχει ἐξηρτημένην μεγίστην ἔχον τοῦ ὀστοῦ τὴν κίνησιν, ὠνομάσθησάν τε διὰ τὴν κίνησιν ταύτην μασητῆρες ἀπὸ τοῦ σφοδροτάτου τῶν ἔργων τῆς κάτω γένυος, ἀσθενὴς γὰρ ἐν τῷ διαλέγεσθαι κίνησις.

στ'.

[336] Ἡ μὲν ἄνω γνάθος ἀτρεμέει, συνήρτηται γὰρ τῇ κεφαλῇ καὶ οὐ διήρθρωται, ἡ δὲ κάτω γνάθος κινέεται, ἀπήρθρωται γὰρ ἀπὸ τῆς ἄνω γνάθου καὶ ἀπὸ τῆς κεφαλῆς.

gantur, hoc eſt maxillae ſummitatibus, propterea moventur, quum mandimus, et μασητῆρες vocantur.

V.

Nam quum edimus, loquimur, aut aliter ore utimur.

Maxilla tantummodo movetur, quum a malis ipſam reducant priores duo cervicum muſculi, quumque μασητῆρες illam adducant. Jure igitur evidenter moventur, quum ei oſſi quod maxime movetur illigentur. Dicti autem ſunt ob hujusmodi motum μασητῆρες a mandendo, quae maxillae actio valentiſſima eſt; leviter enim movetur, dum loquimur.

VI.

Malae quidem quieſcunt: innectuntur enim capiti, ſed non inſinuantur ut articuli; at maxilla movetur, ut quae articulorum modo cum malis et capite committatur.

Ed. Chart. XII. [337.] Ed. Baſ. V. (600.)

Τινὲς μὲν συνήρθρωται γράφουσιν, ἔνιοι δὲ συνήρτηται ὅτι καὶ τὴν συνάρθρωσιν ὀστῶν συμβολὴν φυσικὴν εἶναι βούλεται, ποτὲ μὲν ἀμυδρὰν ἐχόντων τὴν κίνησιν, ἔστι δ' ὅτε ὅλως φαινομένην, ὥσπερ γε τὴν διάρθρωσιν, ὡς τὴν φυσικὴν σύνταξιν ἐναργῆ τὴν κίνησιν ἐχόντων· ἐν δὲ τῇ προειρημένῃ ῥήσει τὴν ἀπάρθρωσιν ἐπιδείκνυται ταὐτὸ μὲν σημαίνειν τῇ διαρθρώσει, εἴπερ γε καὶ τὸ ἀπηρθρῶσθαι.

ζ'.

Διότι μὲν οὖν ἐν σπασμοῖσι καὶ τετάνοισι τοῦτο πρῶτον τὸ ἄρθρον ἐπισημαίνει συντεταμένον, διότι πληγαὶ καίριοι καὶ καροῦσαι αἱ κροταφίτιδες γίνονται, ἐν ἄλλῳ λόγῳ εἰρήσεται.

Δι' ὀλίγων ῥημάτων εἰπεῖν δυνάμενος, ἐπειδὴ πλησίον ἐστὶ τῆς ἀρχῆς τῶν νεύρων τὰ κατὰ τοῦτο τὸ ἄρθρον εἷς

Verbum innectitur *συνήρτηται* dixit. Nonnulli ſcribunt *συνήρθρωται*, id eſt jungitur, propterea quod Hippocrates ait, *συνάρθρωσιν* eſſe juncturam oſſium, interdum eorum quae vix, interdum eorum quae nullo modo moveri videntur, ſicut *διάρθρωσιν* naturalem commiſſuram oſſium quae aperte moventur. In propoſitis autem verbis commiſſuram articulorum *ἀπάρθρωσιν* vocat, quod idem notat ac *διάρθρωσις*, ſiquidem et *ἀπηρθρῶσθαι διηρθρῶσθαι* ſignificat.

VII.

At quamobrem nervorum diſtentionis rigorisque hic articulus primus indicio ſit, ubi contrahitur, et quamobrem plagae in temporum muſculis graves ſint et ſtuporem inferant, alibi explicabimus.

Paucis perſequi rem potuit, quoniam hic articulus ad nervorum initium proprius accedit, primus nervorum diſ-

Ed. Chart. XII. [336.] Ed. Baf. V. (600. 601.)

γε σπασμοὺς αὐτὸ τοῦτο πρῶτον ἄρθρον ἄρχεται καὶ τὰς πληγὰς καρώδεις ἴσχει, οὐκ οἶδ' ὅπως ἀνεβάλλετο. τάχ' οὖν (601) ἐβούλετο σὺν ἀποδείξει τὸν λόγον ποιήσασθαι τῶν εἰς ταὐτοὺς ἐκφυομένους ἐξ ἐγκεφάλου νεύρων μνημονεύσας, ὅπερ οὐκ οὖν ἀναγκαῖον ἐν τῇ προκειμένῃ διδασκαλίᾳ γίγνεσθαι. καὶ διὰ τοῦτ' ἀνεβάλλετο τὸν τέλειον λόγον ἑκατέρωθεν γράψαι.

η'.

Περὶ δὲ τοῦ μὴ κάρτα ἐξαρθρέειν τάδε τὰ αἴτια.

Ποῖα τάδε; προειρημένα δηλονότι δύο ἔχοντα κεφάλαια τὴν τῶν ὀστῶν φύσιν, οἵαν διῆλθον, ἅμα τῇ ῥώμῃ τῶν μυῶν.

θ'.

Αἴτιον δὲ καὶ τόδε, ὅτι οὐ μάλα καταλαμβάνουσι τοιαῦται ἀνάγκαι βρωμάτων, ὥστε τὸν ἄνθρωπον χανέειν μεῖζον ἢ

tentionem concitat plagasque habet ſtuporem inducentes. Neſcio autem quo pacto reſervaverit, ſortaſſe voluit in ſcribendo demonſtratione uti mentionem faciens nervorum qui a cerebro ad hos muſculos perveniunt, quod neceſſarium non fuit in propoſita doctrina, atque idcirco in alium locum perfectum ſermonem diſtulit.

VIII.

Atque hae cauſae ſunt cur non admodum prolabitur.

Sed quaenam ſunt? nempe non aliae quam quae dictae ſunt, quarum duplex eſt caput, natura oſſium, ut narravi, et robur muſculorum.

IX.

Illud etiam in cauſa eſt quod nulla fere in edendo neceſſitas eſt, quae cogat hominem aperire os ultra quam

Ed. Chart. XII. [336. 337.] Ed. Baſ. V. (601.)

ὅσον δύναται. ἐκπέσοι δ' ἂν ἀπ' οὐδενὸς ἄλλου σχήματος ἢ ἀπὸ τοῦ μεγάλα χανόντα παραγαγεῖν τὴν γένυν ἐπὶ θάτερα.

---

[337] Τοῦ σπανίως ἐκπίπτειν δὴ τὴν γένυν ἐπὶ ταῖς προειρημέναις δύο ἀντιθέσεσι, τρίτην προστίθησιν, ὅτι χωρὶς μὲν τοῦ μέγιστον διοῖξαι τὸ στόμα τὴν ἔκπτωσιν ἀδύνατον γενέσθαι. διοίσειν δέ τι πλεῖστον αὐτῆς οὖν δεόμεθα πολλάκις, ἐπειδὴ δύο χρεῖαι τῆς τοιαύτης ἐνεργείας εἰσὶν, ἤτοι μέγιστον ὄγκον ἐθέλησε τῷ στόματι τοῦ σώματος παραλαβεῖν ἢ χασμώμενον ἄχρι πλείστου διαλαβεῖν, ὧν τὸ μὲν πρότερον σπάνιόν ἐστι, τὸ δὲ δεύτερον μόνον τοῖς ἄφροσι συμβῆναι δύναται· καὶ γὰρ καὶ τεθέαμαί ποτε γενόμενον αὐτὸ πλουσίῳ Πλακίνῳ, ᾧ διοίξαντι μέχρι πλείστου τὸ στόμα, κἄπειτα παραγαγόντι πρὸς τὸ πλάγιον. εἰώθει δὲ συνεχῶς οὕτως ἐσχηματίσθαι καὶ ὥσπερ καλὸν ἔργον ἑκὼν ἀεὶ μεῖζον ἐπειρᾶτο τοῦ πρότερον χαίνειν.

---

poſſit. Luxari autem aliter maxilla non poteſt, quomodocunque figuretur, quam cum ore vehementer aperto in alteram partem convertitur.

Praeter duas ſuperiores cauſas, quae efficiunt ut maxilla raro luxetur, tertiam adſcribit, ſcilicet niſi plurimum os aperiatur, luxari minime poſſe. Verum non ſaepe fit ut nobis opus ſit ore plurimum aperto; quandoquidem ejusmodi actio duplici uſui accommodatur vel ubi volumus ore magnae molis quidpiam apprehendere vel ubi quam maxime hiamus, quorum illud raro accidit, hoc delirantibus dumtaxat. Quod et aliquando accidiſſe vidimus Pluſio Placino, quum quantum poterat os aperiret, deinde maxillam in latus deduceret; conſueverat autem ſic ſubinde figurari ac tanquam egregium factum ultro ſemper hiare amplius conabatur.

Ed. Chart. XII. [337.] Ed. Baf. V. (601.)

ι'.

Προσσυμβάλλεται μέντοι καὶ τόδε πρὸς τὸ ἐκπίπτειν. ὁκόσα γὰρ νεῦρα καὶ ὁκόσοι μύες παρὰ ἄρθρα εἰσὶν ἢ ἀπὸ ἄρθρων ἀφ' ὧν ξυνδέδενται, τούτων ὅσα ἐν τῇ χρήσει πλειστάκις διακινέεται, ταῦτα καὶ ἐς τὰς κατατάσιας δυνατώτατα ἐπιδιδόναι, ὥσπερ καὶ τὰ δέρματα τὰ εὐδεψητότατα πλείστην ἐπίδοσιν ἔχει, περὶ οὗ νῦν ὁ λόγος.

Ὅσον ἐπὶ τοῖς προειρημένοις αἰτίοις ἢ οὐδ' ὅλως ἐχρῆν ἢ πάνυ σπανίως ἐκπίπτειν τὴν γένυν, οὐ μὴν φαίνεταί γε οὕτως ἔχειν. ἐκπίπτει γὰρ σπανίως, οὐ μὴν ὥστε παμπόλλων τε τῶν ἡμῶν ὁρᾶσθαι, καθάπερ τὰ σπανιώτατα. διὰ γὰρ τὸ πολυκίνητον τῆς διαρθρώσεως οἱ κατ' αὐτὴν μύες καὶ τὰ νεῦρα τέταται καὶ τάσεις ἑτοιμοτέρας ἔχουσι τῶν ὀλιγάκις εἰς χρείαν κινήσεως ἀφικνουμένων, ὥσπερ φησὶ καὶ τὰ δέρματα τὰ εὐδεψητότατα, τουτέστι τὰ κάλλιστα μεμαλαγμένα, πλείστην ἐπίδοσιν ἔχει· καὶ γὰρ ὁ

X.

Verum tamen illud etiam efficit ut maxilla excidat, quod ex omnibus nervis ac muſculis qui juxta articulos ſunt vel non longe ab articulis quibus illigantur, quicunque in uſu frequenter dimoventur, dum extenduntur, maxime idonei ſunt qui extenti ſequantur, perinde atque coria, quae quum optime mollita ſunt, plurimum extendi poſſunt.

Quod ad propoſitas cauſas attinet, neceſſe eſt maxillam vel nullo modo vel raro admodum luxari. Videtur tamen res aliter habere. Excidit enim raro et non adeo, ut permulti noſtrum ejusmodi caſum non viderint, quod in iis evenit quae ſunt rariſſima; eo enim quod ejusmodi commiſſura multum movetur, muſculi nervique ipſius tenduntur et opportuniores ſunt qui extendantur quam quibus raro motu opus eſt, quemadmodum ait et coria *εὐδεψητότατα*, hoc eſt optime mollita, plurimum extendi poſ-

Ed. Chart. XII. [337.] Ed. Baſ. V. (601.)

ποιητὴς ἐπὶ τοῦ μαλάξαι τὸ δεψῆσαι λέγει· κηρὸν δεψήσας μελιηδέα.

ια'.

Ἐκπίπτει μὲν γνάθος ὀλιγάκις, σχᾶται μέντοι πολλάκις ἐν χάσμασιν, ὥσπερ καὶ ἄλλοι μυῶν παραλλαγαὶ καὶ νεύρων τοῦτο ποιέουσι.

Τὸ σχᾶται τί ποτ' αὐτὸ σημαίνει, γνωσόμεθα τοῖς συμφραζομένοις προσέχοντες τὸν νοῦν. φησὶν οὖν, ὡς αἱ ἄλλαι μυῶν παραλλαγαὶ καὶ νεύρων τοῦτο ποιοῦσιν, ὥστε τὸ σχᾶσθαι μυῶν καὶ νεύρων ἐστὶ πάθος ἄνευ ἀρθρήματος. ὁποῖον δέ τι τὸ πάθος τοῦτ' ἔστι δῆλον μὲν κἀκ τοῦ φάναι παραλλαγαί. βούλεται μὲν γὰρ αὐτὸς ἐκ τῆς κατὰ φύσεως θέσεως εἰς ἑτέραν μεθίστασθαι, βούλεται δὲ καὶ ἀθρόως τοῦτο γίγνεσθαι. καὶ γὰρ καὶ μετ' ὀλίγον ἐνδείξεται τοῦτο σημαίνειν τὸ σχάσαι λέγων οὕτω, ἔπειτα ἐξαπίνης σχάσαι τρισὶ σχήμασιν ὁμοῦ προσέχοντα τὸν νοῦν,

ſunt, quoniam poetae verbum δεψεῖν mutuatur ad ſignificandum *mollire*, quum inquit κηρὸν δεψήσας μελιηδέα.

XI.

Ergo quod propoſitum erat, maxilla raro excidit; mutátur tamen ſubito ſaepe quum homo hiat, ut compluribus aliis muſculorum nervorumque motionibus accidit.

Mutatur ſubito dixit σχᾶται, quod verbum quid ſignificet intelligemus, ſi ea cum quibus in oratione conjungitur animadvertamus. Inquit enim, ut compluribus aliis muſculorum nervorumque motionibus accidit, quare σχᾶσθαι vitium eſt nervorum ac muſculorum articulo non erumpente. Quidnam hoc vitii ſit aperit, quum inquit *motionibus*. Voluit enim ex naturali ſitu in alterum mutari idque ſubito; idem et paulo poſt indicat ſignificari verbo σχάσαι quum ait, dein ſubito mutare ad tres habitus ſimul conſilio directo, ubi *mutare* dixit σχάσαι, hoc

Ed. Chart. XII. [338.] Ed. Baſ. V. (601.)

[338] τουτέστι μεταβάλλειν ἀθρόως τὸ πρὸς τὸ σχῆμα. καὶ μέντοι καὶ νῦν ἔτι λέγουσιν ἔν τε τῇ Κῷ καὶ σχεδόν ἅπασι ταῖς Ἑλληνίσι πόλεσι σχαστηρίαν, ὡς ἐπιβαίνοντες ἐξαίφνης καταπίπτειν, ποιοῦσι τὸν κανόνα, ᾧ παρεστήκασιν ἅπαντες οἱ μέλλοντες τρέχειν. καὶ κατὰ παλαίστραν δὲ τὸ σχάσαι σημαίνει τὴν χεῖρα ταχέως ἄγειν πρὸς αὐτὴν ἐκ τῆς ἔμπροσθεν θέσεως. ὅταν οὖν εἴπῃς σχάσαι τὴν γένυν ἐπὶ τὸ τῶν μυῶν βάθος ἀναφέρειν χρή, παραλλασσόντων ἐν τοῖς αἰφνιδίοις τἄλλα τε τῶν σωμάτων, ὡς μὴ φυλάττεσθαι τὴν ἀρχαίαν θέσιν τῶν μυῶν, ἀλλὰ διαστρέφεσθαί τι καὶ τείνεσθαι κατά τι.

ιβ'.

Δῆλος δὲ τοῖσι μάλιστά ἐστιν, ὅταν ἐκπεπτώκῃ. προΐσχει γὰρ ἡ κάτω γνάθος ἐς τοὔμπροσθεν καὶ παρῆκται τἀναντία τοῦ ὀλισθήματος καὶ τοῦ ὀστέου τὸ κόρωνον ὀγκηρότερον γίνεται παρὰ τὴν ἄνω γνάθον καὶ χαλεπῶς ξυμβάλλουσι τὰς κάτω γνάθους.

---

eſt *ſubito movere priorem habitum*; adde quod nunc etiam in Co ac fere in omnibus Graeciae civitatibus σχαστηρίαν dicunt id ſuper quod pedem imponentes protinus efficiunt ut id in carceribus cadat, cui adſtant qui curſuri ſunt. In palaeſtra item verbum σχάσαι ad muſculorum vitium referendum eſt, repente mutantium alias partes, ſic ut muſculi antiquam ſedem minime retineant, ſed aliqua ex parte depraventur, aliqua etiam extendantur.

XII.

Hinc autem evidentiſſimum eſt, quum excidit; maxilla enim in priorem partem projicitur convertiturque in contrariam, atque unde luxata eſt, ſummitasque oſſis roſtrum referens magis exſtat juxta malas, maxillaque cum malis aegre committitur.

Ed. Chart. XII. [338.] Ed. Baſ. V. (601.)

Εἴρηται δέ μοι καὶ πρόσθεν ὡς τὸ καλούμενον ζύγωμα προβέβληται τῆς ἄνω χώρας, ἐν ᾗ τὸ κόρωνόν ἐστι τῆς γένυος, ὅτι τε μὴ παρενεχθέντος αὐτοῦ πρὸς θάτερα μέρη πρὸς τὴν οἰκείαν χώραν ἡ γένυς ἀναστασθήσεται. ἀναγκαῖον οὖν ἐστιν, ὅταν ἡ γένυς ποτὲ ἐκπέσῃ, τὴν κορώνην αὐτῆς ἔξω φέρεσθαι τοῦ ζυγώματος. ἄλλην γὰρ οὐδεμίαν ἔχει χώραν εἰς ἣν ἐνεχθήσεται, ὥστ' εἰκότως ἐξέχουσα φαίνεται κατὰ τὴν κάτω γένυν, ἔνθα τὸ ζύγωμά ἐστιν. αὐτὸ δὲ δὴ τοῦτο τὸ ζύγωμα, καθ' ὅ τι μάλιστα τέτακται μαθήσῃ σαφῶς ἐπὶ τῶν ἰσχνῶν ἀνθρώπων κατασκεψάμενος τόν τε κροταφίτην μῦν καὶ τὸ μῆλον. ἐν γὰρ τῷ μεταξὺ τὸ προφανές ἐστι τὸ ζύγωμα, μεμνημένος αὐτοῦ τὴν χώραν τῆς θέσεως, ὅταν ἴδῃς τινὰ μὴ δυνάμενον κλεῖσαι τὸ στόμα προσεληλυθυίας εἰς τὸ πρόσω τῆς γένυος, ἅμα τὸ παρῆχθαι ζήτησαν ἀκριβῶς διαγνῶναι τοῖς ὀφθαλμοῖς τε καὶ τοῖς δακτύλοις τὸ κόρωνον ἔξέχον παρά τε τὸ μῆλον καὶ τὸ ζύγωμα. κἀπειδὰν εὕρῃς οὕτως ἔχον ἀκριβὴς ἔστω σοὶ διάγνωσις τοῦ τὴν γένυν ὠλισθηκέναι.

Diximus etiam in ſuperioribus, os quod jugale appellatur ita ſitum eſſe, ut ſuperinjiciatur maxillae ſummitati roſtrum referenti; ac niſi in alteram partem prolabatur, maxillam ad ſuum locum reverſuram. Neceſſe igitur eſt, ſi quando maxilla excidat, propoſitam ſummitatem extra jugale os ferri; nullus enim alius locus eſt, in quem impellatur. Quare merito exſtat juxta malas qua ſitum eſt jugale os; ſed qua potiſſimum ſitum ſit facile percipies in homine gracili muſculum temporis genamque intuitus, inter utrumque enim ſitum eſt os jugale. In memoria itaque habens ejus ſitum, ubi aliquem videris qui os claudere nequeat, maxilla in priorem partem projecta atque in alteram inclinata conari debes exquiſite oculis digitisque ſummitatem comprehendere, quae juxta genam et jugale os exſtat. At ubi ſic habere comperies, optimum indicium erit maxillam excidiſſe.

Ed. Chart. XII. [338.] Ed. Baſ. V. (601. 602.)

ιγ'.

Τούτοισι δὲ ἐμβολὴ πρόδηλος, ἥτις γίνοιτ' ἂν ἁρμόζουσα· χρὴ γὰρ τὸν μέν τινα κατέχειν τὴν κεφαλὴν τοῦ τετρωμένου, τὸν δὲ περιλαβόντα τὴν κάτω γνάθον καὶ ἔσωθεν καὶ ἔξωθεν τοῖσι δακτύλοισι κατὰ τὸ γένειον χάσκοντος τοῦ ἀνθρώπου, ὅσον μετρίως δύναται. πρῶτον μὲν διακινέειν τὴν γνάθον χρόνον τινὰ τῇ καὶ τῇ παράγοντα τῇ χειρὶ καὶ αὐτὸν τὸν ἄνθρωπον κελεύειν χαλαρὴν τὴν γνάθον χρόνον ἔχειν καὶ συμπαράγειν καὶ συνδιδόναι ὡς μάλιστα.

---

(602) *Τοῖς θεασαμένοις ἐξ ἀνατομῆς ἀκριβῶς τὴν σύνθεσιν ὧν διηγήσατο μορίων ἡ ἐμβολὴ πρόδηλός ἐστι, πρὸς οὓς καὶ αὐτὸς ἀποβλέπων οὕτως εἶπε· τὰ δ' ἐξαίφνης εἰρημένα περὶ τῆς ἐμβολῆς σαφῆ πάντα, πλὴν εἴ πού τις μία λέξις ἢ δύο παρεμπίπτειεν, περὶ ὧν ἐπισημανοῦμαι.*

XIII.

His qua ratione aperte reponi debeat in aperto eſt. Oportet enim aliquo laborantis caput continente alterum digitis maxillam ad mentem comprehendere, tam ab exteriori parte quam ab interiori, homine hiante quantum modice poteſt; ac primo quidem aliquamdiu maxillam manu in hanc atque illam partem adductam dimovere, imperareque ut ipſe homo maxillam relaxet, ſimulque cum medico ipſam adducat et adducenti quam maxime pareat.

Ratio reponendi evidentiſſima eſt iis qui in corporibus incidendis partium quas narrat compoſitionem diligenter inſpexerint, ad quas reſpectum habens haec ſcripſit. Quae deinceps adjungit de reſtituendo omnia plana ſunt, niſi ſicubi unum vel alterum verbum accurrat quod a nobis notabitur.

Ed. Chart. XII. [339.] Ed. Baſ. V. (602.)

ιδ'.

[339] Ἔπειτα ἐξαπίνης σχάσαι τρισὶ σχήμασιν ὁμοῦ προσέχοντα τὸν νόον. δεῖ μὲν γὰρ παράγεσθαι ἐκ τῆς διαστροφῆς εἰς τὴν φύσιν, δεῖ δὲ ἐς τοὐπίσω ἀπωθῆναι τὴν γνάθον τὴν κάτω, δεῖ δὲ ἑπόμενον τούτοισι συμβάλλειν τὰς γνάθους καὶ μὴ χάσκειν. ἐμβολὴ μὲν οὖν αὕτη καὶ οὐκ ἂν γένοιτο ἀπ' ἄλλων σχημάτων. ἰητρείη δὲ βραχεῖα ἀρκέει σπληνα προστιθέντα κεκηρωμένον χαλαρῷ ἐπιδέσμῳ ἐπιδεῖν. ἀσφαλέστερον δὲ χειρίζειν ἐστὶν ὕπτιον κατακλίνοντα τὸν ἄνθρωπον ἐρείσαντα τὴν κεφαλὴν αὐτοῦ ἐπὶ σκύτινον ὑποκεφάλαιον ὡς πληρέστατον, ἵνα ὡς ἥκιστα ὑπείκῃ.

Μετὰ τὸ προδιακινῆσαι καὶ μαλάξαι τὰ νεῦρα καὶ τοὺς μύας ἕλκοντα κάτω τὴν γένυν, ἀπάγοντά τε καθόσον ἐνδέχεται τῆς ἄνω, προσήκει πρᾶξαι τοίνυν τὸ ὑπ' αὐτοῦ κελευόμενον, ὅπερ εἶπεν ἐξαπίνης σχάσαι, τουτέστιν ἐξαίφνης καὶ ἀθρόως παράγειν εἰς τὸ κατ' εὐθὺ τῆς κατὰ φύσιν χώ-

XIV.

Dein ſubito mutare ad tres habitus ſimul conſilio directo, ſiquidem ab ea ſede in quam perverſa eſt ad naturalem adducenda, praeterea in poſteriorem partem adurgenda eſt; tum aeger obſequens eam debet cum multis committere ac minime hiare. Ratio quidem reponendi hujusmodi eſt: neque reponi maxilla poteſt, ſi aliter figuretur, lenisque medicina abunde eſt nempe panni cum cerato laxiori faſcia alligati. Tutius autem eſt admovere manum homine reſupinato, capiti ſubjecto ſcorteo pulvino, maxime farto, ut quam maxime cedat.

Ubi prius nervis et muſculis agitatis atque emollitis maxillam deorſum traxerimus et quantum poteſt a malis reduxerimus, debemus agere quod ab Hippocrate jubemur quum inquit, dein ſubito mutare quod σχάσαι dixit, id eſt repente ac ſimul articulum collocare e regione ſuae

Ed. Chart. XII. [339.] Ed. Baſ. V. (602.)

ρας τὸ ἄρθρον, ἐν τούτῳ γε κατασήσαντα παραχρῆμα πάλιν ὠθεῖν εἰς τοὐπίσω κελεύσαντα τῷ πάσχοντι συνάγειν τὸ στόμα. πρότερον μὲν οὖν αὐτὸν ἠξίουν χάσκειν, χαλαρὰν παρέχοντα τὴν γένυν, ὅπερ ἐστὶ μηδένα τῶν μυῶν τείνοντα. τοῦτο γὰρ συμφορώτατον εἴς τε τὸ διακινῆσαι τὰ νεῦρα καὶ τοὺς μῦς ἐξαίφνης τε παραγαγεῖν ἐπὶ τὸ κατὰ φύσιν τὴν παρεστραμμένην γένυν ἀπώσασθαί τε πρὸς τοὐπίσω. νυνὶ δ' ὅταν ἤδη κατ' εὐθὺ τῶν οἰκείων χωρῶν ἑκατέρων τῶν ἄκρων τῆς γένυος γένηται σύμφησι τοὺς κροταφίτας ἐνεργήσαντας ἐπισπᾶσθαι πρὸς ἑαυτοὺς ὅλην αὐτήν. ἐνεργήσουσι δὲ προθυμηθέντος τοῦ κάμνοντος συνάγειν τε καὶ κλεῖσαι τὸ στόμα.

ιε'.

Προσκατέχειν δέ τινα χρὴ τὴν κεφαλὴν τετρωμένου.

Ἐν τῷ διακινεῖσθαι τὴν γένυν ἀπάγειν τε μετρίως εἰς τὸ κάτω τὴν κεφαλὴν κελεύει κατέχεσθαι, χάριν τοῦ μὴ

ſedis; tum ita collocatum rurſus in poſteriorem partem momento impellere homini imperantes ut os claudat. Antea quidem praecipiebat ut homo hiaret laxam maxillam praebens, id eſt nullum muſculum intendens. Id enim maxime confert ad nervos muſculosque agitandos repenteque ad naturalem ſedem adducendum maxillam depravatam, atque ad compellendum in poſteriorem partem. Nunc jam ubi utraque maxillae ſummitas ſita eſt e regione ſuae ſedis, permittit muſculos qui κροταφῖται dicuntur agentes, eam totam ad ſe ipſos attrahere. Agunt enim, ubi aeger comprimere claudereque os velit.

XV.

Aliquis autem caput offenſi contineat.

Dum maxilla agitatur ac modice deorſum demittitur, praecipit, ut caput contineatur, ne ſequatur maxillam.

Ed. Chart. XII. [339. 340.] Ed. Baſ. V. (602.)

συνακολουθεῖν αὐτὴν τῇ κάτω γέννι. τοῦτο δὲ κοινὸν ἐπὶ πασῶν ἀντιθέσεών ἐστι τὸ παράγγελμα, τοῦ τετρωμένου διάγειν ἐν ἴσῳ τοῦ παρηγγελμένου βεβλαμμένου· πάσας γὰρ τὰς βλάβας οἱ Ἴωνες ὀνομάζουσι κοινῶς τρώματα.

ισ΄.

Ἢν δ' ἀμφότεραι γνάθοι ἐξαρθρήσωσιν, ἡ μὲν ἴησις ἡ αὐτή. συμβάλλειν δέ τι ἧσσον οὗτος τὸ στόμα δύναται· καὶ γὰρ προπετέστεραι αἱ γένυες τούτοισιν, ἀστραβέες δέ. τὸ δὲ ἀστραβὲς μάλιστ' ἂν γνοίης τοῖσιν ὁρίοισι τῶν ὀδόντων τῶν τε κάτω κατ' ἴξιν.

Ἐν ταύτῃ τῇ ῥήσει δόξῃ γνάθους ὀνομάζειν οὐ τὸ γένυν ὅλως, ἀλλ' ἑκάτερον τῶν μερῶν καθ' ἃ πλατύνεται αὐτή. [340] δόξῃ δὲ καὶ τὰ κάτω πέρατα, καθ' ἃ γυμνὸν καὶ ἄσαρκον γίγνεται τὸ ὀστοῦν, ὀνομάζειν γένυας, ἐκ τοῦ φάναι, καὶ γὰρ προπετέστεραι γένυες τούτοισιν· ἀλλὰ μετ' ὀλίγον τὸ πάλιν ὅλην τὴν κάτω γένυν ὠνόμασε γνάθον, ἔνθα

Quod perpetuum eſt in omnibus, quae in diverſa duci debent. Offenſum appellavit *τετρωμένον*; Iones enim quamlibet offenſam *τρῶμα* dicunt.

XVI.

Quodſi maxilla utraque parte elabatur, curatio eadem eſt; ſed homo minus comprimere os poteſt; tunc enim mentum magis prominet, ſed in neutram partem inclinatur. Intelliges autem, in neutram partem inclinari, praecipue ex dentium finibus, ubi inferiores e regione ſuperioribus reſpondeant.

Maxilla ab utraque parte, dixit, *γνάθοι ἀμφότεραι*. Videbitur autem *γνάθους* appellaſſe non maxillam totam, ſed utramque ejus partem qua lateſcit; mentum quoque quum *γένυας* dixerit, videri poterit intellexiſſe maxillae imum, qua nudum os eſt ſine carne, quum inquit: tunc enim mentum magis prominet, ſed paulo poſt maxillam

Ed. Chart. XII. [340.] Ed. Baſ. V. (602.)

φησίν· ἢν δὲ ἡ κάτω γνάθος κατὰ ξύμφυσιν τὴν κατὰ τὸ γένειον διασπασθῇ, μόνιμον. ἡ δ' αὐτὴ καὶ ξύμφυσις ἐν τῇ κάτω γνάθῳ ἐστὶν, ἐν δὲ τῇ ἄνω πολλαὶ, ὥστε συγκέχυται παρ' αὐτῷ τὰ σημαινόμενα τοῦ τε τῆς γνάθου καὶ τοῦ τῆς γένυος ὀνόματος. ὃ μέντοι λέγει κατὰ τὴν προκειμένην ῥῆσίν ἐστι τοιοῦτον. ἐὰν κατ' ἀμφοτέρας τὰς διαρθρώσεις ἡ ἔκπτωσις γένηται, μᾶλλον μὲν εἰς τὸ πρόσω χωρεῖ νῦν ἡ κάτω γένυος ἥπερ ὅτε κατὰ θάτερον μέρος ἐκπέπτωκε, καὶ πλέον ἀφεστηκυῖα φαίνεται τῆς ἄνω γένυος, οὐ μὴν παρασπᾶταί γε, οὐδὲ διαστρέφεται φυλάσσουσα τὸ κατὰ φύσιν ἀδιάστροφον. διαγνώσεις δὲ τῇ τῶν ὀδόντων εὐθυωρίᾳ, τουτέστιν ὅταν οἱ κάμνοντες ἄνω κέωνται κατ' εὐθύ. τομεῖς μὲν τομεῦσι, κυνόδοντες δὲ κυνοδοῦσι, τὰς μύλας δὲ ταῖς μύλαις.

ιζ'.

Τούτοισι ξυμφέρει ἐμβαλέειν ὡς τάχιστα, ἐμβολῆς δὲ τρόπος πρόσθεν εἴρηται.

---

totam nuncupavit *γνάθον*, quum ait: ſed ſi maxilla qua ad mentum jungitur diducatur; ſola autem haec junctura eſt in maxilla, in malis multae. Quare apud Hippocratem ſignificationes verbi *γνάθου* et *γένυος* confunduntur; quod tamen ait in propoſitis verbis hujusmodi eſt: quod ſi maxilla luxetur ab utraque commiſſura, magis quidem in priorem partem propellitur quam ubi excidit altera parte dumtaxat, magisque a malis recedit; non tamen depravatur aut pervertitur, ſed naturalem ſedem ſine inclinatione tuetur. Id autem indicant dentes qui e regione reſpondent, hoc eſt inferiores ſuperioribus, qui ſecant ſecantibus, canini caninis, maxillaribus maxillares.

XVII.

His quam celerrime reſtituenda eſt; qua autem ratione, ſupra explicavimus.

Ed. Chart. XII. [340.] Ed. Baſ. V. (602.)

Τάχιστα μὲν ἐμβάλλειν συμφέρει, πρὶν διὰ τὴν τάσιν τῶν μυῶν εἰς συμπάθειαν ἀφικέσθαι τὸν ἐγκέφαλον. ὁ δὲ τρόπος τῆς ἐμβολῆς ὃν ἐπὶ τῆς κατὰ τὸ ἕτερον μέρος ἐξαρθρώσεως εἶπεν, οὐ κατὰ πᾶν ὁ αὐτός μοι δοκεῖ νῦν γίνεσθαι προσήκειν· τότε μὲν γὰρ εἰς τὸ πλάγιον μέρος ἡ γένυς ἀτρέμα παρῆκται, νυνὶ δὲ ἰσόρροπός ἐστιν, ὥστ' αὐταρκὲς διακινήσαντα καὶ πρὸς τὸ κάτω τὸ ὀστοῦν ἑλκύσαντα χάριν τοῦ τὸ πέρας τῆς κορώνης κατωτέρω γενέσθαι τοῦ ζυγώματος, οὕτως ἤδη πρὸς τὴν ἔσω χώραν ὠθεῖν ἑκατέρωθεν ὅλην τὴν γένυν, ἅμα τῷ κελεῦσαι τῷ κάμνοντι κλείειν τὸ στόμα.

ιη'.

Ἢν δὲ μὴ ἐμπέσῃ, κίνδυνος περὶ τῆς ψυχῆς ὑπὸ πυρετῶν ξυνεχέων καὶ νωθρῆς καρώσεως.

Οὐκ ἀκίνδυνος μὲν οὖν οὐδὲ ἡ καθ' ἕτερον μέρος ἐξάρθρωσις. ἡ δὲ κατ' ἄμφω διάπλασίς ἐστι χαλεπωτέρα πάν-

Celerrime quidem reponenda eſt, priusquam muſculi diſtenti ob conſortium cerebrum afficiant. Modus autem reponendi quem docuit, ubi altera parte prolabitur, mihi non videtur ex toto idem nunc accommodari; tunc enim paulatim maxilla in alteram partem convertitur, nunc pariter in utramque. Quare ſatis eſt concutere mentumque adducere deorſum, ut proceſſus extremitas roſtro ſimilis jugali oſſe inferius collocetur, ſicque in interiorem partem utrimque totam maxillam compellere, ſimulque praecipere homini ut os claudat.

XVIII.

Si reverti nequeat, mortis periculum inſtat propter febres continentes atque marcorem et inexpugnabilem dormiendi neceſſitatem.

Periculo quidem non vacat maxilla, etiamſi altera parte luxetur; ſed ſi utraque aegrius reſtituitur, quum

Ed. Chart. XII. [340. 341.] Ed. Baſ. V. (602.)

τας τοὺς κατέχοντας τὴν κάτω γένυν ἐντείνουσα μύας. ἐντάσσονται δὲ, ὡς εἴρηται, τέτταρες, δύο μὲν οἱ ἐκ τῶν κροτάφων ἀρχόμενοι, δύο δ' οἱ ἐκ τῶν παρὰ τὰ πτερυγοειδῆ κοιλοτήτων. ἐχόντων δ' αὐτῶν ἀπὸ τοῦ ἐγκεφάλου τὰ νεῦρα καὶ μόνον οὐ ψαυόντων αὐτοῦ τοῦ ἐγκεφάλου διὰ ταχέων εἰκός ἐστι γίγνεσθαι τὴν συμπάθειαν. οὗτοι μὲν οὖν τέτταρες μύες ἐν ἐκπτώσεσι μάλιστα πονοῦσι, κυριώτατοι πάντων ὄντες ὡς ἂν ἀπὸ τῆς τρίτης συζυγίας ἐξ ἐγκεφάλου τὰ νεῦρα λαμβάνοντες, ἥτις οὐ πόρρω τέτακται τῆς ἀρχῆς αὐτοῦ. συμβαίνει γε μὴν καὶ τοὺς ἔξωθεν ἐπικειμένους τῇ γένυϊ καθ' ἕτερον μέρος διεκφυέντας ἐν ταῖς τοιαύταις ἐκπτώσεσι τείνεσθαι παρὰ φύσιν, [341] οὐχ ὁμοίως μὲν ὄντας κυρίους τοῖς προειρημένοις τέτταρσι· πορρώτερω γὰρ ἀφεστήκασι τοῦ ἐγκεφάλου καὶ ἡ τοῦ νεύρου ἀρχὴ διὰ μακροτέρου τούτοις ἐστίν. οὐδ' ἀνὰ τῆς συζυγίας τοῖς τέτταρσιν ἔχουσι τὰ νεῦρα, συντελοῦντάς γε μὴν οὐκ ὀλίγον οὐδ' αὐτοὺς, ὥσπερ καὶ οἱ ἄλλοι μύες οἱ καθ' ὅλον τὸ σῶμα, καίτοι τούτων ὄντες ἀκυρώτεροι. διὰ ταῦτ' οὖν

musculos omnes quibus maxilla continetur intendat. Sunt autem quatuor, ut dictum eſt, duo ſcilicet qui a temporibus incipiunt; duo qui a ſinibus juxta os quod πτερυγοειδὲς nominatur. Habent autem muſculi nervos ab ipſo cerebro, ac prope ipſum contingunt, quo fit ut celerrime afficiantur. Hi ergo quatuor muſculi, ubi maxilla prorumpit maxime affliguntur, quum inter omnes praecipui ſint, ut qui nervos ex cerebro habeant a tertia conjugatione quae non longe ab ipſo principio ſita eſt. Atqui fit etiam ut muſculi per maxillam intrinſecus comprehendant, orti ab utraque parte ejus praeter naturam extendantur, ubi maxilla luxetur. Quamquam non ita praecipui ſint, ſicut quatuor praedicti; magis enim a cerebro recedunt nervusque qui in hos diſtribuitur longius oritur et non ab ea conjugatione unde nervi ad quatuor muſculos feruntur, qui et ipſi non parum uſui ſunt, perinde atque alii univerſi corporis muſculi; et ſi non aeque praecipui ſint

Ed. Chart. XII. [341.] Ed. Baſ. V. (602. 603.)

πάντα περὶ ψυχῆς γίγνεται τὸν κίνδυνον ἐπὶ τῷ τετάσθαι παρὰ φύσιν ὀδυνωμένων τε καὶ διὰ τοῦτο φλεγμαινόντων τῶν μυῶν, εἰς ὁμοίαν δὲ αὐτοῖς ἀγόντων διάθεσιν τὸν ἐγκέφαλον, οὗ παθόντος οἱ ὀξεῖς ἔπονται πυρετοὶ μετὰ τοῦ βλάπτεσθαι τὰς τῆς ψυχῆς ἐνεργείας (603) ἁπάσας. ὁ γάρ τοι καιρὸς τὸ πάθος μήτ' αἰσθάνεσθαι μήτε κινεῖσθαι τὸν ἄνθρωπον ἢ παρακολουθεῖν ἑαυτῷ πέπονθεν· ἀλλὰ τόν γε λογισμὸν καὶ τὴν μνήμην καὶ τὴν αἴσθησιν ἅμα καὶ τὴν καθ' ὁρμὴν κίνησιν διέφθαρται.

ιθ'.

Καρώδεις γὰρ οἱ μύες οὗτοι καὶ ἀλλοιούμενοι καὶ ἐντεινόμενοι παρὰ φύσιν.

Ἱκανὸν ἑκάτερον τῶν εἰρημένων ἐργάσασθαι καιρὸν, ἥ τ' ἀλλοίωσις καὶ ἡ τάσις τῶν μυῶν εἰς ἐμπάθειαν τῆς σαρκὸς ἀγομένης κατ' ἄμφω. ἡ μὲν οὖν τάσις αὕτη γίνεται

atque hi. Ob haec igitur omnia periculum mortis impendet, quum praeter naturam muſculi intendantur, ac propterea doleant et idcirco inflammatione premantur ac ſimili vitio cerebrum afficiant. Quo affecto acutae febres ſequuntur, ſimulque laeduntur omnes animi actiones; non enim ſolet, ubi cerebrum inexpugnabili dormiendi neceſſitate prematur, ejus vitio ſenſus dumtaxat laedi et motus, ſed ratiocinatio, memoria, ſenſus et motus voluntarius corrumpi.

XIX.

Hujusmodi enim muſculi inexpugnabilem dormiendi neceſſitatem inducunt, quum alienantur et praeter naturam extenduntur.

Poteſt utrumque ex propoſitis inexpugnabilem dormiendi neceſſitatem inferre et alienatio muſculorum et diſſentio, quum uterque affectus ob conſenſum ad cerebrum

Ed. Chart. XII. [341.] Ed. Baſ. V. (603.)

τῶν ἰνῶν, αἵ τε πρότερον ἦσαν χαλαραὶ νῦν ἁπασῶν κατ' εὐθεῖαν γραμμὴν ἀποτεινομένων. ἡ δ' ἀλλοίωσις ὅταν ἤτοι θερμανθῶσιν ἢ ψυχθῶσιν ἀμέτρως ἢ ὑγρανθῶσιν ἢ θαλφθῶσιν ἢ φλεγμήνωσιν ἢ ἐρυσιπελατωθῶς σχῶσιν ἢ σήπωνται· ἐν ἅπασι γὰρ τοῖς τοιούτοις κατ' αὐτὴν τὴν οὐσίαν ἀλλοιοῦνται, τεινόμενοι δὲ μόνον εὐθύνονται κατὰ τὰς ἴνας ἄνευ τοῦ τὴν οὐσίαν αὐτῶν ἑτεροιοῦσθαι.

κ'.

Φιλέει δὲ καὶ ἡ γαστὴρ ὑποχωρέειν τούτοισι χολώδεα, ἄκρητα ὀλίγα καὶ ἢν ἐμέωσιν, ἄκρητα ἐμέουσι.

Τὸ μὲν ἐν τοῖς ὀξυτάτοις πυρετοῖς ἄκρητα χολώδεα γενναῖσθαι κατὰ τὸ σῶμα θαυμαστὸν οὐδέν· εἴ γε δὴ καὶ πιμελὴ καὶ σὰρξ ἁπαλὴ καὶ νεοπαγὴς ὑπὸ τῶν τοιούτων πυρετῶν τήκεται καὶ κατοπτᾶται τὸ αἷμα. τὸ δὲ καὶ συρρεῖν εἰς τὴν γαστέρα καὶ ἔντερα τὰς τοιαύτας συνηίξεις ἴδιον τῶν ὀδυνωμένων ἐπὶ νευρώδεσι μόνων. ὅτι τε σὺν

pertineat. Diſtentio inde proficiſcitur, quod fibrae quae prius laxae erant nunc omnes ad rectam lineam extendantur; alienatio, ubi ultra modum caleſiant, frigeſcant, madeſcant, ſiccentur, inflammentur, eryſipelate prehendantur vel putreſcant, in quibus omnibus eorum natura alienatur; ſed in diſtentione fibrae dumtaxat extenduntur citra naturae ipſius alienationem.

XX.

His ſolet alvus bilem puram atque exiguam reddere; ac ſi evomant, vomitus parus eſt.

In febribus admodum acutis nihil mirum, ſi pura bilis in corpore producitur, ſiquidem et adeps et caro tenera ac paulo ante concreta ſub hujusmodi febribus tabeſcit et ſanguis aduritur. Concurrere autem haec ad alvum atque inteſtina quum tabent proprium eſt, ubi tantum nervoſae partes laborant; cum ipſis enim vitiatur

Ed. Chart. XII. [341. 342.] Ed. Baf. V. (603.)

τούτοις κακοῦται καὶ πάσχει τὸ τῆς γαστρὸς στόμα νευρωδέστατον ὄν. εὕρηται δ' ὀρθῶς ὑπ' αὐτοῦ τὰ σύνεγγυς καὶ τὰ κοινὰ πρῶτα καὶ μάλιστα κακοῦσθαι, καὶ ὅτι παθεῖν τοῦτο ταῖς ὀδύναις οὐκ ἀνέχει, καίτοι μικραὶ τυγχάνουσιν οὖσαι. λειποψυχίαι γὰρ γίνονται κακοπαθοῦντι τῷ στόματι τῆς γαστρός. ἐν δὲ ταῖς λειποψυχίαις συρρεῖ τὰ λεπτὰ περιττώματα πάντα εἰς τὴν γαστέρα. καὶ μέντοι καὶ χωρὶς τοῦ πεπονθέναι τοῦτο κατὰ τὰς ἰσχυρὰς ὀδύνας τε καὶ λύπας φαίνεται τὰ τοιαῦτα περιττώματα συρρέοντα πρὸς τὴν γαστέρα καὶ τὰ ἐντέρα. τῶν μὲν οὖν εἰς τὴν γαστέρα παραγιγνομένων ἡ κένωσις δι' ἐμέτων γίγνεται, τῶν δ' εἰς τὰ ἔντερα διὰ τῆς ὑποχωρήσεως.

κα'.

[342] Οὗτοι οὖν καὶ θνήσκουσι δεκαταῖοι μάλιστα.

Ἔστι καὶ παρὰ τοῖς ἄλλοις παλαιοῖς ἐνίοτε μάλιστα φωνῆς τὸ σημαινόμενον τοιοῦτον εὑρεῖν, οἷον καὶ νῦν φαίνε-

laeditur que os ventriculi quod maxime nervoſum eſt. Recte autem ab ipſo docemur proximas communesque partes primum potiſſimumque affici: propterea ubi ventriculi os laedatur, dolorem ne levem quidem poſſe ſuſtinere. Sequitur enim animae defectio, ubi ipſum male affligatur; et quum animus deficit, omnia quae ſuperſunt tenuia ad ventrem concurrunt, quin etiam ſi hoc non accidat ſub vehementi dolore atque moerore quae ſuperant in corpore hujus generis, videntur ad ventriculum atque inteſtina decurrere; quae in ventriculo coëunt, vomitu excernuntur; quae in inteſtinis, dejectione.

XXI.

Decedunt autem hi maxime decimo die.

Verbum *maxime* μάλιστα dixit. Invenitur autem et apud alios veteres ita acceptum, ſicut nunc ab Hippocrate

Ed. Chart. XII. [342.] Ed. Baſ. V. (603.)

ται παρὰ τῷ Ἱπποκράτει τὸν ἔγγιστα ποσαχὸν ἐμφαῖνον τοῦ λεγομένου κατὰ τὸν ἀριθμὸν πράγματος, ὡς εἰ καὶ οὕτως εἰρήκει· καὶ θνήσκουσιν οἱ οὕτως ἔχοντες ἐπὶ τὸ πολὺ περὶ τὴν δεκάτην ἡμέραν, ὥστ' εἰ κἂν ἐναταῖοι καὶ ἑνδεκαταῖοι τοῦτο πάθωσιν, ἀληθῶς εἰρῆσθαι τὸν λόγον. ὅτι δ' οὕτω χρῶνται τῷ μάλιστα, δῆλόν ἐστί σοι καὶ ἐκ τῶνδε τῶν παραδειγμάτων· Θουκυδίδης μὲν ἐν τῷ πρώτῳ φησί· ταῦτα δὲ ξύμπαντα ὅσα ἔπραξαν οἱ Ἕλληνες πρός τε ἀλλήλους καὶ τὸν βάρβαρον ἐγένετο ἐν ἔτεσι πενηκοντα μάλιστα. καὶ ἐν τῷ αὐτῷ· ἀπέχει δὲ ξ' σταδίους μάλιστα. Ἀνδοκίδης δὲ ἐν τῷ περὶ μυστηρίων· ἄδων δ' ἀνθρώπους τὸν μὲν ἀριθμὸν μάλιστα τριακοσίους. πολλὴ δέ ἐστιν ἡ χρῆσις τῆς λέξεως κατὰ τοῦτο τὸ σημαινόμενον ἅπασι τοῖς Ἕλλησιν.

κβ'.

Ἢν δὲ καταγῇ ἡ κάτω γνάθος, ἢν μὲν μὴ ἀποκαυλισθῇ παντάπασιν, ἀλλὰ ξυνέχηται τὸ ὀστέον, ἐγκεκλιμένον δὲ ἔῃ, κατορθῶσαι μὲν χρὴ τὸ ὀστέον παρά γε τὴν γλῶσσαν

accipitur, ut conjecturam numeri ejus rei quae proponitur proxime oſtendat, quaſi ita dixerit: hi ergo decedunt plerumque circiter decimum diem, ita ut quamvis nono vel undecimo intereant, vera curatio ſit. Teſtantur autem exempla vocabulum μάλιστα ita uſurpari. Thucydides quidem in primo libro inquit: hae omnes Graecorum et inter ſe et contra barbarum res geſtae fuerunt, maxime quinquaginta annis. Atque ibidem: diſtat ſexaginta ſtadia maxime. Andocides item de myſteriis inquit: homines maxime trecentos. Ubi maxime μάλιστα dicunt, in quam ſignificationem hujusmodi vox a Graecis ſaepenumero accipitur.

XXII.

Sed ſi maxilla comminuatur, ubi non frangitur omnino transverſa, ſed aliqua parte icta oſſa inter ſe cohaerent, in ſuam ſedem compellenda ſunt digitis utrimque

Ed. Chart. XII. [342.] Ed. Baſ. V. (603.)

πλαγίαν ὑπείραντα τοὺς δακτύλους, τὸ δὲ ἔξωθεν ἀντερείδειν, ὡς ἂν ξυμφέρει, κἂν διεστραμμένοι ἔωσιν οἱ ὀδόντες οἱ κατὰ τὸ τρῶμα κεκινημένοι, ὁκόταν τὸ ὀστέον κατορθωθῇ, ζεῦξαι τοὺς ὀδόντας χρὴ πρὸς ἀλλήλους μὴ μόνον τοὺς δύο, ἀλλὰ καὶ πλέονας, μάλιστα δὲ δὴ χρυσίῳ. ἔστ' ἂν κρατηθῇ τὸ ὀστέον· εἰ δὲ μή, ἐν λίνῳ. ἔπειτα ἐπιδεῖν κηρωτῇ καὶ σπλήνεσιν ὀλίγοισι καὶ ὀθονίοισιν ὀλίγοισι, μὴ ἄγαν ἐρείδοντα, ἀλλὰ χαλαροῖσιν.

"Οταν τοῦ καταγέντος ὀστοῦ μηδὲν ἀπαθὲς ὑπολείπηται, διαλυθέντων ἀπ' ἀλλήλων τῶν μερῶν, ὡς κατὰ μηδὲν τοῦτο συνέχεσθαι τὸ εἶδος τοῦ κατάγματος οἱ νεώτεροι τῶν ἰατρῶν ὀνομάζουσι καυληδὸν, ἐπειδὴ καὶ ὁ Ἱπποκράτης εἶπεν, ἐὰν μὴ ἀποκαυλισθῇ παντάπασι. τὰ δ' ἄλλα καὶ ταύτης τῆς ῥήσεως καὶ τῶν ἐφεξῆς σαφῆ, πλὴν εἴ πού τι βραχὺ παρεμπίπτοι καὶ τοῦτ' ἐπισημαινούμεθα.

---

prementibus, tum ab ore lingua in latus adducta, tum a cute, ut convenit, repellendo. Quodſi pervertantur dentes ad fracturam moti, ubi oſſa in ſuam ſedem collocata ſunt, non ſolum bini, ſed etiam plures inter ſe ligandi ſunt auro potiſſimum vel certe lino, donec oſſa confirmentur. Quo facto vincire oportet, paucis pannis ceratoque injectis, paucisque faſciis non valde adſtrictis, ſed laxioribus.

Ubi comminuto oſſe nihil integrum relinquitur, partibus inter ſe recedentibus ita ut nullo pacto cohaereant, hujusmodi fracturae ſpeciem recentiores medici Graece *καυληδὸν* a fracti caulis ſimilitudine appellant, eo quod Hippocrates illud, ubi non frangitur, omnino transverſa dixerit, *ἐὰν μὴ ἀποκαυλισθῇ παντάπασι*. Reliqua omnia tam in hac oratione quam in ſequentibus plana ſunt; ſed ſi paullum quid offendimus, id quoque explicabimus.

Ed. Chart. XII. [342. 343.] Ed. Baſ. V. (603.)

κγ'.

Εὖ γὰρ εἰδέναι χρὴ ὅτι ἐπίδεσις ὀθονίων γνάθῳ καταγείσῃ μικρὰ μὲν ἂν ὠφελέοι, εἰ χρηστῶς ἐπιδέοιτο, μεγάλα δὲ ἂν βλάπτοι, εἰ κακῶς ἐπιδέοιτο.

Τὸ μὲν μέγα βλάπτειν τὴν μοχθηρὰν ἐπίδεσιν κοινὸν ἁπάντων καταγμάτων ἐστὶ, τὸ δὲ μηδὲν ὠφελεῖν μέγα τὴν ἀγαθὴν ἐπίδεσιν ἐν τοῖς τῆς γένυος κατάγμασιν οὐκ ἄρα πάντων κοινόν ἐστι τῶν ὀστῶν, ἀλλὰ μόνων ἐκείνων [343] *ὅσα τὴν ἐν κύκλῳ περιβολὴν οὐ δέχεται τῶν ὀθονίων, εἴ τις φυλάττοι τὸ πεπονθὸς ὀστοῦν, ὅπως ἂν αὐτὸ διαπεπλασμένον ὑπὸ τοῦ ἰατροῦ παραλάβῃ. πρόσεστι δ' ἐξαίρετον τῇ γνάθῳ καὶ τὸ τῆς ἐπιδέσεως ἄσηρον, ὡς ἂν εἰθισμένῃ γυμνῇ καὶ ἀσκεπάστῳ διὰ παντὸς εἶναι.*

κδ'.

Πυκνὰ δὲ παρὰ τὴν γλῶσσαν ἐσμάττεσθαι χρὴ καὶ πουλὺν χρόνον ἀντέχειν τοῖσι δακτύλοισι κατορθοῦντα τοῦ ὀστέου

XXIII.

Scire autem convenit maxillam fractam faſciis parum luxare, ſi recte injiciantur; ubi minus, recte multum laedi.

Commune eſt omnibus fracturis ſummopere laedi a vinculo quod non recte ſuperdetur, at non admodum juvari maxillae fracturam vinculo recte injecto non pertinet communiter ad omnia oſſa, ſed ad ea dumtaxat quae faſcia comprehendi in orbem nequeunt, qua vitiatum os quo modo a medico compoſitum exceptum fuerit ſervetur. Adde quod in maxilla vinculum praecipue infeſtum eſt, quum ſemper ſolida ſit nuda eſſe ac ſine velamento.

XXIV.

Subinde autem circa linguam alte inquirere oportet, ac diutius digitis utrimque reprimere, dirigereque id oſſis

Ed. Chart. XII. [343.] Ed. Baf. V. (603. 604.)

τὸ ἐγκλιθέν. ἄριστον δὲ εἰ ἀεὶ δύναιτο, ἀλλ' οὐχ οἷόν τε. ἦν δὲ ἀποκαυλισθῇ παντάπασι τὸ ὀστέον, ὀλιγάκις δὲ τοῦτο γίνεται, κατορθοῦν μὲν χρὴ τὸ ὀστέον οὕτως καθάπερ εἴρηται. ὅταν δὲ κατορθώσῃς, τοὺς ὀδόντας χρὴ ζευγνύναι, ὡς ἔμπροσθεν εἴρηται· μέγα γὰρ ἂν συλλαμβάνοι ἐς τὴν ἀτρεμίην, προσέτι καὶ εἴ τις ὀρθῶς ζεύξῃ, ὥσπερ χρὴ τὰς ῥαφὰς ῥάψας· ἀλλὰ γὰρ οὐ ῥηΐδιον ἐν γραφῇ χειρουργίην πᾶσαν ἀτρεκέως ἡγέεσθαι, ἀλλ' ὑποτυπέεσθαι χρὴ ἀπὸ τῶν γεγραμμένων.

---

(604) Τὸ μὲν μάττεσθαι ζητεῖν σημαίνει, τὸ δὲ ἐσμάττεσθαι τῶν ἐν βάθει τι ζητεῖν, ὥσπερ καὶ νῦν. ἀξιοῖ γὰρ ὁ Ἱπποκράτης ἐμβάλλοντα τῷ στόματι τὸν δάκτυλον ἐπισκοπεῖσθαι μὴ παραλλάσσῃ τὰ μέρη τοῦ κατεαγότος ὀστοῦ καὶ οὕτως ἐπανορθοῦσθαι τῷ δακτύλῳ, πρὸς ὅ τί περ ἂν δύξῃ συμφέρειν ἀντωθοῦντα εἰς ὃ ῥέπει πρὸς τὴν ἐκτὸς χώραν. ὅτι δ' οὐκ αὐτὸν τὸν ἰατρὸν ἀεὶ χρὴ τοῦτο ποιεῖν,

quod inclinatum eſt. Optimum autem eſſet, ſi ſemper id fieri poſſet, ſed non poteſt. Quodſi os transverſum omnino abrumpatur, quod quidem raro incidit, collocare eo modo quo dictum eſt os in ſuam ſedem oportet. Quo facto deligare dentes inter ſe convenit, veluti ſupra oſtendimus: hoc ſiquidem maxillam valde immobilem praeſtat; ſi quis capita recte ut oportet futura inſuper conjunxerit. Univerſam vero manus curationem ad unguem ſcribere non facile eſt. Sed ex iis quae ſcripta ſunt exprimenda eſt.

Μάττεσθαι ſignificat *inquirere*, ſed *ἐσμάττεσθαι alte inquirere*, ſicut nunc ubi alte inquirere *ἐσμάττεσθαι* dixit. Praecipit enim Hippocrates digito in os demiſſo conſiderari num fracti oſſis ſpatium altera ſuper alteram excedat, atque ita digito adurgeri, quo expedire videatur, id quod in interiorem partem converſum eſt in exteriorem

Ed. Chart. XII. [343.] Ed. Baſ. V. (604.)

ἀλλὰ τὸν κάμνοντα διδάξει πράττειν οὕτως, εὔθηλον εἶναι νομίζω.

κε'.

Ἔπειτα χρὴ δέρματος Καρχηδονίου, ἢν μὲν νεώτερος ᾖ ὁ τρωθείς, ἀρκέει τῷ λοιπῷ χρέεσθαι, ἢν δὲ τελειότερος ᾖ αὐτῷ τῷ δέρματι τάμνοντα χρὴ εὖρος ὡς τριδάκτυλον ἢ ὅκως ἂν ἁρμόζει ὑπαλείψαντα κόμμι τὴν γνάθον. εὐμενέστερον γὰρ κόλλῃ προσκολλῆσαι τὴν δέριν ἄκρον πρὸς τὸ ἀποκεκαυλισμένον τῆς γνάθου, ὡς δάκτυλον ἀπὸ τοῦ τρώματος ἢ ὀλίγῳ πλέον. τοῦτο μὲν ἐς τὸ κάτω μέρος, ἐχέτω δὲ ἐντομὴν κατὰ τὴν ἴξιν τοῦ γενείου ὁ ἱμὰς, ὡς ἀμφιβεβήκει ἀμφὶ τὸ ὀξὺ τοῦ γενείου, ἕτερον δὲ ἱμᾶντα τοιοῦτον ἢ ὀλίγῳ πλατύτερον προσκολλῆσαι χρὴ πρὸς τὸ ἄνω μέρος τῆς γνάθου ἀπολιπόντα κατὰ τοσοῦτον ἀπὸ τοῦ τρώματος, ὅσονπερ ὁ ἕτερος ἀπέλιπεν. ἐσχίσθω δὲ καὶ οὗτος ὁ ἱμὰς τὴν ἀμφὶ τὸ οὖς περίβασιν.

repellendo. In aperto autem eſſe exiſtimo, Hippocratem imperare, non ut medicus adſidue, ſed ut aeger hoc efficiat.

XXV.

Dein ſi is quem fractura male habet puer ſit, ſatis erit corii Carthaginenſis exterioris partis id quod durius eſt et magis denſum admovere; ſed ſi robuſtior fuerit, ipſum corium. Incidenda autem habena eſt, quae trium digitorum latitudinem aequet vel quanta convenit, tum maxilla gummi inungenda: maxillae enim, qua transverſa fracta eſt, firmius haeret extrema habena agglutinata interpoſito digiti ſpatio vel paulo longiori, idque ab inferiori parte; incidaturque habena haec media in longitudinem, ut utrimque mente complectatur; altera item habena aequalis vel paulo latior ſuperiori parti maxillae agglutinetur, diſtetque a fractura quantum prior. Scindatur autem, quatenus poſſit aurem comprehendere.

Ed. Chart. XII. [343. 344.] Ed. Baſ. V. (604.)

Μαλακὸν εἶναι βούλεται τὸ δέρμα, καθάπερ ἦν ἴσως τότ' ἐν Καρχηδόνι. τούτων γὰρ ἐμνημόνευσεν ὀνομαστὶ παραδείγματος ἕνεκεν, ὥσπερ καὶ πρόσθεν ἐν τῷ περὶ ἀγμῶν Αἰγυπτίου δέρματος. εὔδηλον δ' ὅτι τοῦ δέρματος τούτου τοῦ ἐξωτάτου σκληρότερόν τε καὶ πυκνότερον ὀνομάζει λοιπόν. ὅπως δ' αὐτῷ χρῆται, τῆς ἀντιτάσεως ἕνεκα τῶν κατεαγότων μορίων τῆς γένυος, αὐτὸς δηλώσει παρακο- [344] *λουθούντων ἡμῶν τῷ σκοπῷ τοῦ γιγνομένου. βούλεται γὰρ τὸ μὲν ἕτερον μέρος τοῦ κατεαγότος ὀστοῦ πρὸς τὸ γένειον, τὸ κατώτερον τείνεσθαι ἄνω πρὸς τὴν κεφαλήν.*

κστ'.

Ἀποξέες δ' ἔστωσαν οἱ ἱμᾶντες ἀμφὶ τὴν ξυναφὴν, ἔνθα ξυνάπτεσθαί τε καὶ συνδεῖσθαι εἰς τὰ πέρατα τῶν ἱμάντων.

Ἐνταῦθα κελεύει στενότερά πως ὑπάρχειν αὐτὰ, μειουμένου κατὰ βραχὺ τοῦ πλάτους, ὅπως ἡ δέσις ἀσφαλεστέρα

Molle accipi voluit corium, cujusmodi tunc fortaſſe fuit Carthagine; hujus enim exempli cauſa nominatim meminit, quemadmodum Aegyptii corii antea in opere de fracturis. Conſtat autem in eo corio partis quae maxime ſumma eſt, id quod durius eſt ac magis denſum nunc λοιπὸν ab ipſo nuncupari. At quomodo illud adhibeat, ut maxillae fractae partes in diverſa extendat, ipſe nobis evidentiſſime aperiet, ſi quorſum de his agat intelligamus: vult ſiquidem fracti oſſis alteram partem deorſum a mento extendi, alteram a capite ſurſum.

XXVI.

Acuantur autem habenae qua conjungi alligarique inter ſe debent.

Praecipit hic ut habenae quodammodo anguſtiores ſint pallatim latitudine imminuta, quo junctura firmior redda-

Ed. Chart. XII. [344.] Ed. Baſ. V. (604.)

γένηται. τὰ γὰρ πλατύτερα πέρατα, κἂν ἐπιμελῶς τις δήσῃ, τὸ μόνιμον οὐκ ἔχει.

κζ'.

Ἐν δὲ τῇ κολλήσει ἡ σὰρξ τοῦ σκύτεος πρὸς τοῦ χρωτὸς ἔστω, ἐχεκολλότερον γὰρ οὕτως.

Τὸ σκύτος ἐκ δέρματος ζώου γίνεται διττὴν ἔχοντος φύσιν. ὅσον μὲν γὰρ ἔξωθέν ἐστι τοῦ δέρματος ὁμιλοῦν τῷ περιξ ἀέρι πυκνότερόν τε γίγνεται καὶ νευρωδέστερον, ὅσον δ' ἐντὸς τοῦδε, μαλακώτερόν τι καὶ ἀραιότερον. αὐτοῦ δὲ τούτου τὸ μὲν ἐγγύτερον τοῦ ἔξω πέρατος ἧττόν ἐστι, τὸ δὲ ἔνδον οὐ ψαύει τῶν ὑποκειμένων τῷ δέρματι, μᾶλλόν τε ἀραιὸν καὶ σαρκῶδες, ὅπερ δὴ καὶ σάρκας τοῦ σκύτους ὠνόμασε καὶ συμβουλεύει κατὰ τοῦτο γίγνεσθαι τὴν κόλλησιν, ἅτε γὰρ μαλακώτερον καὶ ἀραιότερον ἐπιτηδειότερόν ἐστιν εἰς τοιαύτην χρείαν.

---

tur; capita enim quae lata ſunt quamvis ſumma cura vinciantur, non tamen fideliter continentur.

XXVII.

In glutinando corii caro cutem contingat, ſic enim magis inhaereſcit.

Corium ſit ex pelle animalis duplicem naturam habente, id enim ex ipſa quod exterius eſt, quum ambienti aëri objectum ſit, magis denſum evadit et nervoſum eſt; quod interius, mollius et rarius atque ex hoc ipſo minus id quod ad exteriorem partem magis accidit; quod ad interiorem qua id tangit quod cuti ſubjicitur rarius eſt et carnoſum, quod ſane corii carnem nominavit, a qua parte glutinari voluit. Nam quum rarius et mollius ſit, ad ejus uſum magis accommodatur.

Ed. Chart. XII. [344.] Ed. Baf. V. (604.)

κη'.

Ἔπειτα κατατείναντα χρὴ καὶ τοῦτον τὸν ἱμᾶντα, μᾶλλον δέ τι τὸν περὶ τὸ γένειον, ὡς ὅτι μάλιστα μὴ ἀποσμιλαίνῃ ἡ γνάθος, ξυνάψαι τοὺς ἱμᾶντας κατὰ τὴν κορυφὴν, κἄπειτα περὶ τὸ μέτωπον ὀθονίῳ καταδῆσαι.

Ἀνενεχθέντων δηλονότι πρὸς τὴν κεφαλὴν τοῦ κάμνοντος ἀμφοτέρων τῶν περάτων τοῦ ἱμᾶντος ἡ δέσις αὐτῶν πρὸς τὴν κορυφὴν αὐτῆς. μᾶλλον δὲ βούλεται τετάσθαι τὸν κάτω χάριν τοῦ τὴν γένυν, ὡς αὐτὸς εἶπε, μὴ ἀποσμιλαίνειν, ὅπερ ἐστὶν εἰς ὀξὺ παράγεσθαι.

κθ'.

Καὶ κατάβλημα χρὴ εἶναι, ὥσπερ νομίζεται, ὡς ἀτρεμέειν τὰ δεσμὰ, τὴν δὲ κατάκλισιν ποιεέσθωι ἐπὶ τὴν ὑγιέα γνάθον μὴ τῇ γνάθῳ ἐρηρεισμένος, ἀλλὰ τῇ κεφαλῇ. ἰσχναίνειν δὲ χρὴ τὸ σῶμα ἄχρι ἡμερῶν δέκα, ἔπειτα ἀνατρέφειν μὴ βραδέως. ἢ γὰρ οὖν τῆσι πρώτῃσιν ἡμέ-

XXVIII.

Deinceps extendenda eſt hujusmodi habena, magis autem quae a mento ſita eſt, ut potiſſimum cautio ſit ne maxilla in acutam figuram ducatur; in vertice autem jungendae ſunt utraeque habenae, dein citra frontem faſciae alligandae.

Utraeque habenarum extremitates dari debent ad caput laborantis, atque in vertice deligari. Magis autem extendi voluit inferiorem, ne maxilla, ut dixit, ἀποσμιλαίνει, id eſt in acutam figuram ducatur.

XXIX.

Aliquid etiam ſuper omnia extrinſecus injici debet, ut fieri ſolet, quo vincula immobilia reddantur. Cubet autem homo in maxillam integram, non tamen huic, ſed capiti innixus. Corpus vero extenuandum eſt uſque ad decimum diem, poſtea reficiendum eſt non tarde: nam ubi

Ed. Chart. XII. [344. 345.] Ed. Baſ. V. (604.)

ρησι μὴ φλεγμήνῃ, ἐν εἴκοσιν ἡμέρῃσι γνάθος κραταιύνεται. τελέως γὰρ ἐπιπωροῦται, ὥσπερ καὶ τἆλλα τὰ ἀραιὰ ὀστέα, ἢν μὴ ἐπισφακελίσῃ. ἀλλὰ γὰρ περὶ σφακελισμῶν τῶν [345] συμπάντων ὀστέων ἄλλος μακρὸς λόγος λείπεται. αὕτη ἡ διάστασις ἡ ἀπὸ τῶν κολλημάτων εὐμενὴς καὶ εὐταμίευτος καὶ ἐς πολλὰ καὶ πολλαχοῦ διορθώματα εὔχρηστος. τῶν δὲ ἰητρῶν οἱ μὲν σὺν νόῳ εὔχειρες καὶ ἐν ἄλλοισι τρώμασι τοιοῦτοί εἰσι καὶ ἐν γνάθων κατήξεσιν. ἐπιδέουσι γὰρ τὴν γνάθον κατεαγεῖσαν ποικίλως καὶ καλῶς καὶ κακῶς.

Τὸ κατὰ πάντων ἔξωθεν ἐπιβαλλόμενον οὕτως ὠνόμασεν, εἴτε τῶν καλουμένων παραρμάτων εἴτε τῶν ὁμοίων εἴη τι. καλεῖ δ' αὐτὸς, ὥσπερ νῦν ἔτι συνήθως ὀνομάζεται, παράρματα παραιρούμενα ὑπὸ τῶν ἀμφιεσμάτων, ὑπὸ τῶν ῥαπτόντων αὐτά. μάλιστα γὰρ ἐπιτήδεια διὰ μαλακότητα, ταῦτά ἐστιν εἰς τὴν προκειμένην χρείαν, δύναιτο δ' ἄν τις ἀπορῶν αὐτῶν ἐπὶ τῶν ὁμοίων ἀφικνεῖσθαι.

---

primis diebus inflammatio non oritur, maxilla viginti diebus confervet. Celeriter enim callus increſcit, ſicut in aliis oſſibus quae rara ſunt, niſi corrumpantur. Sed reſtat alius ſermo longus de cunctis oſſibus quae corrumpuntur. Intenſio autem quae per gluten adhibetur firmiter manet, intendi et minui poteſt et ad multa dirigenda ſaepenumero proficit. Medicorum vero quicunque incogitantes ſunt et in aliis caſibus et in maxillae fractura prompte manus admovent; comminutam enim maxillam varie et bene et male devinciunt.

Quod ſuper omnia extrinſecus injicitur *κατάβλημα* appellavit, ſive panniculus ſit, ſive aliud ejus generis. Vocat autem panniculum *πάραρμα*, ſicut etiam nunc dici ſolent *παράρματα*, quae ex veſtimentis praeciduntur ab iis qui ea ſuunt: haec ſiquidem ad propoſitum uſum propter mollitiem commodiſſima ſunt; quae ubi non ſint, licebit aliquid ſimile admovere.

Ed. Chart. XII. [345.] Ed. Baf. V. (604. 665.)

λ'.

Πᾶσα γὰρ ἔνδεσις γνάθου οὕτω καταγείσης ἐκκλίνει τὰ ὀστέα τὰ ἐς τὸ κάταγμα ῥέποντα μᾶλλον ἢ ἐς τὴν φύσιν ἄγει.

Τῆς οὕτω, φησὶ, καταγείσης γένυος, τουτέστι τῆς καυληδὸν, ἡ ἐπίδεσις ἐκκλίνει μᾶλλον εἰς τὸ κάταγμα ἢ ἐξευθύνει τὰ ὀστᾶ διὰ τὸ μὴ δύνασθαι περιελιχθῆναι τὰ ὀθόνια κύκλῳ τὰ περὶ τὸ πεπονθὸς, ἀλλ' ἔξωθεν μόνον ἐπικαλέεσθαι.

λα'.

(605) *Ἦν δὲ ἡ κάτω γνάθος κατὰ τὴν σύμφυσιν τὴν κατὰ τὸ γένειον διασπασθῇ, μόνη δὲ αὕτη ξύμφυσις ἐν τῇ κάτω γνάθῳ ἐστὶν, ἐν δὲ τῇ ἄνω πολλαὶ, ἀλλ' οὐ βούλομαι ἀποπλανᾶν τὸν λόγον· ἐν ἄλλοισι γὰρ εἴδεσι νουσημάτων περὶ τούτων λεκτέον. ἢν οὖν διαστῇ ἡ κατὰ τὸ γένειον σύμφυσις, κατορθῶσαι μὲν παντὸς ἀνδρός ἐστι. τὸ μὲν γὰρ ἐξεστεὸς ἐσωθέειν χρὴ εἰς τὸ εἴσω μέρος*

XXX.

Omne enim vinculum maxillae ita abruptae ad fracturam offa inclinat, magis quam ſecundum naturam.

Maxillae, inquit, ita abruptae, hoc eſt quae transverſa fracta ſit, vinculum ad fracturam magis offa convertit quam dirigat, propterea quod faſciae in orbem circumdari nequeant circa ſedem affectam, ſed ab exteriori parte dumtaxat imponi.

XXXI.

Sed ſi maxilla qua ad mentum jungitur diducatur, ſola autem junctura eſt haec in maxilla, in malis multae; ſed a propoſito ſermone diſcedere conſilium non eſt. In aliis enim morborum generibus de iis dicendum eſt, ſi junctura, inquam, quae in mento eſt diducatur, componi a quovis poteſt: nam quod exſtat intus repellen-

Ed. Chart. XII. [345. 346.] Ed. Baſ. V. (605.)

προσβάλλοντα τοὺς δακτύλους, τὸ δὲ εἴσω ῥέπον ἀνάγειν ἐς τὸ ἔξω μέρος ἐνερείσαντα τοὺς δακτύλους· ἐς διάστασιν μέντοι διατεινάμενοι ταῦτα χρὴ ποιέειν.

Ἐκ δυοῖν μὲν ἡ κάτω γένυς ὀστῶν σύγκειται κατ' ἄκρον τὸ γένειον ἀκριβῶς ξυμπεφυκότων, ἐκ πολλῶν δὲ ἡ ἄνω κατὰ συνάρθρωσιν κειμένων. ἀλλ' ἡ τοιαύτη τῶν ὀνομάτων λεπτουργία παρὰ τοῖς παλαιοῖς οὐκ ἦν, διὸ καὶ Ἱπποκράτης τὴν ἄνω γένυν ξυντιθέντων τῶν ὀστῶν τὰς ἁρμονίας ὑπὸ τῆς ξυμφύσεως ἔταξε γένος, ἐνὶ γνωρίσματι προσέχων τὸν νοῦν ἐπ' αὐτῶν μηδεμίαν αἰσθητὴν κίνησιν ἐν ταῖς τοιαύταις τῶν ὀστῶν συνθέσεσι.

λβ'.

[346] *Ῥᾷον γὰρ οὕτως ἐς τὴν φύσιν ἥξει ἢ εἰ ἐγχρίπτων τις ἐς ἄλληλα τὰ ὀστέα παραναγκάζειν πειρᾶται. τοῦτο παρὰ πάνια τὰ ὑπομνήματα χάριεν εἰδέναι. ὁκό-*

dum eſt digitis ſuperdatis; quod in interiorem partem convertitur in exteriorem adducendum digitis adurgendo. Haec autem facienda ſunt oſſibus in diverſa diductis.

Maxilla quidem ex duobus oſſibus conſtat, quae in imo mento ad unguem inter ſe junguntur; malae vero ex multis quae juncturam habent omni motu carentem, *κατὰ συνάρθρωσιν* dicunt. Sed curioſum hoc hujusmodi vocabulorum ſtudium apud veteres non fuit, atque idcirco Hippocrates juncturam oſſium malarum ſub *ξυμφύσεως* genere poſuit, id tantum in ipſis indicium ſpectans, quod in ejusmodi oſſium juncturis nullus ſit motus qui ſenſui ſubjiciatur.

XXXII.

Oſſa enim ſic facilius in ſuum locum revertentur quam ſi quis tentet altero ſub altero condito compellere. Hoc autem circa hos commentarios jucundum eſt ſcire, quod

Ed. Chart. XII. [346.] Ed. Baſ. V. (605.)

ταν δὲ κατορθώσῃ, ζεῦξαι μὲν χρὴ τοὺς ὀδόντας τοὺς ἔνθεν καὶ ἔνθεν πρὸς ἀλλήλους, ὥσπερ καὶ πρόσθεν εἴρηται. ἰῆσθαι δὲ χρὴ κηρωτῇ καὶ σπλήνεσιν ὀλίγοισι καὶ ὀθονίοισιν.

Ἔθος ἐστὶν Ἱπποκράτους, ὅσα κοινὰ παραγγέλματα τῶν κατὰ μέρος ἐστὶν ἅπαξ αὐτὰ περὶ ἑνὸς εἰπόντα δηλῶσαι τοῦ πράγματος τὴν δύναμιν, ὅτι κοινὴ πάντων τῶν ὁμοίων, ὥσπερ καὶ νῦν ἀξίως τὰ προδιατείνοντα τὴν κάτω γένυν οὕτω διαπλάττειν ἐπήνεγκε. ῥᾷον γὰρ εἰς τὴν φύσιν ἥξει ἡ εἴ τις ἐγχρίπτων εἰς ἄλληλα τὰ ὀστέα παραναγκάζειν πειρᾶται. αὐτὸ τὸ νῦν εἰρημένον, ὅτι κοινὰ ἁπάντων ἐστὶ τῶν διαπλαττομένων ὀστῶν, ἐπεσημήνατο διὰ τῆς προκειμένης ῥήσεως.

λγ'.

Ἐπίδεσιν δὲ βραχείην ἢ ποικίλην, μάλιστα τοῦτο τὸ χωρίον ἐπιδέχεται, ἐγγὺς γάρ τι τοῦ ἰσορρόπου ἐστίν, ὡς δὴ μὴ ἰσόρροπον ἐόν.

---

quoties componendi ſunt dentes hinc inde invicem, ſicut antea dictum eſt, mederi oportet cerato ac pannis paucis faſciisque.

In omni ejusmodi commentario ſcire licet conſueviſſe Hippocratem in iis praeceptis quae ſingulis communia ſunt, quum ſemel unius mentionem facit, exponere vim rei communem eſſe omnium ſimilium, quemadmodum et nunc volens maxillam prius extentam ita componi ſubjicit. Oſſa enim ſic facilius in ſuum locum revertentur quam ſi quis tentet altero ſub altero condito compellere. Hoc autem quod nunc proponitur attinere ad oſſa omnia quae componuntur, propoſitis verbis indicavit.

XXXIII.

Vinculum autem exiguum variumque maxime huic loco accommodatur; prope enim ſine inclinatione eſt, quamquam non ex toto ſine inclinatione ſit.

Ed. Chart. XII. [346.] Ed. Baſ. V. (605.)

Ἀκριβῶς μὲν ἰσόῤῥοπόν ἐστι μόριον, ὅταν ὁμοιότατον ᾖ κατὰ τὸ σχῆμα κυλίνδρῳ. καλῶ δὲ κύλινδρον οὐχ ᾧ παίζουσιν αἱ παῖδες, ἀλλὰ καὶ τὸ τοῖς κίοσιν ὑπάρχον σχῆμα. τοῦτο δ' ἀκριβῶς μὲν οὐδενὶ τῶν ὀστῶν ἐστι, μᾶλλον μέντοι τῶν ἄλλων ἐν μηρῷ καὶ βραχίονι. τῆς δὲ ἄνω γένυος ὅτι μὲν οὐκ ἔστι τοιοῦτον σχῆμα πρόδηλον, ὥσπερ οὐδὲ ἰσόῤῥοπον αὐτὴν εἶναί φασιν, ἐγγὺς μέντοι τοῦ ἰσορῥόπου διὰ τοῦτ' αὐτὴν εἶπεν, ὅτι τὸ ἀριστερὸν μέρος τῷ δεξιῷ κατὰ πᾶν ἐξωμοίωται καὶ ἴσον ἐστὶ καὶ διὰ τοῦτο τὸ συγκείμενον ἐξ ἀμφοῖν ἰσόῤῥοπον γίνεται μηδεμίαν ἔχον ῥοπὴν ἐπὶ θάτερα μέρη. δέχεται δὲ ποικίλας ἐπιδέσεις ἡ γένυς, ὡς κἂν τῇ τῶν ἐπιδέσμων γυμνασίᾳ πρώτῃ πάντων οἴσῃ μεμαθήκατε.

λδ'.

Τοῦ δὲ ὀθονίου τὴν περιβολὴν ποιέεσθαι χρὴ, ἢν μὲν ἡ δεξιὴ γνάθος ἐξεστήκῃ, ἐπὶ δεξιά· ἐπὶ δεξιὰ δὲ νομίζεται εἶναι, ἢν ἡ δεξιὰ χεὶρ ἡγέηται τῆς ἐπιδέσιος· ἢν δὲ ἡ

Pars exquiſite ſine inclinatione eſt, ubi ſimillimam cylindro figuram repraeſentat. Voco autem cylindrum non quo pueri ludunt, ſed qui columnae imaginem refert. Haec autem ex toto in nullo oſſe reperitur, magis tamen in femore atque humero quam in aliis oſſibus conſpicitur. In maxilla autem conſtat non eſſe hujusmodi figuram; quocirca eam inclinatione vacare non protulit, prope tamen ſine inclinatione eſſe, eo quod ſiniſtra ejus pars dextrae ex toto ſimilis ſit et aequalis, atque idcirco quod ex utraque componitur ſine inclinatione eſt et in neutram partem inclinatur. Admittit autem maxilla varia vincula, ſicut in faſciando, quae exercitatio omnium prima eſt, ut didiciſtis.

XXXIV.

Attrahi autem faſcia debet, ſi maxilla a dextro latere exſtat, a parte dextra; tunc autem a dextra parte eſſe indicatur, quum dextra manus faſciam ducit. Sed ſi

Ed. Chart. XII. [346. 347.] Ed. Baf. V. (605.)

ἑτέρη γνάθος ἐξεστήκῃ, ὡς ἑτέρως χρὴ τὴν ἐπίδεσιν ἄγειν κἂν μὲν ὀρθῶς τις κατορθώσηται καὶ ἐπαιρεμήσῃ ὡς χρὴ, ταχεῖα μὲν ἡ ἄλθεξις, οἱ δὲ ὀδόντες ἀσινέες γίνονται, ἢν δὲ μὴ, χρονιωτέρη μὲν ἡ ἄλθεξις, διαστροφὴν δὲ ἴσχουσα, οἱ ὀδόντες δὲ καὶ σιναροὶ καὶ ἀχρήϊοι γίνονται.

---

[347] Ἐλέχθη καὶ πρόσθεν ἐπὶ τῶν ἑλκῶν ὅσα χεῖλος ἐξῃρημένον ἔχει, τὴν μὲν ἀρχὴν βάλλεσθαι τῆς ὀθόνης ὄπισθεν τοῦ τοιούτου χείλους, ἑλίττειν δ' οὕτω κατ' αὐτὸν τὸν ἐπίδεσμον, ὡς προσάγεσθαι θάτερα χείλη τοῦ ἕλκους. ἔστι γὰρ τοῦτο κοινὸν ἁπάντων τῶν ἐπαναγεσθαι δεομένων εἰς τὴν ἀρχαίαν φύσιν. οὕτως οὖν καὶ νῦν τὸ κοινὸν τοῦτο φυλακτέον ἐστὶ προστέλλον τε καὶ καταναγκάζον τὸ ἐφεστηκὸς μέρος. ἔσται δὲ τοῦτο τῶν ὀθονίων αὐτὸ προσαγόντων ἐκείνῳ. προσαχθήσεται δὲ, εἰ μὲν τὸ δεξιὸν εἴη μέρος τὸ ἐξεστηκὸς, ἐντεῦθεν μὲν ἀγομένων, ἐπὶ δὲ τὸ ἀριστερὸν ἀγόντων ἐπίδεσμον. εἰ δὲ τὸ ἀριστερὸν εἴη τὸ πεπονθὸς, ἐκεῖθεν μὲν ἀρχομένων, ἐπὶ τὸ δεξιὸν δὲ ἀφικνουμένων. ὃ

ab altero latere maxilla excedat, alio ſane modo attrahenda faſcia eſt. Ubi autem recte componatur atque ut oportet immobilis ſervetur, cito ſaneſcit dentesque integri remanent; ſin ſecus, longiori tempore confirmatur, tum pervertitur, dentes autem vitiantur atque inutiles redduntur.

Antea quoque dictum eſt in ulceribus, quibus orae excedunt, caput faſciae ſecundum oram excedentem injiciendum eſſe atque ita faſciam volvendam, ut ad alteram oram ulceris ipſam adducat. Eſt autem hoc perpetuum in omnibus quae reſtitui ad priſtinam naturam debent, quod commune etiam nunc ſervandum eſt, quo excedens pars repellatur cogaturque. Id autem contingat, ſi ea faſciis ad alteram adducatur; adducetur autem, ſi dextra parte ut puta excedente faſcia inde orſa porrigatur ad ſiniſtram; ſi ſiniſtra laeſa ſit, ab hac incipiens ad

Ed. Chart. XII. [347.] Ed. Baſ. V. (605.)

τοίνυν Ἱπποκράτης ὅταν ἀπὸ τῶν δεξιῶν μερῶν ἀρξάμενός τις ἐπὶ θάτερον ποιῆται τὴν νομὴν τῶν ὀθονίων, ἐπὶ δεξιὰ καλεῖ τὴν τοιαύτην ἐπίδεσιν, οὐ τῇ φορᾷ τοῦ ἐπιδέσμου προσέχων τὸν νοῦν, ἀλλὰ τῇ τῆς χειρὸς ἡγεμονίᾳ· ἐὰν γὰρ νοήσῃς καταντικρὺς τοῦ μὲν ἐπιδουμένου τὸν ἰατρὸν, ἡ μὲν ἀπὸ τῆς δεξιᾶς γνάθου φορὰ τῶν ὀθονίων ἐπὶ τὴν ἀριστερὰν ἀγομένη ἡ τῆς δεξιᾶς ἔσται χειρὸς, ἡ δ' ἐναντία τῆς ἀριστερᾶς.

λε'.

Ἤν δὲ ἡ ῥὶς καταγῇ, τρόπος μὲν οὐχ εἷς ἐστι κατάξιος.

Αὐτὸς δὲ ἐφεξῆς ἐρεῖ τοὺς τρόπους· ἤτοι γὰρ μέρος αὐτῆς κατάγνυται, τῆς συνεχείας φυλαττομένης, ὡς μήτε κάτω χωρῆσαι μήτ' ἐφ' ἑκάτερα παραστραφῆναι, ἢ καὶ τούτων τι προσγίγνεται, καὶ ἤτοι κατὰ τὸ χονδρῶδες αὐτῆς τὸ πρόσω τούτων τι συμβαίνειν εἴωθεν, ἢ κατὰ τὸ λοιπὸν τὸ ὀστῶδες.

dextram feratur. Hippocrates igitur, ubi a dextra parte incipiens ad alteram faſcias adducit, hujusmodi vinculum a dextra parte nuncupat, attendens non quo ferantur faſciae, ſed utra praecipue manu attrahantur faſciae. Namque ubi intuearis medicum e regione ejus qui deligatur collocatum, faſcia quae a dextro maxillae ad ſiniſtrum procedet a dextra manu attrahetur, contraria a ſiniſtra.

XXXV.

Quod ſi naſus perfringatur, fracturae modus non eſt unus.

Ipſe deinceps modos adſcribet. Aut enim pars ejus abrumpitur, ipſe tamen ſervatur perpetuus, ſic ut neque deorſum inclinetur nec in alteram partem convertatur; aut horum alterum fit, idque aut in parte ejus quae cartilaginoſa prominet aut in reliqua quae oſſibus continetur.

Ed. Chart. XII. [355. 356.] Ed. Baſ. V. (605. 606.)

λστ'.

Ἀτὰρ πολλὰ μὲν δὴ καὶ ἄλλα λωβέονται οἱ χαίροντες τῇσι καλῇσιν ἐπιδέσεσιν ἄνευ νόου, ἐν δὲ τοῖσι περὶ τὴν ῥῖνα καὶ μάλιστα.

Εἰρωνευόμενος εἴρηκεν οὐ τὰς ὄντως καλὰς σημαίνων, ὧν σκοπὸς ἐστιν εἰς τὸ κατὰ φύσιν ἄγειν τὸ πεπονθὸς, ἀλλὰ τὰς εὐμόρφους καὶ τερπούσας τοὺς ὁρῶντας. ὁποῖαι δέ εἰσιν αὗται, διὰ τῆς ἑπομένης ῥήσεως μαθήσῃ.

λξ'.

Ἐπιδεσίων γάρ ἐστιν αὕτη ἡ ποικιλωτάτη καὶ πλείστους μὲν σκεπάρνους ἔχουσα, διαῤῥωγὰς δὲ καὶ διαλήψιας ποικιλωτάτας τοῦ χρωτὸς ῥομβοειδέας. ὡς οὖν εἴρηται, οἱ τὴν (606) ἀνόητον ἐγχειρίνην ἐπιτηδεύοντες ἄσμενοι ῥινὸς καταγείσης ἐπιτυγχάνουσιν ὡς ἐπιδήσωσι. μίαν μὲν οὖν ἡμέρην ἢ δύο ἀγάλλεται μὲν ὁ ἰητρὸς, χαίρει δὲ καὶ ὁ ἐπιδεδεμένος, ἔπειτα [356] ταχέως μὲν ὁ ἐπιδεδεμένος

XXXVI.

Sed qui praeſtantia vincula amant ſine mente, complura alia laedunt, atque adeo naſum.

Praeſtantia καλὰ dixit irridens, non quo vere ſignificaverit praeſtantia, quorum conſilium eſt affectam partem ad ſuam naturam reſtituere, ſed pulchra et adſpectu jucunda, qualia haec ſint in ſequentibus oſtendet.

XXXVII.

Inter omnia enim vincula hoc maxime varium eſt ac plurimis locis aſciae imaginem refert et aliquod ſpatium cutis nudum ac ſine faſcia intermittit, quo rhombi varie admodum repraeſentantur. Igitur ut dictum eſt qui ſine mente hujusmodi vinculis ſtudent, comminutum naſum libenter deligant; ſed vinculo injecto, uno vel altero die medicus laetus eſt, laetus item et qui deliga-

Ed. Chart. XII. [356.] Ed. Baſ. V. (606.)

κορίσκεται· ἀσηρὸν γὰρ τὸ φρόνημα. ἀρκέει δὲ τῷ ἰητρῷ, ἐπειδὴ ἐπέδειξεν ὅτι ἐπίσιαται ποικίλως ῥῖνα ἐπιδέειν. ποιέει δὲ ἡ ἐπίδεσις ἣ τοιαύτη πάντα τἀναντία τοῦ δέοντος. τοῦτο μὲν γὰρ ὁκόσοι σιμοῦνται διὰ τὴν κάτηξιν δηλονότι, εἰ ἄνωθέν τις μᾶλλον πιέζοι, σιμότεροι ἂν εἶεν, τοῦτο δὲ ὅσοισι παρασιρέφεται ἢ ἔνθα ἢ ἔνθα ἢ ῥὶς ἢ κατὰ τὸν χόνδρον ἢ ἀνωτέρω, δῆλον ὅτι οὐδὲν αὐτοὺς ἡ ἄνωθεν ἐπίδεσις ὠφελήσει, ἀλλὰ καὶ βλάψει μᾶλλον.

Σκέπαρνον μὲν ἐπίδεσμον ὅτι καλεῖ τὸν ἐγκεκλιμένον ὀλίγον ἐκ τῆς ἐγκαρσίας ἐπιβολῆς ἔμπροσθεν εἴρηται. διαῤῥωγὰς δὲ λέγει τὰ μεταξὺ διαστήματα τῶν ὀθονίων. ῥομβοειδῆ δὲ σχήματα τὰ ἰσόπλευρα μέν, οὐκ ὀρθογώνια δέ· καὶ γὰρ καὶ ὁρίζεται τὸν ῥόμβον οὕτως ὁ Εὐκλείδης. ἔμαθες δὲ ὡς ἐν τοῖς ἐπιδέσμοις πάντων σχεδὸν πρῶτον ὀνομάζουσι ῥόμβον ἀπὸ τοῦ τὰ τοιαῦτα μάλιστα ἐργάσασθαι σχήματα.

---

tur, deinceps aegrum cito ſatietas capit, inventio enim noxia eſt, abundeque medico eſt oſtendiſſe peritiam quam habet naſus varie deligandi. Efficit autem haec vinciendi ratio omnia contra atque oporteat, tum quod qui ob fracturam ſimi fiunt, ſi a ſuperiori parte adſtringatur, magis adhuc ſimi evadent; tum quod quibus in hanc vel illam partem ſeu qua cartilago eſt, ſeu ſupra naſus convertitur, nihil ſuperpoſito vinculo juvandos, ſed magis laedendos eſſe manifeſtum eſt.

Aſciam appellat ubi faſcia a transverſo circuitu recedens paullulum inclinatur, ut ſupra oſtenſum eſt; ſpatium vero quod faſcia intermittit, dixit διαῤῥωγάς; rhombi vero figuram eam, quae aequa latera habet, ſed angulos non rectos; nam et Euclides ita rhombum finit. Noſti autem ex faſciis primam fere nominari rhombum, quum eam figuram potiſſimum repraeſentet.

Ed. Chart. XII. [356.] Ed. Baſ. V. (606.)

λη'.

Οὐχ οὕτω γὰρ συναρμόσει σπλήνεσι τὸ ἐπὶ θάτερον τῆς ῥινὸς, καίτοι οὐδὲ τοῦτο ποιέουσιν οἱ ἐπιδέοντες.

Οὐδὲν ὠφελεῖσθαί φησιν ἐξ ἐπιδέσεως τὴν εἰς τὸ πλάγιον ἐν τῷ καταγῆναι διαστραφεῖσαν ῥῖνα. ὃ γάρ τοι δόξῃ ἄν τινι βοηθεῖν αὐτῇ, μηδ' αὐτὸ δύνασθαί τι. δόξειε δ' ἂν εἶναι βοηθεῖν, στηρίσαι κατὰ τὸ πλάγιον αὐτὴν ὀθονίοις, ἐς ὅπερ ἐπεκλήθη, ἀλλ' οὐδὲ ταῦτά φησιν ἀκριβῶς δύνασθαι πρῆξαι τόδε.

λθ'.

Ἄγχιστα δὲ ἡ ἐπίδεσίς μοι δοκέῃ ἀντιποιέειν, εἰ κατὰ μέσην τὴν ῥῖνα κατὰ τὸ ὀξὺ ἀμφιθλασθείη ἡ σὰρξ κατὰ τὸ ὀστέον, εἰ καὶ τὸ ὀστέον μικρόν τισιν εἴη καὶ μὴ μέγα. τοῖσι γὰρ τοιούτοισιν ἐπιπώρωμα ἴσχει ἡ ῥὶς καὶ ὀκριοειδεστέρη τινὶ γίνεται. ἀλλ' ὅμως οὐδὲ τούτοισι δήπου πολλοῦ ὄχλου δέεται ἡ ἐπίδεσις, εἰ δή τι καὶ δεῖ ἐπιδέειν.

XXXVIII.

Sic autem panni a latere naſi haud bene aptantur, quamquam neque hoc faciunt qui alligant.

Nihil conferre ait vinculum ad naſum ſub fractura in latus converſum, quum id praeſtare non poſſit quod utile eſſe videtur. Videtur autem utile eſſe per pannos naſum fulcire ab ea parte in qua jacet, ſed neque ad hanc rem inquit id prorſus accommodari.

XXXIX.

Proxime autem vinculum mihi videtur occurrere, ſi in medio naſo qua acutus eſt caro juxta os conteratur vel paullulum etiam os ipſum laedatur, non tamen multum: his ſiquidem naſus callo obducitur et aliquanto aſperior fit, neque tamen vinculo egent magni negotii, ſi ſane alligandi ſunt.

Ed. Chart. XII. [356. 357.] Ed. Baſ. V. (606.)

Ἐν εὐθυτάτῳ δόξειεν ἂν ὠφελεῖν ἡ κοινὴ τῆς ῥινὸς ἐπίδεσις, ὅταν ἐν τῷ μέσῳ αὐτῆς ἤτοι περίθλασις γένηται τοῦ δέρματος ἢ καὶ πάθῃ τι τὸ ὀσιοῦν ἐπ' ὀλίγον. ἐξοχὴ γάρ τις ἔπεται κατὰ τὴν πώρωσιν αὐτοῦ. ἡ τοίνυν ἐπίδεσις ἐν τοῖς τοιούτοις παθήμασιν εἴργουσα καὶ προστέλλουσα τὸ πεπονθὸς ὠφέλειάν τινα δόξει δύνασθαι παρέχειν, ἔν τι δ' οὐδὲν τούτοις ἀναγκαῖον ἐπιδεῖν· τὰ γὰρ θλάσματα πειρᾶσθαι χρὴ μάλιστα μὲν ἀφλέγμαντα διαφυλάττειν, εἰ δὲ καὶ φλεγμαίνοιεν, ἀφλέγμαντα ποιεῖν ὡς τάχιστα. ὅ γε ἐπιτρεφόμενος πῶρος ὀλίγος οὐδὲν δὴ τούτων ἐπιδέσεων δεῖται.

μ'.

[357] Ἀρκέει δὲ ἐπὶ μὲν τὸ φλάσμα σπληνίον ἐπιτείναντα κεκηρωμένον, ἔπειτα ὡς ἀπὸ δύο ἀρχέων ἐπιδέεται, οὕτως ὀθονίῳ ἐς ἅπαξ περιβαλέειν.

Τὸ μέσον τοῦ ὀθονίου κατὰ τοῦ μέσου τῆς ῥινὸς ἐπιβαλόντα μὴ βιαίως ἀπάγειν χρὴ τῶν δαελῶν ἑκάσιην

Commune vinculum naſi proxime ad ſalubre accedere videtur, ubi in medio cutis contuſa fuerit vel os parumper vitiatum. Sequitur autem ut promineat, qua callo circumdatur. Vinculum itaque in hujusmodi caſibus coercens repellensque affectum locum prodeſſe aliquid videtur; ſed neque his ullo modo neceſſarium eſt. Conari enim debemus, quae contuſa ſunt maxime ab inflammatione defendere; atque ubi inflammentur, celerrime inflammationem tollere, quin et callus, quum parvus increſcit, nihil profecto hujusmodi vinculis eget.

XL.

Satis eſt ad contuſum pannum admovere cerato inunctum, dein ſemel faſciam circumdare quae in utramque partem ducatur.

Media faſcia medio naſo injicienda eſt, cujus utraque capita ad poſteriorem capitis partem non magna vi ad-

Ed. Chart. XII. [357.] Ed. Baſ. V. (606.)

ὀπίσω τῆς κεφαλῆς, ἐντεῦθέν τε ἐπὶ μέτωπον ἀνάγοντα δῆσαι.

μα'.

Ἀρίστη μέντοι ἐητρείη τῷ ἀλήτῳ τῷ σητανίῳ, τῷ πλυτῷ, γλίσχρῳ, πεφυρημένῳ, ὀλίγῳ καταπλάσσειν τὰ τοιαῦτα.

Σητανίους πυροὺς οἱ δόξαντες ἄριστα τὴν Ἱπποκράτους ἐξηγήσασθαι λέξιν εἰρῆσθαί φασι πρὸς αὐτοῦ τοὺς σῆτες ἐσπαρμένους, ὅπερ οἱ Ἀττικοὶ τῆτες ὀνομάζουσι, διὰ τοῦ τ τὰς συλλαβὰς ἀμφοτέρας λέγοντες, ἐξ οὗ σημαίνεσθαί φασι τοὺς ἐν τῷ ἔτει τούτῳ, τουτέστι κατὰ τὸ ἔαρ ἐσπαρμένους, διμηνιαίους τε καὶ τεσσαρακονθημέρους ὀνομαζομένους. ἐγὼ δὲ πυρῶν εἶδός τι σητανίους καλουμένους οἶδα κατά τε τὴν Κῶν αὐτὴν καὶ σύμπαν τὸ κατὰ τὴν Ἀσίαν Ἑλληνικόν. ὀλίγον ἔχουσιν οὗτοι τὸ πυρὸν, ἱκανῶς δὲ γλίσχρον τὸ σταῖς, οὗ μάλιστα νῦν ὁ Ἱπποκράτης δεῖται, καθότι καὶ αὐτὸς ἐφεξῆς ἐρεῖ· καὶ ὅταν μὴ ἔχῃ τοιοῦτον, ἤτοι

ducenda ſunt, atque inde fronti circumdata inter ſe vincienda.

XLI.

Optimum tamen praeſidium eſt illinere haec farina tritici hujus anni, lota, glutinoſa, reſperſa, pauca.

Qui optime videntur verba Hippocratis enodare aſſerunt *σητάνιον* triticum ab ipſo appellari, id quod fatum eſt *σῆτες*, quod Attici utraque ſyllaba per *τ* prolata *τῆτες* dicunt. Quo verbo ſignificari volunt, hoc anno, id eſt quod vere fatum eſt, quod et duorum menſium et quadraginta dierum appellatur. Equidem in Co et in tota Graecia Aſiae vidi tritici genus *σητάνιον* appellatum, ſed parum furfurum habet et ejus farina ex aqua ſubacta plurimum glutinoſa eſt. Quam rem nunc Hippocrates maxime exigit, quemadmodum ipſe deinceps narrabit:

Ed. Chart. XII. [357.] Ed. Baſ. V. (606.)

μάνναν ἢ κόμμι κελευει μιγνύναι αὐτῷ. σπείρονται μὲν οὗτοι πυροὶ κατὰ τὸ ἔαρ εἰσβάλλον, ὡς αὐτὸς διμηνιαίοις καὶ καλὰ καὶ κατὰ τὴν ὥραν τοῦ πλείονος ὀνομαζομένοις. γίγνεται δ' αὐτῶν μάλιστα γλίσχρον τὸ σταῖς, ὅταν τελεσθέντων ἀφαιρεθῇ τὸ πιτυρῶδες ἐπάνω. γίγνεται μὲν καὶ διὰ τῶν λεπτῶν κοσκίνων, γίγνεται δὲ καὶ τῷ προπεπλύσθαι τοὺς πυρούς. ὥσπερ γὰρ αἱ πτισσόμενοι κριθαὶ τὸ λέπος ἀφιᾶσι μᾶλλον ὅταν προβραχῶσιν, οὕτως καὶ οἱ πυροί. πῶς οὖν εἶπε ταὐτόν; οὐ γὰρ ταὐτόν ἐστι βεβρέχθαι τε καὶ πεπλύσθαι· βρέχονται μὲν γὰρ ἐν τοῖς μύλωσιν ἅπασιν οἱ πυροὶ πρὶν ἀλεῖσθαι, πλύνονται δὲ οὐκ ἐν ἅπασιν, ἀλλ' ἐν ταῖς πλείσταις πόλεσι τῆς Ἀσίας, ἂν καίτοι οὗτοι γιγνόμενοι ἔχουσι πλοκὰ μεγάλα πεπλυμένα, διὰ λεπτῶν σχοίνων μικρὰ διαστήματα ἐχουσῶν, ὡς χοῦν μὲν καὶ ψάμμον διέρχεσθαι, τὸν πυρὸν δὲ ἐπιμένειν εἰς ταὐτό. ἐμβάλλοντες οὖν μύλωσιν ἀλεῖν πυρὸν, πρῶτον μὲν προδιαττῶσιν, ἔπειτα δὲ καθιᾶσιν εἰς ὕδωρ ὅλον τὸν πλόκαμον, ὥστε πλύνεσθαί τε ἅμα καὶ βρέχειν συμμέτρως τοὺς πυρούς. ἀναφερομένου

qui ubi farina haec non ſit imperat, ut pulvis qui ex concuſſo thure habetur vel gummi admiſceatur. Seritur autem ejusmodi triticum vere ineunte, ut duorum menſium ſit; recteque ſic dicitur, quoniam ſummum ad id temporis perducitur, cujus farina ex aqua ſubacta maxime glutinoſa redditur, ubi molito tritico furfures ex toto detrahantur, id quod ſit et cribris tenuibus et tritico ante eloto. Nam idem tritico evenit atque hordeo; ex hoc enim ubi ptiſana praeparanda eſt, cortex magis remittitur, ſi antea madefactum fuerit. Quo pacto igitur dixit, lota quum non idem ſit madefieri et lavari? In quolibet enim piſtrino madefit triticum, priusquam molatur, non tamen lavatur in quolibet, ſed in compluribus Aſiae civitatibus, ubi calathos habent magnos intentos ex tenuibus juncis exigua ſpatia intermittentibus, per quae excerni pulvis poſſit et arena retineatur. Id ergo triticum, quod molendum eſt, ſed triticum primo in calathos conjiciunt atque excutiunt; deinde calathos in aquam demittunt, ſic

Ed. Chart. XII. [357. 358.] Ed. Baſ. V. (606. 607.)

δὲ ἐκ τοῦ ὕδατος τοῦ πλοκάμου τὸ μὲν πλεῖστον ἀπορρεῖ ἀπὸ τῆς ὑγρότητος, ἀπομένει δὲ πρὸς τοῖς πυροῖς τοσοῦτον, ὅσον ἀλουμένοις ἐπιτήδειόν ἐστιν. εἰ γὰρ μὴ βραχείη τὸ περικείμενον ἔξωθεν αὐτοῖς λέμμα, τὸ τοιοῦτον δέρμα σύμφυτον εἰς λεπτὰ καταθραύεται κατὰ τὰς μύλας καὶ οὕτως ἐν τῷ διαττᾶσθαι συνδιεξέρχεταί τι τοῦ καταθραυσθέντος τῷ ἀλεύρῳ· τοῦ δὲ προβραχέντος πυροῦ τὸ πυρῶδες ἀδρομερὲς μένον οὐ συνδιαττᾶται καὶ κατὰ τοῦτο καθαρώτερον γίγνεται τὸ ἄλευρον ἐκ τοῦ βεβρέχθαι τοὺς πυρούς. ἔνδοθεν δέ φησι ..υτῷ καὶ γλίσχρῳ τῷ σητανίῳ [358] πυρῷ τὸ μετὰ τοῦ ..ρματος, ὅπερ οἷον σάρξ ἐστιν αὐτοῦ τὸ κατεργασθέν, ὡς (6 7) εἶπον, ἄλευρον ἱκανῶς γίγνεται γλίσχρον. ἡγοῦμαι τ υν αὐτὸν ὠνομακέναι πλυτὸν ἄλευρον, ὅταν ἐκ τῶν οὕτως κεκαθαρμένων τε καὶ προβεβρεγμένων γένηται πυρῶν. εἰ γὰρ μὴ τοῦτό τις ἀκούσειεν, ἀπολείπεται πλυτὸν ἄλευρον ἀκούειν ἡμᾶς, ὅταν οὖν ὕδατι βρέξαντες αὐτὸ καὶ κινήσαντες πολυειδῶς, εἶτα ἐάσαντες καταστῆναι τὸ ἐποχούμενον, ἄνωθεν ὕδωρ ἀπολαμβάνοντες ἐψήσωμεν,

ut triticum lavetur ac modice madefiat, calatho ex aqua recepto humoris plurimum effluit. Tantum autem in tritico remanet quantum idoneum eſt, ut moli poſſit; nam niſi madefiat, cortex circumpoſitus qui tanquam innata cutis eſt ſub mola in tenues partes diſſipatur, atque ita cum farina per cribrum excernitur, educitur aliquid ex furfuribus in tenues tres diviſis; ſed tritico prius madefacto furfures grandiorum partium quum ſint manent et cum farina non excernuntur, atque ideirco tritico prius madefacto farina magis purgatur et quod ab interiori parte eſt tritici hujus anni lotum, ut ait, et glutinoſum, quod ſcilicet poſt cutem eſt, veluti caro ipſius in farinam, ut propoſui, redactum valde glutinoſum redditur. Puto itaque ab ipſo lotam farinam appellari, ubi ex tritico fit, ſic purgato et prius madefacto; nam niſi ita accipiatur, reſtat ut intelligamus farinam, ubi ex aqua madefacta varie agitatur, deinde ſinitur conſiſtere, tum ſuperinnatans aqua excipitur ac decoquitur, quod in farre etiam

Ed. Chart. XII. [358.] Ed. Baf. V. (607.)

ὅπερ ἐπὶ τοῦ χόνδρου ποιοῦμεν· ἀλλὰ μάχεται τούτῳ τὸ κελεύειν αὐτὸν φυρᾶν τὸ ἄλευρον, ἔψον γὰρ εἰρήκει. καὶ οὐ φυρᾶται δὲ τὸ οὕτως ὑγρὸν, ἀλλ' ἕψεται μόνον. ἔτι δ' ἂν μᾶλλον ὃ λέγει διὰ τῆς πεφυρημένῳ λέξεως κατανοήσαιμεν.

μβ'.

Χρὴ δὲ, ἢν μὲν ἀγαθὸν ᾖ τῶν πυρῶν τὸ ἄλητον καὶ εὐόλκιμον, τούτῳ χρέεσθαι πάντα τὰ τοιαῦτα· ἢν δὲ μὴ πάνυ ὄλκιμον ᾖ, ἐς ὀλίγην μάνναν ὕδατι ὡς λειοτάτην διέντα, τούτῳ φυρᾶν τὸ ἄλητον ἢ κόμμι πάνυ ὀλίγου ὡσαύτως μίσγειν. ὁκόσοισι μὲν οὖν ῥὶς ἐς τὸ σιμὸν ῥέπουσα καταγῇ, ἢν μὲν ἐκ τοῦ ἔμπροσθεν μέρεος κατὰ τὸν χόνδρον ἵζηται, οἷόν τέ ἐστι καὶ ἐντιθέναι τι διόρθωμα εἰς τοὺς μυκτῆρας· ἢν δὲ μὴ, ἀνορθοῦν μὲν χρὴ πάντα τὰ τοιαῦτα, τοὺς δακτύλους ἐς τοὺς μυκτῆρας ἐντιθέντα, ἢν ἐνδέχηται.

---

fit; ſed huic repugnat, quod reſpergi farinam jubet, decoqui enim dixiſſet. Non enim reſpergitur hujusmodi humor, ſed coquitur dumtaxat. Ex verbo igitur *reſperſa* quid ſibi voluerit, magis demonſtratur.

XLII.

Uti autem convenit ad omnia haec hujusmodi farina, ſi ex optimo tritico fuerit facileque duci poſſit; ſed ſi non omnino bene ducatur, modicum pulveris illius qui ex thure concuſſo habetur in tenuiſſimum pollinem redacti et aqua diluti farina adjicere vel paullum omnino gummi ſimiliter admiſcere. Quibus igitur fractus naſus in inferiorem partem demittitur ſimusque efficitur, ſi ab inferiori parte qua cartilago eſt deſidat, poteſt in nares indi aliquid quod dirigat: quod ubi non fiat, omnia haec excitanda ſunt digitis, ſi fieri poteſt, in nares conjectis.

Ed. Chart. XII. [358.] Ed. Baſ. V. (607.)

Ἀγαθοὺς πυροὺς τοὺς ἀρίστους δηλονότι λέγει. ταύτην γὰρ οἱ παλαιοὶ τὴν προσηγορίαν ἐπιφέρειν εἰθισμένοι κατὰ παντὸς τοῦ πρώτου ὄντος ἐν τῷ οἰκείῳ γένει. λέγουσι δὲ καὶ νῦν ἅπαντες οἱ περὶ τὴν σιτοποιίαν ἀρίστους εἶναι πυροὺς τοὺς πυκνοὺς τὴν οὐσίαν. οἱ γὰρ χαῦνοι πολὺ τὸ πιτυρῶδες ἔχουσι καὶ τὸ σταῖς αὐτῶν οὐ γίγνεται γλίσχρον, ὡς καὶ μυῶν. ὄλκιμον δὲ ὠνόμασε τὸ γλίσχρον ἀπὸ τοῦ συμβεβηκότος, ἐπειδὴ τεινόντων ἡμῶν αὐτὸ πρὸς τἀναντία μέρη, συνεχὲς μὲν οὐ διασπώμενον τοῦ μὴ γλίσχρου φθάνοντος διασπᾶσθαι κατὰ τὰς τοιαύτας ἐνεργείας. εἰ δὲ διασπᾶται, πῶς ἄν τις ἕπεσθαι φαίηται τεινούσαις χερσὶ αὐτό; εἰ δ' οὐχ ἕπεται, πῶς ἂν ὄλκιμον ἔτι λεχθείη; τό γε μὴν ἀδιάσπαστον καὶ συνεχὲς γενόμενον εἰκότως ἄν τις ὄλκιμον ὀνομάζοι, καθάπερ καὶ τὸν ἑξόν. ἐπὶ πλεῖστον γὰρ οὗτος ἕλκεται πρὸς τἀναντία μέρη διαλαμβανόμενος ὑπὸ τῶν ἡμετέρων χειρῶν, ὥστε καὶ ἐκ τούτων δῆλός ἐστιν ὁ Ἱπποκράτης γλίσχρον ἀξιῶν εἶναι τὸ σταῖς, ὅπου γε καὶ ὅταν

Optimum triticum dixit *ἀγαθοὺς πυρούς*. Majores enim ſoliti ſunt *ἀγαθοῦ* vocabulo uti ad notandum id omne quod in ſuo genere primum eſt. Nunc autem omnes qui in panificiis verſantur aſſerunt optimum triticum eſſe quod denſum eſt; nam quod rarum, multis furfuribus continetur, farinaque ejus ex aqua ſubacta non aeque efficitur glutinoſa atque illius quod denſum eſt. Glutinoſum autem expreſſit, quum ait *facile ducitur*, ea loquutione ſumpta ab eo quod ipſi accidit, quandoquidem a nobis in diverſa attractum ſervatur perpetuum, neque diſſipatur; contra quod minime glutinoſum eſt, quum ita tractatur, divellitur, ſed ſi divellatur, quo pacto ſequi dicetur, quum manu trahitur? Ac ſi non ſequitur, quinam dicetur facile duci? Id vero quod non diſſipatur, ſed perpetuum eſt, jure quis dicet facile ſequi, quemadmodum et viſcum; hoc ſiquidem manibus noſtris prehenſum in contrarias partes plurimum attrahitur. Quare ex his conſtat velle Hippocratem farinam ex aqua ſubactam glutinoſam eſſe, atque ubi ejusmodi non ſit, gummi vel

Ed. Chart. XII. [358. 359.] Ed. Baſ. V. (607.)

μὴ τοιοῦτον ᾖ, μάνναν αὐτῷ προσβάλλειν ἢ κόμμι κελεύει. μάννα δὲ καλεῖται τὸ ὑπόσεισμα τοῦ λιβανωτοῦ. μὴ παρούσης δὲ μάννης αὐτὸν λειώσεις δηλονότι τὸν λιβανωτὸν, καὶ τούτου πάλιν αὐτοῦ τὸν λιπαρώτερον ἐκλεξάμενος. ἐγὼ δέ ποτε μήτε λιβανωτοῦ μήτε κόμμεως εὐπορῶν ἐχρησάμην ὑγρᾷ ῥητίνῃ, παρέτυχε γάρ πως αὕτη. χρήσαιο δ' ἄν ποτε καὶ μέλιτι, μηδὲ ταύτης παρούσης, ἀλλ' ἄμεινον ἐπὶ τὴν μάνναν ἔρχεσθαι καὶ τὸ κόμμι. θερμαίνει γάρ πως τό γε μέλι καὶ ἡ ῥητίνη. τὰ δὲ τοιαῦτα παρὰ τὰς ἀρχάς ἐστιν ἄχρηστα. προϊόντος μὲν οὖν τοῦ χρόνου καὶ μίνοντος τοῦ λειψάνου τῆς φλεγμονῆς ταῦτα γίγνεται τῶν ἄλλων χρησιμώ-[359] τερα. καθάπερ οὖν ἐμνημόνευσεν ἔμπροσθεν, σκύτους Αἰγυπτίου μὲν πρῶτον, αὖθις δὲ Καρχηδονίου παράδειγμα τῷ λόγῳ ποιούμενος, οὕτω καὶ νῦν τοὺς σητανίους ὠνόμασε πυροὺς, ὡς καὶ οὕτως εἶπεν· ἀλεύρῳ χρῆσθαι γλίσχρας αὐτὰς ἐργαζομένῳ, οἷόν περ ἐργάζονται οἱ σητάνιοι πυροί. τάχα δὲ πάντας ὀνομάζει σητανίους οἷς συμβέβηκε πυκνοῖς τε εἶναι καὶ γλίσχρον ἔχειν τὸ ἄλευρον, ὡς

pulverem ex concuſſo thure collectum, quem *μάνναν* appellat, adjici jubet; ubi ejus pulveris copia non ſit, contundere thus ipſum ea de cauſa oportet, atque ex eodem quod maxime pingue eſt. Ego interdum quum nec thuris nec gummi copia eſſet, reſina liquida uſus ſum hanc forte nactus; at ubi neque haec ſit, melle uti poteris, ſed utilius pulvis ex concuſſo thure vel gummi adjicitur. Nam mel et reſina quodammodo caleſaciunt, ſed talia ab initio aliena ſunt, procedente vero tempore remanentibus inflammationis reliquiis, ut ſi quid aliud commodiſſima. Quemadmodum igitur in ſuperioribus exempli gratia meminit prius corii Aegyptii ac rurſus Carthaginenſis, ſic etiam nunc tritici hujus anni, quaſi ita dixerit: farina uti debemus, quae ex aqua ſubacta glutinoſa ſit, qualis efficitur ex tritico hujus anni, quod *σητάνιον* appellavit, fortaſſe ejusmodi vocabulo ſignificare volens triticum omne quod denſum eſt et farinam reddit gluti-

Ed. Chart. XII. [359.] Ed. Baſ. V. (607.)

ἀπὸ τοῦ συμβεβηκότος μᾶλλον αὐτοῖς εἶναι τὴν προσηγορίαν, οὐκ ἀπό τινος ἰδίας ἐξαιρέτου.

μγ'.

Ἢν δὲ μὴ παχὺ ὑπάλειπτρον μὴ ἐς τὸ ἔμπροσθεν τῆς ῥινὸς ἀπάγοντα τοῖσι δακτύλοισιν, ἀλλ' ἢ ἴδρυται. ἔξωθεν δὲ τῆς ῥινὸς ἔνθεν καὶ ἔνθεν ἀμφιλαμβάνοντα τοῖσι δακτύλοισι συναναγκάζειν τε ἅμα καὶ ἀναφέρειν ἐς τὸ ἄνω. καὶ ἢν μὲν πάνυ ἐς τὸ ἔμπροσθεν τὸ κάτηγμα ἔῃ, οἷόν τέ τι καὶ εἴσω τῶν μυκτήρων ἐντιθέναι, ὥσπερ ἤδη εἴρηται, ἄχνην τὴν ἀφ' ἡμιτυβίου ἢ ἄλλο τι τοιοῦτον ἐν ὀθονίῳ εἰλίσσοντα, μᾶλλον δὲ ἐν Καρχηδονίῳ δέρματι ἐρράψαντα, σχηματίσαντα τὸ ἁρμόσσον σχῆμα τῷ χωρίῳ, ἵνα ἐγκείσεται. ἢν μέντοι προσωτέρω ᾖ τὸ κάτηγμα, οὐδὲν οἷόν τε εἴσω ἐντιθέναι· καὶ γὰρ εἰ ἐν τῷ ἔμπροσθεν ἀσηρὸν τὸ φόρημα, πῶς γε δὴ οὐκ ἐν τῷ ἐσωτέρω; τὸ μὲν οὖν πρῶτον καὶ ἔσωθεν ἀναπλάσσεσθαι καὶ ἔξωθεν ἀφειδήσαντα χρὴ ἀνάγειν ἐς τὴν ἀρχαίαν φύσιν καὶ

nosam, ita ut nomen ab eo quod ipsi accidit magis, non ab aliqua singulari specie sumptum fuerit.

XLIII.

Vel certe eo instrumento quo ad illinendum utimur pleniori digitis compulso non in priorem partem, sed qua desidet; extrinsecus autem digitis utrimque compressis impellere simul convenit et excitare. Sed si fractura omnino in inferiori parte fuerit, licet aliquid in nares inserere, sicut jam diximus, vel linamentum vel aliud linteolo cinctum vel magis Carthaginensi pellicula, circumsutumque et ita figuratum, ut idoneum sit quod in hunc locum demittatur. At ubi fractura fuerit superior, nihil demitti intus potest: nam si in interiori parte id praesidium alienum est, qui non in superiori? Primo itaque et ab interiori parte dirigere nasum oportet et ab exteriori utrimque compellere atque in pristinam se-

Ed. Chart. XII. [359.] Ed. Baſ. V. (607. 608.)

διαρθρώσασθαι. κάρτα γάρ οἱ ἥ τε ῥὶς καταγεῖσα ἀναπλάσσεται, μάλιστα μὲν αὐθήμερος· ἢν δὲ μὴ, ὀλίγῳ ὕστερον, ἀλλὰ καταβλακεύουσιν οἱ ἰητροὶ καὶ ἀπαλωτέρως τὸ πρῶτον ἅπτονται ἢ ὡς χρή. παραβάλλοντα γὰρ τοὺς δακτύλους χρὴ ἔνθεν καὶ ἔνθεν κατὰ τὴν φύσιν τῆς ῥινὸς ὡς κατωτάτω κάτωθεν συναναγκάζειν, καὶ οὕτως μάλιστα ἀνορθοῦνται σὺν τῷ ἔσωθεν διορθώσει διορθοῦντα. ἔπειτα δὲ ἐς ταῦτα ἰητρὸς οὐδεὶς ἄλλος τοιοῦτός ἐστιν, εἰ ἐθέλοι μελετᾷν καὶ τολμᾷν, ὡς οἱ αὐτοῦ δάκτυλοι οἱ λιχανοί· οὗτοι γὰρ κατὰ φύσιν μάλιστά εἰσι. παραβάλλοντα γὰρ χρὴ τῶν δακτύλων ἑκάτερον παρὰ πᾶσαν τὴν ῥῖνα ἐρείδοντα ἡσύχως οὕτως ἔχειν, μάλιστα μὲν εἰ οἷόν τε εἴη ἀεὶ ἔστ' ἂν κρατηθῇ, εἰ δὲ μὴ, ὡς πλεῖστον χρόνον, ὡς εἴρηται· εἰ δὲ μὴ, ἢ παῖδα ἢ γυναῖκά τινα. μαλθακὰς γὰρ τὰς χεῖρας δεῖ εἶναι οὕτως, ὡς ἂν κάλλιστα ἰητρευθείη ἡ ῥὶς, ὅτε μὴ ἐς τὸ σκολιὸν, ἀλλ' ἐς τὸ κάτω ἱδρυμένη εἴη ἰσόῤῥοπος. ἐγὼ μὲν οὖν οὐδεμίαν που ῥῖνα εἶδον, ἥτις οὕτω κατεαγεῖσα (608) οὐχ οἵη τε

dem reſtituere; commodiſſime enim reſtituitur naſus fractus, praecipue eodem die vel certe paullo poſt. Sed torpent medici et primo mollius rem pertractant quam uſus ſit; utrimque enim digitos qui naſo accommodentur demittere oportet, quantum fieri poteſt, in imum et ipſum ab inferiori parte ſurſum compellere atque excitare, ſimulque ab interiori parte dirigere: ad quam rem nullus alius medicus magis idoneus eſt, ſi homo ad id dare operam velit audeatque, quam ipſius digiti indices, hi enim maxime ſecundum naturam ſunt. Admovere autem utrumque digitum convenit ut toti naſo inhaereat, atque ita quieſcere, potiſſimum ſi fieri poſſet aſſidue, donec glutinaretur vel certe plurimum tempus, ut dictum eſt; aut ſi non ipſe aegrotans, ſaltem puer vel mulier aliqua digitos demittat; mollibus ſiquidem manibus opus eſt, ut optime naſus curetur. Verum uti non reddatur ſimus, ſed deorſum ſpectans in neutram partem inclinetur. Equidem nullum unquam naſum

Ed. Chart. XII. [359. 360.] Ed. Baſ. V. (608.)

διαρθρωθῆναι αὐτίκα, πρὶν πωρωθῆναι συναγκαζομένη ἐγένετο, εἴ τις ὀρθῶς ἐθέλοι ἰητρεύειν. ἀλλ' οἱ ἄνθρωποι αἰσχροὶ μὲν εἶναι πολλοῦ ἀποτιμῶσι· μελετᾷν δὲ ἅμα μὲν οὐκ ἐπίστανται, ἅμα δὲ οὐ τολμέουσιν, ἢν μὴ ὀδυνῶνται ἢ θάνατον δεδοίκασι, καίτοι ὀλιγοχρόνιος ἡ πώρωσις τῆς ῥινός. ἐν γὰρ δέκα ἡμέρῃσι κρατύνεται, ἢν μὴ ἐπισφακελίσῃ. ὁκόσοισι δὲ τὸ ὀστέον ἐς τὸ πλάγιον κατάγνυται, ἢ μὲν ἴησις αὕτη, τὴν δὲ διάρθρωσιν δηλονότι χρὴ ποιέεσθαι οὐκ ἰσόῤῥοπον ἀμφοτέρωθεν, ἀλλὰ τότε ἐγκεκλιμένον ὠθέειν ἐς τὴν φύσιν ἔκτοσθεν ἀναγκάζοντα καὶ ἐσματτευόμενον ἐς τοὺς μυκτῆρας καὶ τὰ εἴσω ῥέυσαντα διορθοῦν ἀύκνως ἔστ' ἂν κατορθώσῃ, εὖ εἰδότα ὅτι ἢν μὴ αὐτίκα κατορθώσηται, οὐχ οἷόν τε μὴ καὶ διεστράφθαι τὴν ῥῖνα. ὅταν δὲ ἀγάγῃς ἐς τὴν φύσιν, προβαλόντα χρὴ ἐς τὸ χωρίον ἢ τοὺς δακτύλους ἢ τὸν ἕνα δάκτυλον, ᾗ ἐξέσχεν, ἀνακωχέειν [360] ἢ αὐτὸν ἢ ἄλλον τινὰ, ἔστ' ἂν κρατυνθῇ τὸ τρῶμα. ἀτὰρ καὶ ἐς τὸν μυκτῆρα τὸν μικρὸν δάκτυλον ἀπωθέοντα ἄλλοτε καὶ ἄλλοτε διορθοῦν χρὴ

vidi ita fractum, qui non poſſet protinus componi, ſi priusquam callus increſceret compelleretur, modo quis recte mederi vellet. Atqui deformitatem homines maxime oderunt; curationem vero partim ignorant, partim non ſuſtinent, niſi dolore premantur aut mortem pertimeſcant; quamquam in naribus callus cito increſcit, nam decem diebus ſaneſcit, niſi corrumpatur. Quibus os a latere abrumpitur, curatio eadem eſt: dirigere nimirum oportet non aeque ab utraque parte, ſed eam quae inclinat ad naturalem ſitum adurgere ab exteriori parte compellendo; in naribus item alte conquirere quod in interiorem partem converſum eſt, dirigendo aſſidue dum reſtituatur cum eo, ut ſciamus naſum, niſi protinus dirigatur, dirigi poſtea non poſſe, ſed perverti. Quo ad naturalem ſedem compulſo ad eum locum admovendi ſunt digiti vel unus vel plures, ſeu ipſius hominis, ſeu alterius, ut qua excedit repellatur, dum fractura ſaneſcat, ſed et minimus digitus in naſum ſubinde

Ed. Chart. XII. [360.] Ed. Baſ. V. (608.)

τὰ ἐκκριθέντα. ὅτι δ' ἂν φλεγμονῆς ὑπογίνεται τούτοισι, χρὴ τῷ σταιτὶ χρέεσθαι· τοῖσι μέντοι δακτύλοισι προσέχειν χρὴ ὁμοίως καὶ τοῦ σταιτὸς ἐπικειμένου. ἢν δέ που κατὰ τὸν χόνδρον ἐς τὰ πλάγια καταγῇ, ἀνάγκη τὴν ῥῖνα ἄκρην μετεστράφθαι. χρὴ οὖν τοῖσι τοιούτοισι ἐς τὸν μυκτῆρα ἄκρον διόρθωμά τι τῶν εἰρημένων ἢ ὅ τι τοιούτοισιν ἔοικεν ἐντιθέναι. πολλὰ δ' ἂν τις εὕροι τὰ ἐπιτήδεια, ὅσα μήτε ὀσμὴν ἴσχει μήτε ἄλλως προσηνέα ἐστίν. ἐγὼ δέ ποτε πνεύμονος προβάτου ἀπόιμημα ἐνέθηκα· τοῦτο γάρ πως παρέτυχεν· οἱ γὰρ σπόγγοι ἐντιθέμενοι ὑγράσματα δέχονται.

Εἰ μὴ δυνατὸν, φησὶν, εἴη ἐντιθέναι τῇ ῥινὶ τοὺς δακτύλους, ὑπαλείπτρῳ χρηστέον. ὀνομάζει δ' οὕτως, ὡς ἤδη πρόσθεν εἶπον, ἅπαν ὅ τι ἂν ὑπαλείψειεν, οἷαίπερ εἰσὶ μίλαι τε καὶ σπαθομίλαι καὶ τὰ διαπύρινα κατὰ τὸ πέρας αὐτῶν ἔχοντα ταῦτα πάντα κεφαλὰς περιφερεῖς. ὥσπερ δὲ

conjiciendus eſt, quo componantur quae declinant. Ubi his inflammatio ſuperveniat, farina uti convenit ex aqua ſubacta, digitosque ſimiliter dare, ejusmodi etiam farina inducta. Verum ſi qua cartilago eſt, naſus a latere perfringatur neceſſe eſt extremum perverti; itaque oportet ad extremum naſum aliquid ex iis quae dicta ſunt adhibere, quod ipſum componat, vel aliquid tale demittere; multa enim inveniri poſſunt accommodata, quae odorem non movent et alioquin mollia ſunt. Ego interdum fruſtum pulmonis ovilli conjeci, id enim forte nactus ſum; nam ſi ſpongiae indantur, humorem combibunt.

Si nequeant, inquit, digiti in nares demitti, adhibendum eſt id inſtrumentum, quod nunc ſicut in ſuperioribus etiam ὑπάλειπτρον appellat. Quo verbo intelligitur omne id quo ad illinendum utimur, qualia ſunt ſpecillum, ſpathae, idque inſtrumentum quod διαπύρινον dicitur, quae

Ed. Chart. XII. [360.] Ed. Baſ. V. (608.)

ἐν τῷ καίειν τὴν μασχάλην ἐδεόμεθα λεπτοτάτων ὑπαλείπτρων, οὕτω νῦν παχέων ἐστὶ χρεία, ὁπότε γε καὶ τοῖς δακτύλοις, ὅταν ἐγχωρῇ, χρώμεθα, κἂν ἐντὸς εἰς τοὺς μυκτῆρας ὅσοίπερ ἂν αὐτῶν ἁρμόττωσι καὶ ὅσοι διαπλάττωσι τὸ κατεαγὸς μερὸς τῆς ῥινός. ὅπερ δὲ προσήκει χρῆσθαι τῷ ὑπαλείπτρῳ σαφῶς αὐτὸς ἐδίδαξεν, ἀνάγειν αὐτὸ κελεύσας οὐ κατὰ τὸ πρόσθεν μέρος τῆς ῥινὸς, ἀλλὰ καθ' ὃ μάλιστα καταπέπτωκεν εἰς τὴν κοιλότητα τὸ κατεαγὸς αὐτῆς. ἐκεῖνο γάρ ἐστι τὸ καὶ τῆς μοχλείας δεόμενον, ἵνα ὑψωθὲν εἰς τὴν κατὰ φύσιν ἀφίκηται χώραν· οὐδὲ γὰρ οὐδ' ἄλλο τι τὸ διαπλάττειν ἐστὶν ὁτιοῦν μέρος ἔξω τοῦ τὴν οἰκείαν ἑκάστῳ τῶν μερῶν αὐτοῦ διδόναι χώραν. τὰ δ' ἐφεξῆς τῇσδε τῆς ῥήσεως ἄχρι πολλοῦ πάντ' ἐστὶ σαφῆ.

μδ'.

Ἔπειτα χρὴ Καρχηδονίου λοιπὸν πλάτος ὡς τοῦ μεγάλου δακτύλου τετμημένον ἢ ὅπως ἂν ξυμφέρῃ, προσκολλῆσαι ἐς τὸ ἔκτοσθεν πρὸς τὸν μυκτῆρα τὸν ἐγκεκλισμένον, κἄ-

omnia in ſummo capitulum habent rotundum, ſed quemadmodum in ſuperioribus ad alae uſtionem opus fuit tenuiſſimis, ita nunc plenioribus, quandoquidem et digitos ubi licet admovemus et in nares conjicimus, eos nempe qui aptantur et qui fractam naſi partem componant. Qua ratione autem uti conveniat hoc inſtrumento, ipſe aperte expoſuit imperans ut indatur in cavum, non in inferiorem partem naſi, ſed qua potiſſimum fracta pars in ejus cavum decidit. Ea ſiquidem eſt quae impulſu eget, ut excitata poſſit in ſuam ſedem reverti; nihil enim aliud eſt componere quamlibet partem quam unamquamque ejus particulam in ſuum locum compellere. Quae ſubjiciuntur, per magnam partem orationis plana ſunt.

XLIV.

Ad haec ex parte exteriori corii Carthaginenſis incidenda habena eſt, quae vel pollicem lata ſit vel quantum convenit et extrinſecus naſo, qua declinatur, agglutinanda;

Ed. Chart. XII. [360.] Ed. Baf. V. (608.)

πειτα κατατεῖναι τὸν ἰμᾶντα, ὅκως ἂν ξυμφέρῃ. μᾶλλον δὲ ὀλίγου τείνειν χρὴ, ὥστε ὀρθὴν καὶ ἀπαρτῆ τὴν ῥῖνα εἶναι· ἔπειτα, μακρὸς γὰρ ἔστω ὁ ἰμὰς, κάτωθεν τοῦ ὠτὸς ἀγαγόντα αὐτὸν ἀναγαγεῖν περὶ τὴν κεφαλήν. καὶ ἔξεστι μὲν κατὰ τὸ μέτωπον προσκολλῆσαι τὴν τελευτὴν τοῦ ἰμᾶντος, ἔξεστι δὲ μακρότερον ἄγειν, ἔπειτα περιελίσσοντα περὶ τὴν κεφαλὴν καταδεῖν. τοῦτο ἅμα μὲν δικαίην τὴν διόρθωσιν ἔχει, ἅμα δὲ εὐταμίευτον καὶ μᾶλλον, ἢν ἐθέλῃ, καὶ ἧσσον τὴν ἀντιῤῥοπὴν ποιῆσαι τῆς ῥινός· καὶ γὰρ ὀκόσοισι ἐς τὸ πλάγιον ἡ ῥὶς κατάγνυται, τὰ μὲν ἄλλα ἰητρεύειν χρὴ, ὡς προείρηται, προσδέεται δὲ τοῖσι πλείστοισι καὶ τοῦ ἰμᾶντος πρὸς ἄκρην τὴν ῥῖνα προσκολλῆσαι τῆς ἀντιῤῥοπίης εἵνεκα. ὅσοισι δὲ σὺν τῇ κατήξει καὶ ἕλκεα προσγίνεται, οὐδὲν δεῖ ταράσσεσθαι διὰ τοῦτο, ἀλλ' ἐπὶ μὲν τὰ ἕλκεα ἐπιτιθέναι πισσηρὴν ἢ τῶν ἐναίμων τι, εὐαλθέα γὰρ τὰ τοιαῦτα· ὁμοίως κἂν ὀστέα μέλλῃ ἀπιέναι, τήν τε διόρθωσιν τὴν πρώτην ἀόκνως χρὴ ποιέεσθαι μηδὲν ἐπιλείποντα καὶ τὰς διορθώσιας

poſt haec incidenda eſt quantum expedit, paulo autem magis quam ut naſus dirigatur intendi debet; tum ſub aure, longa enim eſſe habena debet, ſurſum circa caput adducenda. Licet autem fronti extremam agglutinare, licet et ulterius ferre et circa caput volutam vincire: haec ſiquidem juſte naſum dirigit et intendi et remitti poteſt, atque ubi velis, naſum in contrariam partem ac jacet magis aut minus repellere. Nam et quibus a latere naſus abrumpitur in ceteris eadem curatio convenit quae propoſita eſt; plerisque autem opus eſt naſo extremam habenam agglutinare, ut in contrariam partem repellatur atque inclinet. Quodſi fracturae ulcus accedit, nihil ſollicitare nos debet; ſed nutriendum eſt cerato quod picem habeat vel aliquo ex iis medicamentis quae protinus cruentis vulneribus injiciuntur; haec ſiquidem facile curationem admittunt. Aeque etiam ubi oſſa receſſura ſint, primo dirigere aſſidue convenit, nulla re praetermiſſa et in poſterum digitis compellere,

Ed. Chart. XII. [360. 361.] Ed. Baſ. V. (608. 609.)

τοῖσι δακτύλοισιν ἐν [361] τῷ ἔπειτα χρόνῳ, χαλαρωτέροισι μὲν γὰρ χρώμενον, χεόμενον δέ. εὐπλαστότατον γάρ τι παντὸς τοῦ σώματος ἡ ῥὶς ἐστι. τῶν δὲ ἰμάντων τῇ κολλήσει καὶ τῇ ἀντιῤῥοπίῃ πανιάπασιν οὐδὲν κωλύει χρῆσθαι, οὔτ' ἢν ἐλκώσῃ οὔτ' ἢν ἐπιφλεγμήνῃ, ἀλύπητοι γάρ εἰσι.

Διὰ τὴν ἀπαρτῆ φωνὴν σημαίνεται ἅπασα ἡ διὰ τῶν προσκολλημάτων ἀντίτασίς τε καὶ οἷον εὔθυσις τῆς διεστραμμένης ῥινός. ὃ δὲ νῦν κελεύει ποιεῖν, ἀσθενὲς ἐφάνη μοι πειρωμένῳ· εἰ μὲν γὰρ ἰσχυρότερόν τε εἴη ὃ ἀποκολλᾶται καὶ ἀφίσταται μετρίως τείνοντος, οὐδὲν ἀξιόλογον περαίνεται.

με'.

(609) Ἢν δὲ οὖς κατεαγῇ, ἐπιδέσιες πᾶσαι πολέμιαι· οὐ γὰρ οὕτω τις χαλαρὸν περιβάλλοι· ἢν δὲ μᾶλλον πιέζῃ, πλέον κακὸν ἐργάσεται, ἐπεὶ καὶ ὑγιὲς οὖς ἐπιδέσει πιεχθὲν, ὀδυνηρὸν καὶ σφυγματῶδες καὶ πυρετῶδες γίνεται.

---

laxius ſuperdatis tamen. Naſus enim ex omnibus corporis partibus facillime componitur. Atqui habena agglutinata et impulſu in contrariam partem atque naſus declinatur, nihil uti omnino prohibet, neque ſi ulcus ſit, neque ſi inflammatio, innocenter enim ejusmodi praeſidia adhibentur.

Appendatur dixit ἀπαρτῇ, quo verbo ſignificavit univerſam rationem extendendi et quaſi dirigendi, naſum perverſum per ea quae agglutinantur. Quod autem nunc praecipit, experimento imbecillum comperi; nam ſi habena vehementius intendatur, gluten diſcutitur reſolvitur-que; ſi modice, nihil fere proficitur.

XLV.

In fractura auris quodlibet vinculum inimicum eſt. Neque enim ita laxum circumdabitur, quod ſi magis adſtringatur plurimum efficiet, quandoquidem integra auris ſub vinculo adſtricta dolet, pulſu vexatur atque inflammatione.

Ed. Chart. XII. [361.] Ed. Baſ. V. (609.)

Τῆς συνεχείας ἡ λύσις ἕλκος μὲν ἐν σαρκώδει μορίῳ, κάταγμα δὲ ἐν ὀστῷ καλεῖται. τὸ δὲ ἐν χόνδρῳ γενόμενον οὐκ ἔχον ἰδίαν προσηγορίαν καταχρησάμενος ὁ Ἱπποκράτης τοῦ κατάγματος ὀνόματι προσηγόρευσεν.

μστ'.

Ἀτὰρ καὶ τὰ ἐπιπλάσματα κάκιστα μὲν τὰ βαρύτατα ἐπίπαν, ἀτὰρ καὶ τὰ πλεῖστα φλαῦρα καὶ ἀποστατικὰ καὶ μύξαν τε ὑποποιέει πλείω, κἄπειτα ἐκπυήσιας ἀσηρὰς, τούτων δὲ οὗς ἥκιστα κατεαγὲν προσδέεται.

Οἷς ἀπεδείξαμεν ἐν τῇ τῆς θεραπευτικῆς μεθόδου πραγματείᾳ τὰ κατὰ μέρος ὁμολογεῖται πάντα. καὶ γὰρ καὶ νῦν ἐπὶ τῶν ἐπιπλασμάτων βλάπτεσθαί φησι τὸ οὖς ὁ Ἱπποκράτης, ὥσπερ καὶ φαίνεται διὰ τῆς ἐμπειρίας· ἱκανῶς γὰρ βούλεται ξηραίνεσθαι δὴ, ὅτι ξηρότατόν ἐστι τὴν φύσιν ἔχον. ἆρ' οὖν κἀκ δέρματος συγκείμενον. ἐδείχθη

Ubi continuum ſolvitur, Graece in carne ἕλκος appellatur, in oſſe *κάταγμα;* in cartilagine non habet proprium vocabulum, ſed eam fracturam Hippocrates abuſus *κατάγματος* nomine nuncupavit.

XLVI.

Sed et cataplaſmata quae maximi oneris ſunt penitus aliena ſunt, pleraque etiam noxia ſunt atque abſceſſum concitant et mucos plurimos ſuppurationemque infeſtam reddunt, quibus minime opus eſt auri comminutae.

Omnia ſigillatim iis conſentanea ſunt quae oſtendimus in libro de ratione curandi, namque Hippocrates etiam nunc laedi aurem aſſerit cataplaſmate quod experimento conſpicitur. Abunde enim ſiccari eam voluit, quum natura ſicciſſima ſit, eo quod ex cute conſtet et cartilagine.

Ed. Chart. XII. [361. 362.] Ed. Baſ. V. (609.)

δὲ ἕκαστον μόριον εἰς ὅσον ἂν ξηρότερον εἰς τοσοῦτο τῆς ξηραντικωτέρας ἀγωγῆς δεόμενον.

μζ'.

Ἄγχιστα μὲν, εἴπερ χρὴ, τὸ γλίσχρον ἄλητον, χρὴ δὲ μηδὲ τοῦ βάρος ἔχειν, ψαύειν δὲ ὡς ἥκιστα ξυμφέρει. ἀγαθὸν [362] *γὰρ ἐνίοτε φάρμακον καὶ τὸ μὴ φέρειν φάρμακον καὶ πρὸς οὓς καὶ πρὸς ἄλλα πολλά. χρὴ δὲ καὶ τὴν ἐπικοίμασιν φυλάττεσθαι, τὸ δὲ σῶμα ἰσχναίνειν καὶ μᾶλλον ᾧ ἂν κίνδυνος ἔῃ ἔμπυον τὸ οὖς γενέσθαι. ἄμεινον δὲ καὶ μαλθάξαι τὴν κοιλίην.*

Ἐγγυτάτω, φησὶν, ἐστὶ τοῦ μὴ βλάπτειν ἐπιπλαττόμενον τὸ γλίσχρον ἄλευρον. ἔστι γὰρ δῆλον ὅτι τοῦτο τῶν ἄλλων ξηραντικώτερον. εἴρηται δὲ ὀλίγῳ ἔμπροσθεν ἡμῖν, ὁποῖον λέγει τὸ γλίσχρον ἄλητον, ἡνίκα τὸν περὶ τῆς καταπλαττομένης ῥινὸς ἐποιεῖτο λόγον. ὁμοιότατον δὲ τούτῳ ποιοῦσι κατάπλασμα τῇ πείρᾳ διδαχθέντες οἱ κατὰ παλαίστραν

Oſtenſum autem eſt unamquamque partem, quatenus ſiccior eſt, eatenus ſicciorem curationem requirere.

XLVII.

Proxima quidem eſt, modo quid ſuperimponi conveniat, farina glutinoſa. Haec autem neceſſario gravis ne ſit, ac minimum contingit; interdum enim optima medicina eſt, medicinam non facere et ad aurem et ad alia multa. Cavere inſuper homo debet ne in eam partem dormiat. Extenuare autem corpus expedit illi potiſſimum qui auris ſuppuratione periclitatur et alvum mollire.

Proximum, inquit, eſſe ei quod non obeſt cataplaſma ex farina glutinoſa. Conſtat enim hoc magis ſiccare quam alia; diximus autem paulo ante, ubi de illinendo naſo tractavit, qualem appellet farinam glutinoſam, huic ſimillimum cataplaſma conficiunt experimento edocti, qui in

Ed. Chart. XII. [362.] Ed. Baſ. V. (609.)

ἔχοντες ἐκ τοῦ χόνδρου, βρέχοντες αὐτὸν ὄξει μέχρι διοιδέσει καὶ οὕτως λεαίνοντες.

μη'.

Ἦν δὲ καὶ εὐήμετος ἔῃ, ἐμέειν ἀπὸ συρμεσμοῦ.

Συρμεσμοὺς δὲ ἐκάλουν οἱ παλαιοὶ τὰς μετρίας κενώσεις εἴτε διὰ τῆς ἕδρας εἴτε καὶ δι' ἐμέτων γίγνοιντο. τοιούτων τινὰ κελεύει καὶ νῦν ποιεῖσθαι. πολλαὶ δ' ὗλαι τοῦτο περιεργάζονται· καὶ γὰρ μέλι πλέον ληφθὲν αὐτὸ καὶ μελίκρατον ἀκρατέστερον καὶ πτισάνης χυλὸς ἐξ ὕδατος ἑψημένος μόνον καὶ αὐτὸς καθ' ἑαυτὸν καὶ μετὰ μέλιτος. καὶ τούτων μᾶλλον ὁ ἀπὸ ῥαφανίδων ἔμετος καὶ ὁ ἀπὸ ναρκίσσου βολβοῦ. μείζων δὴ τούτων, οὐ μὴν ἤδη γλίσχρος, ὅταν εἰς ῥαφανῖδας ἑλλεβόρου λευκοῦ κάρφη πήξαντες ἐν τῇ ὑστεραίᾳ τὰς ῥαφανῖδας δῶμεν φαγεῖν, εἴτε μόνας εἴτε καὶ δι' ὀξυμέλιτος.

---

palaeſtra verſantur ex farre in aceto madefacto, dum maceretur, atque ita temperato.

XLVIII.

Sed ſi homo facile vomat, vomere debet, ut modice exhauriatur.

Veteres appellabant *συρμεσμοὺς* quum modice homo exhauriatur, ſeu vomitu ſeu dejectione, tale quid nunc fieri jubet eodem vocabulo uſus. Multa autem ſunt medicamenta quae hoc praeſtant, nam et mel copioſe aſſumptum et mulſa minus diluta vel cremor ptiſanae ex aqua decoctus, ſeu per ſe ſeu cum melle; magis adhuc vomitum citat radicula et bulbus narciſſi. His efficacior eſt, nondum tamen valens radicula, in qua ſurculos radicum veratri albi defixeris, data poſtridie ſive per ſe ſive ex oxymelle.

Ed. Chart. XII. [362.] Ed. Baſ. V. (609.)

μθ'.

Ἤν δὲ ἐς πύησιν ἔλθῃ, ταχέως μὲν οὐ χρὴ στομοῦν· πολλὰ γὰρ καὶ τῶν δοκούντων ἐκπυέεσθαι, ἀναπίνεται ποτε, κἢν μηδέπω τις καταπλάσῃ.

Φυλάσσεται τὸ οὖς ἅτε μὴν διὰ τὸν ὑποκείμενον τῷ δέρματι χόνδρον· ἂν γὰρ μὴ ταχέως τμηθὲν συναχθῇ τε καὶ κολληθῇ, κίνδυνός ἐστι λυπανθῆναι τὸν χόνδρον. ἀναπίνεται δὲ, τουτέστιν ἐκδαπανᾶται καὶ διαφορεῖται, τὸ συνιστάμενον αὐτόθι πῦον ἐνίοτε διὰ τῶν ἔξωθεν ἐπιτιθεμένων ἁπλῶν καὶ κούφων φαρμάκων, ὅσα ξηραίνειν ἀδήκτως πέφυκεν, οἷόν ἐστι καὶ ἡ τοῦ κοχλίου μύξα μετὰ λιβανωτοῦ καὶ εἰ δέοι ξηραίνεσθαι σφοδρότερον, ἤτοι μετ' ἀλόης ἢ μετὰ σμύρνης ἢ μετ' ἀμφοῖν. οὕτως δὲ καὶ μέλι καταχριόμενον Ἀττικὸν ἐπιπασσόμενον λεῖον τῶν εἰρημένων ἕκαστον ξηραντικόν ἐστι τὸ φάρμακον. ἄδηκτον δὲ λέγω τόν τε λιβανωτὸν καὶ τὴν ἀλόην καὶ τὴν σμύρναν.

XLIX.

Sed ſi ad ſuppurationem veniat, non eſt celeriter aperienda: multa enim ex iis quae videntur ſuppurare interdum abſorbentur, etiamſi nullum cataplaſma inducatur.

Cavendum eſt ne auris incidatur ob cartilaginem cuti ſubjectam, nam niſi ubi inciſa eſt conſolidetur et glutinetur, periculum eſt ne cartilago obeſa reddatur. *Abſorberi*, quod ἀναπίνεσθαι dixit, hoc eſt *diſcuti ac digeri, pus ibi collectum* nonnunquam per ea quae ſuperimponuntur ſimplicia medicamenta ac levia, ſine morſu ſiccandi vim habentia, cujusmodi eſt mucus cochleae adjecto thure; ac ſi valentius ſiccare opus ſit vel aloë vel myrrha vel utrisque. Eodem modo ſiccare poteſt mel Atticum inunctum inſperſo quovis ex propoſitis medicamentis bene contrito. Voco autem ſine morſu thus, aloën et myrrham.

Ed. Chart. XII. [363.] Ed. Baſ. V. (609.)

ν'.

[363] Ἢν δὲ ἀναγκασθῇ στομῶσαι, τάχισταὶ μὲν ὑγιὴς γίνεται, ἢν τις πέρην διακαύσῃ. εἰδέναι μέντοι χρὴ σαφῶς ὅτι κυλλόν ἐστι τὸ οἷς καὶ μεῖον τοῦ ἑτέρου, ἢν πέρην διακαυθῇ.

Κυλλὸν μὲν καὶ μικρότερον ἐξ ἀνάγκης γίγνεται διαφθαρέντος ἐν τῇ καύσει μέρους οὐκ ὀλίγου, τοῦ τε χόνδρου καὶ τοῦ περιέχοντος αὐτὸν δέρματος ἔχεσθαι. ἐπὶ δὲ τοῦτο συμβουλεύει ποτὲ δεδιὼς τὸ δύσαλθες τοῦ χόνδρου. γυμνωθεὶς γὰρ συνουλοῖ καὶ μάλιστα βραχείαις τισὶν ἡμέραις χρονίσεις, μετὰ τὸ τμηθῆναι μὴ συνελθόντος καὶ κολληθέντος τοῦ δέρματος εὐθέως.

να'.

Ἢν δὲ μὴ πέρην καίηται, τάμνειν χρὴ τὸ μετέωρον μὴ πάνυ σμικρὴν τομήν.

L.

At ſi incidere coactus ſis, celerrime ſaneſcit, ſi candens ferramentum ab una parte ad alteram demittatur. Scire autem certum licet aurem curtam reddi et mancam magis quam altera ſit, ſi candens ferramentum trajiciatur.

Curta neceſſario fit et manca, quum non exigua pars et cartilaginis et cutis ipſam comprehendentis uſtione abſumatur. Ad quod praeſidium monet ut confugiamus nonnunquam veritus ne cartilago aegre ſaneſcat; namque ubi nudatur, cicatricem non recipit, praeſertim ſi res aliquot dies protrahatur, neque cutis a ſectione protinus coeat et glutinetur.

LI.

Sed ſi candenti ferramento non trajiciatur, incidere convenit; quod magis excedit, ſectione non admodum exigua.

Ed. Chart. XII. [363.] Ed. Baſ. V. (609. 610.)

Ἕνεκα τοῦ μηδὲν ἐμμεῖναι τοῦ πύου καὶ βλάπτειν τὸν χόνδρον ἀξιόλογον κελεύει ποιεῖσθαι τὴν τομήν.

νβ'.

Διὰ παχυτέρου μὴν καὶ τὸ πῦον εὑρίσκεται ἢ ὡς ἄν τις δοκέοι.

Κατὰ τὴν διάγνωσιν τοῦ περιεχομένου γίγνεται πόνου τις ἀπάτη τοῖς ἀνατεινομένοις, ὡς δοκέειν ἤδη πολύ τε εἶναι αὐτὸ καὶ λεπτῦναι τὸ δέρμα. κατὰ δὲ τίνα τρόπον εἰς τὴν τοιαύτην ἀπάτην ἀφικνοῦνται διὰ τῶν ἑξῆς αὐτὸς ὁ Ἱπποκράτης δηλώσει.

νγ'.

Ὡς δ' ἐν κεφαλαίῳ εἰπεῖν καὶ πάντα τἄλλα τὰ μυξώδεα καὶ μυξοποιὰ, ἅτε γλί- (610) *σχρα ἐόντα ὑποθιγγανόμενα, διολισθαίνει ταχέως ὑπὸ τοὺς δακτύλους ἔνθα καὶ ἔνθα. διὰ τοῦτο διὰ παχυτέρου εὑρίσκουσι τὰ τοιαῦτα οἱ ἰητροὶ ἢ ὡς οἴονται.*

Ne quid ſuperſit puris quo cartilago laedatur, incidi non paullum jubet.

LII.

Quandoquidem pus ulterius invenitur quam quis exiſtimet.

Decipiuntur qui ſecant in cognoſcendo pure quod ſubjectum eſt, ita ut exiſtiment id in ſummo contineri et cutem extenuatam eſſe. Quo pacto autem in hunc errorem incidant, ipſe Hippocrates proxime demonſtrabit.

LIII.

Verum ut ſummatim dicam cetera quoque omnia quae mucoſa ſunt et mucos producunt, utpote glutinoſa ubi tangantur cito in hanc vel illam partem digitis elabuntur; quamobrem altiora haec medici reperiuntur, quam exiſtiment.

Ed. Chart. XII. [363. 364.] Ed. Baſ. V. (610.)

Κατὰ τὰς διαγνώσεις τῶν ἐκπυϊσκομένων μερῶν ἐπανήκει συμμέτρως πρὸς τὴν ἀφὴν τὸ πάσχον σῶμα, διαιρεθὲν εὑρίσκεται πῦον ἔχον. ἐπειδὰν οὖν εὕρωσιν οἱ ἰατροὶ τὴν αὐτὴν ποσότητα τῆς εἴξεως ἐπὶ παντὸς ἄλλου μέρους ὁμοίως ἐκπεπυηκέναι νομίζοντες τοῖς ἔμπροσθεν ἑωραμένοις, ἐπὶ τὸ τέμνειν ἀφικόμενοι διαμαρτάνουσιν ἐνίοτε διττὴν ἁμαρτίαν, ὡς τὸ μηδ' ὅλως εὑρεῖν πῦον ἐπὶ τούτων διὰ τοῦ παχύτερα πολλῷ [364] *παρὰ τὴν προσδοκίαν εἶναι τοιαῦτα· ἔοικε γὰρ πολλάκις ἰατρῷ ὑγρὸν ἔχοντα ἐν αὐτοῖς μυξώδες, ὡς οὕτω διαπυήσαντα. καὶ γίγνεται τοῦτο διότι τὰ τοιαῦτα τῶν ὑγρῶν, ὡς αὐτὸς εἶπεν, ὀλισθαίνει ταχέως ἐν τῷ ψαύειν αὐτῶν εἴωθε συνίστασθαι περί τε χόνδρους καὶ τένοντας καὶ νεῦρα καὶ συνδέσμους, ὡς αὐτὸς ἐφεξῆς λέγει.*

νθ'.

Ἐπεὶ καὶ τῶν γαγγλιωδέων ἔνια ὅσα ἂν πλαδαρὰ ᾖ καὶ μυξώδεα σάρκα ἔχῃ, πολλοὶ στομοῦσιν οἰόμενοι ῥεῦμα ἀνευρήσειν ἐς τὰ τοιαῦτα. ἡ μὲν οὖν γνώμη τοῦ ἰητροῦ

In dignoſcendo loco ſuppurante, ubi in affecta parte, quum tangenti moderate cedit, ſectione adhibita contentum pus invenitur, medici quoque poſtquam eundem cedendi modum in quavis alia parte comprehenderint putantes eam ſimiliter ſuppurare, ut illae quas prius intuiti ſuerint, venientes ad ſectionem errant, isque error interdum duplex eſt et quod nullo modo ibi pus inveniatur, quum haec multo craſſiora ſint quam opinentur et quod medicis ea ſuppurare videantur, quae mucoſum humorem in ſe continent. Id quod evenit, quoniam hujusmodi humor, ut ipſe ait, ubi tangatur cito elabitur; contrahi autem ſolet in cartilagine cordis, nervis ac ligamentis, ut deinceps oſtendet.

LIV.

Quandoquidem ea tubercula quae ganglia dicuntur, quum humida ſunt et mucoſa carne continentur a multis aperiuntur, inde fluxurum humorem putantibus. Medicum

Ed. Chart. XII. [364.] Ed. Baſ. V. (610.)

ἐξαπατᾶται, τῷ δὲ πράγματι τῷ τοιούτῳ οὐδεμία βλάβη στομωθέντι. ὅσα δὲ ὑδατώδεα χωρία ἐστὶν ἢ μύξης πεπληρωμένα καὶ ἐν οἵοισι χωρίοισιν ἕκαστα θάνατον φέρει στομούμενα ἢ κατὰ ἀλλοίας βλάβας, περὶ τούτων ἐν ἄλλῳ λόγῳ γεγράψεται.

Τὰ γὰρ χονδρώδη καὶ ταῦτα τὰ γαγγλία καὶ σύντροφά τινά εἰσι περὶ νεῦρα τὴν γένεσιν ἔξ ὑγροῦ, γλίσχρου δὲ μυξώδους ἐσχηκότα. τοιαύτη γὰρ ἡ οἰκεία τῶν νεύρων τροφή.

νέ.

Ὅταν οὖν τάμῃ τις τὸ οὖς, πάντων μὲν καταπλασμάτων καὶ πάσης τῆς μετώσιος ἀπέχεσθαι χρή. ἰητρεύειν δὲ ἢ ἐναίμοις ἢ ἄλλῳ, ὅ τι μήτε βάρος μήτε πόνον παρασχήσει.

Ἐπεὶ ξηρόν ἐστι μόριον τὸ οὖς καὶ διὰ τοῦτο τῶν ξηραινόντων δεῖται φαρμάκων, χρὴ μέντοι οὐ μέγαν τοῦ

itaque in ſectione animus fallit, ſed ei qui ſectus eſt nullum affertur detrimentum. Quae autem loca aquoſa ſint vel mucorum plena, quibusve partibus ſingula quae aperiuntur hominem interimant vel alterius noxae cauſa ſint, alibi exponentur.

Haec enim ganglia circa cartilaginoſas partes et circa nervos ex horum alimento increſcunt oriunturque ex humore glutinoſo ac mucoſo; hoc enim eſt proprium nervorum alimentum.

LV.

Ubi quis igitur aurem ſecuerit, abſtinere ab omni cataplaſmate atque omni linamento debet, mederique vel medicamentis, quae protinus cruentis vulneribus injiciuntur vel alio quod neque onere laedat, neque moleſtiam afferat.

Auris quia ſicca eſt, idcirco ſiccantia medicamenta requirit, non tamen plus juſto ſiccanda eſt, ubi a ſectione

Ed. Chart. XII. [364.] Ed. Baſ. V. (610.)

προσήκοντος αὐτὸ ξηραίνειν, ὅταν ἐπὶ τὸ τέμνειν εὐθέως τὰ φάρμακα προσφέρωνται. τεῖνον γὰρ ἐργάζεται μηδὲν ἔχοντα παρηγορικὸν, οὐ μὴν οὐδὲ βαρύνεσθαι χρὴ τὸ οὖς τῷ ἐπιτιθεμένῳ ὄγκῳ· καὶ γὰρ τὰ ὠτά γ' ὀδυνᾶται καὶ ἅμα ἀσηρόν. ἄριστον οὖν ἐστι χρῆσθαι φαρμάκοις μετὰ τὸ στομῶσαι μετρίως ξηραίνουσιν, ὑποῖα τὰ ἔναιμα καλούμενα. τὰ γὰρ καταπλάσματα ἐγκλείει τε καὶ θηλύνει μὴ ξηραίνοντα τὰς περιττὰς ὑγρότητας αὐτῶν καὶ μάλιστα γλίσχρας καὶ παχείας οὔσας.

νστ'.

Ἢν γὰρ ὁ χόνδρος ἄρξηται ψιλοῦσθαι καὶ ὑποστάσιας ἴσχῃ πυρώδεας ἢ χαλώδεας, ὀχληρόν.

Προσθεῖναι δὲ χρὴ τῇ λέξει τὸ ὑγρὸν, ὅπερ καὶ παρεγγράφουσί τινες, ὡς εἶναι τὴν ὅλην γραφὴν τοιαύτην· ὅτε γὰρ ὁ χόνδρος ἄρξηται ψιλοῦσθαι καὶ ὑποστάσιας ὑγρῶν ἴσχει. καλεῖ δ' ὑποστάσεις τὰς ἔνδον μονὰς τῶν

protinus medicamenta inducuntur; diſtendunt enim, quum nihil habeant quod leniat. Sed neque onerari auris debet mole eorum quae ſuperimponuntur, dolet enim et infeſtatur. Optimum eſt igitur a ſectione medicamentis uti quae modice ſiccent, cujusmodi ſunt quae cruentis vulneribus protinus injiciuntur. Cataplaſmata leniunt quidem, ſed reſolvunt atque effeminant; ſuperantem vero humorem non diſcutiunt, praeſertim quum glutinoſus ſit et craſſus.

LVI.

Namque ubi cartilago nudari incipiat coitumque habeat purulentum ac mucoſum, res infeſtiſſima eſt.

Adjicere orationi oportet humorem, ſicut nonnulli adſcribunt, ut univerſa ſit hujusmodi: namque ubi cartilago nudari incipiat coitumque humorum habeat. Vocat autem ὑποστάσεις coitum humorum qui intus continentur et ex-

Ed. Chart. XII. [365.] Ed. Baſ. V. (610.)
[365] *ὑγρῶν, ἃ προσῆκεν ἐκκρίνεσθαι, τοῦ τε πύου δηλονότι καὶ τοῦ μυξώδους χυμοῦ. ὀχλώδη οὖν, φησὶ, γίγνεται, τουτέστι ὀδυνηρὰ, ὅπερ ὁρᾶται τοῦ χόνδρου κακουμένου.*

νζ'.

Γίγνεται δὲ καὶ τοῦτο δι' ἐκείνας τὰς ἰήσιας, πάντων δὲ τῶν παλιγκοτησάντων ἡ πέρην διάκαυσις αὐταρκέστατον.

Ποίας ἰήσεις μέμφεται; ἢ δηλονότι περὶ ὧν ἐνεδείξατο μικρὸν ἔμπροσθεν ἀπέχεσθαι κελεύων, καταπλασμάτων καὶ μετώσεως καὶ τῶν βαρυνόντων καὶ ὀδυνώντων.

cerni debent, puris videlicet et muci. Res, inquit, infeſtiſſima eſt, hoc eſt dolorem affert, quod patet quum cartilago vitiatur.

LVII.

Fiunt autem et haec ob illas curationes. In omnibus autem quae recrudeſcunt, maxime abunde eſt candens ferramentum trajicere.

Quam curationem damnat? eamne quam paulo ſupra indicavit praecipiens, ut cataplaſma, linamentum quod onerat, quod dolorem excitat vitemus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΤΟ ΠΕΡΙ ΑΡΘΡΩΝ ΒΙΒΛΙΟΝ ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟ ΥΠΟΜΝΗΜΑ ΤΡΙΤΟΝ.

Ed. Chart. XII. [366.] Ed. Baſ. V. (616.)

α'.

[366] Σπόνδυλοι δὲ οἱ κατὰ ῥάχιν.

Οὐχ ὡς καὶ καθ' ἕτερον μέρος ἐν τῷ σώματι σφονδύλων ὄντων πρόσκειται τὸ κατὰ ῥάχιν· ἡ γὰρ ἁπάντων τῶν σπονδύλων σύνθεσις ὀνομάζεται ῥάχις, ἀλλ' εἰ καὶ οὕτως ἔτυχεν εἰπών· σφόνδυλοι δὲ οἷς ὑπάρχει καὶ κατὰ ῥάχιν

HIPPOCRATIS DE ARTICULIS LIBER ET GALENI IN EUM COMMENTARIUS TERTIUS.

I.

Spinae autem vertebrae.

Adjecit ſpinae, non quae in aliis corporis partibus vertebrae reperiantur; omnium enim vertebrarum compoſitio vocatur ſpina, ſed quaſi ita dixerit: vertebrae quarum ſitus eſt in ſpina. Quibusdam tamen ex junioribus

Ed. Chart. XII. [366. 367.] Ed. Baſ. V. (610.)

εἶναι. τινὲς μέντοι τῶν νεωτέρων ἰατρῶν [367] ἀξιοῦσιν οὐχ ἅπασαν τῶν σπονδύλων τὴν σύνταξιν ὀνομάζειν ῥάχιν, ἀλλὰ μόνον τὸν θώρακα καὶ τὴν ὀσφῦν, καθ' οὓς ὁ Ἱπποκράτης νῦν δόξει διαλέγεσθαι περὶ τῶν κατὰ τὴν ὀσφῦν τε καὶ τὸν νῶτον μόνον, οὐ τῶν κατὰ τὸν τράχηλον. εἴρηται δὲ ἀκριβῶς ἡμῖν ἅπασα τῶν σφονδύλων ἡ σύνθεσις ἐν τῇ περὶ τῶν ὀστῶν εἰσαγωγῇ, καθ' ἣν ἠξίωσα ἀπογυμνάσασθαι τὸν ἀκολουθήσαντα τοῖσδε τοῖς ὑπομνήμασι, τεθεαμένος ἀκριβῶς ἕκαστον τῶν ὀστῶν ὁποῖόν ἐστιν, ἐπ' αὐτῶν μὲν μάλιστα τῶν ἀνθρώπων σκελετῶν, εἰ μὴ πάντως τῶν πιθηκείων.

β'.

Ὅσοισι μὲν ὑπὸ νοσημάτων ἕλκονται ἐς τὸ κυφόν.

Ὀπισθοκύφωσις ὀνομάζεται ἡ εἰς τοὐπίσω διαστροφὴ τῆς ῥάχεως, ὥσπερ ἡ μὲν εἰς τὸ πρόσω λόρδωσις, ἡ δὲ εἰς τὰ πλάγια σκολίωσις. οἴονται δέ τινες γίγνεσθαι τὴν εἰς

placet ſpinam nominari non univerſam vertebrarum compoſitionem, ſed earum tantum quae ad thoracem ſunt et lumbos. Juxta quos Hippocrates nunc de vertebris agere videbitur quae in lumbis tantum et dorſo ſitae ſunt, non de iis quae in cervicibus. Vertebrarum vero compoſitionem univerſam in libro de oſſibus ad eos qui primas inſtitutiones addiſcunt ad unguem narravimus, in quo exerceri illum volumus qui percepturus eſt haec commentaria, intuitum exquiſite qualia ſint ſingula oſſa in cadavere arefacto hominis vel certe ſimiae.

II.

Quibus ob morbos trahuntur, ut gibbum efficiant.

Gibbum dixit κυφόν. Vocatur autem ſpina gibba, quum in poſteriorem partem convertitur, quod vitium ὀπισθοκύφωσις Graece nominatur; ſicut curva quando in priorem partem, dicitur autem hoc Graece λόρδωσις; ſed

Ed. Chart. XII. [376.] Ed. Baſ. V. (610. 611.)

τοὐπίσω διαστροφὴν, ἣν δὴ καὶ κύρτωσιν ὀνομάζουσι, φυμάτων ἀπέπτων συνισταμένων ἐπὶ τῆς ῥάχεως μεγάλων τε καὶ σκληρῶν καὶ χρονίων, ὑφ' ὧν βαρυνομένους ὠθεῖσθαι πρὸς τὴν ὀπίσω χώραν τοὺς σφονδύλους, οὐκ ἐννοοῦντες ὅτι οὔτε κατακειμένων ὑπτίων ἐγχωρεῖ τὰ φύματα τοὺς ὑποκειμένους ἑαυτοῖς βαρύνειν σφονδύλους οὔτε ὀρθῶς ἑστηκότων οὔτε καθημένων, ἀλλ' οὐδ' εἴ ποτε κατὰ τῶν (611) πλευρῶν κλινόμεθα. πρὸς δὲ καὶ ἄλλοις ἐστὶν ἄτοπον εἰς τοσοῦτον βάρος ἢ σκληρότητα ἥκειν τὰ φύματα νοεῖν, ὡς καὶ τῶν ὀστῶν βαρύτερα καὶ σκληρότερα γίγνεσθαι. ὅτι μὲν οὖν ὑπὸ φυμάτων ἀπέπτων εἰς τὸ ἔμπροσθεν ἀποτελοῦνται διαστροφαὶ τῆς ῥάχεως αὐτὸς ὁ Ἱπποκράτης ὀλίγον ὕστερον ἐρεῖ. προσέχειν δὲ χρὴ τοὺς ἐξηγησαμένους τὸ βιβλίον οὐ τούτῳ μόνον, ἀλλὰ καὶ ὅτι κατὰ τὴν προκειμένην ῥῆσιν εἶπεν· ἐς τὸ κυφὸν ἕλκονται, δυνάμενος εἰπεῖν ὠθοῦνται, καθάπερ οὕτω ἕλκονται. δόξει γε μὴν ἄτοπον εἶναι τοὺς σφονδύλους ὀπίσω μεθισταμένους ὑπὸ νοσημάτων ἕλκεσθαι λέγειν εἰς τὸ πρόσω. τοῦτο γὰρ οἰκειότερον ἦν ἐπὶ

σκολίωσις, quum depravatur a latere. Nonnulli autem exiſtimant ſpinam in poſteriorem partem perverti, quod vitium *κύρτωσιν* quoque Graeci nominant, ubi in ea fuerint cruda tubercula magna, dura ac diuturna, quorum onere vertebrae in poſteriorem partem compellantur. Neque intelligunt, ſi ſupinus homo jaceat, non poſſe ſubjectas vertebras tuberculis onerari, neque etiam ſi ſtet aut ſedeat, ac neque ſi in latus converſus cubet. Ad haec abſurdum eſt exiſtimare tubercula ad tantum pondus ac duritiem pervenire ut oſſibus graviora fiant et duriora; ſed et a crudis tuberculis ſpinam in priorem partem converti Hippocrates ipſe paulo poſt docebit. Illud item animadvertendum eſt, non ſolum eos qui librum hunc exponunt, ſed Hippocratem in propoſitis nunc verbis dixiſſe: *trahuntur, ut gibbum efficiant*, quum dicere potuiſſet, impelluntur, quemadmodum his placet. Abſurdum vero videbitur aſſerere vertebras quae in poſteriorem partem erumpunt trahi a morbo in priciem: hoc

Ed. Chart. XII. [367. 368.] Ed. Baſ. V. (611.)

τῆς λορδώσεως εἰρῆσθαι. τί ποτ' οὖν ἐστιν ἀληθὲς ἅμα καὶ πρὸς Ἱπποκράτην ἔτι πειράσομαι δηλῶσαι. αὐτὰ μὲν τὰ τῶν σφονδύλων ὀστᾶ κατὰ τὸν ἴδιον λόγον οὔτ' ἀνατρέπεται πρὸς τῶν φυμάτων οὔθ' ἕλκεται, τῶν δὲ συνδούντων αὐτοὺς σωμάτων ἐστὶ τὸ πάθημα πρῶτον. ὅταν οὖν συνηθισμένον γένηται τοῖς σφονδύλοις φῦμα μετεωριζόμενον καὶ αὐξανόμενον πρὸς τὴν ἔνδον ἢ πρόσω χώραν, ἑκατέρως γὰρ ὀνομάζουσιν, ἀναγκαῖόν ἐστιν ἕπεσθαι τοῖς φύμασι τοὺς συνδέσμους, οἷς πάλιν αὐτοὺς τοὺς σφονδύλους ἀκολουθεῖν. ἐὰν μὲν οὖν κατὰ μίαν χώραν γένηται τὸ φῦμα, ταύτης ἑλκομένης ἐντὸς ἡ λόρδωσις συμβαίνει τῆς ῥάχεως σφονδύλοις· ἐὰν δὲ κατὰ δύο, μεταξύ τινος ἀπαθοῦς περιλαμβανομένης χώρας ἡ κύφωσις. ἑκατέρου γὰρ τῶν φυμάτων ἕλκονται πρὸς ἑαυτὸ τὸν συνεχῆ σφονδύλον, οἱ μέσοι κυρτοῦνται πρὸς τοὐπίσω. θεάσασθαι δὲ ἐναργῶς ἐγχωρεῖ σοι τοῦτο συμβαῖνον ἐπὶ πάντων ὅσα [368] κάμπτεσθαι δύναται μετρίως, οἷά περ εἰσὶ καὶ διάχλωραι ῥάβδων καὶ τῶν καλάμων οἷς γράφομεν οἱ πλείους. τούτων τὸ μὲν ἕτερον τοῖς τῆς

ſiquidem magis proprium eſt illius vitii, ſub quo ſpina in interiorem partem convertitur. Quonam igitur pacto vera ſit res, quidque Hippocrates ſentiat conabor exponere. Vertebrarum quidem oſſa per ſe neque pervertuntur a tuberculis, neque trahuntur; ſed primum vitium eſt in iis corporibus quibus vertebrae alligantur. Igitur ubi ad vertebras tuberculum oriatur, quum in tumorem aſſurgit atque augetur, ab interiori ſive priori parte, utroque enim vocabulo appellatur, neceſſe eſt ut tuberculum ſequantur ligamenta, atque haec rurſus vertebrae. Itaque ſi in una parte dumtaxat tuberculum oriatur, ubi haec in interiorem trahatur, ſpina in priorem partem convertetur; ſed ſi in duabus, ubi aliqua interjecta ſit inviolata, gibba evadet. Utroque enim tuberculo adjunctam vertebram trahente quae in medio ſunt a poſteriori parte gibbae fiunt. Quod evidenter intueri licet omnibus evenire, quae curvari modice poſſunt, cujusmodi ſunt virides rami et ex ſcriptoriis calamis plerique, quos ſi quis dextrae

Ed. Chart. XII. [368.] Ed. Baſ. V. (611.)

δεξιᾶς χειρὸς περιλαβὼν δακτύλοις, τὸ δ' ἕτερον τοῖς τῆς ἀριστερᾶς ἐπισπάσαι πρὸς ἑαυτὸν εἰς τὴν ἐναντίαν χώραν ἐπισπώμενόν τε καὶ κυρτούμενον ὄψει τὸ μέσον· οὐ μὴν οὐδὲ σκολιώσεις ἑτέραν ἔχουσιν αἰτίαν γενέσεως, ἀλλὰ καὶ ταύτας τείνεσθαι συμβαίνει σκληροῦ καὶ δυσπέπτου φύματος ἔν τινι τῶν πλαγίων μερῶν συνισταμένου. τρία γὰρ ταῦτα πάθη κατὰ τὴν ῥάχιν ἐν ταῖς τῶν σφονδύλων γίγνεται μεταστάσεσι, κύφωσις, λόρδωσις καὶ σκολίωσις· ὀπίσω μὲν ἀποχωρούντων ἡ κύφωσις, εἰς τὰ πρόσω δὲ ἰόντων ἡ λόρδωσις, ἐπὶ δὲ τὸ πλάγιον ἐκτρεπομένων ἡ σκολίωσις. ἔξωθεν δὲ τούτων ἡ σεῖσις καλουμένη τέταρτον πάθος ἐστὶ τῶν ἐν τῇ ῥάχει σφονδύλων, ὅταν διακινηθῶσι μὲν αἱ ἁρμονίαι, κατὰ χώραν δὲ οἱ σφόνδυλοι μένωσι.

γ'.

Τὰ μὲν πλεῖστα ἀδύνατα λύεσθαι, πρὸς δὲ καὶ ὅσα ἀνωτέρω τῶν φρενῶν τῆς προσφύσιος κυφοῦται.

---

digitis ab una parte, ſiniſtrae ab altera, prehendens ad ſe traxerit, medium in contrariam partem attractum gibbumque conſpiciet. Atqui neque alia de cauſa ſpina ad latus convertitur quam ob crudum tuberculum quod a latere ejus ſit. Haec autem tria vitia in ſpina incidunt, quum vertebrae loco moventur: nam vel *κύφωσις* ſit vel *λόρδωσις* vel *σκολίωσις*. Quum in poſteriorem quidem convertitur partem, *κύφωσις*, quum in priorem, *λόρδωσις*, quum in latus inclinat, *σκολίωσις*. Extra haec quartum vitium in ſpina incidit quod *σεῖσις* vocatur, ubi vertebrae loco manent, ſed earum compago dimovetur.

III.

Plerumque ſolvi nequeunt, praecipue ubi ſpina ſupra ſepti transverſi conjunctionem gibba fiat.

Ed. Chart. XII. [368.] Ed. Baſ. V. (611.)

Καὶ τἆλλα μὲν, φησὶ, τὰ κατὰ ῥάχιν ἐστὶ δύσλυτα, μάλιστα δ' αὐτῶν ὅσα φρενῶν τῆς προσφύσιος κυφοῦται ἀνώτερον, τουτέστιν ἐν τῷ κατὰ τὸν θώρακα σφονδύλῳ. ὅτι δ' οὕτως χρῆται τῇ φωνῇ καὶ κατ' ἀρχὰς εὐθέως τοῦδε τοῦ βιβλίου δῆλόν ἐστιν, ἔνθα φησὶ· καὶ γὰρ καὶ τὸ ἐπίπαν ἀμείνων καὶ στερεωτέρη ἡ βραχεῖα πόη τῆς βαθείης, ὅτι καὶ πρὶν ἐκκαρπεῖν τὴν βαθείην. διὰ τί δὲ μάλιστα δύσλυτα γίνεται τὰ κατὰ τὸν θώρακα φίματα, διὰ τῆς ἐπιφερομένης μαθήσῃ ῥήσεως.

δ'.

Τῶν δὲ κατωτέρω μετεξέτερα λύουσι κιρσοὶ γινόμενοι ἐν τοῖσι σκέλεσι, μᾶλλον δέ τι ἐγγινόμενοι κιρσοὶ ἐν τῇ κατ' ἰγνύην φλεβί. οἷσι δ' ἄν τι κύφωμα ᾖ, λύουσιν· ἐγγίνονται δὲ καὶ ἐν τῇ κατὰ βουβῶνα.

Ἐνιά φησι τῶν κατωτέρω τοῦ θώρακος παθῶν, τουτέστι τὰ κατ' ὀσφῦν, ὑπὸ κιρσῶν ἢ δυσεντερίας λύεσθαι, με-

Nonnulla, inquit, quae in ſpina incidunt aegre ſolvuntur, praecipueque ubi ſupra eam regionem, qua cum ſepto transverſo conjungitur gibba fiat, hoc eſt in vertebris thoracis. Dixit autem *ὅτι* ſignificare volens, *praecipue*, quemadmodum etiam principio hujus libri, quum inquit: omnino enim melior eſt ac firmior exigua herba, quam grandior, praecipue antequam ad maturitatem perveniat, ubi verbum *praecipue* dixit *ὅτι*. Sed qua ratione aegre tubercula ſolvantur, proximis verbis intelliges.

IV.

Infra vero quaedam ſolvuntur, quum varices in cruribus fiunt; illic autem magis gibbam ſpinam ſolvunt, qui in vena poplitis oriuntur; fiunt etiam in venis inguinum.

Quaedam, ait, vitia infra thoracem, nempe ad lumbos a varicibus vel torminibus ſolvuntur, quum ſucci qui

Ed. Chart. XII. [368. 369.] Ed. Baſ. V. (611.)

ταλαμβανομένων δηλονότι τῶν ἐργασαμένων αὐτὰ χυμῶν εἰς πρώτην μὲν αὐτὴν τὴν ἐπὶ τῇ ῥάχει μεγίστην φλέβα, μετ' ἐκείνην δὲ εἰς τὰς ἀποφύσεις αὐτῆς τὰς ἐπὶ τὰ σκέλη. τοιαύτη δὲ οὐδεμία φλέψ ἐστι κατὰ θώρακα ἡ τοὺς μοχθηροὺς χυμοὺς ὑποδέξασθαι δυναμένη· μία μέν ἐστιν ἡ τὰς ὀκτὼ πλευρὰς ἑκατέρωθεν φέρουσα, δύο δ' ἄλλαι μικραὶ τὰς ὑψηλάς τε παρὰ τὰς ἐξ ἑκατέρου μέρους μία, πασῶν δ' αὐτῶν εἰς τὸν θώρακα κατασχιζομένων τε καὶ ἀναλισκομένων. εἰ δὲ μεταβληθείη τις χυμὸς εἰς αὐτὰς ἐκ τῶν φυμάτων ἐκκενωθῆναί που δύναται καὶ τὸ δ' ἐπίπαλαι φάναι αὐτὸ δύσκολον. οἱ γὰρ τὰ σκληρὰ καὶ δύσπεπτα γεννῶντες χυμοὶ γλίσχροι εἰσὶ καὶ παχεῖς, ὥστ' οὐ ῥᾳδίως εἰς τὰς στενὰς μεταλαμβάνονται φλεβάς. ἡ δὲ κατ' ὀσφῦν φλὲψ εὐρυτάτη τ' ἐστὶ καὶ πάσαις ταῖς κά- [369] τω φλεψὶν αὕτη χορηγεῖ τὸ αἷμα. τοὺς οὖν παχεῖς τούτους καὶ γλίσχρους χυμοὺς, ὅταν ποτὲ μεταλάβῃ τῆς ἐν τοῖς πεπονθόσι μορίοις δυνάμεως ῥωσθείσης, ὡς ἀπώσασθαι τὸ περιττὸν ἐναποτίθεται ταῖς ἐνταῦθα καθηκούσαις φλεψὶν, ὑφ' ὧν

ea faciunt primo ferantur in venam maximam ipſius ſpinae, deinde in eas quae ab eadem diductae ad crura intendunt. Hujusmodi autem in thorace nulla vena eſt, quae poſſit vitiatos ſuccos recipere, quandoquidem utrinque octo coſtis una alimentum ſubminiſtrat; ſed ſuperioribus duae aliae tenues, ſcilicet ab utroque latere una, quae omnes per thoracem diſtribuuntur diſſipanturque. Idcirco ſi ſuccus aliquis ad ipſas ex tuberculis transferatur, excerni non poteſt, praeterquam quod aegre etiam admittitur. Succi enim qui cruda et dura tubercula faciunt glutinoſi ſunt et craſſi; quare non facile per tenues venas feruntur, ſed vena quae ad lumbos eſt latiſſima eſt et ſanguinem ad venas omnes transmittit. Ergo quum hos craſſos ac glutinoſos ſuccos receperit, ſi affectae partes viribus adeo valeant, ut quod ſuperat expellant, ad venas hic ſitas transmittit. Quo fit ut lateſcant et in vari-

Ed. Chart. XII. [369.] Ed. Baſ. V. (611.)

ἀνευρίνονται μὲν καὶ κιρσοῦνται, παχέων μὲν ἱκανῶς ὄντων εὐθέως ἐν τῇ κατὰ βουβῶνα, μετριωτέρων δὲ ὑπαρχόντων ἐν τῇ κατὰ τὴν ἰγνύαν. ἔνθα γὰρ ἂν πρῶτον ὑπὸ πάχους τε καὶ γλισχρότητος ἐμφραχθέντες ἱστῶσιν, ἐνταῦθα διϊστᾶσί τε καὶ διευρύνουσι τὴν φλέβα. καὶ γὰρ τοῖς ἄνευ τοιαύτης αἰτίας ἔχουσιν ἐν τοῖς σκέλεσι κιρσοὺς ἀνάλογον τῷ πάχει τοῦ χυμοῦ τὰς ἀνευρυνομένας φλέβας ἰδεῖν ἐστίν, ἐπὶ μὲν τοῖς παχυτάτοις τὰς εὐρυτάτας οἷαί πέρ εἰσιν αἱ κατὰ βουβῶνα, ἐπὶ δὲ τοῖς ἧττον ἐκείνων παχέσι τὰς ἧττον εὐρείας, ὁποῖαι κατ' ἰγνύας εἰσί. ποτὲ μὲν γὰρ ἐν ταῖς μείζοσι τροφαῖς ἐμφραττόμενοι τὸ πάθος ἐργάζονται, ποτὲ δὲ εἰς τὰς κατωτέρας χωροῦσιν, ὅσαι στενότεραι. παχὺ δὲ πάντως ἐν τοῖς κιρσοῖς ἐστι τὸ αἷμα, μελαγχολικῶν δ' ἐστὶ πλειστάκις τὸ πάθος, ἔστι δ' ὅτε ἑτέρων ὠμῶν καὶ παχέων χυμῶν.

ces adſurgant. Ubi quidem ſucci craſſiores fuerint, id accidit in inguine protinus; ſin mediocriter craſſi, in poplite. Namque ubi primum eo quod craſſi ſint et glutinoſi confertim ſubſiſtunt, ibi venam diſtendunt dilatantque. Etenim quibus citra cauſam hanc varices in cruribus oriuntur, videre licet venas pro portione ſuccorum craſſitudinis lateſcentes, ubi craſſiſſimi ſint, latiſſimas, cujusmodi venae ſunt in inguine; ubi minus craſſi, minus latas, quales in poplite. Interdum enim quum majores venas obſtruunt, hunc affectum excitant; interdum ad inferiores concurrunt, quae anguſtiores ſunt. In univerſum autem in varicibus craſſus ſanguis continetur; nam id vitium plerumque a ſucco melancholico, interdum etiam ab aliis crudis craſſisque concitatur.

ε'.

Ἤδη δέ τισιν ἔλυσε καὶ ἡ δυσεντερίη πολυχρόνιος γινομένη.

V.

Solutum quoque jam id vitium eſt a torminibus diuturnis.

Ed. Chart. XII. [369.] Ed. Baſ. V. (611. 612.)

Ὅταν εἰς ἔντερα μετάληψις γένηται τῶν παρὰ φύσιν χυμῶν ἐπὶ δυσεντερίᾳ, τῶν ἐντέρων ξυομένων τῇ δριμύτητι τῶν εἰς αὐτὰ συῤῥεόντων χυμῶν ἐκπυϊσκομένων δηλονότι τῶν φυμάτων. οὐδὲ γὰρ ἄλλως οὐδὲ συῤῥαγεῖέν ποτ' εἰς ἔντερα διὰ τὸ πάχος αὐτῶν. αἱ δ' ἐκπυήσεις λεπτύνουσί τε τοὺς παχεῖς χυμοὺς καὶ τὴν ἐν τοῖς πάσχουσι μορίοις φύσιν ἐπεγείρουσιν εἰς ἀπόκρισιν ἀνιαρῶν ἤδη τῶν περιεχομένων χυμῶν.

στ'.

(612) *Καὶ οἷσι μὲν κυφοῦνται ῥάχις παισὶν ἐοῦσι, πρὶν ἢ τὸ σῶμα τελειωθῆναι ἐς αὔξησιν, τούτοισι μὲν οὐδὲ συναύξεσθαι ἐθέλοι κατὰ τὴν ῥάχιν τὸ σῶμα, ἀλλὰ σκέλεα μὲν καὶ χεῖρες τελειοῦνται, ταῦτα δὲ ἐνδεέστερα γίνονται.*

Οὐδὲν θαυμαστόν ἐστιν ἀναυξῆ γενέσθαι τὴν ῥάχιν ἐν τοῖς τοιούτοις νοσήμασιν, ὥσπερ καὶπὶ τῶν ἐξαρθρημάτων

Ubi ſucci qui praeter naturam in corpore ſunt ad inteſtina transferuntur, tormina fiunt quum abradantur inteſtina ob ſuccos acres qui ad ipſa confluunt, nempe ubi tubercula ſuppurant; neque enim aliter ob ſuam craſſitudinem confluere ad inteſtina potuiſſent. Sed in ſuppurationibus craſſi ſucci extenuantur et naturam affectae partis ad expellendum excitant id quod in ea contentum jam moleſtum eſt.

VI.

Quibus vero adhuc pueris ſpina gibba fit, antequam corpus perfecte increſcat, his corpus ad ſpinam non augetur, ſed crura et brachia dumtaxat perficiuntur; quae ſunt ad ſpinam, non complentur.

Nihil mirum eſt, ſi in his morbis ſpina non increſcat, quemadmodum ſupra in luxatis tradidit, quum in-

Ed. Chart. XII. [369. 370.] Ed. Baf. V. (612.)

ἔμπροσθεν ἠκούσαμεν αὐτοῦ λέγοντος, ὧν ἡ ἔμπτωσις ἠπορήθη. διά τε γὰρ τὴν διαστροφὴν τῶν ἀγγείων καὶ τὴν δυσκινησίαν καὶ τὸν τῆς φύσεως κάματον, ὃν κάμνει κατὰ τὰ τοιαῦτα πάθη, χεῖρον ἢ πρόσθεν ἀνάγκη τρέφεσθαι τὰ πεπονθότα μόρια. τοῦτο δ' ἐν μὲν τοῖς ἠυξημένοις ἤδη καὶ τελείοις σώμασιν ἰσχνότερα ποιεῖν εἴωθε τὰ μόρια, τοῖς δ' ἔτ' αὐξανομένοις ἡ αὔξησις ἐμποδίζεται τῶν κατὰ ῥάχιν. ὅσα δ' ἀμφότερα τῶν πεπονθότων ἐστὶν, οἷον αἵ τε χεῖρες καὶ τὰ σκέλη, παντάπασιν ἀβλαβῆ διαμένει· συμπάσχει γὰρ οὐχ ὅλον τὸ σῶμα τοῖς οὕτω πεπονθόσιν, ἀλλ' ὅσα πλησίον ἐστὶ μόνα.

ζ'.

[370] Καὶ ὅσοισιν ἂν ᾖ ἀνωτέρω τῶν φρενῶν τὸ κῦφος, τούτοισι μὲν αἵ τε πλευραὶ οὐκ ἐθέλουσιν ἐς τὸ εὐρὺ αὔξεσθαι, ἀλλ' ἐς τοὔμπροσθεν, τό τε στῆθος ὀξὺ γίνεται, ἀλλ' οὐ πλατύ, αὐτοί τε δύσπνοοι γίνονται καὶ κερχνώδεες. ἧσσον γὰρ εὐρυχωρίην ἔχουσιν αἱ κοιλίαι αἱ τὸ πνεῦμα δεχόμεναι καὶ προπέμπουσαι.

quit: quibus recondi non potuit. Nam et propter venas perverſas et propterea quod aegrius membrum moveatur naturaque in ejusmodi affectibus langueat, laeſae partes neceſſario deterius quam ante nutriuntur. Quo fit ut quae jam perfecte increverunt emacreſcant, quae adhuc increſcunt, incremento juxta ſpinam prohibeantur. Sed quae a vitiatis partibus longius abſunt, ut brachia et crura, ſine noxa omnino ſervantur; ea enim quae ſic vitiata ſunt, non totum corpus, ſed ſolummodo proximas partes afficiunt.

VII.

Quibus item ſupra ſeptum transverſum gibba ſpina fit, coſtae in latitudinem augeri non ſolent, ſed in partem priorem; pectus vero latum non fit, ſed acutum; ſpiritus difficulter movetur et cum ſono, quum cavum quo ſpiritus recipitur atque emittitur anguſtius reddatur.

Ed. Chart. XII. [370.] Ed. Baſ. V. (612.)

Ἐπὶ τῶν ἔτι ἐν αὐξήσει λόγον ποιεῖται, περὶ ὧν προείρηκεν ὅτι οὐχὶ συναύξεται τὰ κατὰ τὴν ῥάχιν αὐτοῖς. ὅταν οὖν ἐν τοῖς κατὰ τὸν θώρακα σφονδύλοις τὸ κύφωμα γένηται, μάλιστα τούτοις ἀναυξητέα ἀποτελεῖται κατὰ τὸ μῆκος. ἔκ τε οὖν τούτων καὶ ὅτι κατὰ τὸ κυφὸν εἰς τοὐπίσω μετάστασις ἐγένετο τῶν σφονδύλων, ἀναγκαῖόν ἐστι στενὸν καὶ ὀξὺν αὐτοῖς γίνεσθαι τὸν θώρακα καὶ κατὰ τοῦτο καὶ τὰς ἐντὸς κοιλίας τὰς ὑποδεχομένας τὸ πνεῦμα μικροτέρας, ὥστε καὶ τοῦ πνεύματος, ὅταν ἀναπνέωσιν, ἐλάττονος ἀπολαύειν τὸ σῶμα. λέλεκται δὲ κἀν τοῖς περὶ δυσπνοίας ὡς ἀναγκαῖόν ἐστιν, ἔνθα τῆς χρείας ἐλάττων εἰσπνοὴ γίνεται, τὴν ἐφεξῆς αὐτῇ τὴν δευτέραν μετ' ἐλάττονα χρόνον ἢ εἴπερ εἶχε κατὰ φύσιν ἢ προτέρα ποιῆσαι τὴν ἀρχήν. τὸ δὲ μετ' ἐλάττονα πυκνὸν ἐργάζεται τὸ πνεῦμα καὶ τοῦτο τὸ τῆς δυσπνοίας εἶδος συνίσταται τὸ κατὰ μικρότητα καὶ πυκνότητα. κερχνώδεις δὲ γίγνονται διὰ τῶν κατὰ τὴν φάρυγγα καὶ τραχεῖαν ἀρτηρίαν μορίων στενότητα. συναύξει δὲ ταύτην τὴν στενότητα καὶ τοῦτο περὶ οὗ κατὰ τὴν ἑξῆς ῥῆσιν διδάσκει.

De iis agens quae adhuc increſcunt dixit, quae juxta ſpinam ſunt his augeri non conſueſſe: ergo ubi ſpina gibba fiat in vertebris thoracis, hae maxime increſcere in longitudinem prohibentur. Hac igitur de cauſa et illa etiam quod vertebrae, quum ſpina gibba ſit, in poſteriorem partem convertantur, neceſſe eſt thoracem anguſtum reddi atque acutum; et idcirco interiora cava quae ſpiritui accommodantur minora effici, ut ſic ubi ſpiritum attrahunt corpus minori modo ipſius fruatur. Diximus autem et in libro de difficultate ſpiritus, ubi is minus attrahatur quam opus ſit, neceſſe eſſe breviori temporis intervallo proxime rurſus attrahi quam ſi prius ſecundum naturam attrahi coepiſſet. Spiritus autem qui breviori intervallo attrahitur creber redditur, in quo conſiſtit id genus difficultatis, ſub quo et exiguus et creber cooritur. Sonus autem adjicitur ob anguſtiam juxta fauces et aſperam arteriam. Auget anguſtiam hanc id quod proxime ſubjicit.

Ed. Chart. XII. [370.] Ed. Baſ. V. (612.)

η'.

Καὶ μέντοι καὶ ἀναγκάζονται κατὰ τὸν μέγαν σφόνδυλον λορδὸν τὸν αὐχένα ἔχειν, ὡς μὴ προπετὴς ἔῃ αὐτοῖσιν ἡ κεφαλή. στενοχωρίην μὲν οὖν πολλὴν τῷ φάρυγγι παρέχει καὶ τοῦτο ἐς τὸ εἴσω ῥέπον· καὶ γὰρ τοῖσιν ὀρθοῖσι φύσει δύσπνοιαν παρέχει τοῦτο τὸ ὀστέον, ἢν ἔσω ῥέψῃ, ἔς τ' ἂν ἀναπιεχθῇ. δι' οὖν τὸ τοιοῦτον σχῆμα ἐξεχέβρογχοι οἱ τοιοῦτοι τῶν ἀνθρώπων μᾶλλον φαίνονται ὑγιέες.

Εἰς τἀναντία ἐχόντων τῶν κατὰ τὸν θώρακα σφονδύλων εἰς τὴν ὀπίσω χώραν μεταστάντων ἐν τοῖς κυφώμασιν, ἀναγκαῖόν ἐστιν ὅλον τὸν τράχηλον εἰς τὸ πρόσω ῥέπειν, ὥστε καὶ τὴν κεφαλήν· ἐπίκειται γὰρ τούτῳ· κατ' εὐθὺ τοίνυν συμβήσεται τοῖς κυφοῖς ἐν τοιούτῳ σχήματι βαδίζειν, ἐν ᾧ οἱ πάντες, ὅταν ἐπινεύσωμεν ὅλον τὸν τράχηλον ἅμα τῇ ῥάχει καὶ κάμψαντες ἄμφω καὶ κυρτώσαντες εἰς τοὐπίσω κάτω βλέπομεν εἰς τὴν γῆν. ὅπως οὖν μὴ πάσχωσιν

VIII.

Atqui coguntur etiam cervices juxta magnam vertebram in priorem partem convertere, ne caput in eandem projiciatur, hoc autem fauces reddit admodum anguſtas: nam iis etiam qui natura recti ſunt id oſſis, ſi in interiorem partem inclinetur, ſpiritus difficultatem affert, dum repellatur. Ob id igitur quod ita figurentur, guttur his hominibus magis exſtare videtur quam bene valentibus.

Quum vertebrae quae ad pectus ſunt, ubi gibba ſpina ſit, in poſteriorem partem ſpectent, neceſſe eſt collum in priorem converti, quare et ipſum caput illi etiam e regione ſuperimpoſitum eſt. Accidet igitur iis qui gibbi ſunt ambulare ita figuratis, ſicut ceteris omnibus, quum totum collum ſpinamque inclinant et utrumque curvantes a poſteriori parte gibbi terram ſpectant. Quod ut evitent qui gibbi ſunt, coguntur collum in poſteriorem par-

Ed. Chart. XII. [370. 371.] Ed. Baſ. V. (612.)

οἱ κυρτοὶ τοῦτο, τὸν τράχηλον ἀναγκάζονται πρὸς τοὐπίσω, τοῖς αὐτῶν σφονδύλοις ὀλίγον εἰς τοῦτο συντείνουσιν, ὡς ἂν ἐλαχίστην ἔχουσι τὴν κίνησιν, ἔνθα μάλιστα ταύτην ἀξιόλογον εὑρίσκουσιν, ἐνταῦθα πλεῖστον ἀνανεύουσιν. εὑρίσκεται δὲ κατὰ τὴν τῶν πρώτων δυοῖν σφονδύλων διάρθρωσιν, ἣν πρὸς ἀλλήλους καὶ τὴν κεφαλὴν ἔχουσιν. ὅπερ οὖν τοῖς ἀπαθέσιν ἄγουσιν εἰς ὀπίσω τὴν κεφαλὴν γίνεται σχῆμα, κατὰ τὴν διάρθρωσιν αὐτῆς, τοῦτο τοῖς κυφοῖς [371] ὀρθουμένοις· καὶ δὴ καὶ ὥσπερ οἱ κατὰ φύσιν ἔχοντες ἐξεχέβρογχοι γίνονται κατὰ τὰς εἰς τοὐπίσω τῆς κεφαλῆς ἀνανεύσεις, οὕτως οἱ κυφοὶ κατὰ τὰς ὀρθίας τάσεις. ἐξεχεβρόγχους δηλονότι καλεῖ τοὺς ἐξέχοντας εἰς τοὐπίσω, εἰς τὸ πρόσω τὴν δίκην ἔχοντας. οὕτως δ' εἰκὸς ὀνομάζειν αὐτὸν, ἤτοι τὴν τραχεῖαν ἀρτηρίαν ὅλην ἢ μόνον τὸν φάρυγγα, καὶ τοῦτ' ἔστι τὸ μάλιστα κερχνώδη τὴν ἀναπνοὴν ἐργαζόμενον, ἀμέλει καὶ τοῖς κοιμωμένοις ἐν τοιούτῳ σχήματι μάλισθ' ὑπάρχει τὸ ῥέγχειν. διὰ τοῦτ' ἔφη· καὶ γὰρ τοῖσιν ὀρθοῖσι φύσει δύσπνοιαν παρέχει τοῦτο τὸ ὀστέον, ἢν ἔσω ῥέψῃ, ἐς τ' ἂν ἀναπιεχθῇ τοῦτο τὸ ὀστέον, ἀναφορικῶς εἰπὼν ἐπὶ

tem recurvare, ejus vertebris ut quae minimum moventur ad hos parum conferentibus; ſed qua potiſſimum moveri aliquid poſſunt, valde recurvantur, poſſunt autem qua duae primae vertebrae inter ſe et cum capite committuntur. Quemadmodum igitur figurantur juxta capitis commiſſuram illi qui bene valentes caput in poſteriorem partem compellunt, ita gibbi quum erecti ſunt. Praeterea ut iis qui naturaliter habent guttur exſtat, ubi caput in poſteriorem partem recurvatur, ſic gibbis quum rectum continetur. Vocavit autem ἐξεχεβρόγχους eos quibus in priorem partem exſtat βρόγχος, quo vocabulo veriſimile eſt vel aſperam arteriam totam vel guttur dumtaxat appellaſſe. Hinc autem maxime fit ut ſpiritus cum ſono reddatur, quandoquidem maxime etiam ſtertunt qui ſic figurati dormiunt. Quamobrem ſcribit: nam et iis qui natura recti ſunt id oſſis, ſi in interiorem partem inclinetur, ſpiritus difficultatem affert. Dicit autem id oſſis ad illud referens

Ed. Chart. XII. [371.] Ed. Baſ. V. (612.)

τὸ προειρημένον ἐν ἀρχῇ τῆς ῥήσεως, ἔνθα φησί· καὶ γὰρ δὴ καὶ ἀναγκάζονται κατὰ τὸν μέγαν σφόνδυλον λορδὸν τὸν αὐχένα ἔχειν. ἐξ οὗ τεκμήραιτ' ἄν τις μέγαν σφόνδυλον ὀνομάζειν αὐτὸν τὸν δεύτερον, ὃς χωρῆσαι μάλιστα δύναται πρόσω, καὶ πάλιν ἐντεῦθεν ἀναπιεχθῆναι. πρόδηλον δ' ὅτι καὶ τὴν αὐτὴν χώραν τὴν πρόσω καὶ ἔσω κέκληκε· πρόσω μὲν ὡς βαίνοντα ἐκ τῶν ὀπίσω μερῶν εἰς αὐτὴν σφόνδυλον, ἔσω δ' ὅτι κατὰ τὸ βάθος ἐστὶ τοῦ σώματος, ἐάν τε πρὸς τὴν ἔσωθεν ἐπιφάνειάν τις, ἐάν τε πρὸς τὴν ὀπίσω σκοπῇ.

ϑ'.

Φυμάτιά τε ὡς ἐπὶ τὸ πολὺ κατὰ τὸν πνεύμονά εἰσιν οἱ τοιοῦτοι σκληρῶν φυμάτων καὶ ἀπέπτων· καὶ γὰρ ἡ πρόφασις τοῦ κυφώματος καὶ ἡ ξύντασις τοῖσι πλείστοισι διὰ τοιαύτας συστροφὰς γίνεται, ἤσιν ἂν κοινωνήσωσιν οἱ τόνοι οἱ σύνεγγυς.

Οἷς ἐν τοῖς ἄνω τῶν φρενῶν ἐστὶ τὸ κύφωμα, τούτοις κατὰ τὸν πνεύμονα τὰ φύματά φησιν ὡς τὸ πολὺ γίγνεσθαι.

quod principio orationis propoſuerat, quum inquit: atqui coguntur etiam cervices juxta magnam vertebram in priorem partem convertere. Unde poterat quis conjicere, magnam vertebram appellari ſecundam, quae magis poteſt in priorem partem urgeri atque inde rurſus repelli. Conſtat autem eandem regionem et priorem et interiorem ab ipſo vocari; priorem quidem, quum vertebrae a poſteriori parte in eam erumpant, interiorem quum ſit in profunditate corporis, ſi ſpectetur ſumma pars ſive prior ſive poſterior.

IX.

His tubercula plerumque circa pulmonem ſunt, eaque dura et cruda; plerisque enim ejusmodi tumores ſunt cauſa gibbi et diſtentionis quibus nervi afficiuntur.

Quibus ſpina ſupra ſeptum transverſum gibba eſt, his plerumque ait tubercula fieri circa pulmonem. Con-

Ed. Chart. XII. [371.] Ed. Baſ. V. (612. 613.)

δῆλον οὖν ὅτι καὶ οἷς ἐν ὀσφύϊ τὸ κύφωμα ἢ καὶ τούτοις ἐνταῦθα τὰ φύματα συνίσταται. ὡς τὸ πολὺ δ' εἶπεν, ἐπειδὴ καὶ κατὰ τὴν διάπτωσιν καὶ πληγὴν κυφοῦται ῥάχις, ὥσπερ οὖν καὶ λορδοῦται καὶ σκολιοῦται. διὰ δὲ τοῦ (613) φάναι· καὶ γὰρ ἡ πρόφασις τοῦ κυφώματος καὶ ἡ σύντασις τοῖσι πλείστοισι διὰ ταύτας συστροφὰς γίγνεται, τὴν αὐτὴν γνώμην ἐνδείκνυται κατ' ἀρχάς, ὁπότε λέγει· σφόνδυλοι δὲ οἱ κατὰ ῥάχιν, οἷσι μὲν ὑπὸ νοσημάτων ἕλκονται εἰς τὸ κυφόν. τὸ δ' ἐν τῇ νῦν ῥήσει λελεγμένον, ἧσιν δ' ἂν κοινωσήσωσιν οἱ τόνοι οἱ ξύνεγγυς ἐπὶ τὰ νεῦρα τὴν ἀναφορὰν ἔχει, κατὰ τὸν νῶτόν τε καὶ τοὺς σφονδύλους. ἐγὼ δὲ πρόσθεν ἠτιασάμην τοὺς συνδέσμους τῶν σφονδύλων ἑλκομένους ἑαυτοῖς συνεπισπᾶσθαι καὶ αὐτοὺς τοὺς σπονδύλους. οὐ γὰρ ἡγοῦμαι τὰ ἀπὸ νωτιαίου πεφυκότα νεῦρα τὰ ἑλκόμενα πρὸς τοῦ φύματος ἑαυτοῖς δύνασθαι συνεπισπᾶσθαι τοὺς σφονδύλους· καὶ γὰρ ἀσθενέστερον πολὺ τῆς τοιαύτης δυνάμεώς ἐστι διά τε σμικρότητα καὶ μαλακότητα, διὸ καὶ οὐδὲν ἐκπέφυκεν ἐκ τῶν ὀστῶν, ὥσπερ οἱ σύνδεσμοι. ῥωμαλεώτεροι γὰρ ὄντες οὗτοι καὶ συνεχεῖς τοῖς τόνοις. εἰ δ'

ſtat autem et quibus ad lumbos gibba ſit, in his ea parte tubercula verſari. Dixit *plerumque*, propterea quod et caſu et ictu ſpina gibba redditur et tum in priorem partem tum in latus convertitur. At quum inquit: plerumque enim ejusmodi tumores cauſa gibbi ſunt et diſtentionis, eandem ſententiam tradit, quam a principio, quum ait: ſpinae vertebrae quibus ob morbos trahuntur, ut gibbum efficiant. Quod autem nunc ſcribit, quibus proximi nervi afficiuntur, ad nervos dorſi refertur ac vertebrarum. Nos vero antea cauſati ſumus vertebrarum ligamenta attrahentia, quibuscum et ipſae vertebrae trahuntur. Non enim arbitramur nervos qui a ſpinae medulla oriuntur attrahere ſecum vertebras poſſe, quum et propter exiguitatem et propter mollitiem longe imbecilliores ſint quam ut praeſtare id poſſint, quippe qui ab oſſibus non dependent, quemadmodum ligamenta quae fir-

Ed. Chart. XII. [371. 372.] Ed. Baſ. V. (613.)

ἂν κοινωνήσωσι τοῖς φύμασι, δύνανται οὖν ἐπισπᾶσθαι τοὺς σφονδύλους.

ι'.

Ὅσοισι δὲ κατωτέρω τῶν φρενῶν τὸ κύφωμά ἐστι, τούτοισι νοσήματα μὲν ἐνίοισι προσγίνεται νεφριτικὰ καὶ κατὰ κύστιν, ἀτὰρ καὶ ἀποστάσιες ἐς ἐμπύημά τι καὶ κατὰ κενεῶνας καὶ [372] κατὰ βουβῶνας χρόνιαι καὶ δυσαλθέες καὶ τουτέων οὐδ' ἑτέρη λύει τὰ κυφώματα.

Κατὰ συμπάθειαν δηλονότι τὰ εἰρημένα νοσήματα γίγνεται. συμπάσχει δὲ τὰ ὁμογενῆ καὶ τὰ πλησίον ἅπερ ἐλέγετο κἂν τῷ σύνεγγυς καὶ τὰ κοινὰ καὶ μάλιστα κακοῦντα. δυσεντερία μὲν οὖν καὶ κιρσοὶ κατὰ μετάστασιν τῶν ἐργαζομένων τὰ φύματα χυμῶν γεννώμενα θεραπεύει τὴν κύφωσιν. ὅσα δὲ κατὰ συμπάθειαν γίγνεται νοσήματα, τούτων οὐδὲν ἐστι λυτικῶν τῶν ἐξ ἀρχῆς παθῶν.

miora ſunt et nervis conjuncta; ac ſi tuberculis afficiantur, ſecum trahere vertebras poſſunt.

X.

Verum ex his quibus ſub ſepto transverſo gibba ſpina eſt, nonnullis renum et veſicae vitia ſuperveniunt; ſed et abſceſſus ad ilia et inguina, qui diu manent et aegre ſanantur, quorum neutrum gibbum ſolvit.

Ob conſenſum ſane propoſiti affectus ſuperveniunt. Conſenſu autem afficiuntur et quae ſunt ejusdem generis et quae vicina, quae ſupra ſignificavit, quum proximos dixit: quae communia primo ſunt maxime laeduntur. Tormina igitur et varices, quorum cauſa erat ſuccorum tubercula excitantium transfuſio gibbum curant; ſed ex iis malis quae conſenſus cauſa oriuntur nullum eſt quod priorem morbum depellat.

ια'.

Ἰσχία δὲ τοῖσι τουτέοισιν ἀσαρκότερα γίνεται ἢ τοῖσιν ἄνωθεν κυφοῖσιν.

Οἷς κατ' ὀσφῦν ἐστι τὸ κύφωμα, τούτοις ἰσχία μᾶλλόν ἐστιν ἄσαρκα τῶν κατὰ θώρακα κυφῶν. ἐκ τούτου δὲ δῆλον ὡς καὶ τοῖς κατὰ θώρακα κυφοῖς ἄσαρκα μετρίως γίγνεται τὰ κατ' ἰσχίον, ὡς ἂν κοινωνοῦντα τῇ ῥάχει.

ιβ'.

Ἡ μέντοι σύμπασα ῥάχις μακροτέρη τούτοισιν ἢ τοῖσιν ἄνωθεν κυφοῖσι.

Τοῖς μηδέπω τελείοις κατὰ τὴν ἡλικίην πρὸς τῷ κοινῷ τῆς ἀτροφίας, ἔτι καὶ ἀναύξητα τὰ πεπονθότα μόρια γίνεται, καθότι καὶ πρόσθεν ἐρρέθη. νυνὶ δὲ προστίθησιν ἄλλην διαφορὰν οὐκ ἀπὸ τῆς ἡλικίας, ἀλλ' ἀπὸ τῶν πεπονθότων μορίων· ὅσῳ γὰρ ἐν ἀρχῇ μᾶλλον ἑαυτῆς ἡ ῥά-

XI.

His autem coxae extenuantur magis quam quibus ſpina ſupra gibba eſt.

Quibus ſpina ad lumbos gibba eſt, his coxae graciliores ſunt quam quibus ad pectus. Hinc autem manifeſtum eſt coxas quibus ſpina ad pectus gibba eſt graciles modice reddi propter conſenſum quem habent cum ſpina.

XII.

Tota autem ſpina longior his eſt quam quibus a ſuperiori parte gibba eſt.

His qui aetate nondum robuſta ſunt, praeterquam quod communis eſt macies, accedit quod affectae partes non augentur, quemadmodum et antea dictum eſt. Nunc diſcrimen aliud adjungit non ab aetate, ſed a locis affectis; nam ſpina quo magis verſus ſuum initium vitiatur

Ed. Chart. XII. [372. 373.] Ed. Baſ. V. (613.)

χις πάθῃ, τοσούτῳ μᾶλλον ἀναυξεστέρα γίγνεται, διότι τῆς γενέσεως αὕτη καὶ τῆς αὐξήσεως ἄνωθέν ἐστιν.

ιγ'.

Ἥβη δὲ καὶ γένειον βραχύτερα καὶ ἀτελέστερα καὶ ἀγονώτεροι οὗτοι τῶν ἄνωθεν κυφῶν.

Τῷ κοινῷ λόγῳ τῆς συμπαθείας προσέρχεται διαφορὰ κατὰ τὴν τῶν τόπων φύσιν. ὁ μὲν οὖν κοινὸς λόγος ἐστὶ τὰ πλησιάζοντα τοῖς πεπονθόσι συμπάσχειν. ἴδιος δὲ ἔνθα μὲν ἀναπνευστικὰ μόρια δυσπνουστέρους γίγνεσθαι τοὺς πάσχοντας καὶ κερχνώδεις, ἔνθα δὲ τὰ κατωτέρω τῶν φρενῶν γίνεται βραδυτέρα ἡ ἥβη. ἕπεται δὲ τούτῳ καὶ ἡ κατὰ τὰ γένεια βλάβη.

ιδ'.

[373] Οἷσι δ' ἂν ηὐξημένοισι τὸ σῶμα γένηται κύφωσις, τούτοισιν ἀπαντικρὺ μὲν τῆς νόσου τῆς τότε παρεούσης

eo minus augetur, quum habeat et originem et incrementum ſuperne.

XIII.

Pubes autem et barba ſerius increſcit et minus completur, minus item fecundi fiunt quam quibus gibba eſt pars ſuperior.

Ad communem rationem conſenſus accedit differentia ex natura locorum. Communis igitur ratio eſt ut quae vitiatis locis proxima ſunt conſenſu afficiantur; propria autem, ut ubi hae partes laeduntur quae ſpiritui accommodantur ſequatur, ut ſpiritus aegre et cum ſono moveatur; ubi quae infra ſeptum transverſum pubes ſerius increſcat, laedaturque etiam barba.

XIV.

Sed quibus corpore jam robuſto gibba ſpina fit, his evidenter ſolvit morbum tunc exiſtentem; tempore tamen

Ed. Chart. XII. [373.] Ed. Baf. V. (613.)

κρίσιν ποιέει ἡ κύφωσις. ἀνὰ χρόνον μέντοι ἐπισημαίνει τι τῶν αὐτέων, ὥσπερ καὶ τοῖσι ἑτέροισιν ἢ πλέον ἢ ἔλασσον. ἧσσον δὲ κακοήθως, ὡς τὸ ἐπίπαν μὲν τοιαῦτά ἐστι.

Τὸ ἀπαντικρὶ νῦν εἴρηκεν ἐν ἴσῳ τῷ ἐκ τοῦ φανεροῦ, ὅπερ ἄλλοι τινὲς τῶν παλαιῶν ἄντικρυς εἰρήκασιν· ἐκ μὲν τοῦ φανεροῦ καὶ ὡς εἴπῃ τις αἰσθητοῦ κρίσιν ἡ κύφωσις, ὅπερ ἐπὶ λύσιν λαμβάνει καὶ δόξειεν ἂν τὸ πάθος ἀνῃρῆσθαι παντάπασιν. ὑπολείπεται μέντοι τι λείψανον βραχὺ παροξυνόμενον, ἐπί τε τοῖς κατὰ τὴν δίαιταν ἁμαρτήμασι καὶ ἐν τῇ τῶν ἔξωθεν ἀπάτῃ βλαβερόν.

ιε'.

Πολλοὶ μέντοι ἤδη καὶ εὐφόρως ἤνεγκαν καὶ ὑγιεινῶς τὴν κύφωσιν ἄχρι γήρως, μάλιστα δὲ οὗτοι, οἵσιν ἂν ἐς τὸ εὔσαρκον καὶ πιμελῶδες προτράπηται τὸ σῶμα. ὀλίγοι μὲν ἤδη καὶ τῶν τοιούτων ὑπὲρ ἑξήκοντα ἔτη ἐβίωσαν, οἱ δὲ πλεῖστοι βραχυβιώτεροί εἰσι.

---

ejus aliquid ſe oſtendit, ſicut et iis qui juniores ſunt aut plus aut minus; plerumque autem hi affectus minus maligni ſunt.

Evidenter ἀπαντικρὺ nunc dixit, quod nonnulli alii ex veteribus dixerunt ἄντικρυς. Aperte igitur et, ut dixerit quis, quaſi res manu teneatur, gibba ſpina admittit ea, quae, quum morbus judicatur, id eſt ſolvitur, expelluntur videturque ex toto morbus ſummotus. Superſunt tamen reliquiae parvae quae irritantur, ſi quid vel in ratione victus peccetur vel noxium extrinſecus accurrat.

XV.

Multi quidem gibbi facile et non ſecus quam bene valentes jam uſque ad ſenectutem id mali ſuſtinuerunt, praeſertim quibus corpus carnis plenum et pingue effectum eſt; pauci tamen ex iis ad ſexageſimum annum pervenerunt, plerique enim citius moriuntur.

Ed. Chart. XII. [373.] Ed. Baſ. V. (613.)

Διὰ ῥώμην φύσεως καὶ τοῦ πάθους τὴν ἐπιείκειαν, ἤδη δὲ καὶ τὴν ὅλην δίαιταν, ἣν ὁ πάσχων διαιτᾶται, μέχρι γήρως ἔνιοι τὴν κύφωσιν ὑγιεινῶς ἤνεγκαν.

ισ'.

Ἔστι δ' οἷσι καὶ ἐς τὸ πλάγιον σκολιοῦνται σφόνδυλοι ἢ τῇ ἢ τῇ. ἢ τὰ πάντα μὲν ἢ τὰ πλεῖστα τὰ τοιαῦτα γίνεται διὰ συστροφὰς τῆς εἴσωθεν ῥάχιος.

Εἶπον ἔμπροσθεν ἤδη περὶ τῆς σκολιώσεως ὡς γίνεται κατὰ τὸ πλάγιον μέρος τοῦ σφονδύλου συστάντος φύματός πως καὶ ἐφέλκοντος ἐπὶ ἑαυτὸ τοὺς συνδέσμους, τοῦτο λέγει δὲ καὶ ὁ Ἱπποκράτης, ὅτι διὰ τοὺς τόνους.

ιζ'.

Προσξυμβάλλεται δὲ ἐνίοισι σὺν τῇ νούσῳ καὶ τὰ σχήματα, ἐφ' ὁποῖα ἂν ἐθισθέωσι κεκλίσθαι.

Ob validas vires, ob morbum levem jamque ob univerſam victus rationem, qua vivunt nonnulli, gibbi quaſi ſani ad ſenectutem uſque vitam degunt.

XVI.

Nonnullis etiam vertebrae ab hac vel illa parte in latus moventur. Haec tamen vel omnia vel complura incidunt eo quod ſpina ab interiori parte depravetur.

Antea jam diximus ſpinam ad latus converti orto ab ejus latere tuberculo quod ad ſe traheret ligamenta. Hoc Hippocrates fieri dixit *διὰ τοὺς τόνους*, id eſt per nervos.

XVII.

Quosdam etiam in id vitium compellit una cum morbo habitus ille, quo jacere conſueverunt.

Ed. Chart. XII. [373. 374.] Ed. Baſ. V. (613. 614.)

Τὸ μέντοι τῷ συῤῥεῖν μᾶλλον ὡς ἐπὶ τὸ ταπεινότερον, τὸ δέ τι καὶ τῷ θλίβεσθαι μᾶλλον, ἐφ' ᾧ κατάκειταί τις, εἰς τὴν τοῦ κυφώματος γένεσιν ἡ συντέλεια γίνεται. πρώτη δ' αἰτία καὶ κυριωτάτη τῶν φυμάτων καὶ τῶν ἄλλων νοσημάτων ἡ φυσικὴ τοῦ μέρους εὐπάθεια. δέδεικται γὰρ εἰς τὰ τοιαῦτα μόρια συῤῥεῖν τὰ περιττά.

ιη'.

[374] (614) *Ἀλλὰ περὶ μὲν τούτων ἐν τοῖσι χρονίοισι κατὰ πνεύμονα νοσήμασιν εἰρήσεται. ἐκεῖ γάρ εἰσιν αὐτῶν χαριέσταται προγνώσιες περὶ τῶν μελλόντων ἔσεσθαι.*

Πολλὰ καὶ κατὰ τὸ βιβλίον τοῦτο γράψαι ἐπηγγείλατο μὴ σωζόμενα νῦν, ἃ τάχα μὲν οὐδ' ὅλως ἔγραψεν ἢ οὐκ ἐσώθη, καθάπερ καὶ ἄλλα πολλὰ τῶν παλαιῶν βιβλίων οὐκέτι σώζεται, περὶ ὧν τῆς ἀπωλείας πολλοῖς γέγραπται. περὶ δ' οὖν τῶν κατὰ πνεύμονα χρονίων εἴρηται μὲν πολλὰ κἀν τῷ μείζονι περὶ παθῶν, οὗ καὶ ἡ ἀρχή· ἦν ἡ τοῦ

Concurrit ad ſpinam gibbam efficiendam et quod materia magis confluat ad id quod humilius eſt et quod pars in quam quis cubat magis comprimatur. Prima autem et praecipua cauſa et tuberculi et cujuslibet vitii eſt partium natura morbo opportunior. Demonſtravimus enim ad ejusmodi partes concurrere ea quae ſuperant.

XVIII.

Verum de his agemus, quae de diutinis affectibus pulmonis: ibi enim de his futurorum pulcherrimae prognoſticationes traduntur.

Multa quoque alia in hoc libro ſe pollicetur ſcripturum quae nunc non exſtant. Ea fortaſſe vel non ſcripſit vel interierunt, quemadmodum et multa alia antiquorum volumina quae nunc non exſtant, de quorum interitu complures ſcripſerunt. De diuturnis igitur affectibus pulmonis multa habentur et in majori libro de morbis, cujus

Ed. Chart. XII. [374.] Ed. Baſ. V. (614)

πνεύμονος ἀρτηρίη ἑλκωθῇ. εἴρηται δὲ καὶ τῷ πρώτῳ περὶ νούσων, οὐκ ὀρθῶς ἐπιγεγραμμένῳ, οὗ ἡ ἀρχή· ὃς ἂν περὶ ἰήσιος ἐθέλῃ ἐρωτᾶν ὀρθῶς καὶ ἐπερωτώμενος ἀποκρίνεσθαι. ἀλλ᾽ οὐδ᾽ ἐν ἑτέρῳ τούτων ἃ νῦν ἐπηγγείλατο τελέως διώρισται.

ιθ'.

Ὅσοισι δὲ ἐκ καταπτώσιος ῥάχις κυφοῦται, ὀλίγα δὴ τούτων ἐκρατήθη, ὥστε ἐξιθῦναι.

Ἄχρι νῦν ἔγραψε περὶ τῆς ἔξωθεν αἰτίας διαστρεφομένης ῥάχεως. ὅσα δὲ ἀπὸ τῆσδε τῆς ῥήσεως ἐφεξῆς γέγραπται πάντα περὶ τῶν ἐκ καταπτώσεως ἢ τινος πληγῆς βλαπτομένων τοὺς σφονδύλους εἴρηται καὶ ἔστι τὰ πλεῖστα σαφῆ, πλὴν εἴ που δέοι παραλελειμμένην αἰτίαν προσθεῖναι, καθάπερ καὶ νῦν τὰ ὀλίγα κατὰ τὴν ῥάχιν παραρθρημάτων ἐπανορθοῦται. καίτοι τούτου νῦν δυνάμενος τὴν αἰτίαν ἐν τοῖς ἐφεξῆς αὐτὸς ἐνδείκνυται, γιγγλυμοειδῶς εἰπών,

initium eſt: ſi pulmonis arteria exulceretur; atque etiam in primo libro de morbis, qui non recte ita inſcribitur, cujus initium eſt: qui utique interrogare de curatione recte velit rogatusque reſpondere. Sed in neutro horum plene exſequitur quae hic pollicetur.

XIX.

Quibuscunque candentibus gibba ſpina fit, paucis ita conualeſcit ut dirigatur.

Adhuc ſcripſit de ſpina citra exteriorem cauſam depravata. Quae deinceps adſcribit omnia ſunt de vertebris, quae ob caſum vel ictum aliquem laeduntur. Pleraque autem plena ſunt, niſi ſicubi opus ſit omiſſam cauſam adjicere, quemadmodum et nunc quum afferit, raro luxatam ſpinam reſtitui. Cujus rei cauſam, etſi nunc afferre po-

Ed. Chart. XII. [374.] Ed. Baſ. V. (614.)

τοὺς σφονδύλους συγκεῖσθαι, ὅταν εἴς τις ἐξ αὐτῶν καθ' ὁντιναοῦν τρόπον ἐκπίπτῃ εἰς τὴν τῆς διαρθρώσεως, χαλεπώτατόν ἐστιν ἐμβιβάσαι, πολλῶν μὲν ἀποφύσεων οὐσῶν, πολλῶν δὲ κοιλοτήτων ἐν ἑκάστῃ, τοῦτο γὰρ καὶ δι' αὐτῆς τῆς ὄψεως ἐπὶ τῶν ὀστῶν ἐμάθετε.

κ'.

Τοῦτο μὲν γὰρ αἱ ἐν τῇ κλίμακι κατατάσιες οὐδὲν ἀπέξήθυναν, ὧν γε ἐγὼ οἶδα. χρέονται γὰρ οἱ ἰητροὶ μάλιστα αὐτῇ οὗτοι οἱ ἐπιθυμέοντες ἐκχαυνοῦν τὸν πολὺν ὄχλον. τοῖσι γὰρ τοιούτοισι ταῦτα θαυμάσιά ἐστιν, ἢν ἢ κρεμάμενον ἴδωσιν ἢ ῥιπτούμενον ἢ ὅσα τοῖσι τοιούτοισιν ἔοικε καὶ ταῦτα κληΐζουσιν ἀεὶ καὶ οὐκέτι αὐτοῖσι μέλει ὁκοῖόν τι ἀπέβη ἀπὸ τοῦ χαρίσματος, εἴτε κακὸν εἴτε ἀγαθόν. οἱ μέντοι ἰητροὶ οἱ τὰ τοιαῦτα ἐπιτηδεύοντες σκαιοί εἰσιν, οὓς ἔγωγε ἔγνων. τὸ μὲν γὰρ ἐπινόημα ἀρχαῖον, καὶ ἐπαινέω ἔγωγε σφόδρα τὸν πρῶτον ἐπινοήσαντα καὶ τοῦτο καὶ ἄλλο πᾶν ὅ τι μηχάνημα κατὰ φύ-

tuiſſet, in ſequentibus demonſtrat quum ſcribit, vertebras cardinis modo inſtructas, ita ut ubi una aliqua quovis modo exciderit in ſuam ſedem magno negotio revertatur, quum in ſingulis multi proceſſus ſint, multi ſinus. Hoc autem et adſpectu ipſo in oſſibus didiciſtis.

XX.

Jam vero intenſio quae ſuper ſcalam adhibetur nullum quod ſciam reſtituit. Ea potiſſimum utuntur medici qui apud vulgus videri volunt magnum aliquid moliri. Apud hos enim admirandum eſt, ſuſpenſum hominem intueri vel projectum vel tale quidpiam, ſemperque haec ab ipſo laudantur, cui nec ultra curae eſt quinam affectus ſequatur ex hujusmodi praeſidio, bonusne an malus. Medici vero qui haec ſtudent rudes ſunt, quos quidem novi. Inventio quidem vetuſta eſt, atque ego ſane primum autorem laudo, non ſolum hujus, ſed cujusque machinamenti ſecundum naturam excogitati;

Ed. Chart. XII. [374. 375.] Ed. Baſ. V. (614.)

σιν ἐπενοήθη. οὐδὲν γάρ μοι ἄελπτον, εἴ τις καλῶς σκευάσας κατασείσειε, κἂν ἐξιθύναι ἔνια. αὐτὸς μέντοι κατηισχύνθην πάντα τὰ τοιουτότροπα ἰητρεύειν οὕτω, διὰ τοῦτο ὅτι πρὸς ἀπατεώνων μᾶλλον οἱ τοιοῦτοι τρόποι.

---

[375] Ἐπειδὴ προηγεῖσθαι χρὴ πάσης ἐμβολῆς ἄρθρων ἀντιτάσεις, ὡς ἐδείξαμεν, ἔστιν ἀναγκαῖον καὶπὶ τῶν ὀστῶν, ἔστι καὶπὶ τῶν κατὰ ῥάχιν ὡσαύτως πράττειν. ὅπως μὲν οὖν ἀντιτείνειν ὠφελίμως χρὴ μετὰ τόδε διδάξει· νυνὶ δὲ διαλέγεται περὶ τῶν κακῶς γιγνομένων κατατάσεων, ἔθος ὂν αὐτῷ ποιεῖν οὕτως, ὡς ἤδη δέδεικται διὰ τῶν ἔμπροσθεν. δεῖ γὰρ ἐλέγχειν πρότερον ὅσα κακῶς ποιοῦσιν ἔνιοι τῶν ἰατρῶν, εἶθ' οὕτως διδάσκειν τὰ βελτίω. κατασπώντων οὖν πολλῶν διὰ κλίμακος τὰ κατὰ ῥάχιν παραρθρήματα, μάλιστα μέν φησι μηδ' ἀνύειν τι τὴν ἐπίνοιαν ταύτην. εἰ δ' ἄρα βούλοιτό τις χρῆσθαι, διδάσκει τρόπους οἷς χρῷτο ἄν τις κάλλιστα. πρόκειται γὰρ ἐν τῇ κατατάσει τὴν μὲν ἄνω τάσιν τῆς ῥάχεως ἐργάσασθαι διὰ τῶν δεσμῶν, οὓς περιβάλλομεν πλη-

minime enim diffido, nonnulla reſtitui poſſe, ſi quis recte praeparans concutiat; ſed turpe exiſtimavi ejusmodi morbis ita mederi, quum ejusmodi machinationes magis ſint impoſitorum.

Quoniam, ut oſtendimus, in omnibus articulis reſtituendis praecedere debet in diverſas partes extenſio, eandem quoque ad ſpinae oſſa neceſſe eſt adhibere. Qua vero ratione intendere in diverſa conveniat, in ſequentibus docebit. Nunc de ea intenſione loquitur quae minus recte adhibetur, quod facere conſuevit, ſicut in prioribus jam monſtratum eſt. Primo enim rejicienda ſunt quaecunque male a quibusdam medicis fiunt, deinceps tradenda ſunt ſalubriora. Igitur quum medici complures luxatam ſpinam per ſcalam extendant, aſſerit in primis ejusmodi inventionem nihil proficere; ſi quis tamen ea uti velit, docet quomodo facere id optime poſſit. Ergo in intendenda ſpina propoſitum eſt ſuperiorem partem intendere per

Ed. Chart. XII. [375.] Ed. Baſ. V. (614.)

σίον τοῦ πεπονθότος μέρους, τὴν δὲ κάτω διὰ τοῦ βάρους τοῦ σώματος. πρὸς τοῦτον οὖν ἀποβλέπων τὸν σκοπὸν ἀκολουθήσεις τοῖς ὑπ' αὐτοῦ λεγομένοις ἐφεξῆς· ἔστι γὰρ τὰ πλεῖστα σαφῆ.

κα'.

Ὅσοισι μὲν οὖν ἐγγὺς τοῦ αὐχένος ἡ κύφωσις γένηται, ἧσσον εἰκὸς ὠφελέειν κατατάσιας ταύτας τὰς ἐπὶ κεφαλήν· μικρὸν γὰρ τὸ βάρος ἡ κεφαλὴ καὶ τὰ ἀκρώμια τὰ καταῤῥέποντα. ἀλλὰ τούς γε τοιούτους εἰκὸς ἐπὶ τοὺς πόδας κατασεισθέντας μᾶλλον ἐξιθυνθῆναι. μείζων γὰρ οὕτως καταῤῥοπίη ἐπὶ τὰ τοιαῦτα. ὅσοισι δὲ κατωτέρω τὸ ὕβωμα, τούτοισιν εἰκὸς μᾶλλον ἐπὶ κεφαλὴν κατασείεσθαι. εἰ οὖν τις ἐθέλει κατασείειν, ὀρθῶς ἂν ὧδε σκευάζοι. τὴν κλίμακα χρὴ σκυτίνοισιν ἐν ὑποκεφαλαίοισι πλαγίοισιν ἢ ἐρινεοῖσι καταστρῶσαι εὖ προσδεδεμένοισιν ὀλίγῳ πλέον καὶ ἐπὶ μῆκος καὶ ἔνθεν καὶ ἔνθεν ἢ ὅσον ἂν τὸ σῶμα τοῦ ἀνθρώπου κατάσχοι.

---

vincula prope affectum locum injecta, inferiorem per corporis pondus. Ad hoc itaque ſpectans quae ab ipſo ſubjiciuntur percipies. Maxima enim ex parte clara ſunt.

XXI.

Quibus prope cervices ſpina gibba ſit, par eſt minus ſuccurri intenſione adhibita per caput deorſum demiſſum: parum enim ponderis habent caput et utrimque lati ſcapularum oſſis ſummitas, quum deorſum ſpectant; ſed hos veriſimile eſt in pedes deorſum concuſſos magis reſtitui, in eam enim partem demiſſi majus pondus habent. At quibus infra gibba ſit, hos concutere magis convenit capite deorſum ſpectantes. Si quis igitur concutere velit, rem ſic recte molietur. Scalam ſternere ſcorteis pulvinis transverſis debet vel ex lana bene alligatis ac paullo plus et longitudinis et latitudinis ſcalae tenentibus quam occupet hominis corpus.

Ed. Chart. XII. [375.] Ed. Baſ. V. (614. 615.)

Ἐπειδὴ πάσχει ἡ ῥάχις, ἤτοι πλησίον τῆς ἄνωθεν ἀρχῆς ἢ τῇ κάτω τελευτῇ ἢ κατά τι τῶν μεταξὺ περὶ πρώτης λόγον ποιεῖται βλάβης τῆς ἐγγὺς τοῦ τραχήλου γιγνομένης. ἐπὶ ταύτης οὖν εἴ τις ἐπὶ κλίμακος τὸν πεπονθότα κρεμάσειεν ἐκ τῶν ποδῶν, ὡς εἰώθεισαν ἔνιοι τῶν κατ' αὐτὸν ἰατρῶν ποιεῖν, οὐκ ἂν εἰς τὸ κάτω γένοιτο τάσις ἀξιόλογος, ὡς ἂν μικροῦ βάρους ὄντος τοῦ κατὰ τὸν αὐχένα καὶ τὴν κεφαλήν. εἰ δὲ κάτω τὸ πάθος εἴη, πλησίον τοῦ ἱεροῦ ὀστοῦ, μάλιστα ἐλπίσειέ τις ἀνύσαι τὴν κατάτασιν, ἐξ οἵ γραφή τις ἄν πως κάλλιστα.

κβ'.

Ἔπειτα τὸν ἄνθρωπον ὕπτιον κατακλῖναι ἐπὶ τὴν κλίμακα χρὴ, κἄπειτα προσδῆσαι μὲν τοὺς πόδας παρὰ τὰ σφυρὰ πρὸς τὴν κλίμακα μὴ διαβεβῶια ἐν δεσμῷ εὐόχῳ (615) μὲν, μαλθακῷ δέ. προσδῆσαι δὲ κατωτέρω ἑκάτερον τῶν γουνάτων καὶ ἀνωτέρω προσδῆσαι καὶ κατὰ τὰ ἰσχία. κατὰ δὲ τοὺς κενεῶνας καὶ κατὰ τὸ στῆθος χαλαρῇσι ταινίῃσι περιβαλέειν οὕτως, ὅκως μὴ κωλύωσι τὴν κα-

Quum ſpina vel prope initium laedatur vel prope finem vel in medio ſpatio, primo agit de noxa ipſius prope cervices. Ergo in hoc caſu, ſi quis ſuper ſcalam a pedibus hominem ſuſpendat, ſicut nonnulli medici Hippocratis ſedulo conſueverunt, nulla fere intenſio fiet ab inferiori parte, quum parum ponderis ſit in capite et in cervicibus; ſed ſi in ima vitium ſit prope os ſacrum, maxime ſperare quis poterit, hujusmodi vim ab inferiori parte abunde futuram. Subdit deinceps qua ratione id optime fiat.

XXII.

Poſt haec homo ſuper ſcalam reſupinetur, dein pedibus non divaricatis juxta talos ad ſcalam alligetur vinculo quod quidem firmiter ac ſine compreſſu teneat, ſed molle ſit; vinciatur item et ab inferiori et a ſuperiori parte circa utrumque genu et tum circa coxas circa

Ed. Chart. XII. [375. 376.] Ed. Baſ. V. (615.)

τάσεισιν. τὰς δὲ χεῖρας παρὰ τὰς πλευρὰς περιτείναντα προσκαταλαβεῖν πρὸς αὐτὸ τὸ σῶμα καὶ μὴ πρὸς τὴν κλίμακα.

---

[376] Σαφῶς διερχόμενος ἅπαντα εὔοχον καλεῖ δεσμῶν τὸν εὐοχοῦντα, τουτέστιν ἀσφαλῶς τε ἅμα καὶ ἀθλίπτως.

κγ'.

Ὅταν δὲ κατασκευάσῃς οὕτως, ἀνέλκειν τὴν κλίμακα καὶ πρὸς τύρσιν τινὰ ὑψηλὴν ἢ πρὸς ἀέτωμα οἴκου.

Τύρσιν μὲν τὸν πύργον ἀκούειν χρὴ, οἴκου δὲ ἀέτωμα τὸ ὑψηλότατον μέρος· οὕτω γὰρ ὀνομάζουσι τὰς εἰς ὕψος ἀνατάσεις τῆς ὀροφῆς τριγωνοειδεῖς. εἰ μὲν γὰρ ἡλιαστήριον ποιήσει τις ἀντὶ κεράμου, ποιήσει τὴν ὀροφὴν ἐπίπεδον, οὐκ ἀλέαν ἴσχουσαν ἐργάσεται. κέραμον δὲ ἐπιτιθεὶς εὐαπόῤῥυτον αὐτῇ τὸ ὕδωρ τὸ ὄμβριον εἶναι βούλεται. κατὰ τοῦτ' οὖν ὑψηλὸν ἐργασάμενος τὸ μέσον τῆς ὀροφῆς κατὰ

ilia inſuper et pectus, habena ita lata ut concuti non prohibeatur, ſed brachia juxta latera extenſa ad ipſum corpus, non ad ſcalam religentur.

Exprimit omnia evidenter; vinculum quod firmiter ac ſine compreſſu teneat εὔοχον dixit.

XXIII.

Scala ita praeparata attrahenda eſt ad turrim altam vel ad culmen domus.

Turrim dixit τύρσιν, culmen vero domus, id eſt altiſſimam partem ipſius ἀέτωμα. Ita enim appellant eam tecti partem quae attollitur in ſpeciem trianguli. Si quis etiam ſolarium faciat, pro tegulis tectum ſtruet planum, quod calorem non prohibeat; ſed ſi tegulae imponantur, propoſitum eſt ut pluvialis aqua poſſit effluere. Hac igi-

Ed. Chart. XII. [376.] Ed. Baf. V. (615.)

τὸ μῆκος ἐκ τῶν ὀπίσω πρὸς τὸ πρόσω τεταγμένον, οὕτω γὰρ ἐντεῦθεν ἐφ' ἑκατέρων τῶν πλαγίων τοίχων καταγῇ τὴν ὀροφὴν ταπεινὸς μόνην, ὥσπερ τινὰς δὲ τὰς πτέρυγας καθημένας· οὕτω γὰρ ἐοίκασιν εἰκάσαντες οἱ παλαιοὶ καλέσαι τοῦτο τῆς οἰκίας τὸ μέρος, ἀετὸν δὲ καὶ οἶδε, καθάπερ καὶ ὁ Πίνδαρός φησιν ἐν ταῖς Πλειάσιν·

Χρύσεα δ' ὀξύπτερα αἰετοῦ ἄειδον κληδόνες.

καὶ Εὐριπίδης ἐν Ὑψιπύλῃ φησίν·

Ἰδοὺ πρὸς αἰθέρα ἐξαμμιλλῆσαι κόραι.
γραπτοὺς οἷσι πρόσβλεπον τύπους.

ὅτι δὲ καὶ ἡ τύρσις πύργον σημαίνει μάρτυς ἀξιόπιστος καὶ ὁ Διοκλῆς ὁ Καρύστιος ταύτην τὴν νῦν εἰρημένην λέξιν παραφράζων ἐν τῷ περὶ ἐπιδέσμων βιβλίῳ κατὰ τόνδε τὸν τρόπον ἔγραψεν· ἀνέλκειν δὲ τὴν κλίμακα πρὸς πύργον ὑψηλὸν ἢ οἰκίας δετόν.

---

tur de cauſa medium tectum in longitudinem a priori et poſteriori parte attollitur, utrimque autem a parietibus humile eſt. Majores igitur ad exemplum alarum demiſſarum hanc partem domus ab aquila videntur ἀετὸν appellaſſe, quo vocabulo tectum appellat et Pindarus in Pleiadibus ubi ait:

Χρύσεα δ' ὀξύπτερα αἰετοῦ ἄειδον κληδόνες.

Et Euripides in Hypſipyle quum inquit:

Ἰδοὺ πρὸς αἰθέρα ἐξαμμιλλῆσαι κόραι
γραπτοὺς οἷσι πρόσβλεπον τύπους.

Quod τύρσιν turrim ſignificet idoneus teſtis Diocles Caryſtius, qui juxta verba (παράφρασιν Graeci dicunt) locum hunc exponit in libro de faſciis. Inquit igitur, attrahenda ſcala eſt ad turrim altam vel ad culmen domus: ubi turrim, quam Hippocrates τύρσιν, πύργον dixit.

Ed. Chart. XII. [376.] Ed. Baſ. V. (615.)

κδ'.

Τὸ δὲ χωρίον ἵνα ὄκου κατασείεις, ἀντίτυπον ἔστω. τοὺς δὲ ἀνατείνοντας εὐπαιδεύτους χρὴ εἶναι, ὅκως ὁμαλῶς καὶ καλῶς καὶ ἰσορρόπως καὶ ἐξαπινέως ἀφήσωσι καὶ μήτε ἡ κλῖμαξ ἑτερόρροπος εἰς γῆν ἀφίξεται μήτε αὐτοὶ προπετέες ἔσονται.

Πρὸς ὑψηλόν τι τὴν ἀρχὴν τῆς κλίμακος ἀναλαβὼν ἔχουσαν ἐπιδεδεμένον, ὡς εἴρηκε, τὸν ἄνθρωπον ἀφίησιν ἀθρόον ἐπ' ἐδάφους, ἵνα προσπεσούσης τῆς διαγηθείσης σφοδρῶς ἡ ῥάχις εἰς τὴν κατὰ φύσιν χώραν ἐμβιβάσῃ τὸν παρηρθρηκότα σφόνδυλον. εὔλογον οὖν ἐν τούτῳ τῷ ἔργῳ σκληρὸν εἶναι καὶ ἀντίτυπον τὸ ἔδαφος. εἰ γὰρ οὕτως εἴη μαλακὸν, ὡς εἰκὸς, ἐκλύει τὴν διάσεισιν τῆς ῥάχεως, οὐδὲν ἂν γένοιτο πλέον.

κε'.

Ἀπὸ μέντοι τύρσιος ἀφιεὶς ἢ ἀπὸ ἱστοῦ καταπεπηγότος καρχήσιον ἔχοντος ἔτι μᾶλλον ἄν τις σκευάσαιτο, ὥστε

XXIV.

Locus autem ſuper quem concuti homo debet, renitatur; qui vero ſurſum attrahunt non ignari ſint, ut aequaliter, recte et in neutram partem inclinantes repenteque demittant, ne ſcala in alteram partem inclinata ad terram perveniat, neve ipſi in priorem partem convertantur.

Summam ſcalam a ſublimiori loco ſuſpenſam, quae, ut dictum eſt, alligatum hominem habeat, in pavimentum ſubito demittit ut cadente hac atque concuſſa recondantur ſpinae vertebrae ſuo loco motae. Merito autem ad hunc uſum duro et renitenti pavimento eſt opus; nam ſi ita molle ſit ut cedat, ſpinae concuſſus remittitur ac ſine ullo effectu res erit.

XXV.

Ubi vero a turri demittas vel a malo qui carcheſium habeat annexum, commodius adhuc rem parabis, ſi a

Ed. Chart. XII. [376. 377.] Ed. Baſ. V. (615.)

ἀπὸ τροχιλίης τὰ χαλώμενα εἶναι ὕπλα ἢ ἀπὸ ὄνου. ἀηδὲς μὴν καὶ μακρηγορεῖν περὶ [377] τούτων. ὅμως δὲ ἐκ τουτέων ἂν τῶν κατασκευῶν μάλιστα ἄν τις κατασεισθείη. εἰ μέν τι κάρτα ἄνω εἴη τὸ ὕβωμα, δέοι δὲ κατασείειν, πάντως ἐπὶ πόδας λυσιτελέει, ὥσπερ ἤδη εἴρηται. πλείων γὰρ οὕτω γίνεται ἡ καταῤῥοπίη ἐπὶ ταῦτα.

Ἐπειδὴ τὴν κλίμακα πρὸς ὑψηλόν τι χωρίον ἀναταθεῖσαν ἀφεῖσθαι χρὴ κατὰ τῆς γῆς ἐξαίφνης τε καὶ ὁμαλῶς καὶ ἰσορῥόπως, ἄμεινον εἶναί φησι τοὺς δέσμους αὐτῆς περὶ τροχιλίας ἑλίττεσθαι· καὶ γὰρ εὔδρομον τὴν κίνησιν οὕτως ἐργασόμεθα καὶ ὁμαλὴν καὶ ἰσόῤῥοπον. ἔμπροσθεν τύρσεως καὶ ἀετώματος οἴκου μνημονεύσας μόνον, νῦν καὶ ἱστὸν προσέθηκε διπλοῦν, οὗ δῆλον ὅτι τὸ μέγιστόν τε καὶ ὄρθιον ξύλον ὡς κατὰ τὸ ἄνω πέρας ἐπιτίθεται, ἄλλο δὲ ξύλον θέσιν ἐγκαρσίαν ἔχον ὡς πρὸς τὸν ἱστὸν, ἐξ οὗ ξύλου τὸ ἱστίον ἐξῆπται. διαφέρει γὰρ ἱστίον εἰπεῖν ἐν ταῖς

trochlea vel ab axe funes demittas. Sed moleſtum eſt in his longius immorari. Per has tamen machinationes concuti quis maxime poterit. Quod ſi ſpina in parte admodum ſuperiori gibba fuerit, atque omnino concuti hominem oporteat, expedit in pedes concuti, ut jam dictum eſt; hoc ſiquidem pacto magis in inferiorem partem compelletur.

Quum ſcala ex ſublimiori aliquo loco ſuſpenſa in terram demittenda ſit, repente aequaliter et in neutram partem inclinata ſatius eſt, inquit, vincula ipſa circa trochleas volvi: ſic enim facile, aequaliter et ſine inclinatione ducentur. Antea turris tantum et cacuminis domus mentionem fecit, nunc malum adjungit quem *ἱστὸν* appellat ſignificans maximum atque erectum tignum, cui ſummo ſuperpoſitum eſt aliud lignum transverſum, a quo ſuſpenditur velum quod *ἱστίον* Graece nuncupatur. Differunt enim inter ſe *ἱστίον* trium ſyllabarum et *ἱστὸς* dua-

Ed. Chart. XII. [377.] Ed. Baſ. V. (615.)

τρισὶ συλλαβαῖς ἢ ἑστὸν ἐν δυοῖν. ἑστὸς μὲν γὰρ, ὡς εἶπον, ὀνομάζειαι τὸ κατὰ τῆς νηὸς ἐμπεπηγὸς ὀρθὸν ξύλον, ἑστίον δὲ ἡ φυσωμένη πρὸς τῶν ἀνέμων ὀθόνη. τοὺς δὲ κατὰ τὴν ἄνω τελευτὴν τοῦ ἑστοῦ κάλους ὀνομάζουσι καρχησίους. ἔστ' ἂν οὖν ἑστῷ μέλλῃ χρῆσθαι πρὸς τὸ κρεμάσαι τὴν κλίμακα διὰ τροχιλιῶν τε καὶ καρχησίων, ἐργάζου τοῦτο. χεῖρον δ' οὐδὲν εἶναί φησι καὶ ὀνίσκοις εἰς τὰ τοιαῦτα χρῆσθαι. καλεῖ δ' οὕτως δηλονότι τοὺς ἄξονας.

κστ'.

Ἁρμῆσαι μὲν χρὴ κατὰ μὲν τὸ στῆθος πρὸς τὴν κλίμακα προσδήσαντα ἰσχυρῶς, κατὰ δὲ τὸν αὐχένα ὡς χαλαρωτάτῃ ταινίᾳ, ὅσον τοῦ κατορθοῦσθαι εἵνεκα καὶ αὐτὴν τὴν κεφαλὴν κατὰ τὸ μέτωπον προσδῆσαι πρὸς τὴν κλίμακα· τὰς δὲ χεῖρας παρατανύσαντα πρὸς τὸ σῶμα προσδῆσαι, μὴ πρὸς τὴν κλίμακα. τὸ μέντοι ἄλλο σῶμα ἄδετον εἶναι χρὴ, πλὴν ὅσον τοῦ κατορθοῦσθαι εἵνεκα ἄλλῃ καὶ ἄλλῃ ταινίᾳ χαλαρῇ περιβεβλῆσθαι.

rum. Hoc ſiquidem vocabulo malus ſignificatur, qui, ut retuli, tignum eſt quod in navi erectum affigitur, ſed illo linteum quod a ventis inflatur; funes vero in ſummo malo carcheſii nominantur. Ergo ubicunque ad ſuſpendendam ſcalam malo utendum eſt, id efficiendum eſt per trochleas et carcheſios; nihil etiam deterius eſſe affirmat ad haec uti axiculis, quos appellat ὀνίσκους.

XXVI.

Fulcire autem pectus debes ad ſcalam fortiter alligans atque item cervices habena valde laxa, quatenus quod exceſſit in ſuum locum revertatur; atque inſuper caput a fronte ad ſcalam devincire ac brachia extenta ad corpus, non ad ſcalam; reliquum tamen corpus ſolutum ſit; niſi quod pluribus locis habena laxa circumdetur, quatenus quod exceſſit in ſuum locum revertatur.

Ed. Chart. XII. [377. 378.] Ed. Baſ. V. (615. 616.)

Λέλεκται μοι καὶ πρόσθεν ἔρματα τὰ ἐρείσματα καὶ ἐρμάσαι τὸ ἐρεῖσαι, καὶ τοῦτ' εἶναι καὶ τὸ παρὰ τῷ ποιητῇ γεγραμμένον, ὑπὸ δ' εἴρεον ἔρματα νηῶν.

κζ'.

Ὅκως δὲ μὴ κωλύωσιν οὗτοι οἱ δεσμοὶ τὴν κατάσεισιν σκοπέειν τάδε. σκέλεα πρὸς μὲν τὴν κλίμακα μὴ προσδεδέσθω, πρὸς ἄλληλα δὲ ὡς κατὰ τὴν ῥάχιν ἐθύρροπα ἔῃ, (616) *ταῦτα μέντοι τοιουτοτρόπως ποιητέα, εἰ πάντως δέοι ἐν κλίμακι κατασεισθῆναι. αἰσχρὸν μέντοι καὶ ἐν πάσῃ τέχνῃ καὶ οὐχ ἥκιστα ἐν ἰητρικῇ πολὺν ὄχλον καὶ πολλὴν ὕψιν καὶ πολὺν λόγον παρασχόντα, ἔπειτα μηδὲν ὠφελῆσαι.*

Ἐὰν μὲν μηδ' ὅλως ὁ κατασειύμενος ἑρμασθῇ τὸ σῶμα, πρὸς τὴν κλίμακα δεθεὶς μόνον ἐκ τῶν ἄνω μερῶν [378] *ἐκκυλισθήσεται ῥᾳδίως εἰς τὰ πλάγια μέρη. καταδεθεὶς δὲ αὖ πάλιν ἰσχυρῶς, ὡς ἀκίνητος εἶναι πρὸς τῆς κατασείσεως*

In ſuperioribus quoque oſtendimus *ἔρματα* dici ab Hippocrate *fulcimenta* et *ἑρμάσαι fulcire;* atque hoc eſſe quod a poeta ſcribitur: *ὑπὸ δ' εἴρεον ἔρματα νηῶν.*

XXVII.

Sed videndum eſt ne hujusmodi vincula concuti hominem non ſinant. Crura vero non ad ſcalam, ſed inter ſe vincienda, ut e regione ſpinae dependeant: haec ſiquidem ita admovere convenit, ſi homo ſuper ſcalam omnino concutiendus ſit. Turpe autem eſt in omni arte nec minus etiam in medicina ſine ullo profectu magnam adhibere turbam, magnum ſpectaculum polliceri et multa verba facere.

Quod ſi homo qui concutitur nullis corporis partibus exceptis ſuperioribus ad ſcalam vinciatur, facile in latera devolvitur; at rurſus ſi fortiter alligetur, ut immobilis ſit, concuſſu nihil levatur. Ambo haec igitur ſpectantes

Ed. Chart. XII. [378.] Ed. Baſ. V. (616.)

οὐδὲν ὀνήσεται. χρῆται γὰρ ἀμφοτέρων στοχαζόμενος, οὕτω δεσμεῖν αὐτὸν, ὡς μήτε ἀκίνητον εἶναι κατασειόμενον ὑπὸ τῆς τῶν δεσμῶν ἀσφαλείας σφιγγόμενον, ἀλλὰ μήτε χαλαρὸν οὕτως ἐπικεῖσθαι, ὡς κυλισθήσεσθαι εἰς τὰ πλάγια. κατεγνωκὼς δὲ τῆς τοιαύτης ἀντιτάσεως ὁ Ἱπποκράτης ὅμως ἔγραψεν, ὡς ἂν κάλλιστα σκευάσειεν αὐτὴν, ἐπειδὴ τοὺς χρωμένους ἑώρα, μηδ' ὅλως κάλλιστα ποιεῖν τὸ ἔργον ἐπισταμένους, ἀλλὰ καὶ ὡς εἶπεν, οὐδὲν γάρ μοι ἄμεμπτον, εἴ τις καλῶς σκευάσας κατασείσειε κἂν ἑξῆς συνθεῖναι ἐνια.

κή'.

Χρὴ δὲ πρῶτον μὲν γινώσκειν τὴν φύσιν τῆς ῥάχιος, οἵη τίς ἐστιν, ἐς πολλὰ γὰρ νοσήματα προσδέοι ἂν αὐτῆς.

Ἐπισημαίνεσθαι βούλομαι κἂν ἅπαξ που καὶ ἀναμνῆσαι τῶν εἰρημένων τέ μοι κατὰ τὸ πρῶτον εὐθέως βιβλίον περὶ τῆς Ἱπποκράτους ἀνατομῆς, ἐν ᾧ γνώσῃ τὴν ἀναισχυντίαν τῶν ἐμπειρικῶν ἰατρῶν τολμησάντων Ἱπποκράτην

ita hominem vinciemus, ut neque immobilis ſit, quum concutitur ſub vinculis firmiter adſtrictus; neque ita laxe ſuper ſcalam contineatur ut in latera devolvatur. Hippocrates autem hujusmodi extendendi rationem contemnens, quo tamen modo optime adhiberi poſſet adſcripſit. Quandoquidem vidit, qui ea utuntur neſcire ipſam optime adhibere; huc accedit quod ſuperius dixit: minime enim diffido nonnulla reſtitui poſſe, ſi quis recte praeparans extendat.

XXVIII.

In primis quidem cognoſcendum eſt quae ſit natura ſpinae, ad multos enim morbos ea opus eſt.

Notare ſemel alicubi volumus atque in memoriam educere quae a nobis dicta ſunt a principio in primo libro de ratione corporum incidendorum Hippocratis, in quo empiricorum impudentiam cognoſces, qui audent Hip-

Ed. Chart. XII. [378.] Ed. Baſ. V. (616.)

καλεῖν ἐμπειρικόν. ἐμπειρικώτατος μὲν γὰρ ἦν ἁπάντων τῶν κατὰ τὴν ἰατρικὴν τέχνην καὶ μάλιστα τῇ πείρᾳ προσέχων νοῦν καὶ πάντα ταύτῃ δοκιμάζων, ἵνα δ' ὅλως ἀφίκηται πολλαῖς ἐπινοίαις χρώμενος λογικαῖς ἀνατομήν τε μάλιστα σπουδάζων, ὡς ὠφελοῦσαν ἱκανῶς τὴν τέχνην, ὅπερ καὶ νῦν ἐδήλωσε σαφῶς, τὴν φύσιν τῆς ῥάχεως ἀξιῶν γινώσκειν, ἣν ἄχρηστόν φασιν οἱ ἐμπειρικοὶ, καθάπερ καὶ τῶν ἄλλων ἁπάντων μορίων.

κθ'.

Τοῦτο μὲν γὰρ τὸ πρὸς τὴν κοιλίην ῥέπον οἱ σφόνδυλοι ἐντὸς ἄρτιοί εἰσιν ἀλλήλοισι.

Τῶν σφονδύλων τὸ μὲν ὀπίσω μέρος ἀπόφυσιν ὀξεῖαν ἔχει χονδρώδη κατὰ τὸ πέρας, ἣν ὀνομάζουσιν ἄκανθαν, τὸ δ' ἀντικείμενον τούτῳ τὸ πρόσω τε καὶ ἐντὸς, ἑκάτερον μὲν γὰρ ὀνομάζεται, χόνδρῳ μὲν ἐπαλείφεται καὶ αὐτό. πε-

pocratem appellare empiricum. Fuit enim omnium qui medicinam exercuerunt maxime experiens maximeque experimentorum ſpectator, iisque omnia comprobavit quae multis fretus rationalibus argumentis invenit, potiſſimumque rationi corporum incidendorum operam dedit, ut quae mirum in modum ad artem conferat, quod nunc aperte docet, quum ſpinae naturam intelligi velit, quam empirici non ſecus quam ceterarum partium omnium eſſe inutilem dicunt.

XXIX.

Vertebrae igitur ab interiori parte, qua ad ventrem ſpectant, inter ſe ſunt aequales.

Vertebrae a poſteriori parte proceſſum exigunt acutum extrema parte cartilaginoſum, qui ſpina nuncupatur; a contraria vero, priori ſcilicet ſive interiori, utroque enim vocabulo nuncupatur, aeque cartilaginem ſuperje-

Ed. Chart. XII. [378. 379.] Ed. Baſ. V. (616.)

ριφερὲς δέ ἐστι καὶ λεῖον οὐδεμίαν ὀξεῖαν ἀπόφυσιν ἔχον, οὐδ' ὅλως ἐξοχήν τινα βραχυτάτην, ὥσπερ ὀπίσω τε καὶ τῶν πλαγίων ἔχει. ὁποῖαι μὲν οὖν εἰσιν ἑκάστῳ τῶν σφονδύλων αἱ ἀποφύσεις, ἐπί τε τῶν σκελετῶν εἶπεν, εἰρημένον νῦν περὶ τῶν σφονδύλων, οὓς κατὰ τὰ ἔνδον μέρη κέκληκεν ἀρτίους, τουτέστιν ἀπηρτισμένους αὐτῶν τε καθ' ἑαυτῶν ἕκαστον, ἐν τε τῇ πρὸς ἀλλήλους ὁμιλίᾳ, διότι γὰρ οὔτ' ἐξοχή τις αὐτοῖς ἐστιν ἐνταῦθα καὶ κατὰ πᾶν ἀλλήλοις ἐφαρμόττουσιν, ἀρτίους αὐτοὺς ὠνόμασεν εἶναι πρὸς ἀλλήλους, οἷον ἀπηρτισμένους ὁμιλοῦντας.

λ'.

[379] Καὶ δέδενται πρὸς ἀλλήλους δεσμῷ μυξώδει καὶ νευρώδει ἀπὸ χόνδρων ἀποπεφυκότι ἄχρι πρὸς τὸν νωτιαῖον.

Ἀκριβῶς πάνυ διηγήσαιτο τὴν φύσιν τῆς συμβολῆς τῶν σφονδύλων. οὐ γὰρ διὰ πολλοῦ, καθάπερ ᾠήθησάν τινες,

ctam habent, qua rotundae ſunt et leves nullumque acutum proceſſum exigunt, neque prorſus eminentiam aliquam vel breviſſimam, quemadmodum et a poſteriori parte et a latere. Quales igitur ſingularum vertebrarum proceſſus ſint ex cadavere arido intelliges. Ex quo planum etiam fiet id quod ait, vertebras ab interiori parte eſſe aequales, hoc eſt aequari ſingulas qua inter ſe junguntur. Quoniam igitur ea parte nullum proceſſum habent aptiſſimeque inter ſe conveniunt, aequales inter ſe eſſe dixit, hoc eſt aequari ea parte qua cohaerent.

XXX.

Alligantur autem inter ſe mucoſo ac nervoſo ligamento, quod a cartilagine orſum uſque ad ſpinae medullam progreditur.

Naturam commiſſurae vertebrarum ad unguem indicat. Non enim alte admodum unitatem coeunt a parte

Ed. Chart. XII. [379.] Ed. Baſ. V. (616.)

ἑνοῦνται καὶ συμφύονται κατὰ τὴν ἔνδον χώραν, οὕτω γὰρ ἂν ταῖς ἐπὶ πλέον ἀνακλάσεσι πρὸς τοὐπίσω τῆς ῥάχεως ἤτοι τελέως ἀντέλεγον ἢ διεσπῶντο. νυνὶ δὲ, οὐ γὰρ συμπεφύκασιν, ἀλλ' ὡς ἔχει δεσμῷ δέδενται μυξώδει καὶ νευρώδει, διὰ τοῦτο κίνησίν τινα βραχεῖαν ἔχουσι καὶ κατὰ τοῦτο τὸ μέρος, οὐκ ἂν ἔχοντες, εἰ συναποπέφυκεσαν· οὔτε δεσμὸς αὐτῶν ἐξήκει μέχρι τοῦ νωτιαίου. περίκειται γὰρ ἐν κύκλῳ τούτῳ μετὰ τὴν τραχεῖαν μήνιγγα. πρώτης μὲν οὖν αὐτὸν περιληφυίας τῆς δέσεως, ὥσπερ καὶ τὸν ἐγκέφαλον, ἐφ' ὧν δὲ παχείας εἶπεν ἔξωθεν τοῦ προειρημένου δεσμοῦ. περιττότερον γὰρ τοῦτο τῷ νωτιαίῳ παρὰ τὸν ἐγκέφαλον ὑπάρχει σκέπασμα προβλήματος, ὅπως μὴ πονήσῃ προσκόπτων τοῖς ὀστοῖς τῶν σφονδύλων ἐν τῇ κινήσει τῶν ὀστῶν τῆς ῥάχεως. αὐτοῖς δὲ τοῖς σφονδύλοις ὁ σύνδεσμος μυξώδης ἐγένετο, τουτέστι γλίσχρος καὶ οἷον φλεγματώδης ἕνεκα τοῦ καὶ τὴν κίνησιν ἑτοιμοτέραν εἶναι τοῖς σφονδύλοις καὶ αὐτὸν τὸν σύνδεσμον ἀπαθέστερον· ἀπορρήγνυται γὰρ ἐν ταῖς κινήσεσι τὰ ξηρὰ καὶ τὰ ἄνικμα. διὰ τοῦτο καὶ τοὺς ἰμᾶν-

interiori, ſicut nonnulli exiſtimarunt; nam ſicubi in poſteriorem partem plurimum curvanda ſpina eſſet, vel ex toto retinerentur vel divellerentur. Nunc autem res aliter habet, quum non coeant in unitatem, ſed veluti vinculo alligentur mucoſo nervoſoque, atque idcirco leniter aliquid hac parte moventur, qua nullo modo motae fuiſſent, ſi continuarentur. At neque vinculum earum ad ſpinae medullam uſque pertinet, ſed interjecta aſpera membrana in orbem medullam ipſam complectitur, quae non ſecus ac cerebrum tenui membrana primo velatur, poſtea craſſiori; ſed praeter ea quae in cerebro ſunt ſpinae medulla ſepta eſt hoc tegmento, quod vim habet prohibendi ne doleat, quum vertebrarum oſſibus offenditur, ubi ſpina movetur. Circa ipſas autem vertebras innatum eſt vinculum mucoſum, hoc eſt glutinoſum et quaſi pituitae plenum, ut vertebrae promptius moveantur ipſumque vinculum minus laedatur. In vehementi enim motu abrumpuntur quae ſicca ſunt et ſine humore, atque id-

Ed. Chart. XII. [379.] Ed. Baſ. V. (616.)

τας ἀλείφουσιν, οἷς ἐπὶ τῶν ὀχημάτων τε καὶ αὐτῶν τῶν ὑποζυγίων χρῶνται. καίτοι τὸν αὐτὸν τοῦτον τὸν μυξώδη χυμὸν ἐν ἅπασι τοῖς ἄρθροις εὑρεῖν ἐστι διὰ τὴν αὐτὴν αἰτίαν.

λα'.

Ἄλλοι δέ τινες τόνοι νευρώδεες διαντέοι, πρόσφυτοι παρατέτανται ἔνθεν καὶ ἔνθεν αὐτῶν.

Διαντέους μὲν ἀκούειν χρὴ τοὺς ἄνωθεν κάτω διήκοντας ἐπὶ πολὺ μακρούς. οὐ μὴν ἔχω γε γράφειν διὰ τί νευρώδεις εἶπε τοὺς παρατεταμένους τόνους τῶν σφονδύλων. οὐ γὰρ νευρώδεις εἰσὶν, ἐχρῆν εἰπεῖν, ἀλλὰ νεῦρα πλὴν τοὺς ἰσχυροὺς νευρώδεις ὠνόμασε. παρατείνανται δὲ νεῦρα σαφῶς μὲν ἑκάστῳ σφονδύλῳ καθ' ὅλον τὸν θώρακα, περὶ ὧν ἄνωθεν γενέσεως ἐν ταῖς ἀνατομαῖς ἐθεάσασθε δεικνύντος μου, κατὰ μὲν τὸν τράχηλόν τε καὶ τὴν ὀσφῦν ἐπίκεινται μύες τοῖς σφονδύλοις, καθ' ὃν φέρονται τὰ νεῦρα.

circo qui loris ad vehicula et jumenta utuntur ipſa inungunt, quamquam ejusmodi mucoſus humor in omnibus articulis ob eandem cauſam invenitur.

XXXI.

Quaedam alia etiam ligamenta nervoſa perpetua adnaſcuntur et hinc atque hinc a lateribus ipſarum intendunt.

Perpetua ligamenta intellexit quae a ſuperiori parte deorſum feruntur plurimum longa. Nihil tamen habeo quod ſcribam, quamobrem ligamenta quae juxta intendunt nervoſa dixerit. Dicendum enim fuit non nervoſa, ſed nervi, niſi ſi valida appellavit nervoſa. Nervi autem evidenter per univerſum thoracem juxta unamquamque vertebram intendunt, quorum ſuperiorem originem in corporibus incidendis demonſtravimus; ad cervices autem et lumbos ſuper vertebras muſculi ſunt per quos feruntur nervi.

Ed. Chart. XII. [379. 380.] Ed. Baſ. V. (616. 617.)

λβ'.

Αἱ δὲ φλεβῶν καὶ ἀρτηριῶν κοινωνίαι ἐν ἑτέρῳ λόγῳ δεδηλώσονται, ὅσαι τε καὶ οἷαι καὶ ὅθεν ὁρμημέναι καὶ ἐν οἵῃσιν οἷα δύνανται.

---

[380] *Καὶ περὶ τούτων ἐμάθετε κατὰ τὰς ἀνατομὰς, ἀλλὰ καὶ δι' ὑπομνημάτων ἔχετε φλεβῶν μὲν καὶ ἀρτηριῶν ἀνατομὴν γεγραμμένην, ὥσπερ γε καὶ νεύρων. ἀκριβέστερον δὲ κατὰ τὴν τῶν ἀνατομικῶν ἐγχειρήσεων πραγματείαν. οὐκοῦν χρὴ μηκύνειν ἔτι περὶ αὐτῶν γράφοντα ἐνταυθοῖ, μηδ' αὐτοῦ τοῦ Ἱπποκράτους ἐθελήσαντος ἅπασαν αὐτῶν τὴν φύσιν διελθεῖν κατὰ τοῦτο τὸ βιβλίον, ἀλλ' ἀναβαλλομένου, καθάπερ καὶ ἄλλα πολλά. σώζεται δὲ οἱ κατὰ τὰ προκείμενα νῦν ἐν τῷ λόγῳ χωρία φλεβῶν καὶ ἀρτηριῶν συγγραφή. ἐπὶ δὲ τῶν παρατεταμένων τοῖς σφονδύλοις μερῶν* (617) *ὑπομνηματικῶς, οὐ συγγραφικῶς ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ὑπ' αὐτοῦ λέλεκται, παραπλησίως τοῖς ἄλλοις ὅσα κατ' ἐκεῖνο τὸ βιβλίον ἐδείξαμεν ὑπομνήματά τινα τοῦ Ἱπ-*

XXXII.

De venis autem et arteriis huc pertinentibus alibi tractabimus, quot et quales ſint, unde inchoentur, quidque in quibus poſſint.

Has quoque didiciſtis in corporibus incidendis, ſed et in libris quos de venis et arteriis, de nervis item incidendis habetis. Quae omnia diligentius tradidimus in libro de ratione incidendi corporis, quare pluribus hic de illis agere operae pretium non eſt, quum neque ipſe Hippocrates perſequi in hoc opere univerſam earum naturam velit, ſed eam ſicut alia multa in alium locum differat, licet quae de venis et arteriis ſcripta nunc pollicetur non exſtent. De nervis autem juxta vertebras tendentibus in ſecundo libro de morbis vulgaribus non plene quidem, ſed in commentarii modum tractavit, tanquam de aliis quae nos oſtendimus in eo libro commentarii modo et non plene ab Hippocrate ſcripta; ſolummodo enim pri-

Ed. Chart. XII. [380.] Ed. Baſ. V. (617.)

ποκράτους, οὐ συγγράμματα. μόνον γὰρ τὸ πρῶτον καὶ τρίτον τῶν ἐπιδημιῶν ὡς πρὸς ἔκδοσιν πρὸς αὐτοῦ γέγραπται.

λγ'.

Αὐτὸς δὲ ὁ νωτιαῖος, οἷσιν ἐλλύτροισι καὶ ὅθεν ὡρμημένοισι καὶ ὅπῃ κραίνουσι καὶ οἵοισι κοινωνέουσι καὶ οἷα δυναμένοισι.

Τὰ σκεπτάσματά τε καὶ περιπλήματά τινων ἔλλυτρα καλοῦσιν οἱ παλαιοὶ, διὰ τοῦτ' οὖν καὶ νῦν ὁ Ἱπποκράτης ἔλλυτρα τοῦ νωτιαίου κέκληκε τὰ πρὸ βραχέος εἰρημένα μοι. δύο μὲν οὖν ἔνδοθεν ἦν ἅπαντα, ἔξωθεν δὲ τὰ κοινὰ τῶν σφονδύλων δεσμά. ὁρμῶνται δὲ αἱ μήνιγγες ἀπὸ τῶν τὸν ἐγκέφαλον περιεχουσῶν. ὁ δὲ ἔξωθεν αὐτὰς περιλαμβάνων τρίτος χιτὼν ἀπὸ τοῦ τῆς κεφαλῆς ὀστοῦ καθ' ὃ διαρθροῦται πρὸς τὸν πρῶτον σφόνδυλον. τελευτῶσι δέ τοι οὗτοι δεσμοὶ, καθάπερ καὶ αὐτὸς ὁ νωτιαῖος ἄχρι τοῦ κατὰ τὴν

mum et tertium librum de morbis vulgaribus abſolvit ita ut edi poſſet.

XXXIII.

Tum de medulla ſpinae, quibus tegmentis tegatur, unde originem ducentibus, qua parte finitis, quibuscum conjunctis quidque valentibus.

Tegmenta ac velamenta alicujus rei veteres appellant ἔλλυτρα, atque idcirco Hippocrates nunc medullae ſpinae tegmento ἔλλυτρα nuncupavit quae nos paullo ante narravimus: duo quidem intrinſecus omnino ſunt, extrinſecus vero communia omnium vertebrarum ligamenta. Oriuntur autem membranae a membranis quae cerebrum tegunt, ſed tertium velamentum, quod extrinſecus eas complectitur, originem habet a calvaria, qua cum prima vertebra committitur. Hujusmodi autem ligamenta non ſecus atque

Ed. Chart. XII. [380.] Ed. Baſ. V. (617.)

ῥάχιν πέρατος. ὠνόμασε δὲ αὐτὸς ὁ Ἱπποκράτης τὸ τελευτῶσιν ὁμοίως τῷ ποιητῇ Ἀριστοφάνει·

Εἴπερ δὴ κρανέω γε καὶ εἰ τετελεσμένον ἔσται.

οἷα δὲ δύνανται λέλεκται μὲν ἀκριβῶς ἤδη αὐτὰ κατὰ τὰς ἀνατομικὰς πραγματείας ἅμα ταῖς οἰκείαις ἐξ ἐκείνων ἐστὶ μάλιστα καὶ ἡ περὶ χρείας μορίων. ἀρκεῖ δὲ νῦν, εἰπεῖν τὰς μὲν περικειμένας τῷ νωτιαίῳ μήνιγγας τὴν αὐτὴν παρέχειν χρείαν ἥνπερ καὶ τῷ ἐγκεφάλῳ, ἡ δ' ἐν ἐκείνῳ φρουρὰ μέν τις αὐτοῦ πρὸς τὸ μηδὲν πάσχειν ὑπὸ τῶν περικειμένων ὀστῶν ἡ παχεῖα. σύνδεσμος δὲ τούτων καὶ ἄλλο σύμφυτόν τι δέρμα καὶ σκέπασμα τοῦ ἐγκεφάλου ἡ λεπτὴ, περὶ ὧν τοῦ τρίτου χιτῶνος ἐν τῷ νωτιαίῳ μικρὸν ἔμπροσθεν εἴρηται.

λδ'.

Ἐν δὲ τῷ ἐπέκεινα ἐν ἄρθροισι γεγιγγλύμωνται πρὸς ἀλλήλους οἱ σφόνδυλοι.

ipſa medulla ad imam ſpinam finiuntur. Finitis Hippocrates dixit κραίνουσι, ſicuti poëta quum inquit:

Εἴπερ δὴ κρανέω γε καὶ εἰ τετελεσμένον ἔσται.

Quid vero poſſint exquiſite jam oſtendimus in opere de ratione corporum incidendorum, atque etiam in propriis libris, inter quos praecipuus eſt qui de uſu partium inſcribitur. Nunc autem ſcripſiſſe abunde eſt membranas quae cingunt ſpinae medullam, eundem praeſtare uſum atque in cerebro quod craſſa membrana defenditur, ne a circumpoſitis oſſibus laedatur. Eſt et aliud cerebri velamentum et quaſi cutis innata, quo haec nectuntur, nempe tenuis membrana. De tribus autem his tunicis in medulla ſpinae paullo ſupra pertractavimus.

XXXIV.

In ulteriore autem parte vertebrae cardinis modo commiſſuras habent.

Ed. Chart. XII. [381.] Ed. Baſ. V. (617.)

[381] *Τὴν φύσιν τῆς ῥάχεως διηγεῖσθαι προθέμενος, εἶτ' ἀρξάμενος ἀπὸ τῶν ἔνδον μερῶν αὐτῆς, ἔνθ' ἀφήπτοντο μὲν οἱ σφόνδυλοι τὸ πρὸς τὴν κοιλίαν ῥέπον ἐν τοῖς ἀρτίοις οὖσιν ἀλλήλοισιν. εἰκότως νῦν εἶπεν, ἐν δὲ τῷ ἐπέκεινα ἐν ἄρθροισι γεγιγγλύμωνται. τὸ γὰρ ἐπέκεινα τῶν προειρημένων μερῶν τι κατὰ τὴν ὀπίσω χώραν ἔσται, ἔνθα φησὶν αὐτὸ γεγιγγλύμωνται. συνδεῖσθαι δὲ ὀπίσω φησὶ σύνδεσμον εἰρημένον τὸν ἀπὸ τῆς συνδέσεως τῶν σφονδύλων, οὐ μόνον τὸν κατὰ τὴν ἄκανθαν, ὅσπερ ἐστὶν ἀκριβῶς ὀπίσω τὸ μέγεθος τῆς ἐνταῦθα χώρας κατειληφυίας αὐτὸν, οὗ πάλιν ἑκατέρωθέν εἰσιν αἱ διαρθρώσεις τῶν σφονδύλων. εἰ μὲν ὡς πρὸς τὴν ἄκανθαν ἐξετάζοι τις, κατὰ τὰ πλάγια μέρη τῆς ῥάχεως, εἰ δ' ὡς πρὸς τὴν ὀπίσω παραβάλλουσαν χώραν, ἣν διηγήσατο καθ' ἣν οἱ σφόνδυλοι δέδενται πρὸς ἀλλήλους ὀπίσω γιγνόμενοι, γεγιγγλυμῶσθαι δ' εἶπε τοὺς σφονδύλους πρὸς ἀλλήλους, ἐπειδὴ τέτταρας ἀποφύσεις ἔχοντες οἷς διαρθροῦνται, ταῖς δύο μὲν γὰρ ὑποδέχονται τὰς ἐξοχὰς τοῦ πλησιάζοντος σφονδύλου, ταῖς δύο δὲ ἐπιβαί-*

Quum explicare ſpinae naturam inſtituerit orſus ab interioribus partibus ipſius, qua vertebrae apte inter ſe cohaerentes ad ventrem ſpectant et inter ſe ſunt aequales, jure nunc ſubdit; in ulteriori autem parte vertebrae cardinis modo commiſſuram habent. ulterior enim pars iis quae propoſitae ſunt erit poſterior, qua inquit vertebras cardinis modo inter ſe committi. Non debes autem intelligere poſteriorem partem eam quae ſita eſt contra ligamentum propoſitum, quod ſcilicet a junctura vertebrarum procedit; is enim locus medius exquiſite poſterior eſt ubi ſpina tantum eſt, ſed eam quae utrimque eſt a commiſſuris ipſarum vertebrarum. Quae ſi ad ſpinam referatur, erit a lateribus ſpinae; ſi ad priorem partem, in qua dixit vertebras inter ſe colligari, poſterior. Scripſit autem eas commiſſuras cardinis modo eſſe, quoniam quatuor exigunt proceſſus quibus committuntur: duobus quidem admittunt eminentias proxime vertebrae, duobus ſe

Ed. Chart. XII. [381.] Ed. Baſ. V. (617.)

νουσι κατὰ θάτερα. παραπλησία δὲ πώς ἐστι καὶ ἡ τῶν γιγλυσμῶν παρασκευή.

λε'.

Τόνοι δὲ κοινοὶ παρὰ πάντας καὶ ἐν τοῖσιν ἔξω μέρεσι καὶ ἐν τοῖσιν εἴσω παρατείνανται.

Τὰ ἀντικείμενα μέρη τῶν σφονδύλων τῇ συνδέσει ὀπίσω τε καὶ ἔξω καλεῖν ἐγχωρεῖ, καθάπερ γε καὶ αὐτὰ τὰ κατὰ τὴν σύνδεσιν ἔνδον τε καὶ πρόσω· ἀλλὰ τόνους γε κατὰ τὴν ὀπίσω χώραν οὐκ ἂν εἴροις παρατεταμένους, εἴ γε τόνοι ὀνομάζονται τὰ προαιρετὰ νεῦρα. κατὰ γὰρ τὰς συμβολὰς τῶν σφονδύλων ἐστὶ τὸ τρίμμα, δι' οὗ τῶν ἀπὸ νωτιαίου νεύρων ἕκαστον αὐτίκα σχίζεται καὶ τῶν μερῶν αὐτοῦ τὸ μὲν εἰς τὴν πρόσω χώραν ἀφικνεῖται, τὸ δὲ εἰς τὴν ὀπίσω διανεμόμενον εἰς τοὺς ἐπικειμένους ἐνταῦθα μῦας, οὓς ῥαχίτας ὀνομάζουσιν.

in alteram inſinuant. Efficitur autem quodammodo ſtructura ordinum ſimilis.

XXXV.

Nervi omnium communes et ad exteriorem partem et ad interiorem procedunt.

Pars vertebrarum quae ei opponitur qua illigantur poſterior et exterior appellari poteſt, ſicut ea ipſa qua illigantur interior et prior; verum a poſteriori parte non reperiuntur nervi, quos nunc *τόνους* dixit, ſi nervi intelligantur qui motum voluntarium praeſtant. Qua enim vertebrae inter ſe committuntur foramen eſt, per quod unusquisque nervus a ſpinae medulla trajectus protinus diſtribuitur, cujus aliae partes ad priorem regionem intendunt, aliae ad poſteriorem, atque in muſculos diſſipantur, qui quum ſpinae ſuperjecti ſint, *ῥαχῖται* Graece nominantur.

Ed. Chart. XII. [381. 382.] Ed. Baſ. V. (617.)

λστ'.

Ἀπόφυσίς τέ ἐστιν ὀστέου ἐς τὸ ἔξω μέρος ἀπὸ πάντων τῶν σφονδύλων, μία ἀπὸ ἑνὸς ἑκάστου, ἀπό τε τῶν μειζόνων ἀπό τε τῶν ἐλασσόνων. ἐπὶ δὲ τῇσιν ἀποφύσεσι ταύτῃσι χονδρίων ἐπιφύσιες καὶ ἀπ' ἐκείνων, νεύρων ἀποβλάστησις ἠδελφισμένη τοῖσιν ἐξωτάτω τόνοισιν.

Εἰς μέσην εἴτ' ὀπίσω χώραν τῆς ῥάχεως ἀπόφυσις ἑκάστου τῶν σφονδύλων ἀνατείνεται συνθεῖσα τὴν ὅλην ἄκανθαν. ἐπὶ τῷ πέρατι δὲ καὶ τῆς ἀποφύσεως χόνδρος ἐπίκειται νεύρων ἀποβλαστήσεις ἔχων συνδετικάς. ἠδελφισμένη ψησὶ τοῖς τόνοις, ὅπερ ἤτοι τῶν ὁμοιουμένων εἰς ταὐτὸ ἰόντων καὶ ἀναμιγνυμένων, ἑκάτερον γὰρ αὐτῶν ἀληθές ἐστι.

λζ'.

[382] Πλευραὶ δὲ προσπεφύκασιν ἐς τὸ εἴσω μέρος τὰς κεφαλὰς ῥέπουσαι μᾶλλον ἢ ἐς τὸ ἔξω, καθ' ἕνα δὲ ἕκαστον τῶν σφονδύλων προσήρθρωνται.

XXXVI.

Singulae autem vertebrae tam majores quam minores in exteriorem partem ſingulos proceſſus exigunt; his autem proceſſibus adjecta eſt cartilago, atque ab ea germen oritur ligamentorum quae nervis exterioribus germana ſunt.

Singularum vertebrarum proceſſus per medium dorſum intendunt atque univerſam ſpinam componunt; extremo autem proceſſui cartilago innexa eſt, a qua oritur germen ligamentorum, quae, ut ipſe ait, nervis germana ſunt. Quo ſignificat vel ſimillima vel inter ſe coeuntia immixtaque; utrumque enim verum eſt.

XXXVII.

Adjectae autem coſtae ſunt capitibus in interiorem partem ſpectantibus magis quam in exteriorem, quae ſigillatim cum unaquaque vertebra committuntur.

Ed. Chart. XII. [382.] Ed. Baſ. V. (617.)

Τὰ τοῦ θώρακος ὀστᾶ διήκοντα κατὰ θέσιν ἐγκαρσίαν ἀτρέμα λοξῶς κατὰ τῆς ῥάχεως ἐπὶ τὸ στέρνον ὠνόμαζον πλευρὰς οὐχ Ἱπποκράτης μόνον, ἀλλὰ καὶ οἱ μετ' αὐτὸν ἅπαντες ἰατροί. ταύτας οὖν φησι προσηρθρῶσθαι τοῖς σφονδύλοις, οὐδὲν διαφέρον εἰ καὶ διηρθρῶσθαι φαίης, ὅπερ ἐστὶ συνηθέστερον ὄνομα τοῖς ἰατροῖς τοῖς νεωτέροις, οὕτως ὀνομαζόντων αὐτῶν τὰς ἐμβολὰς τῶν ὀστῶν, ὡς ἐκείνοις αἰσθητικήν τινα ἀξιόλογον ἔχουσι κεφαλάς τε τῶν πλευρῶν εἴρηκε τὰ πέρατα, δι' ὧν τοῖς σφονδύλοις διαρθροῦνται κατὰ τὰς ῥίζας τῶν πλαγίων ἐν ἑαυτοῖς ἀποφύσεων. ἀκριβῶς δὲ εἶπεν ἔσω ῥέπειν αὐτὰς μᾶλλον, ἴστε γὰρ οὕτως ἔχειν, ἀλλὰ καὶ ὅτι διαφυής πώς ἐστιν αὐτῶν ἡ διάρθρωσις ἐθεασάμεθα. παραλελοιπότος τοῦτο τοῦ Ἱπποκράτους ἢ τῷ παρελθεῖν οὐκ ἀκριβῶς θεασαμένου τὴν ὅλην φύσιν τῆς διαρθρώσεως ἢ ᾧ μὴ νομισθῆναι τὴν τοιαύτην λεπτολογίαν οἰκείαν εἶναι τῇ προκειμένῃ πραγματείᾳ.

Coſtae, id eſt thoracis oſſa, quae a ſpina intendunt transverſa ac modice obliqua ad pectus Graece non modo ab Hippocrate, ſed ab omnibus junioribus medicis nominatae ſunt *πλευραί*. Has inquit cum vertebris committi, *προσηρθρῶσθαι* dixit, quaſi dicas *διηρθρῶσθαι*. Quod vocabuli apud juniores medicos magis in uſu eſt, eo enim ſignificant oſſium commiſſuras, quibus talis ineſt motus ut ſenſu aliquatenus percipi poſſit. Coſtarum capita vocavit extrema, per quae cum vertebris conjunguntur, in radices proceſſuum a lateribus ſe inſinuantes. Exquiſite autem dixit ipſas magis in interiorem partem ſpectare; noſtis enim rem ita ſe habere: ipſarum vero commiſſuram quodammodo duplicem conſpeximus, quam rem Hippocrates praetermiſit vel quod non ex toto univerſam naturam commiſſurae fuerit intuitus vel quod tam diligentem ejus inquiſitionem ad propoſitum pertinere non exiſtimaverit.

Ed. Chart. XII. [382.] Ed. Baſ. V. (617. 618.)

λη'.

Καμπυλώτατα δὲ πλευραὶ ἀνθρώπου εἰσὶ ῥοιβοειδέα τρόπον.

Ἁπάντων τῶν ζώων ἄνθρωπος καμπυλωτάτας ἔχει πλευράς, ὅτι καὶ τὸ στέρνον ἁπάντων πλατύτατον· τῶν μὲν γὰρ ἄλλων ζώων τὸ μὲν μᾶλλόν ἐστι, τὸ δ' ἧττον ὀξύστερνον. πλατυστερνότατος δ' ἄνθρωπος, εἶθ' ἑξῆς πίθηκος ἁπάντων μὲν τῶν ἄλλων ζώων μᾶλλον, ἧττον δ' ἀνθρώπου. ἔστι δὲ κοινὸν ἅπασι μὲν ζώοις ὅσα θώρακα ἔχει τὸ τὰς πλευρὰς ἐκ μὲν τῶν ἔξω μερῶν, ἔνθα καὶ ψαύομεν αὐτῶν, κυρτὰς, ἐκ δὲ τῶν ἀντικειμένων τῶν ἔνδον εἶναι κοίλας· εἰς γὰρ τὴν γένεσιν τῆς τοῦ θώρακος εὐρυχωρίας ἀναγκαῖον ἦν τοῦτο τοῖς ἀνθρώποις, ἐπειδὴ κατὰ τὸ στέρνον εὐθύνεσθαι τὰς πλευ- (618) *ρὰς ἔδει, τὸ μετὰ τοῦτο πᾶν ἱκανῶς ἐκάμφθη, δεομένων δ' αὐτῶν ἐπὶ τοὺς τῆς ῥάχεως ἀφικέσθαι σφονδύλους. τὸ μὲν γὰρ ἑρμηνευόμενον ὑπ' αὐτοῦ πρᾶγμα σαφὲς ἡμῖν γέγονεν ἔκ τε τοῦ καμπυλωτάτας εἶ-*

XXXVIII.

Maxime autem flexae ſunt hominis coſtae et modo eorum quae curva ſunt.

Inter omnia animalia homo coſtas habet maxime curvas, quoniam et pectus omnium latiſſimum; ex ceteris vero animalibus alia magis, alia minus acuto pectore ſunt. Latiſſimi autem pectoris eſt homo, dein ſimia quae pectus habet anguſtius homine, latius quam cetera animalia. Commune eſt autem omnium animalium quae thoracem habent, coſtis eſſe ab exteriori parte qua tangimus gibbis; a contraria, intrinſecus ſcilicet, ſimis. Id enim neceſſarium hominibus fuit ut thoracis ſpatium latum redderetur, quoniam juxta os pectoris dirigi coſtas oportuit; reliquas earum partes quum deberent ad ſpinae vertebras pervenire, opus fuit plurimum curvari. Res igitur quam proponit ex eo aperte intelligitur quod ipſe ait, coſtas

Ed. Chart. XII. [382. 383.] Ed. Baf. V. (618.)

πεῖν εἶναι τὰς πλευρὰς, κἀκ τούτου γιγνώσκεσθαι, ἀφ' οὗ ὅμοιαι κατὰ τὸ σχῆμά εἰσιν. ἀπολείπεται δὲ ἡ ζήτησις οὐκ ἐν τῇ πραγματείᾳ, καθάπερ ἐπὶ τῶν ἔμπροσθεν, ἀλλ' ἐν ὀνόματι χρησαμένου τοῦ Ἱπποκράτους τῇ. ῥοιβοειδέα φωνῇ σαφηνείας μὲν ἕνεκεν, ἧτις παράδειγμα λέλεκται πρὸς αὐτοῦ, μείζονα δ' ἀσάφειαν ἐργαζομένη αὐτοῦ τοῦ γιγνωσκομένου πράγματος ἢ τῆς σαφηνείας ἕνεκα παράδειγμά τι ὤφθη. τότε μὲν οὖν ἴσως ἦν ἡ φωνὴ συνήθης ἢ οὐκ ἂν εἴρηκε ῥοιβοειδέα τρόπον. ἐν δὲ τῷ μετὰ ταῦτα χρήσεως αὐτῆς ἐκβληθείσης εἰς ἀσάφειαν ἦκε. τὸ μὲν γὰρ διὰ τοῦ κ λεγόμενον ῥοικοειδέα καὶ παρὰ Θεοκρίτῳ γεγραμμένον ἔνθα φησί·

[383] *Ῥοικὸν δέ κεν ἀγριελαίας*
δεξιτερᾷ κορύναν.

καὶ παρ' Ἀρχιλόχῳ·

Ἀλλὰ μικρός τις εἴη καὶ περὶ κνήμας ἰδεῖν
Ῥοικὸς, ἀσφαλέως βεβηκυίας ποσὶ, καρδίης πλέως.

καὶ παρὰ Νικάνδρῳ·

maxime curvas eſſe, quodque earum figura talem evidenter ſe oſtendit. Reſtat quaeſtio quae ad rem non pertinet ſicuti prior, ſed ad vocem, quum Hippocrates explanationis vel exempli cauſa uſus fuerit verbo ῥοιβοειδέα, quod majorem affert obſcuritatem quam res ipſa cujus gratia ad exemplum affertur, tunc fortaſſe vox erat uſitata, alioquin verba haec modo eorum quae curva ſunt non dixiſſet ῥοιβοειδέα τρόπον; deinde uſu exploſa obſcura effecta eſt. Vox quidem ῥοικοειδέα per κ apud Theocritum curvum ſignificat eo carmine ubi inquit:

Ῥοικὸν δέ κεν ἀγριέλαιας
δεξιτερᾷ κορύναν.

Idem quoque ſignificat apud Archilochum quum ſcribit:

Ἀλλὰ μικρός τις εἴη καὶ περὶ κνήμας ἰδεῖν,
Ῥοικὸς, ἀσφαλέως βεβηκυίας ποσὶ, καρδίης πλέως.

Apud Nicandrum ſimiliter:

Ed. Chart. XII. [383.] Ed. Baſ. V. (618.)

Ἄλλοι δὲ ῥοικοῖσιν ἰσήρεες ἂν τὰ παγούροις
Γυῖα βαρύνονται.

τὸ μέντοι διὰ β ῥοιβὸν οὐκ οἶδα, καίτοι τινὰ τῶν ἀντιγράφων διὰ τοῦ β γέγραπται, ἀλλ' ἐν τοῖς ἀξιοπιστοτέροις εὑρίσκεται τὸ κ.

λθ'.

Τὸ δὲ μεσηγὺ τῶν πλευρέων καὶ τῶν ὀστέων τῶν ἀποπεφυκότων ἀπὸ τῶν σφονδύλων ἀποπληρέουσιν ἑκατέρωθεν οἱ μύες ἀπὸ τοῦ αὐχένος ἀρξάμενοι ἄχρι τῶν φρενῶν τῆς προσφύσιος.

Οὐ πάνυ τι συμφωνεῖ τὸ φαινόμενον ἐκ τῆς ἀνατομῆς τῇ διανοίᾳ τῆς λέξεως. τὸ μὲν γὰρ φαινόμενον ὧδε ἔχει· κατὰ τὰς κεφαλὰς τῶν πλευρῶν ᾗ εἰσαρθροῦνται εἰς τοὺς σφονδύλους μύες εἰσὶν, ὄπισθεν μὲν οἱ ῥαχῖται καλούμενοι κατὰ τὸ μῆκος τῆς ῥάχεως ἐκτειαμένοι μέχρι τῆς τῶν σκελῶν ἀρχῆς, ἔμπροσθεν δὲ κατὰ μῆκος, οὐ δι' ὅλου τοῦ

Ἄλλοι δὲ ῥοικοῖσιν ἰσήρεες ἂν τὰ παγούροις
Γυῖα βαρύνονται.

Per β autem ſcriptum ῥοιβὸν neſcio quid ſibi velit. Quamquam in nonnullis exemplaribus per β ſcribatur, ſed in magis probatis per κ.

XXXIX.

Quod autem inter coſtas eſt quodque inter proceſſus oſſium vertebrarum utrimque complent muſculi, qui a cervicibus orſi uſque ad nexum intendunt.

Quod in corporibus incidendis apparet non admodum conſentit cum verborum ſententia, nam quod apparet hujusmodi eſt. A coſtarum capitibus qua cum vertebris committuntur, muſculi ſunt a poſteriori parte, qui ῥαχῖται nuncupantur, alii in longitudinem ſpinae tendunt uſque ad initium crurum; a priori parte in longitudinem mu-

Ed. Chart. XII. [383.] Ed. Baſ. V. (618.)

Θώρακος ἐπικέκληνται μύες. ἐγκάρσιοι δὲ κεῖνται μεταξὺ τῶν πλευρῶν οὓς μεσοπλευρίους ὀνομάζουσιν, ἔπειτα βαίνουσι πρὸς ὀλίγας τῶν πλευρῶν οἱ ὑποβεβλημένοι τῷ στομάχῳ μύες, ὑφ' ὧν εἰς τὸ πρόσω μέρος ὅλος ὁ τραχηλος ἑλκόμενος ἐπινεύει βραχὺ καὶ χωρὶς τῆς προκειμένης πρὸς κεφαλῆς διαρθρώσεως. ἐκείνη μὲν γὰρ αὕτη καθ' ἑαυτὴν μεγίστην ἔχει κίνησιν ἐπινευόντων τε καὶ ἀνανευόντων, ἐὰν τοῖς μετὰ τοὺς πρώτους σφονδύλους αὐτὴν παραβάλλῃ. βραχυτάτην δ' ἔχουσι τὴν πρὸς ἀλλήλους κίνησιν. ἀλλὰ κἀκ τῶν κατ' ὀσφῦν χωρίων ἐπαναβαίνουσι τῷ θώρακι κατὰ τὰς ἐσχάτας πλευρὰς αἱ κορυφαὶ τῆς ψόας. ὅσαι δ' ἐν τῷ μεταξὺ τοῦ θώρακός εἰσιν οὐκ ἔχει μυῶν ἐπιβολὴν ἐν ταῖς πλαγίαις ἀποφύσεσι τῶν σφονδίλων, ἃς ἔφην διαρθροῦσθαι τὰς πλευράς. εἰσὶ δὲ καὶ ἄλλοι δύο μύες στενοὶ καὶ μικροὶ τοῖς ῥαχίταις περιτεταμένοι δι' ὅλου τοῦ θώρακος ἔξωθεν, ἐν τοῖς πρόσω μέρεσιν αὐτῶν ἃ τοῖς ὀπίσω περὶ τὴν ἄκανθαν. αὕτη μὲν ἡ ἐκ τῆς ἀνατομῆς εὑρισκομένη θέσις τῶν περὶ τοὺς σφονδύλους μυῶν. ἴδωμεν ἐφεξῆς τί-

ſculi non procedunt, ſed transverſi inter coſtas, quos *μεσοπλευρίους* appellant. Deinde ad aliquot coſtas pertinent muſculi, qui ſtomacho ſubjecti ſunt, a quibus totum collum in priorem partem attrahitur et paullulum etiam annuit, ubi capitis commiſſura non moveatur; ipſa enim per ſe maximum habet motum in annuendo et abnuendo, ſi quis eam cum vertebris conferat quae poſt primas ſunt, aliarum enim inter ſe commiſſurae paullulum moventur. Sed et a regione juxta lumbos procedunt ad extremas thoracis coſtas eorum muſculorum ſummitates, qui *ψόαι* dicuntur; in medio autem thoracis ad coſtas muſculi non pertinent, qui ſiti ſunt ad vertebrarum proceſſus a lateribus poſitos, qua committi coſtas poſſit. Sunt et alii duo muſculi anguſti atque exigui, qui ab exteriori parte per univerſum thoracem juxta muſculos qui *ῥαχῖται* dicuntur intendunt a priori parte, non a poſteriori verſus ſpinam. Haec igitur eſt poſitio ac natura muſculorum circa vertebras quae ex corporibus incidendis invenitur. Videamus

Ed. Chart. XII. [383. 384.] Ed. Baſ. V. (618.)

νων ὁ Ἱπποκράτης δύναται μνημονεύειν. ὅτι μὲν οὖν τῶν μεσοπλευρίων οὐ δύναται, δῆλον ἐκ τοῦ λέγειν τοὺς μύας ἀπὸ τοῦ αὐχένος ἄρχεσθαι. λείπει τοίνυν τῶν ῥαχιτῶν τούτων παρατεταμένων μνημονεύειν αὐτόν. ἀλλ' οὐδετέρως καλῶς ἂν λέγοιτο τὸ μεταξὺ τῶν ὀστῶν καὶ τῶν πλευρῶν τῶν ἀποπεφυκότων ἀπὸ τῶν σφονδύλων τοὺς μῦς ἀναπληροῦν. οἱ μὲν γὰρ ῥαχῖται ταῖς διαρθρώσεσι τῶν εἰρημένων ὀστῶν ἐν ὅλῳ τῷ θώρακι πάσαις ὄπισθεν προβέβληται, μηδὲν ἀπολείποντες ἀσκέπαστον, ἀλλὰ τάς τε ῥίζας πάσας τῶν πλευρῶν τε ἅμα καὶ τῶν εἰς τὰ πλάγια τοῖς σφονδύλοις ἀποφύσεών εἰσι μειὰ τὰς διαρθρώσεις· καὶ μὲν δὴ καὶ τὸ κατὰ τὴν τελευτὴν εἰρημένον τῆς ῥήσεως τὸ ἄχρι τῆς προσφύσιος, εἰ μὴ ἐπὶ τῶν [384] στενῶν λέγει τῶν μυῶν, τὴν τοῦ διαφράγματος πρόσφυσιν ἡμᾶς ἀναγκαῖον νοεῖν, εἰ δ' ἐπὶ τῶν ῥαχιτῶν, τὴν τῶν σκελῶν, εἰ μὴ περὶ πρόσφυσιν εἴρηκε τὴν τούτων διάρθρωσιν. ἐγὼ μὲν οὖν διὰ ταύτην

deinceps, de quibusnam Hippocrates meminerit; ac de iis quidem qui inter coſtas ſunt patet ipſum minime egiſſe, quum ait: muſculi qui a cervicibus orſi. Supereſt igitur ut eos intellexerit vel qui *ῥαχῖται* dicuntur vel qui juxta os ſiti ſunt, ſed neutri recte dicentur, quod inter coſtas eſt quodque inter proceſſus oſſium vertebrarum complere. *Ῥαχῖται* quidem muſculi univerſis propoſitorum oſſium commiſſuris in toto thorace ſuperinjecti ſunt a poſteriori parte nihil relinquentes quod non contegant, ſed omnes coſtarum radices et vertebrarum proceſſus qui a lateribus ſunt; ad haec quod inter ipſas radices eſt complectuntur. Anguſti autem muſculi qui juxta hos verſus priorem partem ſiti ſunt protinus poſt commiſſuram ſunt ad extremitates eorum proceſſuum quos vertebrae a lateribus exigunt; quin etiam quod in fine propoſitorum verborum adjungit uſque ad nexum, ſi de anguſtis muſculis intelligatur, neceſſe eſt ad ſepti transverſi nexum referamus; ſin de iis qui *ῥαχῖται* vocantur, ad crurum nexum, quem *πρόσφυσιν* dixit, crurum fortaſſe juncturam intelligens.

Ed. Chart. XII. [384.] Ed. Baſ. V. (618.)

τὴν λέξιν ἀπορῶ προσαρμόσαι τῷ φαινομένῳ, καί μοι δοκεῖ κατ' ἀρχὴν εὐθέως ὑπὸ τοῦ πρώτου γράψαντος ἡμαρτῆσθαι ὥστε καὶ ἄλλων πολλῶν. ἐχόντων δ' ὡς εἴρηται τῶν φαινομένων ζήτησις τῆς ἁρμοττούσης ἐξηγήσεως εἰς τὸ κοινὸν προκείσθω. τὸ δ' οὖν ὡς ἐν διορισμοῖς δόξαν ἔχειν τινὰ πιθανότητα τοιόνδ' ἐστί· πλευρὰς μὲν ἀκουσόμεθα τὰς τῶν σφονδύλων αὐτῶν κεφαλὰς, ἀποπεφυκότα δὲ τῶν σφονδύλων ὀστᾶ τὰ τὴν ἀκάνθην ἐργαζόμενα, τοὺς δὲ τὴν μεταξὺ χώραν ἑκατέρων ἀναπληροῦντας μῦς τοὺς ῥαχίτας, πρόσφυσιν δὲ τὴν τῶν φρενῶν. ὅ γε μὴν διδάσκαλος ἡμῶν Πέλοψ τὰς μὲν πλαγίας ἀποφύσεις τῶν σφονδύλων ἁπάντων πλευρὰς ἔφασκεν εἰρῆσθαι νῦν ὑπ' αὐτοῦ, πρόσφυσιν δὲ τὴν τῶν φρενῶν.

μ'.

Αὕτη δὲ ἡ ῥάχις κατὰ μῆκος ἰθυσκόλιός ἐστι.

Equidem verba haec nequeo accommodare ad id quod ſenſui apparet, arbitrorque initio protinus erraſſe primum librarium, ſicut in aliis multis veterum ſcripturis. Sed quum ita habeant quae in corporibus apparent, quaeſtio idoneae expoſitionis communiter omnibus proponatur; quod autem diſtinctum et aliquatenus probabile videtur hujusmodi eſt. Coſtas accipiemus pro ipſarum coſtarum capitibus, proceſſus oſſium vertebrarum pro oſſibus quae ſpinam conſtituunt; ſed muſculos complentes utrimque eam regionem quae interjecta eſt ῥαχίτας intelligemus, nexum ſepti transverſi. Pelops autem praeceptor noſter coſtas nunc ab Hippocrate voluit nominari omnes vertebrarum proceſſus qui a lateribus ſunt, ſed nexum retulit ad ſeptum transverſum.

XL.

Ipſa autem ſpina in longitudinem recte obliqua eſt.

Ed. Chart. XII. [384.] Ed. Baſ. V. (618.)

Σκολίωσις μὲν ἡ εἰς τὸ πλάγιον αὐτῆς ὀνομάζεται διαστροφή. νυνὶ δὲ οὐ τὴν εἰς τὸ πλάγιον, ἀλλὰ τὴν εἰς τοὔπίσω τε καὶ πρόσω βούλεται δηλοῦν. εὐθεῖα γὰρ οὖσα κατὰ τὸ μῆκος ἐκκλίνεται βραχὺ πρός τε τὴν ὀπίσω καὶ τὴν πρόσω χώραν, ὡς αὐτὸς ἐφεξῆς διδάσκει.

μα'.

Ἀπὸ μὲν τοῦ ἱεροῦ ὀστέου ἄχρι τοῦ μεγάλου σφονδύλου, παρ' ὃν προσήρτηται τῶν σκελέων ἡ πρόσφυσις ἄχρι μὲν τούτου κυφή. κύστις τε γὰρ καὶ γονὰὶ καὶ ἀρχοὶ τὸ χαλαρὸν ἐν τουτέῳ ἔκτισται.

Τὴν τῶν σκελῶν πρόσφυσιν ἔνεστιν ἀκούειν πολυειδῶς, κυριώτατον μὲν ἴσως τὴν ἀπὸ τῆς κατ' ἰσχίον διαρθρώσεως ἥτις γίγνεται τοῦ μηροῦ τῆς κεφαλῆς συνδονουμένης τῷ κατ' ἰσχίον ὀστῷ, διά τε τῶν πλατέων συνδέσμων καὶ τοῦ στρογγύλου, καθ' ὃν τῷ βαθυτάτῳ τῆς κοτύλης συμφύεται καὶ διὰ τῶν μυῶν κινούντων τὴν τοῦ μηροῦ διάρθρωσιν, εἰκότως

Obliquam dixit *σκολίαν*, eam ſic appellare ſolitus quae in latus inclinata eſt; nunc autem non in latus, ſed in poſteriorem et priorem partem ſignificare vult. Spina enim in longitudinem recta paullulum in poſteriorem et priorem partem inclinatur, ut ipſe deinceps docebit.

XLI.

Ab oſſe ſacro uſque ad magnam vertebram qua inhaeret crurum nexus ſpina cava eſt, quoniam veſica partes naturales et id inteſtinum quod laxum eſt ſupra anum hac parte continetur.

Crurum nexus multis modis intelligi poteſt, maxime quidem proprie fortaſſe is qui a coxarum commiſſura eſt, quum ſcilicet femoris caput coxarum oſſi per lata ligamenta illigatur et per id quod rotundum eſt, quo altiſſimis partibus cavi ipſius coxae innectitur; tum per muſculos qui commiſſuram femoris movent, merito utique dici

Ed. Chart. XII. [384. 385.] Ed. Baſ. V. (618. 619.)

ἂν λέγοιτο τοῖς ὑπερκειμένοις συμφύεσθαι τὸ σκέλος καὶ μετὰ ταῦτα διὰ νεύρων, εἶτ' ἔπειτα διὰ ἀρτηριῶν τε καὶ φλεβῶν. ἔοικε δὲ νῦν ὁ Ἱπποκράτης τὴν διὰ τῶν νεύρων προσάρτησιν δηλοῦν. εἰ δὲ τῶν κατὰ ὀσφῦν ἔσχαιον σφόνδυλον ὃ διαρθροῦται τῷ πλάτει γε καὶ ἱερῷ καλουμένῳ ὀστῷ τῶν ἐπὶ τὰ σκέλη φερομένων νεύρων ἐστὶν ἡ ἔκφυσις. ἀλλὰ καὶ τὸ ἵνα χρὴ τὸ ὑπὸ τοῦ τόπου κατ' αὐτὴν εἶναι τὴν ῥάχιν, ὑπὸ τοῦ κατὰ τὴν ἀνατομὴν φαινομένου μαρτυρεῖται καὶ τὸ κύστιν καὶ γο- [385] νὰς καὶ ἀρχοῦ τὸ χαλαρὸν ἐν τούτῳ κεῖσθαι· διόπερ καὶ κυρτὸν ἔξωθεν ἐγένετο. γονὰς δὲ εἴρηκε τὰ γεννητὰ μόρια, μήτραν μὲν ἐπὶ τῶν θηλειῶν, ἐπὶ δὲ τῶν ἀνδρῶν τὰ σπερματικά τινα καλούμενα, χαλαρὸν (619) δ' ἀρχοῦ κέκληκε τὸ μετὰ σφιγκτῆρα· καὶ γὰρ καὶ ἐπίκειται τῷ ἱερῷ ὀστῷ τοῦτο καὶ ὄντως ἐστὶ χαλαρὸν οὐκ ἔχων τοὺς σφίγγοντας μῦς τὸ πέρας τοῦ ἀπευθυσμένου.

---

poteſt crus necti ſuperioribus partibus, deinde per nervos, poſtea per arterias et venas. Videtur autem hic Hippocrates nexum per nervos exponere, quum ab extrema lumborum vertebra, quae committitur cum oſſe quod et latum et ſacrum nuncupatur, oriantur nervi qui tendunt ad crura. Comprobatur autem vel ex eo quod in corporibus incidendis apparet, veſicam et partes naturales et id inteſtinum quod laxum ſupra anum eſt hac parte contineri, quamobrem ab exteriori parte gibba ſtructa eſt. Naturales partes quas γονὰς dixit intellexit eas quae generationi accommodantur, uterum in feminis; quae femini aptantur in maribus, γεννητικὰ nuncupantur. Id autem quod laxum eſt ſupra anum dixit χαλαρὸν ἀρχοῦ: id ſiquidem ſacro oſſi ſuperimpoſitum eſt et revera laxum, quum non habeat muſculos qui extremum inteſtinum rectum adſtringunt.

μβ'.

Ἀπὸ δὲ τούτου ἄχρι φρενῶν προσαρτήσιος ἐθυλόρθη.

Οὐδὲν ἐνταῦθα τοιοῦτον περιέχεταί τι κατὰ τῆς ῥάχεως, οἷον ἐν τοῖς κατὰ μήτραν ἢ ἐν κύστει, ὅθεν οὐδὲ σιμωθῆναι τὸ ἔνδον ἔχρηζε καὶ διὰ τοῦτο οὐδὲ κυφωθῆναι τὸ ἔξω, ἀλλὰ καὶ βραχὺ ῥέπειν ἐώρα κατὰ τοῦθ' ἡ ῥάχις. ἐπὶ δὲ τὴν ἀρτηρίαν ἔδει τὴν μεγάλην καὶ τὴν φλέβα ἢ κατ' αὐτῆς ἐστηρίχθαι.

μγ'.

Καὶ παραφύσιας ἔχει μυῶν τοῦτο μοῦνον τὸ χωρίον ἐκ τῶν εἴσωθεν, ἃς δὴ καλέουσι ψόας.

Ἐκ ταύτης τῆς ῥήσεως μάλιστά τις τεκμήραιτο μὴ συναριθμεῖν αὐτὸν τῇ ῥάχει τοὺς κατὰ τράχηλον σφονδύλους. ὡς γὰρ ἐκ τοῦ πλατέος ὀστοῦ καὶ τῶν κατὰ θώρακα σφονδύλων συγκειμένης ὅλης τῆς ῥάχεως, οὕτω παραφύσιας

XLII.

Ab hac ad ſepti transverſi nexum recta in interiorem partem recurvatur.

Hac parte nihil tale ſpinae incidet, quales in inferiori uterus et veſica. Quare non neceſſe fuit ab interiori parte ſimam eſſe, atque idcirco neque ab exteriori parte gibbam, ſed hac parte ſpinam paullulum intus ſpectare; fulciri enim ab ipſa magnam arteriam ac venam oportebat.

XLIII.

Atque hic locus ſolus ab interiori parte adjunctos habet muſculos, quos ψόας appellant.

Ex his potiſſimum verbis conjicere quis poteſt, Hippocratem ſpinae non adnumeraſſe vertebras cervicum; quaſi enim ſpina univerſa lato oſſe et vertebris, quae ad lumbos et quae ad thoracem ſunt contineatur, dixit: at-

Ed. Chart. XII. [385.] Ed. Baſ. V. (619.)

ἔχει μυῶν τοῦτο μόνον τὸ ἔσωθεν. εἰ γὰρ δὴ καὶ τοὺς κατὰ τράχηλον αὐτοῖς συνηρίθμει, ψευδὴς ἂν ἦν ἐναργῶς· οὐ γὰρ μόνον τούτου τοῦ χωρίου παραφύσεις μυῶν ἔχοντος καὶ τοῦ τραχήλου μεγάλους μῦς ἐκ τῶν ἔνδον μερῶν. οὐδὲ γὰρ ἠγνόησέ τις αὐτοὺς ἀξιολόγους ὄντας, ὅπως καὶ οἱ μικρότεροι μύες ἦσαν, οὐκ ἂν αὐτοὺς ἠγνόησεν. εἰ μέντοι μόριόν τι τῶν ψοῶν ὑπὲρ τὴν τῶν φρενῶν ἀναγίνεται πρόσφυσιν, οὐκ ἐπεσημήνατο τοῖς προκειμένοις νῦν οὐχ ἡγούμενος ἁρμόττειν τὴν τοιαύτην ἀκριβολογίαν.

μϑ'.

Ἀπὸ δὲ τούτου ἄχρι τοῦ μεγάλου σφονδύλου τοῦ ὑπὲρ τῶν ἐπωμίδων ἰθυκύφη, ἔτι δὲ μᾶλλον δοκέῃ ἢ ἐστιν. ἡ γὰρ ἄκανθα κατὰ μέσον ὑψηλοτάτας τὰς ἐκφύσιας τῶν ὀστέων ἔχει, ἔνθεν δὲ καὶ ἔνθεν ἐλάσσους.

---

que hic locus ſolus ab interiori parte adjunctos habet muſculos. Nam ſi ſpinae cervicum quoque vertebras adnumeret, falſum utique erit hunc locum dumtaxat habere adjunctos muſculos, quum et in cervicibus ab interiori parte grandes muſculi contineantur; quos quum grandes ſint non latuiſſe Hippocratem, nemo ignorat, quando etiamſi exigui fuiſſent, nullo modo ipſum latuiſſent. Horum tamen muſculorum qui ψόαι nominantur particulam uſque ad eam regionem pertinere, qua ſeptum transverſum innectitur, propoſitis verbis non notavit, ut qui operae pretium eſſe tam exquiſite docere non exiſtimarit.

XLIV.

Ab hoc item ad magnam vertebram quae ſita eſt ſublimior commiſſura humeri cum lato ſcapularum oſſe recta in gibbum vertitur, ſed magis adhuc videtur quam ſit. Habet enim ſpina in medio oſſium proceſſus altiſſimos, ab utraque autem parte humiliores.

Ed. Chart. XII. [386.] Ed. Baſ. V. (619.)

[386] *Ὀλίγον τι κατὰ τὸν θώρακα φαίνονται σιμούμενοι τὰ ἔνδον τῶν ὀστῶν οἱ σφόνδυλοι. τὸ δ' ὀπίσω μέρος αὐτῶν ἱκανῶς κυφὸν φαίνεται διὰ τὴν τῆς ἀκάνθης ἀπόφυσιν. ὃν δὲ λέγει μέγαν σφόνδυλον ὑπὲρ τῶν ἐπωμίδων εἴσεσθαι καὶ δι' ὑπομνήματος ἔρχεται πρὸς ἀνάμνησιν, ἐν ᾧ περὶ τῶν ὀστῶν ἔγραψα. προσαρμόζειν δ' ἡμᾶς προσήκει τοίνυν τοῖς λεγομένοις ἐκεῖνα μὴ δεομένοις ὑπ' ἐμοῦ πλὴν εἴ που λέξις ἐμπίπτοι χρῄζουσά τινος ἐξηγήσεως, ἧς ἕνεκεν καὶ τὰ τοιαῦτα ὑπομνήματα γράφεται, καθάπερ γε καὶ τὸ ἐπὶ τῇ προκειμένῃ νῦν ῥήσει.*

με'.

Αὐτὸ δὲ τὸ ἄρθρον τοῦ αὐχένος λορδόν ἐστιν. ὁκόσοισι μὲν οὖν κυφώματα γίνεται κατὰ τοὺς σφονδύλους ἔξωσις μὲν μεγάλη ἀπορῥαγεῖσα ἀπὸ τῆς συμφύσιος ἢ ἑνὸς σφονδύλου ἢ καὶ πλειόνων οὐ μάλα πολλοῖσι γίνεται, ἀλλ' ὀλίγοισιν. οὐδὲ γὰρ τὰ τρώματα τὰ τοιαῦτα ῥηϊδιον γίνεσθαι, οὔτε γὰρ ἐς τὸ ἔξω ἐξωθῆναι ῥηϊδιόν ἐστιν, εἰ μὴ

Vertebrae quae ad coſtas ſunt ab interiori parte ſimae paullulum videntur, a poſteriori gibbae multum propter ſpinae proceſſus. Vertebram autem quam magnam dicit ſitam ſuper commiſſuram humeri cum lato ſcapularum oſſe noviſtis et reminiſcendi cauſa habetis in commentario quem de oſſibus ſcripſi. His autem quae proponuntur accommodanda illa ſunt; neque opus eſt me ulterius explanante, niſi ſi quod verbum alicubi occurrat quod expoſitionem requirat, cujus cauſa hujusmodi commentaria ſcribuntur, quemadmodum evenit in hoc ipſo loco.

XLV.

Ipſa vero cervicum commiſſura in interiorem partem ſpectat. Quibus igitur vertebrae gibbae fiunt, magna vi conjunctione abrupta expellitur vel una vertebra vel plures. Quae res non accidit multis, ſed paucis; non enim facile incidunt hujusmodi caſus. Nam nec facile in interiorem partem veniunt vertebrae, niſi a priori

Ed. Chart. XII. [386.] Ed. Baſ. V. (619.)

ἐκ τοῦ ἔμπροσθεν ἰσχυρῷ τινι τρωθείη διὰ τῆς κοιλίης. οὕτω δ' ἂν ἀπόλοιτο ἢ εἴ τις ἀφ' ὑψηλοῦ τοῦ χωρίου πεσὼν ἐρείσειε τοῖσιν ἰσχίοισιν ἢ τοῖσιν ὤμοισιν· ἀλλὰ καὶ οὕτως ἂν ἀποθάνοι, παραχρῆμα δὲ οὐκ ἂν ἀποθάνοι. ἐκ δὲ τοῦ ὄπισθεν οὐ ῥηϊδιον τοιαύτην ἔξαλσιν γενέσθαι ἐς τὸ εἴσω, εἰ μὴ ὑπέρβαρύ τι ἄχθος ἐμπέσοι. τῶν τε γὰρ ὀστέων τῶν ἐκπεφυκότων ἔξωθεν ἕκαστον τοιοῦτόν ἐστιν, ὥστε πρόσθεν ἂν αὐτὸ καταγείη, πρὶν ἢ μεγάλην ῥοπὴν εἴσω ποιῆσαι τούς τε συνδέσμους βιασάμενον.

Εἰς τὸ πρόσω ῥέπον δηλονότι, καὶ γὰρ φαίνεται τοῦτο. δύο δέ εἰσιν οἱ πρῶτοι σφόνδυλοι, καθ' οὓς τὸ ἄρθρον γίγνεται τοῦ αὐχένος, καθ' ὃ λοιπὸν τρεῖς εἰσιν, ὧν οὐκ ἐμνημόνευσεν, ὅπως ἔχουσι· θέσεως ἐν τῷ μεταξὺ τοῦ δευτέρου καὶ τοῦ ἕκτου, τρίτος καὶ τέταρτος καὶ πέμπτος. οἳ δὴ μάλιστα φαίνονται θέσιν εὐθεῖαν ἔχοντες ὄντες καὶ ἄλλοι μικρότατοι τῶν δύο σφονδύλων, καὶ μάλισθ' ὁ τρίτος· ὁ γάρ τοι τέταρτος ἢ μείζων ἐστὶν αὐτοῦ, καθάπερ καὶ τούτοις

per ventrem vehementi ictu tendantur: ſic autem homo interiret aut niſi quis in ſuperiori loco decidens in coxas vel ſcapulas cadat, ſed et ſic quoque exſpirare. A poſteriori autem parte non facile expellitur vertebra in interiorem, niſi aliquid grave admodum ſuper ipſam incidat; oſſa enim quae ab exteriori parte procedunt, ſingula talia ſunt ut potius frangi poſſint quam coactis ligamentis valde in interiorem partem erumpere.

Spectans in priorem partem dixit λορδὸν, ita enim conſpicitur. Duo autem ſunt primae vertebrae quibus cervicum commiſſura efficitur; poſt quas relinquuntur tres quarum non meminit, quomodo collocatae ſint inter ſecundam et ſextam, nempe tertia, quarta et quinta, quae maxime videntur rectum poſitum habere. Hae autem vertebrae longe minores ſunt duabus et praecipue tertia; quarta enim hac major eſt, ſicut his rurſus quinta, ſexta

Ed. Chart. XII. [386. 387.] Ed. Baſ. V. (619.)

πάλιν ὁ πέμπτος· ὁ δὲ ἕκτος οὐ τούτων μόνον, ἀλλὰ καὶ τοῦ ἑβδόμου μείζων. οἱ δ' ἀπὸ τοῦδε πάντες ἄχρι καὶ τοῦ πέρατος τῆς ῥάχεως ἀλλήλων ἀνάλογον μείζους εἰσὶν ἐπ ἀνθρώπου ἐξεταζομένου τοῦ λόγου καὶ μετ' αὐτὸν ἐπὶ πιθήκοις, ὅσοι τὸ πρόσωπον ἀνθρωποειδέστερον ἔχουσι καὶ μᾶλλον τῶν ἄλλων ὄρθιοι βαδίζουσιν, οὗτοι τά τ' ἄλλα καὶ τὴν τῶν ὀστῶν θέσιν ἂν ἐοίκασιν ἀνθρώποις. ἔχουσι δέ τι κοινὸν ἐν τῇ ῥάχει πρὸς τὰ ἄλλα ζῶα τὰ τετραπόδα τοῖς ἀνθρώποις οὐχ ὑπάρχον. ἔστι γὰρ αὐτοῖς ὀσφὺς μακροτέρα τῆς ἐπ' ἀνθρώπου ἀνάλογον δηλονότι τοῦ μεγέθους τοῦ ἄλλου ἐξεταζόντων ἡμῶν ἀνθρώποις μόνον· κατὰ τὴν ὀσφῦν εἰσι σφόνδυλοι τοῖς πιθήκοις, ὥσπερ καὶ τοῖς ἄλλοις τετράποσίν εἰσιν. ἐπισημήνασθαι δὲ προσήκει κατὰ τὸν ἐνεστῶτα λόγον ὅτι προθέμενος εἰπεῖν περὶ τοῦ τῆς ῥάχεως σχήματος ἀρξάμενός τε τοῦ λόγου κατὰ τήνδε τὴν λέξιν, αὐτὴ δὲ ἡ ῥάχις κατὰ μῆκος ἰθυσκόλιός ἐστιν. ἐπὶ τελευτῇ τοῦ λόγου προσέθηκεν, αὐτὸ δὲ τὸ ἄρθρον τοῦ [387] αὐχένος λορδόν ἐστι. δόξει γὰρ οὖν πάλιν ἐν τούτῳ καὶ τὸν τράχηλον προσνέμειν τῇ ῥάχει.

---

vero non his dumtaxat major eſt, ſed ſeptima etiam. Ab hac autem uſque ad extremam ſpinam pro ratione altera major altera eſt, ſi haec in homine perpendantur vel in ea ſimia quae hominis faciem magis repraeſentat et magis quam ceterae recta inambulat; namque haec et in aliis et in oſſibus homini ſimillima eſt. Unum autem in ſpina habet aliorum quoque quadrupedum commune quod in homine non reperitur, nempe lumbos pro magnitudine reliquarum partium corporis longiores quam homo cui ad lumbos quinque dumtaxat vertebrae ſunt; in ſimiis autem, ſicut in aliis quadrupedibus, ſex. Illud autem animadvertere in propoſitis verbis oportet, quod Hippocrates quum de ſpinae figura tractare conſtituiſſet orſus hoc modo: ipſa autem ſpina in longitudinem recta obliqua eſt; in extrema oratione adjecit, ipſa vero cervicum commiſſura in interiorem partem ſpectat; videbitur enim hic rurſus cervices ſpinae partem poſuiſſe.

Ed. Chart. XII. [387.] Ed. Baf. V. (619. 620.)

μστ'.

Κατὰ τὰ ἄρθρα τὰ ἐνηλλαγμένα ὅ τε αὖ νωτιαῖος πονοίη ἂν, εἰ ἐξ ὀλίγου χωρίου τὴν περικαμπὴν ἔχοι τοιαύτην ἔξαλσιν ἐξαλλομένου σφονδύλου, ὅ τ' ἐκπηδήσας σφόνδυλος πιέζοι ἂν τὸν νωτιαῖον, εἰ μὴ καὶ ἀποῤῥήξειε, πιεχθεὶς δ' ἂν καὶ ἀπολελαμμένος πολλῶν ἂν καὶ μεγάλων καὶ ἐπικαίρων ἀπονάρκωσιν ποιήσειεν, ὥστε οὐκ ἂν μέλλοι τῷ ἰητρῷ, ὅπως χρὴ τὸν σφόνδυλον κατορθῶσαι, πολλῶν καὶ βιαίων ἄλλων κακῶν παρεόντων, (620), ὥσιε δὴ οὐδ' ἐμβαλεῖν οἷόν τε οὔτε κατασεῖσαι οὔτ' ἄλλῳ τρόπῳ τινὶ, πρόδηλον τὸ τοιοῦτον, εἰ μή τις διαταμὼν τὸν ἄνθρωπον.

Τῶν σφονδύλων ἄρθρα φησὶν ἃ πρὸς ἀλλήλους ἀπολλυμένων κατὰ τὰς πλαγίας ἀποφύσεις. ἐνηλλαγμένα δὲ εἶπεν, ὅτι δύο μὲν ὑψηλοτέρας ἀποφύσεις ἔσχον αὐτῶν, ἕκαστος δὲ διαρθροῦται πρὸς τὸν ὑπερκείμενον. ἄλλας δὲ ταπεινοτέρας αὖ πάλιν αἷς πρὸς τὸν ὑποκείμενον διαρθροῦται, κατὰ μὲν τὰς ἑτέρας αὐτῶν ὑποδέχεται τὰς ἐξοχὰς τοῦ πλη-

XLVI.

Et articuli qui alios recipiunt et in alios conjiciuntur. Medulla item ſpinae laboraret, ſi parumper loco mota inclinaretur vertebra hoc modo expulſa. Luxata inſuper vertebra medullam comprimeret, ſi non laceraret; haec autem compreſſa detentaque multis locis grandibus et praecipuis torporem afferret, ita ut medico non amplius curae eſſet qua ratione dirigere vertebram deberet, circumſtantibus multis aliis malis violentis. Sed manifeſtum quoque eſt, reſtitui non poſſe neque concutiendo, neque alia via.

Vertebrarum articulos dicit in proceſſibus a lateribus ſitis, quorum alter alterum excipit. Eos autem ait recipere et in alios conjici, eo quod utraque vertebra duobus proceſſibus ſublimioribus cum ſuperiori vertebra committatur, duobus humilioribus cum inferiori, ſic ut aliis proximae vertebrae proceſſus admittat, aliis in alterius pro-

Ed. Chart. XII. [387.] Ed. Baſ. V. (620.)

σιάζοντος, κατὰ δὲ τὰς ἑτέρας ἐπιβαίνει θάτερον. γέγραπται δὲ περὶ τούτων ἀκριβῶς ἐν τῷ περὶ τῶν ὀστέων.

μζ'.

Ἔπειτα ἐσμασάμενος ἐς τὴν κοιλίην ἐκ τοῦ εἴσωθεν τῇ χειρὶ ἐς τὸ ἔξω ἀντωθέοι, καὶ ταῦτα νεκρῷ μὲν οἷόν τε ποιέειν, ζῶντι δὲ οὐ πάνυ. διὰ τί οὖν ταῦτα γράφω; ὅτι οἵονταί τινες ἰητρευκέναι ἀνθρώπους, οἷσιν εἴσωθεν ἔπεσον σφόνδυλοι τελέως ὑπερβάντες τὰ ἄρθρα. καίτοι γε ῥηΐστην ἐς τὸ περιγενέσθαι τῶν διαστροφέων ταύτην ἔνιοι νομίζουσι καὶ οὐδὲν δεῖσθαι ἐμβολῆς, ἀλλ' αὐτόματα ὑγιέα γενέσθαι τὰ τοιαῦτα. ἀγνοέουσι δὲ πολλοὶ καὶ κερδαίνουσιν ὅτι ἀγνοέουσι· πείθουσι γὰρ τοὺς θέλας, ἐξαπατῶνται δὲ διὰ τόδε. οἵονται τὴν ἄκανθαν τὴν ἐξέχουσαν κατὰ τὴν ῥάχιν ταύτην τοὺς σφονδύλους αὐτοὺς εἶναι, ὅτι στρογγύλον αὐτῶν ἕκαστον φαίνεται ψαυόμενον, ἀγνοοῦντες ὅτι τὰ ὀστέα ταῦτά ἐστι τὰ ἀπὸ τῶν σφονδύλων πεφυκότα, περὶ ὧν ὁ λόγος ὀλίγῳ πρόσθεν εἴρηται.

ceſſus conjiciatur, quae omnia perfecte exſequuti ſumus in libro de oſſibus.

XLVII.

Niſi hominem ſeces, deinde manu alte in ventrem indita ab interiori parte in exteriorem compellas, quod quidem mortuo fieri licet, vivente nullo pacto. Quorſum igitur haec ſcribimus? Quoniam nonnulli ſibi perſuadent ſe ſanaſſe eos quibus vertebrae articuli ex toto excedentes in interiorem partem venerunt. Quamquam nonnulli facillimum exiſtiment vertebris eo modo luxatis evadere nihilque opus eſſe reſtituere, ſed eas per ſe reſtitui. Multi ſane ignari ſunt et ob imperitiam lucrum faciunt, vulgo enim ſuadent: hoc itaque pacto decipiuntur. Spinam quae in dorſo exſtat putant eſſe ipſas vertebras, nam ſingula tactu ibi rotunda ſentiuntur, neque intelligunt haec oſſa ex vertebris procedere, de quibus paulo ſupra tractavimus; ipſas vero vertebras

Ed. Chart. XII. [387.] Ed. Baf. V. (620.)

οἱ δὲ σφόνδυλοι πολὺ προσωτέρω ἄπεισι. στενοτάτην γὰρ πάντων ζώων ἄνθρωπος κοιλίην ἔχει ὡς ἐπὶ μεγέθει ἀπὸ τοῦ ὄπισθεν ἐς τὸ ἔμπροσθεν ποτὶ καὶ κατὰ τὸ στῆθος. ὅταν οὖν τι τούτων τῶν ὀστέων τῶν ὑπερεχόντων ἰσχυρῶς καταγῇ, ἢν τε πλείω ταύτῃ ταπεινότερον τὸ χωρίον γίνεται ἢ τὸ ἔνθεν καὶ ἔνθεν. διὰ τοῦτο ἐξαπατῶνται οἰόμενοι τοὺς σφονδύλους εἴσω οἴχεσθαι, προσεξαπαιᾷ δὲ ἔτι αὐτοὺς καὶ τὰ σχήματα τῶν τετρωμένων· ἢν μὲν γὰρ πειρῶνται καμπύλεσθαι, ὀδυνῶνται ὀστέα τὰ περιτενέος γιγνομένου ταύτῃ τοῦ δέρματος ἢ τείρωται καὶ ἅμα τὰ κατηγότα ἐνθράσσει οὕτω μᾶλλον τὸν χρῶτα, ἢν δὲ λορδαίνουσι ῥᾴους εἰσί. χαλαρώτερον γὰρ τὸ δέρμα κατὰ τὸ τρῶμα γίνεται καὶ τὰ ὀστέα ἧσσον ἐνθράσσει, ἀτὰρ καὶ ἤν τις ψαύῃ αὐτῶν κατὰ τοῦτο, ὑπείκουσι λορδοῦντες καὶ τὸ χωρίον κενὸν καὶ μαλθακὸν ψαυόμενον ταύτῃ φαίνεται. ταῦτα πάντα τὰ εἰρημένα προσεξαπαιᾷ τοὺς ἰητρούς. ὑγιέες δὲ ταχέως καὶ ἀσινέως αὐτόματοι οἱ

multo magis in priorem partem ſitas eſſe: ſiquidem ex omnibus animalibus homo pro magnitudine ventrem habet anguſtiſſimum a poſteriore parte in priorem, praecipue ad thoracem. Ergo ubi aliquod ex iis oſſibus quae valde excedunt comminuatur, ſive unum ſive plura, is locus humilior fit quam qui hinc eſt atque hinc; ac propterea errant putantes, vertebras in interiorem partem procidiſſe. Quos item fallit habitus eorum qui icti ſunt; nam ſi curvari velint, dolent, quum qua parte percuſſi ſunt, cutis tendatur ſicque oſſis fragmenta carnem magis vulnerent; ſin ita figurati ut ſpina a poſteriori parte cava ſit, levantur: cutis enim qua fractura eſt laxior efficitur et oſſa minus vulnerant; quin ſi ea partet angantur, cedunt, ſpinam in priorem partem compellentes, isque locus inanis et mollis tangenti apparet. Haec omnia quae dicta ſunt medicos fallunt, cito autem ac ſine aliquo detrimento, hujusmodi homines per

Ed. Chart. XII. [387. 388.] Ed. Baſ. V. (620.)

τοιοῦτοι γίνονται. [388] ταχέως γὰρ πάντα τὰ τοιαῦτα ὀστέα ἐπιπωροῦται ὅσα χαῦνά ἐστιν.

Ἐσμασάμενος τουτέστι ἐντιθεὶς εἰς βάθος τὴν χεῖρα χάριν τοῦ διαζητῆσαί τι τῶν ἐν αὐτῷ.

μή.

Σκολιαίνεται γοῦν ῥάχις καὶ ὑγιαίνουσι κατὰ πολλοὺς τρόπους· καὶ γὰρ ἐν τῇ φύσει καὶ ἐν τῇ χρήσει οὕτως ἔχει, ἀτὰρ καὶ ὑπὸ γήραος καὶ ὑπὸ ὀδυνημάτων, ἐπεὶ ξυνδετικὴ ἐστιν. αἱ δὲ δὴ κυφώσιες αἱ ἐν τοῖσι πτώμασιν ὡς ἐπὶ τὸ πολὺ γίνονται ἢν ἢ τοῖσιν ἰσχίοισιν ἐρείσῃ ἢ ἐπὶ τοὺς ὤμους πέσῃ. ἀνάγκη γὰρ ἔξω φαίνεσθαι ἐν τῷ κυφώματι ἕνα μέν τινα ὑψηλότατον τῶν σφονδύλων, τοὺς δὲ ἔνθεν καὶ ἔνθεν ἐπὶ ἧσσον. οἴκουν ὡς ἐπὶ πολὺ ἀποπεπηδηκὼς ἀπὸ τῶν ἄλλων ἐστὶν, ἀλλὰ μικρὸν, ἢν ἕκαστος συνδιδοῖ ἀθρόως πολύ. διὰ οὖν τοῦτο καὶ ὁ νωτιαῖος μυελὸς εὐφόρως φέρει τὰς τοιαύτας διαστροφὰς,

ſe ſaneſcunt: haec enim oſſa omnia quae rara ſunt callo celeriter glutinantur.

Manum alte indere in ventrem, cauſſa conquirendi quae ibi ſunt, dixit ἀσμάσσεσθαι.

XLVIII.

Jam vero iis qui ſani ſunt obliqua ſpina fit pluribus modis, namque et natura et uſu ſic habet; ſed et ob ſenium et ſub dolore: haec ſiquidem colligandi vim habent. Gibba autem plerumque fit, quum homo vel in coxas vel in ſcapulas cadit; neceſſe enim eſt in ſpina gibba unam aliquam vertebram reliquarum omnium conſpici maxime ſublimem, eas autem quae hinc atque hinc ſunt minus. Nec plurimum hujusmodi vertebra ab aliis recedit, ſed parum, quando ſingulae ſubito plurimum cedunt. Hac igitur de cauſa et ſpinae medulla facile

Ed. Chart. XII. [388.] Ed. Baſ. V. (620.)

ὅτι κυκλώδης αὐτῷ ἡ διαστροφὴ γίνεται, ἀλλ' οὐ γωνιώδης.

Τὴν μὲν εἰς τοὐπίσω διαστροφὴν τῆς ῥάχεως κύφωσιν ὀνομάζει, τὴν δὲ εἰς τὸ πρόσω λόρδωσιν, τὴν δὲ εἰς τὰ πλάγια σκολίωσιν. ἀλλὰ τούτῳ γε τῷ ὀνόματι τῆς σκολιώσεως καθ' ἕτερον χρῆται τρόπον καθ' ἅπασαν διαστροφὴν ῥάχεως, ἐνδεικνυμένου δὴ αὐτοῦ ὡς σημαίνοντός τι γενικώτερον τῶν ἄλλων. οὕτω γὰρ καὶ νῦν εἶπε, σκολιαίνεσθαι ῥάχιν ἐν ἴσῳ τῷ διαστρέφεσθαι καθ' ὁντιναοῦν τρόπον. καὶ ἔμπροσθεν δέ που ἔλεγεν. αὐτὴ δὲ ἡ ῥάχις κατὰ μῆκος ἰθυσκόλιός ἐστιν, αὐτῆς δηλώσας διαστροφὴν εἴς τε τοὐπίσω καὶ πρόσω.

μθ'.

Χρὴ δὲ τὴν κατασκευὴν τοῦ διαναγκαζομένου τοιήνδε κατεσκευάσθαι. ἔξεστι μὲν ξύλον ἰσχυρὸν καὶ πλατὺ ἐντομὴν παραμήκεα ἔχον κατορύξαι, ἔξεστι δὲ καὶ ἀντὶ τοῦ

fert, quum ita pervertitur; quum fiat gibba in orbem, non ad angulum.

Ubi ſpina gibba ſit, hoc eſt in poſteriorem partem convertitur, *κύφωσιν* appellat, *λόρδωσιν* ubi curva, ſpectatque in priorem; ubi obliqua et in latera, *σκολίωσιν*. Quo verbo utitur alio modo et ad omnem ſpinae depravationem ſignificandam, indicans verbum generale magis eſſe quam alia, in qua ſignificatione nunc quoque ait ſpinam *σκολιαίνεσθαι*, quaſi dicat quovis modo perverti; atque in ſuperioribus etiam dixit: ipſa autem ſpina in longitudinem recte obliqua eſt, obliquam vocant *σκολίην*, ubi eam inclinare in priorem et poſteriorem partem indicavit.

XLIX.

Oportet autem reſtituendi rationem hujusmodi praeparare. Commode quidem lignum firmum ac latum quod in longitudinem inciſum ſit foditur, commode etiam pro ligno

Ed. Chart. XII. [388. 389.] Ed. Baf. V. (620. 621.)

ξύλου ἐν τοίχῳ ἐντομὴν παραμήκεα ἐντεμεῖν ἢ πήχεϊ ἀνωτέρω τοῦ ἐδάφεος ἢ ὅκως ἂν μετρίως ἔχῃ, ἔπειτα οἷον στύλον δρύϊνον, τετράγωνον, πλάγιον παραβάλλειν ἀπολείποντα ἀπὸ τοῦ τείχου, ὅσον παρελθεῖν τινα, ἢν δέῃ, καὶ ἐπὶ μὲν τὸν στύλον ἐπιστορέσαι ἢ χιτῶνας ἢ ἄλλο τι ὃ μαλθακὸν μέν ἔσται, ὑπείξει δὲ μὴ μέγα, τὸν δὲ ἄνθρωπον πυριῇ- (621) σαι. ἢν δὲ δέχηται, πολλῷ καὶ θερμῷ λούσας, κἄπειτα πρηνέα κατακλῖναι κατατεταμένον, καὶ τὰς μὲν χεῖρας αὐτοῦ παρατείναντα κατὰ φύσιν, προσδῆσαι πρὸς τὸ σῶμα. ἱμᾶντι δὲ μαλθακῷ ἱκανῷ πλατεῖ τε καὶ μακρῷ ἐκ δύο διαντέων ξυμβεβλημένῳ μέσῳ, κατὰ μέσον τὸ στῆθος δὶς περιβεβλῆσθαι χρὴ ὡς ἐγγυιάτω τῶν μασχαλέων, ἔπειτα τὸ περισσεῦον τῶν ἱμάντων κατὰ τὴν μασχάλην, ἑκάτερον περὶ τοὺς ὤμους περιβεβλήσθω, ἔπειτα αἱ ἀρχαὶ πρὸς ξύλον ὑπεροειδές τι προσδεδέσθωσαν ἁρμόζουσαι κατὰ μῆκος τῷ ξύλῳ τῷ ὑποτεταμένῳ [389] πρὸς ὃ τι προσβάλλον τὸ ὑπεροειδὲς ἀντισηρίζοντα κατατείνει. τοιούτῳ δέ τινι ἑτέρῳ δεσμῷ χρὴ ἄνωθεν τῶν

paries in longitudinem excavatur, quod cavum a pavimento vel cubitum vel quantum res exigit attollatur. Dein veluti quadrata columna querna transverſa adhibetur, quae a pariete eatenus recedat ut aliquis inter utrumque ubi opus ſit transire queat; ſternitur columna haec vel tunicis vel quapiam re quae mollis ſit et non admodum cedat. Homo fovetur et ſi ſuſtinet, multa aqua calida lavatur, deinde in ventrem jacet extentus brachiis ſecundum naturam porrectis atque ad corpus alligatis. Lorum item molle latumque abunde et longum, quod conſtet duabus habenis, medium medio pectori injectum bis circumdatur quantum poteſt juxta alas; poſtea quod ex loris ſupereſt circa alas humeri capiti obvolvitur capitaque ad aliquod lignum cujusmodi piſtillum eſt alligantur: eorum enim longitudo aptatur longitudini ejus ligni quod ſubjectum eſt, ut hoc piſtillo extendenti mora ſit. Hujusmodi etiam aliud vinculum

Ed. Chart. XII. [389.] Ed. Baſ. V. (621.)

γουνάτων δήσαντα καὶ ἄνωθεν τῶν πτερνέων τὰς ἀρχὰς τῶν ἱμάντων πρὸς τοιοῦτό τι ξύλον προσδῆσαι, ἄλλῳ δὲ ἱμᾶντι πλατεῖ καὶ μαλθακῷ καὶ δυνατῷ ταινιοειδεῖ πλάτος ἔχοντι καὶ μῆκος ἱκανὸν ἰσχυρῶς περὶ τὰς ἰξύας κύκλῳ περιδεδέσθαι, ὡς ἐγγύτατα τῶν ἰσχίων, ἔπειτα τὸ περισσεῦον τοῦ ταινιοειδέος ἅμα ἀμφοτέρας τὰς ἀρχὰς τῶν ἱμάνιων πρὸς τὸ ξύλον προσδῆσαι τῶν ποδῶν, κἄπειτα κατατείνειν ἐν τούτῳ σχήματι καὶ ἔνθεν καὶ ἔνθεν, ἅμα μὲν ἰσορρόπως, ἅμα δὲ ἐς ἰθύ. οὐδὲν γὰρ ἂν μέγα κακὸν ἡ τοιαύτη κατάτασις ποιήσῃ, εἰ χρησιῶς σκευασθείη· εἰ μὴ ἄρα ἐξεπίτηδές τις βούλοιτο τείνεσθαι. τὸν δὲ ἰητρὸν χρὴ ἢ ἄλλον ὅστις ἰσχυρὸς καὶ μὴ ἀμαθὴς ἐπιθέντα τὸ θέναρ τῆς χειρὸς ὑπὸ τὸ ὕβωμα καὶ τὴν ἑτέρην χεῖρα προσεπιθέντα ἐπὶ τὴν ἑτέρην καταναγκάζειν προοξυνιέντα, ἤν τε ἐς ἰθὺ ἐς τὸ κάτω πεφύκῃ καταναγκάζεσθαι, ἤν τε πρὸς τῆς κεφαλῆς, ἤν τε πρὸς τῶν ἰσχίων. καὶ ἀσινεστάτη μὲν αὕτη ἡ ἀνάγκη. ἀσινὲς δὲ καὶ ἐπικαθίζεσθαί τινα πρὸς τὸ κύφωμα τοῦ ἅμα κατα-

ſuper genua et ſuper calces datur, capitaque ejus ad aliquod tale lignum vinciuntur. Aliud inſuper lorum latum molle ac valens habenae modo convenienter longum ac latum coxis in orbem firmiter devincitur quam maxime poteſt prope coxas; deinde lori quod ſupereſt utrumque caput ſimul ad lignum quod ad pedes ſit alligatur. Homine ita figurato intenſio in diverſa adhibetur ſine ulla inclinatione ſimul et recta; nullum enim magnum detrimentum inferre ejusmodi intenſio poteſt, ſi recte praeparetur, niſi quis de induſtria id agat. Medicus vero vel alius quivis modo praevalens ſit et non imperitus ſublimiori unius palmae parte qua ſpina gibba eſt data atque alterius palmae ſublimiori parte ſuperinjecta comprimit, intuitus non recta deorſum verſus caput vel verſus coxas debeat comprimere. Adhibetur autem hoc modo vis maxime innocenter; innocenter etiam ſi quis ſuper eam partem qua ſpina gibba

Ed. Chart. XII. [389.] Ed. Baſ. V. (621.)

τεινομένου ἐνσεῖσαι μετεωρισθέντα, ἀτὰρ καὶ ἐπιβῆναι τῷ ποδὶ καὶ ὀχηθῆναι ἐπὶ τὸ κύφωμα ἡσύχως τε ἐπενσεῖσαι οὐδέν κωλύει. τὸ τοιοῦτο δὲ ποιῆσαι μετρίως ἐπιτήδειος ἄν τις εἴη τῶν ἐπὶ παλαίστραν εἰθισμένων. δυνατωτάτη μέντοι τῶν ἀναγκαίων ἐστὶν, εἰ ὁ μὲν τοῖχος ἐντετμημένος εἴη, τὸ δὲ ξύλον τὸ κατορωρυγμένον ᾖ ἐντέτμηται κατωτέρω εἴη τῆς ῥάχιος τοῦ ἀνθρώπου, ὀκύσῳ ἂν δυκέῃ μετρίως ἔχειν, σανὶς δὲ ἰφιλυρίνη μὴ λεπτὴ ἐνείη ἢ καὶ ἄλλου τινὸς ξύλου, ἔπειτα ἐπὶ τὸ ὕβωμα ἐπιτεθείη ἢ τρύχιόν τι πολύπτυχον ἢ μικρόν τι σκύτινον ὑποκεφάλαιον, ὡς ἐλάχιστα μὴν ὑποκεῖσθαι ξυμφέρει, μόνον προμηθεόμενον ὡς μὴ ἡ σανὶς ὑπὸ σκληρότητος ὀδύνην παρὰ καιρὸν προσπαρέχῃ. κατὰ ἶξιν δὲ ἔστω ὡς μάλιστα τῇ ἐντομῇ τῇ ἐς τὸν τοῖχον τὸ ὕβωμα. ὡς ἂν ἡ σανὶς ᾖ μάλιστα ἐξέστηκε ταύτῃ μάλιστα πιέζῃ ἐπιτεθεῖσα. ὅταν δὲ ἐπιτεθῇ τὸν μέν τινα καταναγκάζειν χρὴ τὸ ἄκρον τῆς σανίδος, ἤν τε ἕνα δέῃ, ἤν τε δύο. τοὺς δὲ κατατείνειν τὸ σῶμα κατὰ μῆκος, ὡς πρόσθεν

eſt ſedeat, ſimulque ubi homo extenditur, ſe attollens concutiat. Sed et pedibus conſiſtere ſuper ſpinam qua gibba eſt, ſuſtinerique et leniter concutere nihil prohibet, ad quam rem ſatis idoneus eſt quilibet palaeſtrae aſſuetus. Aptiſſime autem cogitur, ſi paries qui excavatur vel lignum quod foditur, quatenus convenire videbitur, infra hominis ſpinam incidatur; aſſer vero e tilia vel ex altero ligno non tenui ſecetur, tum ſupra ſpinam qua gibba eſt vel multiplex panniculus vel parvus aliquis pulvinus ſcorteus imponatur; ſed quantum minime poteſt convenit haec ſubjicere. Videndum eſt ſolummodo ne aſſer prae duritia fruſtra dolori ſit; ea autem pars ſpinae quae gibba eſt ſit maxime e regione ejus partis qua paries exciſus eſt, ut aſſer qua maxime ſpina exſtat ſuperimpoſitus maxime premat; adhibitus vero aſſer a miniſtro uno vel altero, ſi opus fuerit, cogatur; alii, ut ſupra oſtenſum eſt, hinc atque hinc in

Ed. Chart. XII. [389.] Ed. Baſ. V. (621.)

εἴρηται, τοὺς μὲν τῇ, τοὺς δὲ τῇ. ἔξεστι δὲ καὶ ὀνίσκοισι τὴν κατάτασιν ποιέεσθαι ἢ παρακατορύξαντα παρὰ τὸ ξύλον ἢ ἐν αὐτῷ τῷ ξύλῳ τὰς φλιὰς τῶν ὀνίσκων ἐντεκτηνάμενον, ἤν τε ὀρθὰς ἐθέλῃς ἑκατέρωθεν μικρὸν ὑπερεχούσας, ἤν τε κατὰ κορυφὴν τοῦ ξύλου ἔνθεν καὶ ἔνθεν. αὗται αἱ ἀνάγκαι εὐταμίευτοί εἰσι καὶ ἐς τὸ ἰσχυρότατον καὶ τὸ ἧσσον καὶ ἰσχὺν ἔχουσι τοιαύτην, ὥστε καὶ εἴ τις ἐπὶ λύμῃ βούλοιτο, ἀλλὰ μὴ ἐπὶ ἰητρείῃ ἐς τοιαύτας ἀνάγκας ἀγαγεῖν, κἂν τούτῳ ἰσχυρῶς δύνασθαι· καὶ γὰρ ἂν κατατείνων κατὰ μῆκος μοῦνον ἔνθεν καὶ ἔνθεν, οὕτω καὶ ἄλλην ἀνάγκην οὐδεμίην προστιθεὶς, ὅμως κατατείνειεν ἄν τις, ἀλλὰ μὴν καὶ ἢν μὴ κατατείνων. αὐτῇ δὲ μοῦνον τῇ σανίδι οὕτως εἰ ποιέει τις καὶ οὕτως ἱκανῶς καταναγκάσειε. καλαὶ οὖν αἱ τοιαῦται ἰσχύες εἰσὶν, ᾗ ἔξεστι καὶ ἀσθενεστέρῃσι καὶ ἰσχυροτέρῃσι χρέεσθαι αὐτὸν ταμιεύοντα, καὶ μὲν δὴ καὶ κατὰ φύσιν γε ἀναγκάζουσι. τὰ μὲν γὰρ ἐξεστεῶτα ἐς τὴν χώρην ἀναγκάζει καὶ ἡ ἵπποσις εἶναι, τὰ δὲ ξυνελθόντα κατὰ φύσιν κατατείνουσιν

longitudinem corpus intendant. Licet et per axes extendere vel juxta lignum defoſſos vel contentos in quibusdam lignis in ipſum defixis quae erigantur ſive utrimque a lateribus paullulum exſtantia, ſive in utraque ejus extremitate. Accommodatur autem vis quae per haec adhibetur et ubi vehementiore et ubi leniore opus eſt. Tantum enim roboris habet, ut ſi quis non in medicina, ſed ad torquendos homines eam adhibeat praeſtanter ad id valeat, ita ut ſive tantum extendamus in longitudinem hinc atque hinc nihil ultra cogentes, ſive citra intenſionem aſſerem dumtaxat admoveamus abunde ſit. Optimum autem eſt uti ejusmodi via, quam in ipſo uſu et intendendo et remittendo moderari potes, quaene ſecundum naturam eſt. Quaecunque igitur exſtant compreſſa in ſuum locum redeunt, quae praeter naturam coierunt intenſa ſecundum naturam compelluntur. Equi-

Ed. Chart. XII. [389. 390.] Ed. Baſ. V. (621. 622.)

αἱ κατὰ φύσιν κατατάσιες. οὔκουν ἐγὼ ἔχω τουτέων ἀνάγκας καλλίους οὐδὲ δικαιοτέρας.

---

[390] (622) Τὰ ἐφεξῆς ἅπαντα σαφῶς ἑρμηνεύοντι, δι' ὧν νῦν καὶ ἔστιν ὅτε παρακολουθεῖ τις λεγομένοις, οὔτε ἐξηγήσεως, ἀλλὰ δείξεώς ἐστιν αὐτοῦ χρεία. καὶ μέντοι καὶ τὰ ὑπομνήματα τοῖς ἑωρακόσιν ἤδη τὰς τοιαύτας ἐνεργείας γράφεται. λέλεκται δέ μοι καὶ πρόσθεν ὅτι τὰ οὕτω σαφῶς ὑπ' αὐτοῦ γεγραμμένα μὴ νοήσας τις κατὰ τὴν πρώτην ἐπιβολὴν καὶ δὶς καὶ τρὶς καὶ πλεονάκις ἀναγνώτω προσέχων τὸν νοῦν. εἰ γὰρ τοῦτο ποιήσῃ, πάντως ταῦτ' ἐννοήσει σαφῶς ἑρμηνευόμενον.

ν'.

Ἡ γὰρ κατ' αὐτὴν τὴν ἄκανθαν ἰθυωρία τῆς κατατάσιος κάτωθέν τε καὶ κατὰ τὸ ἱερὸν ὀστέον καλεόμενον οὐκ ἔχει ἐπιλαβὴν οὐδεμίην, ἄνωθεν δὲ κατὰ τὸν αὐχένα καὶ κατὰ τὴν κεφαλὴν ἐπιλαβὴν μὲν ἔχει, ἀλλ' ἐς ἰδέην γε ἀπρε-

dem agendi alium modum meliorem aut juſtiorem habeo nullum.

Quae ſubjicit plane omnia explicat; quare ſi quis non percipit quae proponuntur, huic non explanatione opus eſt, ſed monſtratione; quin et commentaria ad eos ſcribuntur qui ejusmodi curationes jam inſpexerint. Monui etiam in ſuperioribus, ut ſi quis prima lectione non intelligat, quae ita clare ab Hippocrate ſcribuntur, iterum et tertio et ſaepius diligenti animadverſione relegat; quodſi hoc faciat, quae plane ab ipſo traduntur omnino intelliget.

L.

Nam quum e regione ipſius ſpinae intenſio adhibetur ab inferiori parte et juxta os quod ſacrum appellatur, non eſt locus qui prehendi poſſit; a ſuperiori juxta cervices et caput eſt quidem, ſed adſpectu indecorus, praeter-

Ed. Chart. XII. [390.] Ed. Baſ. V. (622.)

πής. ταύτῃ τοι γενομένη ἡ κατάτασις καὶ ἄλλας βλάβας ἂν προσπαρέχει πλεονασθεῖσα. ἐπειρήθην δὲ δή ποτε ὕπτιον τὸν ἄνθρωπον κατατείνας ἀσκὸν ἀφύσητον ὑποθεῖναι ὑπὸ τὸ ὕβωμα, κἄπειτα αὐλὸν ἐκ χαλκείου ἐς τὸν ἀσκὸν τὸν ὑποκείμενον ἐνιέντα φυσᾶν, ἀλλά μοι οὐκ εὐπορεῖτο. ὅτε γὰρ εὖ κατατείνοιμι τὸν ἄνθρωπον, ἠσσᾶτο ὁ ἀσκὸς καὶ οὐκ ἠδύνατο ἡ φῦσα ἐπαναγκάζεσθαι· καὶ ἄλλως ἕτοιμον περιολισθαίνειν ἦν, ἅτε ἐς τὸ αὐτὸ ἀναγκαζόμενον τό τε τοῦ ἀνθρώπου ὕβωμα καὶ τὸ τοῦ ἀσκοῦ πληρουμένου κύρτωμα. ὅτε δ' αὖ μὴ κάρτα κατατείνουμι τὸν ἄνθρωπον, ὁ μὲν ἀσκὸς ὑπὸ τῆς φύσης ἐκυρτοῦτο, ὁ δὲ ἄνθρωπος πάντῃ μᾶλλον ἐλορδαίνετο ἢ συνέφερεν. ἔγραψα δὲ ἐπίτηδες τοῦτο. καλὰ γὰρ καὶ ταῦτα μαθήματά ἐστιν, ἃ πειρηθέντα ἀπορηθέντα ἐφάνη καὶ δι' ἅπερ ἠπορήθη.

Αὐτὸς ἂν ἐπιλαβὴν εἴρηκε τὴν οἷον ἀντιλαβὴν καὶ ἀντίληψιν, ὥστε στηριχθῆναι τοὺς περιβαλλομένους τροχοὺς

quam quod ſi corpus ab hac parte valentius extendatur, alia quoque noxa afferetur. Expertus aliquando ſum utrem non inflatum, quem reſupinato homine ſpinae qua gibba erat ſubjeci, dein fiſtula ahenea demiſſa inflavi, ſed parum proceſſit. Cedebat enim uter, quum homo bene extendebatur, neque ſpiritus impellere quidquam poterat, ſed alioquin uter prompte labebatur, quum ſe compellerent et gibbus ſpinae locus et repleti utris tumor; at contra quum non valde homo extendebatur, uter ob ſpiritum in tumorem aſſurgebat, ſed homo magis quam expediret in priorem partem convertebatur. De induſtria autem haec ſcripſi, pulchra enim hujusmodi monimenta ſunt eorum, quae quum experti ſumus, ſine affectu invenimus et cauſſarum cur parum proceſſerint.

Locum qui prehendi poſſit ἐπιλαβὴν, quaſi ἀντιλαβὴν et ἀντίληψιν dixit eo quod obex et mora ſit injectis la-

Ed. Chart. XII. [390. 391.] Ed. Baſ. V. (622.)

πρός τε τῶν ἐξεχόντων ἕνεκα τοῦ ἀπορεῖν. κατὰ μὲν τὸ ἱερὸν ὀστέον οὐδὲν ἔχει τοιοῦτον ἄνωθέν τ' ἦν τό τέ τι ἔχῃ καὶ τὴν κεφαλήν, ἅμα φαίνοιτ' ἂν ὁ ἄνθρωπος πνιγόμενος, εἴ τις ἐνταῦθα περιλάβοι, καὶ κατὰ τοῦτ' ἂν ἀπρεπὴς ἡ κατάτασις φαίνοιτο. καὶ μέντοι καὶ βλάβας ἂν παράσχοι εἰ ὀλισθῇ τὸν βρόχον τις ἐπὶ τὸν λάρυγγα.

να'.

Ὅσοισι δὲ ἐς τὸ εἴσω σκολιαίνονται οἱ σφόνδυλοι ὑπὸ πτώματος ἢ καὶ ἐμπεσόντος τινὸς βαρέος, εἷς μὲν οὐδεὶς τῶν σφονδύλων μέγα ἐξίσταται κάρτα ὡς ἐπὶ τὸ πολὺ ἐκ τῶν ἄλλων. ἢν δὲ ἐκστῇ μέγα ἢ εἷς ἢ πλείονες, θάνατον φέρουσιν, ὥσπερ δὴ καὶ πρόσθεν εἴρηται, κυκλώδης καὶ αὕτη καὶ οὐ γωνιώδης γίνεται ἡ παραλλαγή. οὖρα μὲν οὖν τοῖσι τοιούτοισι καὶ ἀπόπατος μᾶλλον ἴσχεται ἢ τοῖσιν ἔξω κυφοῖσι καὶ πόδες καὶ ὅλα τὰ σκέλεα ψύχεται μᾶλλον καὶ θανατηφόρα ταῦτα μᾶλλον ὧν ἔφην. καὶ ἢν περιγένωνται δὲ [391] ῥυώδεες τὰ οὖρα μᾶλλον οὗτοι

queis, ſic ut haereant qua eminet et minime decidant. Ab oſſe ſacro nullus talis locus eſt a ſuperiori parte, quamvis cervices ſint et caput. Homo tamen ſtrangulari videbitur, ſi hac parte prehendatur; atque idcirco ea intendendi ratio indecora habebitur, ſed et noxam inferet, ſi laqueus ad guttur delabatur.

LI.

Quibuscunque autem vertebrae in inferiorem partem convertuntur vel quod homo ceciderit vel quod grave aliquid ſuper ipſum inciderit, plerumque nulla vertebra valde ab aliis recedit; ubi non valde recedat, ſive una ſive plures hominem non praecipitat, ſicut antea dictum eſt, quum ſpina in orbem, non ad angulum pervertatur. His quidem urina et alvus magis ſupprimitur quam quibus vertebrae in exteriorem partem convertuntur pedesque et crura tota magis frigeſcunt; atque haec magis mortifera ſunt quam quae poſita ſunt; quibus ſi

Ed. Chart. XII. [391.] Ed. Baſ. V. (622.)

καὶ τῶν σκελέων ἀκρατέστεροι καὶ ναρκωδέστεροι. ἢν δὲ καὶ ἐν τῷ ἄνω μέρει μᾶλλον τὸ λόρδωμα γένηται, παντὸς τοῦ σώματος ἀκρατέες καὶ νεναρκωμένοι γίνονται. μηχανὴν δὲ οὐκ ἔχω οὐδεμίην ἔγωγε, ὅκως χρὴ τὸν τοιοῦτον ἐς τὸ αὐτὸ καταστῆσαι· καὶ εἰ μή τινα ἡ κατὰ τῆς κλίμακος κατάσεισις ὠφελέειν οἵη τε εἴη ἢ καὶ ἄλλη τις τοιαύτη ἴησις ἢ κατάσεισις, οἵηπερ ὀλίγῳ πρόσθεν εἴρηται. κατανάγκασιν δὲ σὺν τῇ κατασείσει οὐδεμίην ἔχω ἥτις ἂν γίνοιτο, ὥσπερ τῷ κυφώματι τὴν κατανάγκασιν ἡ σανὶς ἐποιέετο. πῶς γὰρ ἄν τις ἐκ τοῦ ἔμπροσθεν διὰ τῆς κοιλίης ἀναγκάσαι δύναιτο; οὐ γὰρ οἷόν τε, ἀλλὰ μὴν οὔτε βῆχες οὔτε πταρμοὶ οὐδεμίην δύναμιν ἔχουσιν, ὥστε τε τῇ τάσει συντιμωρέειν, οὐ μὴν οὐδ' ἔνεσις φύσης ἐνιεμένης ἐς τὴν κοιλίην οὐδὲν ἂν δυνηθῇ. καὶ μὴν αἱ μεγάλαι σικύαι προσβαλλόμεναι ἀνασπάσιος εἵνεκα δῆθεν. τῶν ἴσως ῥεπόντων σφονδύλων μεγάλη ἁμαρτιὰς γνώμης ἐστίν. ἀπωθέουσι γὰρ μᾶλλον ἢ ἀνασπῶσι καὶ οὐδ' αὐτὸ τοῦτο γιγνώσκουσιν οἱ προσβάλλονιες. ὅσῳ γὰρ ἄν τις

evadunt, urina ſine voluntate magis prorumpit cruraque magis reſolvuntur et torpent. Quod ſi ſuperior ſpina in priorem partem convertatur, univerſum corpus reſolvitur ac torpet. Machinationem autem nullam habeo, qua ſpina reſtitui poſſit, ubi ſic luxatur. Quodſi nihil proficiat concutiendi modus qui per ſcalam admovetur vel alia ſimilis curatio ſive extendendi via, qualis paullo ante dicta eſt, nullum novi impellendi ſimul et extendendi modum, qui id praeſtare poſſit quod aſſer ubi ſpina gibba erat. Nam qui fieri poterit ut a priori parte per ventrem impellatur? Ergo neque hoc licet, neque tuſſis aut ſternutamentum vim aliquam habet, quo ad extentionem conferat. Nihil etiam proficies, ſi ſpiritum in ventrem indas; quin et qui magnas cucurbitulas defigunt, ut ſurſum attrahant vertebras quae in interiorem partem exciderunt, ſummopere aberrant; expellunt enim magis quam attrahunt. Quam rem ignorant qui eas defigunt, nam quo major cucurbitula eſt,

Ed. Chart. XII. [391.] Ed. Baſ. V. (622. 623.)

μείζω προσβάλλῃ, τοσούτῳ μᾶλλον λορδοῦντες οἱ προσβληθέντες συναναγκαζομένου ἄνω τοῦ δέρματος. τρόπους δὲ ἄλλους κατασεισίων ἢ οἷοί τε πρόσθεν εἴρηνται, ἔχοιμ' ἂν εἰπεῖν, ἁρμόσαι οὓς ἄν τι δοκέῃ τῷ παθήματι μᾶλλον, ἀλλ' οὐ κάρτα πιστεύω αὐτοῖς, διὰ τοῦτο οὐ γράφω. ἀθρόον δὴ ξυνιέναι χρὴ περὶ τούτων ὧν ἐν κεφαλαίῳ εἴρηται. ὅτι τὰ μὲν εἰς τὸ λορδὸν ῥεύσαντα ὀλέθριά εἰσι καὶ σινόμωρα, τὰ δὲ ἐς τὸ κυφὸν ἀσινέα θανάτου καὶ οὔρων σχεσίων καὶ ἀποναρκωσίων τὸ ἐπίπαν.

Περὶ τῆς ἔσω μεταστάσεως τῶν σφονδύλων γράφει ταῦτα, χαλεπωτέραν αὐτὴν τῆς ἔξω λέγων εἶναι, καὶ ἡ αἰτία πρόδηλος. καὶ γὰρ ἔσω ῥέπει τὰ νεῦρα πάντα τὰ ἀπὸ τοῦ νωτιαίου πεφυκότα. θλίβεται οὖν ἐν ταῖς τοιαύταις (623) μεταστάσεσι μᾶλλον ἢπερ ἐν ταῖς ἔξω. σὺν τούτοις δὲ καὶ τὰ ἐπικείμενα μόρια τῇ ῥάχει θλίβεται πάντα καὶ κατὰ τοῦτο καὶ τῆς κύστεως τὸ ἄνω πέρας θλίβεταί ποτε. καὶ μέντοι καὶ κατὰ συμπάθειαν εἰς φλεγμονὴν ἀφίξεται

eo magis ſpina cava fit, quum a ſuperiore cute urgeatur. Alios item concutiendi modos praeter jam poſitos adducere poſſem, quos exiſtimet quis ad vitium magis pertinere, ſed eos, utpote quibus parum confidam, omitto. Illud autem in univerſum, ut ſummatim dicamus, intelligere oportet, quod ubi ſpina in interiorem partem convertitur, ad interitum aegrotantem praecipitat et infeſtiſſima eſt; ubi in exteriorem, vacat mortis periculo, urinam non ſupprimit et plerumque torporem non infert.

De vertebris agens in interiorem partem luxatis inquit caſum aſperiorem eſſe quam ſi in exteriorem ferantur. Cauſam eſſe in aperto dicit: nervi enim omnes qui a ſpinae medulla oriuntur, in interiorem partem procedunt. Premuntur ergo magis ubi ſpina in hanc partem convertitur quam ubi in exteriorem quumque iis urgentur quaecunque partes ſpinae ſuperinſident. Quo fit ut interdum ſuperior quoque pars veſicae comprimatur et

Ed. Chart. XII. [391.] Ed. Baſ. V. (623.)

πάντα καὶ διὰ τοῦτ' οὔτε ἡ κύστις οὖρον ἐκκρίνει οὔτε τὰ ἔντερα ἀπόπατον. τῆς γὰρ ἐκκριτικῆς δυνάμεως, ἥτις ἐστὶ μία τῶν φυσικῶν, πάθος ἐστὶν ἴσχεσθαι τὸ οὖρον καὶ τὸ ἀπόπατον. τὸ δὲ ναρκώδη γίνεσθαι τὰ μόρια τῆς τῶν νεύρων βλάβης ἐστίν. ἐκ μὲν οὖν τῆς κατὰ τὰ ἔντερα καὶ τὴν κύστιν βλάβης ἄχρι περ ἂν παύσεται φλεγμαίνοντα, κίνδυνος ἀπολέσθαι τὸν ἄνθρωπον καὶ δι' ἄκρα καὶ ἀκώρω ἔντερα διαμένει καὶ διὰ τοῦτο καὶ ὁ σφίγγων τὴν κύστιν μῦς οὐκ ἐᾷ ἀκριβῶς ἐνεργῶν ἐπιτρέπειν τοῖς οὔροις. εἰκὸς καὶ δήπου καὶ τὸν ἐπὶ τῆς ἕδρας μῦν τὸν σφιγκτῆρα καλούμενον τὴν αὐτὴν ἀτονίαν ἔχειν.

νβ'.

Οὐ γὰρ ἐντείνει τοὺς ὀχειοὺς τοὺς κατὰ τὴν κοιλίην οὐδὲ κωλύει εὐρόους εἶναι ἡ εἰς τὸ ἔξω κύφωσις, ἡ δὲ λόρδωσις ταῦτα ἀμφότερα ποιέει καὶ ἐς τἆλλα πολλὰ προσγίνεται.

quae cum his conſortium habent omnia inflammatione occupentur. Quamobrem neque veſica urinam, neque alvus dejectionem reddit: expellentis enim facultatis quae una ex naturalibus eſt vitium eſt, urinam atque alvum ſupprimi. Torporis autem membrorum cauſa eſt nervorum affectus, ſed veſica et inteſtinis affectis periculum eſt ne homo interim decedat, dum tollitur inflammatio quae efficit ut nec alvus nec urina reſpondeat. Quemadmodum autem muſculus qui veſicam adſtringit, quum nimium ſuo munere fungitur, non patitur urinam evadere, ita veriſimile fit affici muſculum ani, quem Graeci ab adſtringendo σφιγκτῆρα dixerunt.

LII.

Quum nec alvi itinera diſtendat nec prohibeat, quominus facilem exitum habeant, ſpina quum in exteriorem partem convertitur; ſed quum in interiorem, utrumque hoc efficiat accedantque alia complura.

Ed. Chart. XII. [392.] Ed. Baf. V. (623.)

[392] *Κατὰ τὴν προγεγραμμένην ῥῆσιν εἰρηκὼς οὖρα μὲν οὖν τοῖσι τοιούτοισι καὶ ἀπόπατος μᾶλλον ἴσχεται ἢ τοῖσιν ἔξω κυφοῖσι, νῦν τὴν αἰτίαν προσέθηκεν εἰπών· οὐ γὰρ ἐντείνει τοὺς ὀχετοὺς τοὺς κατὰ τὴν κοιλίαν δηλονότι τὰς ἐκροὰς εἰπών, τήν τε κατὰ κύστιν καὶ τὴν κατὰ τὴν ἕδραν. ἐντείνεσθαι δὲ τὰ μόρια δι' ὧν αὗται γίνονται κατά τε τὴν θλῖψιν, ἣν ἐκ τῆς τῶν σφονδύλων εἴσω μεταστάσεως ἴσχουσιν, εἰκός ἐστι καὶ πρὸς τῆς κατὰ τὰ νεῦρα συμπαθείας.*

νγ'.

Ἐπεί τοι πολὺ πλείονες σκελέων τε καὶ χειρῶν ἀκρατέες γίνονται καὶ καταναρκοῦνται τὸ σῶμα καὶ οὖρα τούτοισιν ἴσχεται, οἷσιν ἂν μὴ ἐκστῇ μὲν τὸ ὕβωμα μήτε ἔξω μήτε ἔσω, σεισθέωσι δὲ ἰσχυρῶς ἐς τὴν ἰθυνίην τῆς ῥάχιος. οἷσι δὲ ἂν ἐκστῇ μὲν τὸ ὕβωμα, ἧσσον τοιαῦτα πάσχουσιν.

Ἐνταῦθα τὴν ὕβωμα φωνὴν ὡς γενικόν τι σημαῖνον ἀνέγραψεν ἐπὶ πάσης εἰπὼν, τῆς τῶν σφονδύλων εἰς τὸ παρὰ

Quum proxime propoſuerit his urinam et alvum magis ſupprimi, quam quibus vertebrae in exteriorem partem convertuntur; nunc cauſſam adjecit his verbis, quum nec alvi itinera diſtendat, id eſt exitum eorum quae per veſicam et per anum expelluntur. Diſtendi autem partes per quas hae feruntur et a compreſſione vertebrarum et a conſortio quod cum nervis habent, a ratione minime abhorret.

LIII.

Multo autem pluribus crura et brachia reſolvuntur, corpus torpet, urina ſupprimitur, quibus vertebrae nec in exteriorem partem nec in interiorem exciderint, ſed concuſſae vehementer fuerint manentes e regione ſpinae, quibus ſpina depravatur minus haec patiuntur.

Ut depravationem exprimat mutuatur *ὕβωμα* vocabulum tanquam generale agens de vertebris quomodocunque

Ed. Chart. XII. [392.] Ed. Baſ. V. (623.)

φύσιν ἐκτροπῆς, ὅλος δὲ ὁ λόγος εὔδηλος. ἐπὶ γὰρ τὴν τετάρτην διαφορὰν τῶν κατὰ τὴν ῥάχιν παθῶν ἀφικνεῖται τῷ λόγῳ. καλοῖσι δὲ αὐτὴν σεῖσιν, ὅταν αἱ ἁρμονίαι σύμπασαι διακινηθῶσι τῶν σφονδύλων τῆς ῥάχεως καὶ κινδυνεύσει διασπασθῆναί τε καὶ θλασθῆναι διασεισθείσης σφοδρῶς αὐτῆς, καί φησι τοῦτο πολὺ χεῖρον εἶναι τῶν ἄνευ τοῦ διασεισθῆναι γιγνομένων διαστροφῶν τῆς ῥάχεως. εἶθ' ἑξῆς ὅτι καὶ ταῖς πλευραῖς καταγνυμέναις τοιοῦτόν γέ τι συμβαίνει διήγηται.

νδ'.

Πολλὰ δὲ καὶ ἄλλα ἐν ἰητρικῇ ἄν τις θεάσαιτο, ὧν τὰ μὲν ἰσχυρὰ ἀσινέα ἐστὶ, καθ' ἑωυτὰ τὴν κρίσιν ὅλην λαμβάνοντα τοῦ νοσήματος, τὸ δὲ ἀσθενέστερα σινόμωρα καὶ ἀποτόκους νοσημάτων χρονίους ποιέοντα καὶ κοινωνέοντα καὶ τῷ ἄλλῳ σώματι ἐπὶ πλέον.

Προειρηκὼς περὶ τοῦ κατὰ ῥάχιν πάθους ὃ προσαγορεύουσι σεῖσιν ἄνευ τοῦ μετασπῆναι σφόνδυλόν τινα γενόμε-

ſuo loco motis. Univerſa autem oratio clara eſt; venit enim ad quartum genus vitiorum ſpinae quod Graeci a concutiendo *σεῖσιν* appellant. Id autem eſt quum vertebrarum ſpinae compago univerſa dimovetur; periculumque eſt ne convellatur atteraturque ſpina vehementer concuſſa. Quod malum ipſe teſtatur multo deterius eſſe quam ſi ſpina non concuſſa vertebrae pervertantur. In ſequentibus ad coſtas pergit, quibus abruptis hujusmodi quidpiam accidit.

LIV.

Multa quoque alia medicinali arte quis inſpiciet, quorum quae vehementia ſunt, quum morbi momentum omne in ſe contineant, non nocent; quae leviorem offenſam afferunt, mala concitant diuturna et reliquum corpus plurimum afficiunt.

Loquutus de vitio, ſub quo ſpina concutitur, vertebris nullo modo ſua ſede excedentibus, ſubjicit multa

Ed. Chart. XII. [392. 393.] Ed. Baſ. V. (623.)

νον ἐν τῇ ἐφεξῆς γραφῇ πολλὰ λέγει τῶν κατ' ἰατρικὴν ἐπιεικέστερα κατ' ἀλήθειαν εἶναι, κἂν φαίνηται χαλεπώτερα. συμβαίνει δ' ἐκεῖνα τῶν παθῶν, ἐφ' ὧν συμπάθειαί εἰσι μείζους, ὡς ὅσα γε μηδεμίαν ἐπιφέρει μορίων κυρίων συμπάθειαν, ἀλλὰ καθ' ἑαυτὰ ποιεῖται τὴν κρᾶσιν, ἧττόν ἐστι χαλεπὰ καὶ ἰσχυρότερά σοι κατασκευαῖς. ἐφεξῆς οὖν ὡς ἐν παραδείγματος μέρει μνημονεύει τῶν κατὰ τὰς πλευρὰς παθῶν ὑποδεικνύων, ἔνια μὲν αὐτῶν εἶναι τὴν φαντασίαν μόνον, ἔνια δὲ τῇ δυνάμει χαλεπά.

νε'.

[393] *Ἐπεὶ καὶ πλευρέων κάτηξις τοιοῦτόν τι πέπονθεν· οἷσι μὲν γὰρ ἂν καταγῇ πλευρὴ μία ἢ πλέονες, ὡς τοῖσι πλείστοισι κατάγνυται μὴ διασχόντα τὰ ὀστέα ἐς τὸ εἴσω μέρος, μηδὲ ψιλωθέντα, ὀλίγοι μὲν ἤδη ἐπυρέτηναν· ἀτὰρ οὐδὲ αἷμα πολλοὶ ἤδη ἔπτυσαν, οὐδὲ ἔμπυοι πολλοὶ γίνονται, οὐδὲ ἔμμοτοι, οὐδὲ ἐπισφακελίσιες τῶν ὀστέων, διαιτά τε φαύλη ἀρκέει*

---

in medicina leviora eſſe revera, quamquam graviora videntur; multa enim quae minus afficiunt partes cum vitiato loco conſortium habentes, ut quae nullam ex praecipuis partibus laedant, ſed in ſe morbi momentum habeant minus moleſta ſunt, quamvis graviora videantur. In ſequentibus exempli gratia de coſtarum affectibus meminit indicans eorum alios graves apparere, alios eſſe.

LV.

Quin et coſtis abruptis tale quidpiam accidit. Quibus enim coſta una vel plures abrumpuntur, ſicut permultis abrumpi videmus, ſi comminuta oſſa neque in interiorem partem compellantur, neque in ſuperiorem, pauci adhuc febricitarunt; ſed neque multi etiam ſanguinem ſpuerunt nec multis item contractum eſt pus in thorace aut linamentis opus fuit aut vitiatum os eſt; victus autem quivis idoneus eſt.

Ed. Chart. XII. [393.] Ed. Baſ. V. (623.)

Ὅτι τὸ σύμμετρον τοῦ λόγου σαφήνειαν συντελεῖ, μαθεῖν ἐστιν οὐχ ἥκιστα καὶ ἐκ τῆς προκειμένης ῥήσεως μακρᾶς οὔσης. ἐγὼ τὸ πρῶτον μέρος ἄρτι προεχειρισάμην· ἐκ τινὸς γὰρ ἐπὶ πλεῖον ὁ Ἱπποκράτης ἀσάφειάν τινα ἐργάσατο, διὰ βραχέων δ' ἂν οὕτως ἑρμηνεύοιτο. τὰ κατάγματα τῶν πλευρῶν, ὅταν ἁπλᾶ καὶ μόνα γένηται, τὴν μὲν φαντασίαν χαλεπωτέραν τῶν περιθλάσεων ἔχει, τῇ δυνάμει δὲ ἐπιεικεστέραν, θεραπεύεται γὰρ ἄνευ κινδύνου τάχιστα. χωρὶς δὲ κατάγματος ὅταν περὶ τὰς πλευρὰς σάρκες θλασθῶσιν, εἰς μέγιστον ἐνίοτε κίνδυνον ἥκουσιν οἱ οὕτω παθόντες. τὸ μὲν κεφάλαιον τοῦ λόγου τοῦτο· τὰ δὲ κατὰ μέρος ἐφεξῆς ἴδωμεν, εἰ ἐν τῷ πρώτῳ μέρει τῆς ῥήσεως, ὅπερ ἐγὼ διὰ βραχέων εἶπον, ὅταν ἁπλᾶ καὶ μόνα γένηται τὰ κατάγματα τῶν πλευρῶν. ὁ δὲ Ἱπποκράτης εἴρηκεν, ὅπερ ἐξηγούμενος ἔγραψε, μὴ διασχόντα τὰ ὀστᾶ εἰς τὸ ἔσω μέρος εἰπών, τὴν εὐρυχωρίαν τοῦ θώρακος εἰς ἣν ἀδύνατόν ἐστι διασχεῖν ὀστῷ τῷ κατ' αὐτὸν ἄνευ τοῦ γυμνωθῆναι μὲν αὐτὸ τὸ ὀστοῦν ἁπάσης τῆς περικειμένης σαρκὸς,

Ex propoſita oratione, quae longa eſt, non parum intelligi poteſt orationis modum ad facilitatem conducere. Nos priorem partem ſupra attigimus, quam Hippocrates longius habens obſcuram fecit, paucis autem ita loqui potuit: ubi coſta abrumpitur, ſi fractura ſimplex et ſola ſit, caſus quidem aſperior videtur, licet levior ſit quam ubi atteritur. Celerrime enim curatur et ſine periculo, ſed absque fractura, ubi caro circa coſtas atteratur, in maximo interdum periculo revolvuntur qui ſic affecti ſunt. Caput quidem orationis hujusmodi eſt, ſingula autem deinceps videamus. Si primam partem hujus orationis paucis Hippocrates explicaſſet, quemadmodum ego quum dixi, ubi ſola et ſimplex coſtarum fractura ſit, apertius ſcripſiſſet; verum ipſe quum exponens ait: ſi oſſa abrupta neque in interiorem partem compellantur. Vocavit autem interiorem partem interius ſpatium thoracis, in quod erumpere os abruptum per ſe non poteſt, non nudetur a tota carne ſuperjecta, niſi item ſcindatur membrana, quae

Ed. Chart. XII. [393.] Ed. Baſ. V. (623. 624.)

διατμηθῆναι δὲ τὸν ὑπεζωκότα καλούμενον ὑμένα. διὰ τοῦτο μὲν οὖν ἐδήλωσε τὸ ἁπλοῦν τοῦ κατάγματος, διά τε τῶν ἐφεξῆς τὸ ἐπιεικὲς, ὀλίγους μὲν εἰπὼν ἐπιπυρέττειν, πτύσαι δὲ αἱμά τινα σπανίως, ὥσπερ γε καὶ ἔμπυον καὶ ἔμμοτον γενέσθαι, σφακελίσαι τε τὸ τῆς πλευρᾶς ὀστοῦν· διὸ καὶ τὴν δίαιταν αὐτοῖς ἐξαρκέσειν φαύλην. ἔμαθες δὲ ὅτι φαύλην ἀεὶ λέγει τὴν ἐναντίαν τῇ ἀκριβεῖ τὴν ἐπιτυχοῦσαν. ἐν μὲν οὖν τῷ προκειμένῳ μορίῳ τῆς ἄλλης αὐτοῦ ῥήσεως ὅλη διάνοια τοιαύτη τίς ἐστιν. ἴδωμεν δὲ ἐφεξῆς τὰ λοιπά.

νστ'.

(624) Ἢν γὰρ μὴ πυρετὸς ξυνεχὴς ἐπιλαμβάνῃ αὐτοὺς καὶ κενεαγγεῖν κάκιον τοῖσι τούτοισιν ἢ μὴ κενεαγγεῖν καὶ ἐπωδυνέστερον καὶ πυρετωδέστερον καὶ βηχωδέστερον. τὸ γὰρ πλήρωμα τὸ μέτριον τῆς κοιλίης διόρθωμα τῶν πλευρέων γίνεται. ἡ δὲ κένωσις κρεμασμὸν μὲν τῇσι πλευρῇσι ποιέει, ὁ δὲ κρεμασμὸς ὀδύνην.

coſtas cingit: per haec igitur ſimplicem fracturam indicavit. Deinceps notavit caſus levitatem, quum ait: paucos frebricitaſſe, raros item ſanguinem exſpuiſſe aut pus in interiori thoracis regione contraxiſſe raroque opus fuiſſe linamentis vel coſtarum os vitiatum fuiſſe et idcirco abunde eſſe victus rationem quamvis. Hanc ipſe, ut didiciſti, ubique φαύλην nominat, eam quae exquiſitae contraria eſt ſignificans. Propoſitae igitur partis orationis univerſus ſenſus hujusmodi eſt. Ad reliqua igitur pergamus.

LVI.

Quin et ubi continens febris non invadat, deterior eſt inedia quam cibus et dolorem febrem ac tuſſim magis concitat. Venter enim modice repletus coſtas dirigit, quas inedia ſuſpendit; at ubi ſuſpendantur, dolorem inferunt.

Ed. Chart. XII. [393. 394.] Ed. Baf. V. (624.)

Ὁ τῆς κοιλίης ὄγκος στήριγμά τι γίνεται ταῖς πλευραῖς, διὸ καὶ ὅσοι μείζονας ἔχουσι τὰς γαστέρας, ἧττον ὀδυνῶνται καταγείσης τῆς πλευρᾶς· ὅσοις δὲ ἰσχναί τέ εἰσι καὶ προσεσταλμέναι, μᾶλλον ἀλγοῦσιν ἀστηρίκτων καὶ μετεώρων αἰσθανόμενοι τῶν πλευρῶν. ἐὰν μὲν οὖν συνεχὴς ἐπιλαβῃ πυρετὸς, αὐ- [394] *τούς ἐστι κενεαγγεῖν, ὅπερ δηλοῖ νῦν αὐτὸ τὸ ἀσιτεῖν, ἐπειδήπερ ἡ ἐκ τῆς ἐδωδῆς βλάβη γίγνεται μείζων τῆς ἐκ τοῦ κρεμασμοῦ. εἰ δή τι μηδ' ὅλως πυρέξει, ἄμεινον ἐσθίειν τοσαῦτα τὸ πλῆθος, ὡς εἰς ὄγκον ἀρθῆναι τὴν γαστέρα τοσοῦτον, ὅσον ἡλίκος ὡς ἄνευ τοῦ θλίβειν τὸ πεπονθὸς, ἕδρα τε καὶ στήριγμα γενήσεται ταῖς πλευραῖς.*

νζ'.

Ἔξωθεν δὲ φαύλη ἐπίδεσις τοῖσι τοιούτοισιν ἀρκέει, κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισιν ἡσύχως ἐρείδοντα ὁμαλὴν τὴν ἐπίδεσιν ποιέεσθαι ἢ καὶ ἐριώδές τι προσεπιθέντα. κρατύνεται δὲ πλευρὴ ἐν εἴκοσιν ἡμέρῃσι, παχεῖαι γὰρ αἱ ἐπιπωρώσιες τούτων τῶν ὀστέων.

Tumor ventris coſtas fulcit: quare ubi hae rumpuntur, qui magis ventricoſi ſunt minus dolent; quibus gracilis venter eſt et contractus, dolore magis vexantur quum coſtas ſentiant ſine fulcro ſuſpenſas. Quodſi continens febris hominem occupet, inedia uti debet, quod ipſe ſignificavit verbo *κενεαγγεῖν*, quoniam magis laeditur a cibo quam a coſtis non fultis. At ſi nulla febris ſit, expedit eatenus cibum ſumere, ut venter in eum tumorem adſurgat, ut coſtis ſedes ſit ac fulcimentum citra offenſae partis compreſſionem.

LVII.

Ab exteriori parte vincire rurſus quovis modo ſatis eſt, tantum cerato, pannis, faſciisque leniter adſtrictis debemus aequale vinculum reddere aut etiam lanae aliquid ſuperinjicere. Confervet autem coſta viginti diebus: in hujusmodi enim oſſibus cito callus increſcit.

Ed. Chart. XII. [394.] Ed. Baf. V. (624.)

Φαῦλην ἐπίδεσιν εἶπεν, ὥσπερ καὶ δίαιταν, τὴν ἐπιτυχοῦσαν, ἥτις ἐστὶν ἐναντία τῇ ἐπιμελῶς γεγενημένῃ.

νη'.

Ἀμφιθλασθείσης δὲ τῆς σαρκὸς ἀμφὶ τῆσι πλευρῆσιν ἢ ὑπὸ πληγῆς ἢ ὑπὸ πτώματος ἢ ὑπὸ ἀντερείσιος ἢ ἄλλου τινὸς τοιουτοτρόπου πολλοὶ ἤδη πολὺ αἷμα ἔπτυσαν.

Μέμνηται καὶ τούτου τοῦ λόγου διὰ τοὺς οἰομένους ἐν ταῖς πλευρίτισιν ἐξ ἀνάγκης ἀνάγειν τινὰ τῶν λοβῶν τοῦ πνεύμονος πάσχειν καὶ συναπτόμενόν γε τοῦτόν φασι τῇ φλεγμαινούσῃ πλευρᾷ διδόναι τε τοῦ κατὰ τὴν φλεγμονὴν ἰχῶρός. ἐν τῷ πνεύμονι γὰρ οὐδὲν πνεύμονος πεπονθότος, ἀλλὰ τῆς διαθέσεως τῇ πλευρᾷ γενομένης πτύειν φησὶν ἐνίους αἷμα. πῶς μὲν οὖν γίγνεται τοῦτο ζητεῖν ἔξεστιν ἐπὶ σχολῆς, ἡμῖν τε βασανιζομένοις τὸ ζήτημα κατά γε τὸ περὶ αἵματος ἀναγωγῆς Ἐρασιστράτου βιβλίον. ἐξαρκεῖν δὲ δεῖ νῦν αὐτὸ τοῦτο μόνον ἐγνωκέναι, τὸ χωρὶς τοῦ πα-

Vinciendi modum quemvis *φαῦλον*, quemadmodum et victum qui contrarius eſt ei qui ſumma diligentia adhibetur.

LVIII.

At carne circa coſtas detrita, quod homo percutiatur, cadat, re aliqua urgeatur aut alio tali modo, multi jam ſanguinem multum exſpuerunt.

In memoria habendus eſt hic ſermo propter eos qui exiſtimant in lateris dolore neceſſarium eſſe ut aliqua ex fibris pulmonis afficiatur: nam quum proximus ſit lateri inflammato, afferunt aliquid ad eum transmitti ex tenui ſanguine qui in inflammatione ſubſiſtit. Pulmone ergo nihil violato, ſed coſta affecta quosdam ait ſanguinem exſpuere, quo tamen pacto hoc fiat licet per otium requirere. Nos ſane quaeſtionem hanc perpendimus in his quae ſcripſimus in librum Eraſiſtrati de ſanguinis ſputo; nunc illud dumtaxat intellexiſſe abunde eſt, quosdam ſine

Ed. Chart. XII. [394.] Ed. Baſ. V. (624.)

θεῖν τι τὸν πνεύμονα πτύειν ἐνίους αἷμα διὰ τὸ κατὰ τὰς πλευρὰς πάθος. ἐθεάσασθε δὲ κἀπὶ τῶν ἄλλων πολλάκις ἀτρώτου τοῦ προκειμένου τῷ κατάγματι δέρματος ὄντος ἐκχεόμενον αἱματώδη χυμὸν διὰ τοῦ τοιοῦτον πληρῶσαι τοὺς ἐπιδέσμους. καίτοι πολλῷ πυκνότερόν ἐστι τὸ παρὰ τοῖς κώλοις δέρμα τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος, ὥστ' οὐδὲν θαυμαστόν ἐστι δι' ἐκείνου ῥυῆναι πρὸς τὴν ἐκτὸς χώραν ἐκ τῆς πεπονθυίας πλευρᾶς. εἶτ' εὐθέως εἰς τὰ βρόγχια τοῦ πνεύμονος ἀναληφθῆναι κατὰ τὰς ἐκπνοάς, ὥσπερ ὁρῶμεν ἐπὶ τῶν συντρωθέντων τὸν ὑμένα τοῦτον. ὅ τι γὰρ ἂν ἐκχέῃς εἰς τὸν θώρακα διὰ τοῦ τραύματος ἀναβήσσεται τοῦτο παραχρῆμα διὰ τοῦ στόματος καὶ διὰ τοῦτο Ἐρασίστρατος οὐκ ἐννοήσας εἰς ἀτόπους ἐνέπεσε λόγους ἐν τῷ περὶ αἵματος ἀναγωγῆς, ὧν τὴν κακίαν ἐμάθετε διερχομένου μου πολλάκις ἀκούσαντες ἐπ' αὐτοῦ τοῦ συγγράμματος.

---

vitio pulmonis ſanguinem ſpuere, propterea quod morbus circa coſtas verſetur. Vidiſtis ſaepe et in aliis inviolata cute quae fracturam tegit effundi cruorem, ſic ut faſcias impleat, quamvis cutis membrorum denſior multo ſit quam membrana quae coſtas complectitur. Quare nihil mirum eſt, ſi ſanguis per hanc ab affecta coſta in interiorem regionem ducatur; dein protinus in ipſa exſpiratione in aſperam arteriam quae in pulmonem diſtributa eſt transferatur, quemadmodum in iis videmus quibus membrana haec vulneratur. Quidquid enim per vulnus in thoracem inſtillaveris, per os continuo reddetur; quam rem quum Eraſiſtratus ignoraſſet, abſurda ſcripſit in libro de ſanguinis ſputo, ſed qua in re decipiatur, ejus ſcripta de me audientes ſaepenumero didiciſtis.

Ed. Chart. XII. [395.] Ed. Baſ. V. (624.)

νθ'.

[395] *Οἱ γὰρ ὀχετοὶ οἱ κατὰ τὸ λαπαρὸν τῆς πλευρῆς ἑκάστης παρατεταμένοι καὶ οἱ τόνοι ἀπὸ τῶν ἐπικαιροτάτων τῶν ἐν τῷ σώματι τὰς ἀφορμὰς ἔχουσι. πολλοὶ γοῦν ἤδη βηχώδιες καὶ φυματίαι καὶ ἔμπυοι ἐγένοντο καὶ ἔμμιστοι καὶ ἡ πλευρὴ ἐπεσφακέλισεν κύτοῖσιν, ἀτὰρ καὶ οἷσι μηδὲν τοιοῦτον προσεγένετο ἀμφιθλασθείσης τῆς σαρκὸς ἀμφὶ τῇσι πλευρῇσιν. ὅμως δὲ βραδύτερον ὀδυνώμενοι παύονται οὗτοι ἢ οἷσιν ἂν πλευρὴ καταγῇ καὶ ὑποστροφὰς μᾶλλον ἴσχει ὀδυνημάτων τὸ χωρίον ἐν τοῖσι τοιούτοισι τρώμασι. μάλα μὲν οὖν μετεξέτεροι καταμελέουσι τῶν τοιούτων σινέων μᾶλλον ἢν πλευρὴ κατεάγῃ αὐτοῖσιν.*

Ὀχετοὺς μὲν εἶπε τὰς ἀρτηρίας δηλονότι καὶ τὰς φλέβας, λαπαρὰν δὲ τῆς πλευρᾶς ἑκάστης τὸ μεταξὺ τῶν ὀστῶν καθ' ἃ καὶ οἱ μεσοπλεύριοι μῦς εἰσι, τόνους δὲ δηλονότι τὰ νεῦρα. πεφυκέναι δέ φησιν ἀπὸ τῶν ἐπικαιροτάτων πάντα ταῦτα· διότι μὲν τῶν φλεβῶν τούτων ἡ ἀρχὴ πλη-

LIX.

Venae enim et arteriae quae per id quod eſt inter coſtas intendunt et nervi ex iis quae corpore praeſtantiſſima ſunt oriuntur. Multi igitur ſaepe tuſſi, tuberculis, pure in thorace collecto oppreſſi ſunt et ad id venerunt, ut linamentis agerent coſtaque vitiaretur; ſed et quibus nihil tale ſupervenit carne circa coſtas attrita tardius dolore liberantur quam quibus perfracta coſta eſt, atque in ejusmodi caſu dolor ſaepius locum reperit. Verum nonnulli longe magis haec mala contemnunt quam ſi abrupta coſta eſſet.

Arterias et venas *ὀχετοὺς* vocavit; quod autem eſt inter oſſa ſingularum coſtarum *λαπαρὸν* dixit qua parte muſculi ſunt, qui quum mediis interjecti ſint, *μεσοπλεύριοι* Graece nominantur; nervos vero appellavit *τόνους*. Oriri autem ait haec omnia ab iis quae praeſtantiſſima ſunt,

Ed. Chart. XII. [395.] Ed. Baſ. V. (624.)

σίον ἐστὶ τῆς καρδίας, ὥσπερ καὶ τῶν ἀρτηριῶν. τῶν δὲ νεύρων ἀπὸ τῶν κατὰ τὸν θώρακα νωτιαίων κοινωνίας τινὸς οὔσης αὐτοῖς καὶ πρὸς ἄλλην συζυγίαν νεύρων ἐξ ἐγκεφάλου καθηκόντων. τὰ δ' ἐφεξῆς ὑπ' αὐτοῦ γεγραμμένα δῆλα τοῖς μεμνημένοις ἁπάντων τῶν ἐν τοῖς ἔμπροσθεν εἰρημένων ὑπομνήμασιν.

ξ'.

Ἀτὰρ καὶ ἰήσιος σκεθροτέρης οἱ τοιοῦτοι δέονται, εἰ σωφρονοῖεν, τῇ τε γὰρ διαίτῃ ξυμφέρει ξυνεστάλκαι, ἀτρεμέειν δὲ τῷ σώματι ὡς μάλιστα ἀφροδισίων τε ἀπέχεσθαι.

Τὴν ἀκριβεστέραν ἀεὶ λέγει σκεθροτέραν ἀντικειμένην τῇ φαύλῃ.

ξα'.

Βρωμάτων τε λιπαρῶν καὶ κερχνώδεων καὶ ἰσχυρῶν πάντων.

quoniam initium harum venarum perinde atque arteriarum eſt in vicinia cordis; nervorum autem ad ſpinae medullam quae ad thoracem eſt, quibus aliquid cognationis eſt cum alio pari nervorum qui a cerebro proficiſcuntur. Quae deinde adſcribit evidentiſſima ſunt iis qui meminerint quae prodita ſunt in prioribus commentariis.

LX.

Sed et curatione egent magis exquiſita, ſi ſapiant: convenit enim inedia extenuari, corpore quam maxime conquieſcere, abſtinere a venere.

Exquiſitionem ubique appellat σκεθροτέραν, cui contraria eſt ſimplex et quaevis, quam φαύλην nominat.

LXI.

Item ab eſculentis pinguibus et fauces exaſperantibus ac tuſſim moventibus et ab iis quae valentiſſimae ſunt materiae.

Ed. Chart. XII. [395. 396.] Ed. Baſ. V. (624. 625.)

Ὅσα βρώματα τραχύνοντα τὸν φάρυγγα βραχεῖαν βῆχα κινεῖ, κερχνώδη ταῦτα καλεῖ. τοῦτο δὲ ἕπεται τοῖς λιπαροῖς καὶ ὀξέσι καὶ δριμέσιν, ἰσχυρὰ δὲ λέγει σιτία τὰ δύσπεπτα. γέγραπται δ' ἐν τοῖς ἀκριβέσι τοῖς αὐτογράφοις τουτὶ τὸ κερχνωδέων διὰ τοῦ ν κατὰ τὴν δευτέραν συλλαβήν· ἀπὸ γὰρ τῆς κέρχνου γεγονεν. οὕτως δὲ ὀνο- (625) *μάζουσι τὴν κέγχρον οἱ Ἴωνες, ὅταν αἴσθησις ἐν τῇ φάρυγγι τραχυτάτων γίγνεται μικρῶν ὥσπερ κέγχρων. τὸ δ' ἐν τοῖς πρόσθεν, εἰ καὶ ἔλεγε τὰ κατὰ τὸν πνεύμονα φύματα καὶ χρόνια καὶ δύσπεπτα ἔχοντα κεγχρώδεις γίγνεσθαι χωρὶς τοῦ ν γέγραπται,* [396] *γεγονὸς ἀπὸ τοῦ κέγχρειν, ὅπερ αὐτὸ πάλιν γέγονεν ἀπὸ τοῦ ψόφου τοῦ συμβαίνοντος, ὅταν ἤτοι στενοχωρία ᾖ τις κατὰ τὰς ἀναπνευστικὰς ὁδοὺς ἢ ὑγρότης πλείων, ὡς πολὺ δὲ συνιόντων ἀμφοῖν γίγνεται. καλοῦσι δ' ἔνιοι μὲν τοιαύτην ἀναπνοὴν δασεῖαν· διὰ τί δὲ τῶν βῆχα κινούντων ἐδεσμάτων ἀπέχεσθαι κελεύει πρόδηλόν ἐστιν ἡσυχάζειν δεομένων ἁπάντων τῶν πεπονθότων μορίων. διὰ τοῦτο γοῦν καὶ σιγᾷν αὐτὸν πάλιν κελεύει. πρό-*

Eſculenta quae fauces exaſperando tuſſim movent *κερχνώδη* nuncupat; hujusmodi autem ſunt pinguia, acuta atque acria. Valentiſſimae materiae intelligit quae aegre concoquuntur. In exemplaribus autem magis idoneis verbi *κερχνωδέων* ſecunda ſyllaba ſcribitur per *ν* ducto vocabulo a milio quod Jones *κέγχρον* appellant. Id accidit ubi in faucibus aſpera quaedam milii modo exigua ſentiuntur. Quod autem in ſuperioribus dixit de iis quibus circa pulmonem tubercula ſunt diuturna, quae aegre ad maturitatem perveniunt et ſpiritus redditur cum ſono *κεγχρώδεις* absque *ν* ſcribitur. Ducitur autem a verbo *κέγχρειν*, quod ſonum notat qui vel anguſtia loci quo ſpiritus redditur vel humoris redundantia accidit, plerumque tamen utroque concurrente, quem ſpiritum nonnulli *δασέα*, id eſt aſperum vocant. Sed qua de cauſa abſtinere hominem velit ab eſculentis tuſſim moventibus manifeſtum eſt, quum affectae partes omnes quietem poſtulent; atque idcirco

Ed. Chart. XII. [396.] Ed. Baſ. V. (625.)

δηλον δὲ καὶ περὶ τῶν ἄλλων ὅσα παρεῖναι φυλάττεσθαι κίνησιν σφοδρὰν ἐπιφέροντα τῷ παντὶ σώματι· σὺν γὰρ τῷ ὅλῳ καὶ τὸ μόριον κινεῖται.

ξβ'.

Φλέβα τε κατ' ἀγκῶνα τέμνεσθαι, σιγᾷν τε ὡς μάλιστα, ἐπιδέεσθαι δὲ εἰς τὸ χωρίον τὸ φλασθὲν σπλήνεσι μὴ πολυπτύχεσι, συχνοῖσι δὲ καὶ πολὺ πλατυτέροισι πάντα τοῦ θλάσματος κηρωτῇ τε ὑποχρίειν ὀθονίοισί τε πλατέσι σὺν ταινίῃσι πλατείῃσι καὶ μαλθακῇσι ἐπιδέειν, ἐρείδειν τε μετρίως, ὥστε μὴ κάρτα πεπιέχθαι φάναι τὸν ἐπιδεδεσμένον, μηδ' αὖ χαλαρόν. ἄρχεσθαι δὲ τὸν ἐπιδέοντα κατὰ τὸ θλάσμα καὶ ἐρηρεῖσθαι ταύτῃ μάλιστα.

Μέμνηται δὴ τούτου πρὸς τοὺς ἀξιοῦντας ἐπὶ τῇ πληθωρικῇ καλουμένῃ συνδρομῇ μόνον φλεβοτομίαν ἡμᾶς παραλαμβάνειν. τούτων δέ ἐστι καὶ Μηνόδοτος ὁ ἐμπειρικός.

ſilentium rurſus imperat. Manifeſtum item eſt cur caveri voluerit ea quae vehementer dimovent univerſum corpus, quandoquidem cum toto pars etiam dimovetur.

LXII.

Ad haec venam ſecare in cubito convenit et quam maxime ſilentium habere, inducereque ſuper ſedem attritam pannos non multiplices, ſed complures et multo latiores quam ſit attritus locus cerati inunctione adhibita, linteisque latis ac faſciis item latis et mollibus alligare modiceque adſtringere, ita ut qui deligatus eſt ſe dicat ſentire vinculum non valde adſtrictum neque item laxum; inde autem ordiri debet ubi locus eſt attritus, ibique maxime inſidere.

Meminiſſe hujus loci oportet adverſus eos qui exiſtimant venam tantummodo ſecandam eſſe, ubi ea concurrunt quae multitudinem denunciant. E quorum numero

Ed. Chart. XII. [396.] Ed. Baſ. V. (625.)

ἐδείχθη δ' ἐν τῷ περὶ φλεβοτομίας γράμματι καὶ τῷ περὶ πλήθους ὁ λόγος οὗτος ψευδὴς, ἔξ ἄλλων τε τινῶν ἐλεγχθεὶς καὶ τοῦ διὰ τοιαύτας πληγὰς γιγνομένας ἔν τισι μορίοισι τοῦ σώματος ἐπὶ φλεβοτομίαν ἥκειν ἡμᾶς, εἰ καὶ μὴ πληθωρικοὶ τύχοιεν οἱ πληγέντες ὄντες, ὅτι τε μὴ φλεβοτομηθέντων αὐτῶν αἱ φλεγμοναὶ μέγισται γίγνονται καὶ δηλονότι ταύταις ἑπομέναις συμπτώματα ἀκολουθεῖ.

ξγ'.

Τὴν δὲ ἐπίδεσιν ποιέεσθαι ὡς ἀπὸ δύο ἀρχέων ἐπιδέειν τε, ἵνα μὴ περιῤῥεπὲς τὸ δέρμα τὸ περὶ τὰς πλευρέας ἔῃ, ἀλλ' ἰσόῤῥοπον. ἐπιδέειν δὲ ἢ καθ' ἑκάστην ἡμέρην ἢ παρ' ἑτέρην. ἄμεινον δὲ καὶ τὴν κοιλίην μαλθάξαι κούφῳ τινὶ, ὅσον κενώσιος εἵνεκεν τοῦ σίτου, καὶ ἐπὶ μὲν δέκα ἡμέρας ἰσχναίνειν, ἔπειτα ἀναθρέψαι τὸ σῶμα καὶ ἀπαλῦναι.

---

eſt Menodotus empiricus. Oſtendimus autem in opere de venae ſectione et in eo quod de multitudine ſcripſimus falſam eſſe ejusmodi opinionem, quae praeter alia multa vel ex eo rejicitur quod ubi quaedam partes ejusmodi plagas acceperint, medici ad venae ſectionem confugiunt, quamquam qui icti ſunt multitudine non tentantur, eo quod niſi iis ſanguis detrahatur maximae inflammationes oriuntur: quod quum evenit, alia inſequuntur quae morbo accidere ſolent.

LXIII.

Injiciendum vero vinculum medium eſt et in utramque partem attrahendum, ne cutis circa coſtas in alterutram partem inclinet, ſed ſine inclinatione ſervetur. Deligandum autem vel ſingulis diebus vel tertio quoque die. Satius item eſt alvum mollire levi aliquo medicamento quod dejectionem citet ac decem diebus inedia uti; dein corpus reficere et implere.

Ed. Chart. XII. [396. 397.] Ed. Baſ. V. (625.)

Χαλαρὸν ἐπὶ τῶν πλευρῶν ἐστι τοῖς πλείστοις τὸ δέρμα καὶ μάλιστ' ἂν παχεῖς τύχωσιν ὄντες ἢ κατ' αὐτὸν ὃν ἐπλήγησαν καιρόν· καί φησι τούτους οὖν [φημὶ ἐγὼ] δεῖσθαι μάλιστα τῶν ἄλλων ἀπὸ δυοῖν ἀρχῶν ἐπιδεῖσθαι. περιτρέπεται γὰρ αὐτῶν τὸ δέρμα κατὰ τὴν ἐκ μιᾶς ἀρχῆς ἐπίδεσιν, ἐκ περιουσίας δὲ καὶ τοὺς παχεῖς ἐπιδέων οὐδὲν βλάψεις καὶ μάλισθ' ὅταν ᾖ θλάσμα πλησίον τῆς μασχάλης, ἐν ταύτῃ γὰρ ἀεὶ χαλαρόν ἐστι.

ξδ'.

[397] *Τῇ δὲ ἐπιδέσει ἔστ' ἂν μὲν ἰσχναίνῃς ἐρηρεισμένῃ μᾶλλον χρέεσθαι, ὁκόταν δὲ ἐς τὸν ἀπαλυσμὸν ἄγῃς, ἐπιχαλαρωτέρῃ· καὶ ἢν μὲν αἷμα ἀποπτύσῃ κατ' ἀρχὰς, τεσσαρακονθήμερον τὴν μελέτην καὶ τὴν ἐπίδεσιν ποιέεσθαι χρή· ἢν δὲ μὴ πτύσῃ τὸ αἷμα, ἀρκέει εἴκοσιν ἡμέρῃσιν ἡ μελέτη ὡς ἐπὶ τὸ πολύ. τῇ ἰσχύϊ δὲ τοῦ τρώματος τοὺς χρόνους προστεκμαίρεσθαι χρή.*

Τοῦτο κοινὸν ἁπάντων καταγμάτων ἐστὶ καὶ λέλεκταί μοι πρόσθεν ἡνίκα τὸ περὶ ἀγμῶν ἐξηγούμην καὶ ἄλλα πολλά

Cutis ſuperjecta coſtis plerisque laxa eſt, praeſertim ſi quo tempore homo plagam acceperit, plenior non fuerit. His ergo ait magis quam aliis opus eſſe faſciis, quae mediae primum injiciantur; nam cutis pervertitur, ſi ab uno capite faſcia ordiatur. Quod ſi, ut cautior ſis, craſſos quoque ita alliges, nihil laedes, praecipue ubi regio prope alam atteratur: ibi enim cutis ſemper laxa eſt.

LXIV.

Ad haec dum offenſus inedia utitur, arctius alligandus eſt, ubi pleniore victu, laxus. Quodſi ab initio ſanguinem exſpuat, quadraginta diebus habenda cura, alligandumque eſt; ſi ſanguinem non exſpuat, fere viginti abunde ſunt. Conjicere autem tempus ex vi caſus oportet.

Commune hoc eſt omnibus fracturis, quod una cum multis aliis quae hic ab ipſo traduntur ante etiam expo-

Ed. Chart. XII. [397.] Ed. Baſ. V. (625.)

τῶν νῦν λεγομένων ὑπ' αὐτοῦ. ἐκείνων οὖν ὑμᾶς χρὴ μεμνῆσθαι μᾶλλον, οὐκ ἐμὲ λέγειν ἀξιοῦν πολλάκις ταῦτα.

ξέ.

Ὅσοι δ' ἂν ἀμελήσωσι τῶν τοιουτέων ἀμφιθλασμάτων, ἢν καὶ ἄλλο μηδὲν αὐτοῖσι φλαῦρον μέζον γένηται, ὅμως τό γε χωρίον ἀμφιθλασθὲν μυξωδεστέρην τὴν σάρκα ἴσχει ἢ πρόσθεν εἶχεν. ὅκου δέ τι τοιοῦτον ἐγκαταλείπεται καὶ μὴ εὖ ἐξιποῦται τῇ γε ἀληθέξει. φαυλότερον μὲν, ἢν παρ' αὐτὸ τὸ ὀστέον ἐγκαταλειφθῇ τὸ μυξῶδες· οὔτε γὰρ ἔτι ἡ σὰρξ ὁμοίως ἅπτεται τοῦ ὀστέου, τό τε ὀστέον νοσηρότερον γίνεται, σφακελισμοί τε χρόνιοι ὀστέου πολλοῖσιν ἤδη ἀπὸ τοιουτέων προφασίων ἐγένοντο.

Μυξῶδες ὑγρὸν εἴωθεν ὀνομάζειν τὸ γλίσχρον τε καὶ λευκόν. ἀθροίζεται δὲ τοῦτο παρὰ τοῖς ἀναίμοις μέρεσιν ὀστοῖς καὶ χόνδροις, ὅταν ἀδυνατήσῃ καλῶς κατεργάσασθαι

ſui, quum librum de fracturis explanarem. Ea igitur magis ſunt vobis in memoriam revocanda quam ſaepius a me repetenda.

LXV.

Quicunque autem rem parvi fecerint ob hujusmodi ictum, ſub quo atteruntur quae circa coſtas ſunt, quamvis in aliud malum deterius non incidant, carnem tamen magis mucoſam habent in loco attrito, quam prius. At ubi talis relinquitur, nec curatione ad bonum habitum reſtituitur, res pejor eſt, ſi mucoſa circa os ipſum relinquatur, quum caro non amplius ſimiliter os attingat et ipſum os morbis opportunius reddatur. Ob ejusmodi autem cauſſas oſſa multis vitiantur, quod malum diutius extrahitur.

Mucoſum humorem appellare conſuevit glutinoſum et album qui colligitur in partibus exſanguibus, ut in oſſe et cartilagine, ubi ipſorum natura recte concoquere ali-

Ed. Chart. XII. [397.] Ed. Baſ. V. (625. 626.)

τὴν τροφὴν ἐν αὐτοῖς ἡ φύσις. ἀπολείπει γὰρ οἷον ἡμίπεπτόν τι, καθάπερ ἐν ὀφθαλμοῖς ὑμένες ἀπολείπουσιν, ὅταν ἀῤῥωστῶσι τὴν ὀνομαζομένην λήμην. ἀσθενεστέρα δὲ ἡ δύναμις ἤτοι δι' οἰκείαν γίγνεται δυσκρασίαν ἢ διὰ τὸ πλῆθος τῆς ἐπιῤῥυείσης ὑγρότητος, ὡς ἐν τοῖς παρὰ φύσιν ὄγκοις συμβαίνει. τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα.

ξστ'.

Ἀτὰρ καὶ ἢν μὴ παρὰ τὸ ὀστέον, ἀλλ' αὐτὴ ἡ σὰρξ μυξώδης ἔῃ· ὅμως γοῦν ὑποστροφαὶ γίνονται καὶ ὀδύναι ἄλλοτε καὶ ἄλλοτε. ἤν τις τῷ σώματι τύχῃ πονήσας, διὰ τοῦτο τῇ ἐπιδέσει δέεσθαι χρὴ, ἅμα μὲν ἀγαθῇ, ἅμα δὲ πολὺ προσηκούσῃ, ἕως ἂν ξηρανθῇ μὲν καὶ (626) ἀναποθῇ τουτὶ τὸ ἐκχύμωμα τὸ ἐν τῇ θλάσει γενόμενον, αὐξηθῇ δὲ σαρκὶ ὑγιεῖ τὸ χωρίον, αὔξηται δὲ τοῦ ὀστέου ἡ σάρξ.

Μυξώδης ἡ σὰρξ οὐ κατὰ τὸν ἑαυτῆς γίγνεται λόγον καὶ ὅσα τῶν μορίων ἐστὶν ἔναιμα. τὸ γὰρ ἴδιον περίττωμα

mentum non poſſit. Relinquit enim quaſi quoddam ſemicoctum, quemadmodum relinquunt infirmae oculorum membranae pituitam craſſiorem quae λήμη Graece nominatur. Vis autem imbecillior redditur vel ob ſuam temperationem immoderatam vel ob multitudinem concurrentis humoris, quod etiam evenit in tumoribus praeter naturam. Cetera omnia orationis hujus clara ſunt.

LXVI.

Quodſi non quae juxta os ſunt, ſed ipſa caro mucoſa fiat, nihilominus ſubinde morbus et dolor revertit, ſi quis corpore laboraverit; quocirca dare vinculum expedit et bonum et valde accommodatum, donec ſiccetur diſcutiaturque ſanguis in attrito loco ſuffuſus et caro integra ibi augeatur. Augetur autem oſſis caro.

Caro et quaelibet pars ſanguinem habens non per ſe mucoſa fit; id enim quod proprie in ipſis ſuperat tale eſt,

Ed. Chart. XII. [397. 398.] Ed. Baſ. V. (626.)

ἑαυτῶν τοιοῦτόν ἐστιν, οἷον ἔν τε ταῖς ῥευματικαῖς διαθέσεσι φαίνεται καὶ τοῖς ἡπατικοῖς διαχωρήμασι. διὸ καὶ συνεχῶς μὲν τοῖς ὀστοῖς [398] καὶ τοῖς χόνδροις καὶ ὑμέσι πάσχουσι τὸ μυξῶδες ὑγρὸν ἀθροίζεται, σπανίζεται δὲ ἐν ταῖς σαρξίν· ἢ γὰρ πρὸς τὰ τοιαῦτα μόρια κοινωνίᾳ ἢ διὰ τὸν ἐπιῤῥέοντα χυμὸν ἱκανῶς, ὅταν φλεγματῶδες ἢ μυξῶδες ἐν αὐτῇ ὑγρὸν συνίσταται. πρόδηλον δ' ὅτι δυσκενότατός ἐστιν ὁ τοιοῦτος χυμός, οὔτε τῶν αἰσθήσεων οὔτε τῶν καταπλασμάτων οὔτε τῶν φαρμάκων ἐπισπᾶσθαί τε καὶ διαφορεῖν αὐτὸν δυναμένων. οὐδὲ γὰρ οὐδ' ἄλλων πρὶν ἀκριβῶς λεπτυνθῆναί τε καὶ εἰς ἀτμὸν διαλυθῆναι δύναται κενοῦν. ἐπεὶ τοίνυν ὁ γλίσχρος χυμὸς εἰς ἀτμοὺς διαλύεται, διὰ τοῦτό ἐστι δυσκίνητος. ὅπου δ' ἂν ἐγκαταληφθῇ τι τοιοῦτον τὸ περισσὸν, ἐνοχλεῖται μέρος ἐπὶ βραχείαις προφάσεσι διὰ τὴν ἀσθένειαν ἑτοίμως δεχόμενον, ὅ τι ἂν ἐν τῷ ἄλλῳ σώματι περιττὸν ἦτοι κατὰ τὸ ποιὸν ἢ κατὰ τὸ ποσὸν ἀθροισθῇ.

---

quale in fluxu atque in dejectionibus ob jecinoris imbecillitatem conſpicitur. Quocirca ubi oſſa, cartilago, membranae laeduntur, mucoſus humor ſaepe contrahitur; carne affecta raro, idque vel propter conſortium quod haec habet cum ejusmodi partibus vel propter humorem copioſe defluentem, ubi mucoſus ſuccus aut pituita in ea contrahitur. Conſtat autem ejusmodi ſuccum maximo negotio excerni, eo quod nec perfuſione, cataplaſmate aut medicamentis evocari digerique poſſit, neque ullo alio praeſidio educi, niſi ex totò antea tenuetur atque in vapores reſolvatur. Ergo quia ſuccus glutinoſus in vapores ſolvendus eſt, idcirco aegre movetur. Ubi vero tale aliquid ſuperans relinquitur, levi de cauſa pars affligitur, quum ob infirmitatem quidquid in reliquo corpore qualitate vel modo ſuperans collectum fuerit prompte recipiat.

Ed. Chart. XII. [398.] Ed. Baſ. V. (626.)

ξξ'.

Οἷσι δ' ἂν ἀμεληθεῖσι χρονιωθῇ καὶ ὀδυνῶδες τὸ χωρίον γένηται καὶ ἡ σὰρξ ὑπόμυξος ἔῃ, τούτοισι καῦσις ἴησις ἀρίστη. καὶ ἢν μὲν αὐτὴ ἡ σὰρξ μυξώδης ἔῃ, ἄχρι τοῦ ὀστέου καίειν χρὴ, μὴ μὴν διαθερμανθῆναι τὸ ὀστέον, ἢν δὲ μεσηγὺ τῶν πλευρέων ἔῃ, ἐπιπολῆς μὲν οὐδ' οὕτως χρὴ καίειν, φυλάσσεσθαι μέντοι μὴ διακαύσῃς πέρην. ἢν δὲ πρὸς τῷ ὀστέῳ δοκέῃ εἶναι τὸ θλάσμα καὶ ἔτι νεαρὸν ἔῃ καὶ μήπω σφακελίσῃ τὸ ὀστέον, ἢν μὲν κατ' ὀλίγον ἔῃ, οὕτω καίειν χρὴ ὥσπερ εἴρηται· ἢν μέντοι παραμήκης ἔῃ ὁ μετεωρισμὸς ὁ κατὰ τὸ ὀστέον, πλείονας ἐσχάρας ἐμβάλλειν χρή. περὶ δὲ σφακελισμοῦ πλευρῆς ἅμα τῇ ἐμμότων ἰητρείῃ εἰρήσεται.

Τὸν γλίσχρον χυμὸν, ὅταν ἀδυνατήσωμεν ἐκδαπανῆσαι φαρμάκοις, ὑπόλοιπος ἴασίς ἐστιν ἡ διὰ τῶν καύσεων· ὅπως δ' αὐτὴν χρὴ ποιεῖσθαι σαφῶς ἐδίδαξεν.

LXVII.

Quibus autem neglectus morbus inveteraverit et locum dolor exerceat, caroque mucoſa ſit, his ferramentum candens medicina optima eſt; quodſi caro ipſa mucoſa ſit, adurere convenit uſque ad os ea obſervatione ne hoc ipſum calefiat; ubi inter coſtas haec fuerit, neque ſic in ſummo convenit adurere. Cavendum tamen eſt ne candens ferramentum penetret uſque ad partem interiorem. Ubi ſedes juxta os attrita eſſe videatur, ſed recens caſus ſit neque os adhuc vitiatum fuerit, ſi exiguum vitium ſit ita urere convenit ſicut dictum eſt; ſin oblongum ſit, quod in oſſe attollitur, pluribus in locis adurere expedit. De coſtis autem vitiatis dicemus, ſimulatque de iis tractabimus ad quorum curationem linamentis eſt opus.

Mucus glutinoſus quum diſſipari per medicamenta non poteſt, reliqua curatio eſt adurere, quae quo pacto admovenda ſit aperte declaravit.

Ed. Chart. XII. [398. 399.] Ed. Baſ. V. (626.)

ξη'.

Ἢν δὲ μηροῦ ἄρθρον ἐξ ἰσχίου ἐκπέσῃ, ἐκπίπτει δὲ κατὰ τέσσαρας τρόπους, ἐς μὲν τὸ εἴσω πλειστάκις, ἐς δὲ τὸ ἔξω τῶν ἄλλων πλειστάκις, ἐς δὲ τὸ ὄπισθεν καὶ ἔμπροσθεν ἐκπίπτει μὲν, ὀλιγάκις δέ.

Ὁ τεθεαμένος ἰσχίου κοτύλην οὐ δεῖται τὴν αἰτίαν ἀκοῦσαι παρ' ἐμοῦ, διὰ ξ ἣν μὲν ἔσω ἐκπίπτει πλειστάκις ὁ μηρὸς, ἐφεξῆς δὲ τῶν ἔξω. τὸ γὰρ τῆς κοτύλης βάθος οὐκ ἔστιν ἴσον ἅπασι τοῖς μέρεσιν. ἔνθα ᾗ ὁ ὑμὴν ταπεινότερος, ἐνταῦθα ῥᾷον ἐξίσταται τὸ ἄρθρον.

ξθ'.

[399] Οἵσι μὲν οὖν ἂν ἐκβῇ εἰς τὸ εἴσω, μακρότερον τὸ σκέλος φαίνεται παραβολλόμενον πρὸς τὸ ἕτερον διὰ δισσὰς προφάσιας εἰκότως. ἐπὶ μὲν γὰρ τὸ ἀπὸ τοῦ ἰσχίου πεφυκὸς ὀστέον τὸ ἄνω φερόμενον πρὸς τὸν κτένα ἐπὶ τούτου ἡ ἐπίβασις τῆς κεφαλῆς τοῦ μηροῦ γίνεται καὶ ὁ

LXVIII.

Quodſi femoris articulus e coxa prorumpat, prorumpit autem in quatuor partes, ſaepiſſime in interiorem, deinde in exteriorem; in priorem et poſteriorem accidit quidem, ſed raro.

Qui coxae cavum inſpexerit, non eſt quod deſideret cauſam a me doceri, quamobrem in interiorem partem ſaepiſſime moveatur, deinde in exteriorem, quum imum cavi non ſit omnibus partibus aequale, et articulus, qua parte ora humilior eſt, facilius elabatur.

LXIX.

Ubi ergo in interiorem partem venit, crus longius eſt ſi cum altero conferatur, idque jure duplici de cauſa. Oſſi enim quod a coxa ſurſum procedit ad pectinem, femoris caput inhaeret cervixque articuli cavo ſuſtinetur;

Ed. Chart. XII. [399.] Ed. Baſ. V. (626.)

αὐχὴν τοῦ ἄρθρου ἐπὶ τῆς κοτύλης ὀχέεται, ἔξωθέν τε αὖ ὁ γλουτὸς κοῖλος φαίνεται, ἄτε εἴσω ῥευσάσης τῆς κεφαλῆς τοῦ μηροῦ.

Σχεδὸν ἅπαντα σαφῶς αὐτὸς οὕτως ἔγραψε τὰ κατὰ λόγον ἀρχὴν αὐτὴν παραθέμενος, ὡς μηδένα δύνασθαι σαφέστερον εἰπεῖν· ἀλλὰ καὶ τὰς αἰτίας ὧν λέγει προστίθησιν αὐτὸς, ὥσθ' ὅπερ ἤδη πολλάκις εἶπον, ἐρῶ καὶ νῦν εἴ τις προσέχοι τοῖς λεγομένοις ἀκολουθήσειεν αὐτοῖς, εἰ καὶ μὴ ἅπαξ ἀναγνοὺς, ἀλλὰ καὶ δεύτερον καὶ τρίτον πάντως.

ο'.

Τό τε αὖ κατὰ τὸ γόνυ τοῦ μηροῦ ἄκρον ἀναγκάζεται ἔξω ῥέπειν καὶ ἡ κνήμη καὶ ὁ ποὺς ὡσαύτως. ἅτε οὖν ἔξω ῥέποντος τοῦ ποδὸς οἱ ἰητροὶ δι' ἀπειρίην τὸν ὑγιέα πόδα πρὸς τοῦτον προσίσχουσιν, ἀλλ' οὐ τοῦτον πρὸς τὸν ὑγιέα, διὰ τοῦτο πολὺ μακρότερον φαίνεται τὸ σιναρὸν τοῦ ὑγιέος.

---

rurſus ab exteriori parte clunis cavus apparet, utpote quum femoris caput in interiorem partem exciderit.

Orationem hanc univerſam initio orſus ipſe ita evidenter adſcripſit, ut nemo loqui poſſit evidentius, ſed et eorum quae tradit cauſas etiam adjecit. Quare quod ſaepius dicere conſuevimus nunc etiam afferemus. Si quis conſideret quae proponuntur, ea ſi non ubi primo, ſaltem ubi ſecundo vel certe tertio legerit percipiet.

LXX.

Extremum rurſus femur juxta genu ſpectare cogitur in partem exteriorem, ſimiliter crus et pes. Ergo quum pes in interiorem partem convertitur, imperitus medicus cum hoc alterum confert, non hunc cum ſano, atque idcirco crus laeſum multo longius videtur, quam integrum.

Ed. Chart. XII. [399.] Ed. Baſ. V. (626.)

Καὶ τοῦθ' ὅτι κοινόν ἐστι ἁπάντων τῶν μεθισταμένων ὀστῶν ἐπιδέδεικται πρόσθεν, εἰς τὸν ἀντικείμενον τόπον τῷ μετασιάντι πέρατι ῥέποντος ἀεὶ θατέρου. καὶ νῦν οὖν μεταστάσης τῆς κεφαλῆς τοῦ μηροῦ τὸ κατὰ γόνυ πέρας εἰκότως εἰς τὴν ἐκτὸς χώραν ῥέπει.

οα'.

Πολλαχῇ δὲ καὶ ἄλλῃ τὰ τοιαῦτα παρασύνεσιν ἔχει.

Ὅτι παρασύνεσιν οὐχ ἁπλῶς τὴν ἀπάτην, ἀλλὰ τὴν παρακειμένην τῷ ἀληθεῖ καὶ διὰ τοῦτο πιθανὴν ὀνομάζειν εἴωθε, λέλεκταί μοι πρόσθεν. ἔστι δ' ἡ νῦν ἀπάτη λεγομένη, καθ' ἣν ἐν τῷ παραβάλλειν τὸ πεπονθὸς τῷ ὑγιεῖ περὶ τὸ κατὰ φύσιν ἁμαρτάνουσι σχῆμα. δέον γὰρ ἀποτείνοντα κατ' εὐθὺ τοῦ ὑγιοῦς σκέλους αὐτῷ παραβάλλειν τὸ πεπονθὸς, ἐναντίως πράττουσι τῷ πεπονθότι προσάγοντες τὸ ὑγιές.

Hoc etiam communiter pertinere ad omnia oſſa luxata antea quoque demonſtravimus, quum altera extremitas ſpectet ſemper in contrariam partem atque ea quae prolapſa eſt. Nunc igitur femoris capite in interiorem partem prolapſo altera extremitas quae ad genu eſt merito in exteriorem convertitur.

LXXI.

Multisque aliis modis error in his accidit.

Errorem *παρασύνεσιν* dixit. Quo vocabulo conſueſſe Hippocratem appellare non quemlibet errorem, ſed eum vero qui proximus eſt et ea de cauſa probabilis, ſupra quoque indicavimus. Errant ergo nunc, quatenus in conferendo affectam partem cum integra in naturali habitu decipiuntur. Debuerunt enim integrum cruri recto ſtatu extento quod vitiatum eſt comparare, ſed contrarium faciunt; integrum enim aeſtimant ad exemplum vitiari.

Ed. Chart. XII. [400.] Ed. Baf. V. (627.)

οβ'.

[400] (627) Οὐδὲ μὴν οὐδὲ ξυγκάμπτειν δύναται κατὰ τὸν βουβῶνα ὁμοίως τῷ ὑγιεῖ. ἀτὰρ καὶ ψαυομένη ἡ κεφαλὴ τοῦ μηροῦ κατὰ τὸν περίναιον ὑπερογκέουσα εὐδηλός ἐστι. τὰ μὲν οὖν σημήϊα ταῦτά ἐστιν, οἷσιν ἂν εἴσω ἐκπεπτώκῃ ὁ μηρός.

Συγκάμπτουσι μὲν γὰρ, ἀλλὰ μετ' ὀδύνης τε καὶ οὐ τελέως. αἴτιοι δὲ οἱ ἀντιτεταμένοι τοῖς κάμπτουσι τὸν μηρὸν μύες οἱ ὄπισθεν οὐκ ἀκολουθοῦντες ἀλύπως ἄχρι τελέας κάμψεως, ἐπειδὴ πλείονος τοῦ κατὰ φύσιν ἕκαστοι ὑπομένουσι κατὰ τὰς ἐσχάτας καμπὰς, ὅταν οὕτως ὁ μηρὸς ἐξαρθρήσῃ.

ογ'.

Οἷσι μὲν ἂν οὖν ἐκπεσὼν μὴ ἐμπέσῃ, ἀλλὰ καταποροῦ ἡ καὶ ἀμεληθῇ ἥ τε ὁδοιπορίη περιφοράδην τοῦ σκέλεος, ὥσπερ τοῖς βουσὶ γίνεται καὶ ὄχλησις πλείστη αὐτοῖσιν ἐπὶ τοῦ ὑγιέος σκέλεός ἐστι.

LXXII.

Quin nec ad inguen flectere crus poſſunt, ſimiliter atque ab integra parte. Adde quod femoris caput, ſi contingatur, inter anum et naturale prominens ſentitur. Ex his itaque indiciis colligitur in interiorem partem femur veniſſe.

Flectunt quidem, ſed cum dolore ac minus perfecte, cujus rei cauſſa ſunt poſterioris partis muſculi illi qui femur inflectunt oppoſiti, quod donec ex toto femur curvetur ſine dolore non ſequatur, quoniam ubi ſic femur exciderit in maximo flexu majorem diſtentionem ferunt, quam ſecundum naturam conveniat.

LXXIII.

Quibus ergo articulus prolapſus fuerit neque repoſitus ſit, ſed reponi non potuerit neglectiusque ſit, dum ingrediuntur, crus circumagunt perinde ac boves plurimumque integro pede nituntur.

Ed. Chart. XII. [400.] Ed. Baſ. V. (627.)

Μακροτέρου τοῦ πεπονθότος σκέλους κατὰ τὴν ἐξάρθρησιν γενομένου ὁδοιπορίαν, ἀναγκαῖόν ἐστι τοὺς οὕτω παθόντας ὁμοίως τοῖς βουσὶ ποιεῖσθαι, διότι κἀκεῖνοι χαλαρὸν ἔχουσι τὸ κατ' ἰσχίον ἄρθρον, ὡς αὐτὸς εἶπεν ἐν ἀρχῇ τοῦδε τοῦ βιβλίου, τάχα δ' οὐ μόνον ἐχρῆν τὸ χαλαρὸν τῆς διαρθρώσεως, ἀλλὰ καὶ τὴν ἀτονίαν αἰτιάσασθαι τῶν κινούντων αὐτὸ μυῶν. οὐ γὰρ εἰ ἦσαν εὔρωστοι, ῥᾳδίως ἀνέκαμπτον τὴν διάρθρωσιν τῆς φθασάσης καμφθῆναι, τὸ περιφέρειν ἔξω τὸ σκέλος οὐκ ἦν ἀναγκαῖον. ἡ γάρ τοι βάδισις γίνεται τῶν σκελῶν ἑκατέρου καὶ περὶ μέρος ἐστηριγμένου τε καὶ κινουμένου. ἡνίκα μὲν γὰρ τὸ ἀριστερὸν ἐστήρικται, τηνικαῦτα τὸ δεξιὸν ἐκ τῶν ὀπίσω μερῶν εἰς τὸ πρόσω φέρομεν· ἡνίκα δὲ τοῦτο πρόσωθεν ἐστηρίξαμεν, ἐπὶ τὸ ἕτερον μεταβάντες ἐκεῖνο πάλιν ὄπισθεν πρόσω φέρομεν, εἶτ' αὖθις ἐν τῷ πρόσω τοῦτο στηρίξαντες, ἐπὶ τὴν τοῦ δεξιοῦ μεταβαίνοντες κίνησιν, ὀρθίου μὲν θατέρου τῶν σκελῶν ἐστηριγμένου κατὰ τῆς γῆς, ἀναφερομένου δὲ εἰς τὸ ὕψος τοῦ κινουμένου, μήτε κατὰ γόνυ μήτε κατ' ἰσχίον πεφύκασι κάμπτεσθαι τὰ σκέλη, πάντως ἂν ἠναγκαζόμεθα, καθάπερ

Quum vitiatum crus longius reddatur, femore ita prolapſo neceſſe eſt hominem bovis modo ingredi: ille ſiquidem coxae articulum laxiorem habet, ſicut ipſe ſupra in principio hujus operis teſtatur. Fortaſſe non oportuit laxiorem dumtaxat articulum cauſari, ſed moventium quoque muſculorum imbecillitatem: nam ſi validi fuiſſent, facile utique commiſſuram curvaſſent, quo facto non neceſſe eſſet crus in exteriorem partem circumagere. Ambulamus enim utrumque crus invicem ſiſtentes moventesque: ubi enim ſiniſtrum ſiſtimus, tunc dextrum ex poſteriori parte in priorem agimus; quod ubi in priori parte ſtabilivimus, alterum rurſum a poſteriori parte in priorem transferimus, ſicque rurſus hoc in priori parte ſiſtentes ad dextrum movendum revertimur; altero crure recto humi innixo, altero quod movetur excitato. Quodſi crura nec ad inguen nec ad genu curvarentur, cogeremur prorſus utrumque transferre ligni modo aliquantiſper altius

Ed. Chart. XII. [400. 401.] Ed. Baſ. V. (627.)

τι ξύλον ἑκάτερον αὐτῶν μεταφέρειν, ἀναφέροντες εἰς ὕψος ἄχρι τινὸς καὶ κυκλοτερῶς περιφέροντες. ἐπεὶ δὲ κάμπτεσθαι δύναται κατ' ἀμφοτέρας τὰς διαρθρώσεις ὑπεναντίως μὲν ἀλλήλοις, χρησίμως δὲ τῷ παντὶ σκέλει, διὰ τοῦτο βαδίζομεν ἄνευ τοῦ καταφέρειν αὐτὰ κυκλοτερῶς ἢ ἀνατείνειν ὡς ξύλα. ἡ μὲν γὰρ κατὰ βουβῶνα διάρθρωσις εἰς τὴν πρόσω χώραν ὑψοῖ ἰὸν μηρὸν, ἡ κατὰ γόνυ δὲ εἰς τὴν ὀπίσω τὴν κνήμην, ὥστ' εἰ καὶ μακρότερον εἴη τοῦ κατὰ τὴν γῆν ἐστηριγμένου σκέλος τὸ μεταφερόμενον, οὐδὲν ἂν ἐδεήθησαν ἐλίττειν αὐτὸ κατὰ τὴν ἔξω χώραν, ἣ τοὺς μῦς εἶχεν ἱκανῶς διὰ ταχέων ἑκατέραν τῶν διαρθρώσεων κάμπτειν. ἐπεὶ δή θ' οἱ δι' ἀῤῥωστίαν οὐ δύνανται ἑτοίμως κάμπτειν καὶ ὀδύνην οὐ βούλονται, καταλείπεται περιφέρειν [401] αὐτὸ κυκλοτερῶς. οὐδὲν γὰρ οὐδ' ἀνατείνειν ἄκαμπτον ὡς ξύλον οἷόν τ' ἐστὶ τοῖς ἀῤῥωστοῦσιν ἢ ὀδυνωμένοις μυσίν. ὅτι δὲ διὰ ταῦτα μᾶλλον ἢ προσγιγνόμενον μῆκος ὁδοιποροῦσι περιφοράδην ἐκ τοῦ λεγομένου παραδείγματος ὑπ' αὐτοῦ τοῦ Ἱπποκράτους ἐναργῶς γνώσῃ. φησὶ γὰρ ἐφεξῆς, ἐπεὶ καὶ

excitantes et circumagentes; at quum poſſint ad utramque commiſſuram curvari modis inter ſe contrariis, qui tamen cruri toti aptiſſimi ſunt, ambulamus haec neque circumagentes neque tanquam ligna excitantes. Quoniam commiſſura quae ad inguen eſt attollit femur in partem priorem quae ad genu, id quod inter ipſos et talum eſt, in poſteriorem. Quare crus quod transfertur, ſi longius eſſet quam quod humi inſiſtit, nihil oporteret in exteriorem partem circumagere, modo haberet idoneos muſculos qui celeriter flectere utramque commiſſuram poſſent; ſed quum ob imbecillitatem flectere prompte nequeat et ob dolorem recuſent, ſupereſt ut in orbem circumagant, quum infirmi ac dolentes muſculi nihil excitare ſublime poſſint, quod ligni exemplo nequeat curvari. Hac igitur de cauſa magis quam quod crus longius redditum ſit circumagi in orbem, dum homo ingreditur, evidenter intelliges de exemplo quod ipſe Hippocrates adjicit. In ſequentibus enim

Ed. Chart. XII. [401.] Ed. Baf. V. (627.)

ὁκόσοι ἕλκος ἔχοντες ἐν ποδὶ ἢ ἐν κνήμῃ κάρτα μὴ δύνανται ἐπιβαίνειν τῷ σκέλει πάντες καὶ οἱ νήπιοι οὕτως ὁδοιπορέουσι. τούτοις γὰρ ἄνευ τοῦ μεμηκύνθαι τὸ σκέλος, ὁδοιπορεῖν οὕτως συμβαίνειν διὰ τὴν γιγνομένην ὀδύνην, εἰ κάμπτοιεν τὰς διαρθρώσεις, μάλιστα, μὲν τὰς κατὰ βουβῶνα καὶ γόνυ, καὶ τρίτην δ' ἐπ' αὐταῖς τὴν κατὰ τὸ σφυρὸν, ἐπεὶ σιμοῦσθαι κατὰ τὴν διάρθρωσιν ταύτην ἄκρον τὸ σκέλος ἀναγκαῖόν ἐστιν ἐν τῷ κατὰ φύσιν ὁδοιπορεῖν, ἀναφέρειν τε εἰς ὕψος ὅλον τὸν πόδα· προσκόπτοι μὲν γὰρ, εἰ τοῦτο γένοιτο, καὶ μάλιστα ἐν τοῖς ἀνωμάλοις ἐδάφεσι.

οδ'.

Καὶ ἀναγκάζονται κατὰ τὸν κινεῶνα ἢ κατὰ τὸ ἄρθρον τὸ ἐκπεπτωκὸς κυλλοὶ καὶ σκολιοὶ εἶναι.

Οὐχ ὅταν ἐρείσαντες τὸ ὑγιὲς κινῶσι καὶ μεταφέρωσι περιφοράδην τὸ ἐξηρθρηκὸς ἀναγκάζονται σχηματίζειν οὕτως ἑαυτοὺς, ἀλλ' ὅταν ἐπὶ τοῦ πεπονθότος ἐρειδόμενον μεταφέρειν τὸ ὑγιές. οὐ γὰρ ὑπερήρεισται τῷ ὑπερκειμένῳ σώ-

ait: quandoquidem quicunque ulcus habent in pede aut crure non ita poſſunt crure uti ad ambulandum et pueri quoque ita inambulant; his enim licet crus longius non reddatur, accidit ut ita ambulent ob ſupervenientem dolorem, ubi commiſſuras flectant praecipue circa inguem et circa genu, ac tertio eam quae ad talos eſt, quum neceſſe ſit juxta commiſſuram hanc extremum crus ſimum in ingreſſu evadere et ſublimem ferre pedem univerſum; nam, niſi hoc fiat, offendet ac potiſſimum in ſolo inaequali.

LXXIV.

Cogunturque regionem juxta ejus partis ilia et juxta articulum prolapſum cavam oſtendere et obliquam.

Neceſſe habent ita figurari non ubi crus integrum ſiſtentes moveant quod luxatum eſt et in orbem transferunt, ſed ubi vitiato innixi quod integrum eſt transfe-

Ed. Chart. XII. [401.] Ed. Baſ. V. (627.)

ματι τὸ πεπονθὸς ὄρθιον, ὡς ὅθεν εἶχε κατὰ φύσιν ἐν εὐθείᾳ γραμμῇ, καθ' ὃ πρὸς τὸ ἔδαφος, ἀλλὰ λοξὸν ἐκ τοῦ βουβῶνος εἰς τὴν ἐκτὸς ἀπονεύει χώραν. ἐπ' ἐκείνην οὖν τὸ κατ' εὐθὺ τῷ πεπονθότι σκέλει μέρος τοῦ σώματος ἀποκλείουσιν εἰς κίνδυνον ἀφικνούμενοι τοῦ περιτραπῆναι πρὸς τὴν ἐναντίαν χώραν καὶ οὕτω συμβαίνει κατὰ τὸν κενεῶνα λαμβάνειν αὐτῶν τὸ σῶμα. κενεῶνα δὲ δηλονότι καὶ τὸ μεταξὺ τοῦτο τῆς λαγόνος ὀστοῦ καὶ τῆς νόθου πλευρᾶς καλεῖ γωνίον, ὅπερ δὴ καὶ κενὸν ὀστῶν ἐστι. δυνάμενον δὲ οὐδ' οὕτω τὸ πεπονθὸς σκέλος ὀχεῖν τὸ σῶμα διά τε τὴν ἀσθένειαν καὶ τὸ σχῆμα βοηθείας δεῖται. ταύτην οὖν ἐπ' αὐτοῦ τοῦ πράγματος οἱ πάσχοντες διδασκόμενοι πορίζουσιν αὐτὸ στηρίζοντες τῇ χειρὶ τὸ πεπονθὸς σκέλος. ἔνθα δὲ μάλιστα δεῖται, κατ' ἐκεῖνον τὸν μηρὸν ἔξωθεν ἐριζομένου τοῦ στηρίζοντος· καὶ τοῦτ' οὖν πάλιν αὐτοὺς ἀναγκάζον ἐπινεύειν εἰς τὴν τοῦ βεβλαμμένου σκέλους χώραν, αὐξάνει τὴν κατὰ τὸν κενεῶνα σκολίωσιν. εἰ γὰρ καὶ χωρὶς τοῦ ἔξω ῥέπειν τὸ σκέλος οὕτω τις αὐτὸν σχηματίσειεν ὑφισαρφος ὁ κενεὼν αὐτός.

---

runt: nam quod vitiatum eſt ſuperpoſiti corporis fulcrum eſſe non poteſt erectum, ſicut quando naturaliter ſe habebat ad rectam lineam ſolo haerens, ſed obliquum ita ut ab inguine in exteriorem partem convertatur, in quam etiam inclinant id corporis quod e regione eſt affecti cruris, quum periculum ſit ne in contrariam cadant. Quo fit ut corpus circa ilia prehendant; ilia autem vocat *κενεῶνα*, eam regionem intelligens quae eſt inter oſſa coxarum et coſtas nothas, quae omnino ſine oſſe eſt. Sed quum neque vitiatum crus ferre corpus poſſit et propter imbecillitatem et propter habitum ope indiget. Quam afferunt nonnulli aegrotantes, qui re ipſa docti affectum crus manu fulciunt, qua maxime opus eſt, ab exteriori parte femoris inſidente, quaeres, quum eos cogat ſpectare in regionem cruris affecti, ejus partis ilia obliqua magis reddit; quae ſi crure etiam in exteriorem partem non converſo ita figurentur, cava videbuntur.

Ed. Chart. XII. [401. 402.] Ed. Baſ. V. (627. 628.)

οε'.

Κατὰ δὲ τὸ ὑγιὲς ἐς τὸ ἔξω ὁ γλουτὸς ἀναγκάζεται περιφερὴς εἶναι. εἰ γάρ τις ἔξω τῷ ποδὶ τοῦ ὑγιέος σκέλεος βαίνει, ἀπωθοίη ἂν τὸ σῶμα τὸ ἄλλο ἐς τὸ σιναρὸν σκέλος τὴν ὄχησιν ποιέεσθαι. τὸ δὲ σιναρὸν οὐκ ἂν δύναιτο ὀχέειν· πῶς γάρ; ἀναγκάζεται οὖν οὕτω κατὰ τοῦ ὑγιέος σκέλεος τῷ ποδὶ εἴσω βαίνειν, ἀλλὰ μὴ ἔξω. τοῦτο γὰρ ὀχέει μάλιστα τὸ σκέλος τὸ ὑγιὲς καὶ τὸ ἑωυτοῦ μέρος τοῦ σώματος καὶ τὸ τοῦ σιναροῦ σκέλεος μέρος.

---

[402] (628) *Ἐναλλάξας τὴν ἑρμηνείαν ἀσάφειάν τινα βραχεῖαν εἰργασατο κατὰ φύσιν· ἢ γὰρ οὕτω μᾶλλον εἰπεῖν, ὡς ἐγὼ νῦν ἐρῶ, κατά γε τὸ ὑγιὲς ὁ γλουτὸς ἀναγκάζεται περιφερὴς εἶναι εἰς τὸ ἔξω, διὰ τὸ βαίνειν ἔσω τούτῳ τῷ σκέλει. εἰ γὰρ ἔξω βαίνοι, ἀπωθοίη ἂν τὸ σῶμα, τὸ δ' ἄλλο ἐπὶ σιναροῦ σκέλους τῇ ὀχήσει ποιεῖσθαι, ὅπερ ἐστὶν ἀδύνατον. οὕτως γὰρ ὀχέει μάλιστα τὸ σκέλος τὸ*

LXXV.

Clunem vero integri lateris neceſſe eſt ab exteriori parte rotundum eſſe: ſi quis enim ambularet pede integri cruris in exteriorem partem converſo, reliquum corpus a vitiato crure ferri utique cogeret, a quo ſuſtineri minime poſſet. Nam quo pacto? Neceſſe eſt igitur hominem ambulare integri cruris pede in interiorem partem converſo, non in exteriorem: ſic enim integrum crus et partem ſuam et eam quae ad vitiatum pertinet maxime feret.

Explicandi ordine permutato paulo obſcurior ſit; convenientem vero ordinem ſervaſſet, ſi ita ſcripſiſſet ſicut ego nunc. Clunem vero integri lateris neceſſe eſt ab exteriori parte rotundum eſſe, eo quod homo inambulet crure hoc in interiorem partem ſpectante; nam ſi in exteriorem ſpectaret, corpus reliquum vitiato crure ferri utique cogeret; quod fieri minime poteſt, ſiquidem hoc

Ed. Chart. XII. [402.] Ed. Baſ. V. (628.)

ὑγιὲς, ὡς προείρηται, τουτέστιν ὅταν ἔσω βαίνῃ τοῦ ὑγιοῦς σκέλους ποδί. δυνήσεται γὰρ τὸ πᾶν ἐπ αὐτῶν στηρίζεσθαι δυσπεριτρέπτως.

οστ'.

Κοιλαινόμενοι δὲ κατὰ τὸν κενεῶνα καὶ κατὰ τὰ ἄρθρα μικροὶ φαίνονται καὶ τῷ ξύλῳ ἀναγκάζονται ἀντερείδεσθαι πλάγιοι κατὰ τὸ ὑγιὲς σκέλος, δέονται γὰρ ἀντικοντώσιος ταύτῃ. ἐπὶ τοῦτο γὰρ οἱ γλουτοὶ ῥέπουσι καὶ τὸ ἄχθος τοῦ σώματος ὀχέεται ἐπὶ τοῦτο.

Ἐπειδὴ τὸ πεπονθὸς σκέλος ἀδυνατεῖ βαστάζειν τὸ ὑπερκείμενον ἑαυτοῦ μέρος τοῦ σώματος, διὰ τοῦτο καὶ τὸ σκέλος μὲν ὅλον τὸ ὑγιὲς ὑπερείδουσιν ἐσωτάτω καὶ αὐτοὶ δὲ ῥέπουσιν ἐπ' αὐτῷ παντὶ τῷ σώματι. συμβαίνει γὰρ αὐτοὺς ἑτεροκλινεῖς γινομένους περιτραπῆναι κινδυνεύειν ἐπὶ τἀναντία τοῦ πεπονθότος. ὥσπερ οὖν ὁπότ' ἐπ' ἐκείνου στηριζόμενον μεταφέρειν εἰς τὸ πρόσω τὸ ὑγιὲς, ἐστήριζον

modo integrum crus, ut dictum eſt, maxime corpus fert, ſcilicet quando homo ambulat integro pede in interiorem partem converſo: ſic enim corpus totum ita ſuſtineri ab ipſo poterit ut nequeat facile perverti.

LXXVI.

At quum regio juxta ilia ejus partis et juxta articulum ſinuetur, parvi apparent et a latere coguntur ligno inniti ab integro crure: ea enim parte indigent aliqua re quae objecto reſiſtat, in hanc enim clunes convertuntur et ab eadem onus corporis ſuſtinetur.

Quia vitiatum crus corporis partes ſibi ſuperjectas ferre nequit, propterea integro toto maxime in interiorem partem compulſo nituntur et in id ſpectant corpore univerſo. Evenit igitur ut in alteram partem inclinati in periculo ſint, ne cadant in eam partem quae vitiatae contraria eſt. Quemadmodum igitur quum vitiato cruri innixi ſanum transferunt ad priorem partem, vitiatum

Ed. Chart. XII. [402.] Ed. Baſ. V. (628.)

τοῦ πεπονθότος τῇ χειρὶ κινδυνεύοντος ἐπ' αὐτῷ περιτραπῆναι δεινῶς τὸ ὑγιὲς σκέλος ἐπὶ τὴν γῆν καὶ διὰ τῆς ἐκείνων ἀφικνοῦνται βοηθείας.

οζ'.

Ἀναγκάζονται δὲ καὶ ἐπικόπτειν. τὴν γὰρ χεῖρα τὴν κατὰ τὸ σκέλος τὸ σιναρὸν ἀναγκάζονται κατὰ πλάγιον τὸν μηρὸν ἐρείδειν. οὐ γὰρ δύναται τὸ σιναρὸν σκέλος ὀχέειν τὸ σῶμα ἐν τῇ μεταλλαγῇ τῶν σκελέων, ἢν μὴ κατέχηται πρὸς τὴν γῆν πιεζόμενον.

Κἀνταῦθα πάλιν παρὰ τὴν ἀσάφειαν, ἣν εἰργάσατο, μὴ προειπὼν ὅτι μεταβαίνει τῷ λόγῳ πρὸς ἑτέρων καιρῶν βάδισιν. ἄχρι μὲν γὰρ οὗ τὸν λόγον ἐποιεῖτο περὶ μέρους βαδίσεως, ἐν ᾗ τοῦ κατὰ φύσιν ἔχοντος σκέλους ἐρηρεισμένου κατὰ τῆς εἰς τὸ πρόσω μεταφερούσης τὸ πεπονθός. ὁ δὲ νῦν λόγος ἐστὶν ἐπὶ θατέρου μέρους τῆς βαδίσεως στηριζόμενοι τῷ πεπονθότι μεταφέρουσι τὸ ὑγιές. εἴρηται δ' ὀλίγον τὸ ὑγιὲς ἔμπροσθεν ἤδη περὶ τοῦδε τοῦ μέρους τῆς βαδίσεως.

---

manu fulciunt, ita quum periculum ſit ne converſi in integrum graviter in terram cadant, ad baculi praeſidium confugiunt.

LXXVII.

Coguntur item inclinari. Neceſſe enim habent manu quae e regione affecti cruris eſt, a latere femur fulcire, quoniam ubi transferenda crura ſunt, non poteſt quod vitiatum eſt ferre corpus, niſi contineatur deorſumque urgeatur.

Rurſus hic etiam obſcurus fuit, quum non praefatus ſit pergere ſe ad alteram partem ambulationis: hactenus enim de ea parte tractavit, in qua crus quod naturaliter habet humi conſiſtit; affectum in priorem partem fertur. Nunc agit de altera in qua affecto cruri innixus ſanum transfert, de qua parte ambulationis paulo ſupra tractatum eſt.

Ed. Chart. XII. [402. 403.] Ed. Baſ. V. (628.)

οη'.

Ἐν τούτοισι γοῦν τοῖσι σχήμασιν ἀναγκάζονται ἐσχηματίσθαι, οἷσιν ἂν εἴσω ἐκβὰν τὸ ἄρθρον μὴ ἐμ- [403] πέσῃ οὐ προβουλεύσαντος τοῦ ἀνθρώπου, ὅπως ἂν ῥηϊστα ἐσχηματισμένον ἔῃ, ἀλλ' αὐτὴ ἡ ξυμφορὴ διδάσκει ἐκ τῶν παρεόντων τὰ ῥηϊστα αἱρέεσθαι. ἐπεὶ καὶ ὁκόσοι ἕλκος ἔχοντες ἐν ποδὶ ἢ κνήμῃ, οὐ κάρτα δύνανται ἐπιβαίνειν τῷ σκέλει πάντες καὶ οἱ νήπιοι οὕτως ὁδοιπορέουσιν. ἔξω γὰρ βαίνουσι τῷ σιναρῷ σκέλει.

Δυοῖν σχήμασιν, οὐχὶ ἑνὶ χρωμένων ἐν ταῖς ὁδοιπορίαις τῶν οὕτω πεπονθότων εἰκότως εἶπεν ἐν τούτοισι ἐπ' αὐτὸ καὶ τῇ χειρὶ τὸν μηρὸν στηρίζοντες· ἕτερον δ' ὅταν ἐπὶ τοῦ κατὰ φύσιν ἔχοντος ὅλοι πάλιν ἐπὶ τοῖτ' ἐγκλινόμενοι, διὸ καὶ τοῦ κοντοῦ δέονται. δι' οὗ ῥέπειν οἷν ἐπὶ τἀναντία συμβαίνει τὸ σῶμα ποτὲ μὲν ἐπὶ τὸ δεξιὸν ἐγκλινόμενον μέρος, ὅταν τῷ δεξιῷ ποδὶ στηρίζωνται, ποτὲ δὲ ἐπὶ θάτερον, ὅταν θατέρῳ. καὶ ὅταν πρὸς τοῖς ἄλλοις ἔτυχεν

LXXVIII.

His itaque modis figurari neceſſe eſt eos quibus articulus in interiorem partem elapſus reconditus non fuerit, homine nullum conſilium capiente quomodo aptiſſime figuretur, ſed calamitate ipſa edocto ex his figurandi modis qui dantur eum eligere, qui ſit commodiſſimus: quandoquidem quicunque ulcus habent in pede aut crure non ita uti crure poſſunt ad ambulandum et pueri quoque ita ambulant; ingrediuntur enim affecto crure in exteriorem partem converſo.

Quum non uno tantum, ſed duplici ſtatu in ingreſſu utantur qui ſic affecti ſunt merito dixit, his itaque modis figurari: unus quidem ſtatus eſt quum femur manu fulciunt, alter quum integro cruri innixi in id toti inclinantur, atque idcirco baculo egent. Quo fit ut in contrarias partes corpus inclinent, modo in dextram ubi dextro pede inſiſtunt, modo in alteram ubi altero. Hi

Ed. Chart. XII. [403.] Ed. Baſ. V. (628.)

ἀσχήμονι χρῆσθαι τῇ βαδίσει μᾶλλον τῶν ἐξαρθρησάντων ἑτέρῳ ἰσχίων, ὑπὲρ ὧν ἐφεξῆς ἐρεῖ.

οθ'.

Καὶ δισσὰ κερδαίνουσι, δισσῶν γὰρ δέονται. τό τε γὰρ σῶμα οὐκ ὀχέεται ὁμοίως ἐπὶ τοῦ ἔξω ἀποβαινομένου, ὥσπερ ἐπὶ τοῦ εἴσω. οὐδὲ γὰρ κατ' ἰθυωρίην αὐτῷ γίνεται τὸ ἄχθος, ἀλλὰ πολλῷ μᾶλλον ἐπὶ τοῦ ὑπερβαινομένου, κατ' ἰθυωρίην γὰρ αὐτῷ γίνειαι τὸ ἄχθος ἔν τε αὐτῇ τῇ ὁδοιπορίῃ καὶ τῇ μεταλλαγῇ τῶν σκελέων. ἐν τούτῳ τῷ σχήματι τάχιστα ἂν δύναιτο ὑποτιθέναι τὸ ὑγιὲς σκέλος. ἦν τῷ μὲν σιναρῷ ἐξωτέρω βαίνοι, τῷ δὲ ὑγιεῖ ἐσωτέρω, περὶ οὗ νῦν ὁ λόγος. ἀγαθὸν εὑρίσκεσθαι αὐτὸ ἑωυτῷ τὸ σῶμα ἐς τὰ ῥᾴϊστα τῶν σχημάτων.

Ἐν τῷ περιφέρειν μὲν ἔξω τὸ πεπονθὸς σκέλος, ἐρίζειν δὲ ἐνδοτάτω τοῦ ὑγιέος τὸ δισσὸν κέρδος αὐτοῖς γίγνε-

quoque magis indecore ambulant quam quibus femur coxa excidens in exteriorem partem prorumpit, quod in ſequentibus perſequetur.

LXXIX.

Duo autem lucrantur, duobus enim indigent. Nam corpus in ingreſſu non aeque fertur eo crure quod in exteriorem partem convertitur, atque eo quod in interiorem, quum onus non ſit e regione illius, ſed multo magis hujus e cujus regione in ambulando et cruribus transferendis onus collocatur. Praeterea ſi ita figurentur, ut affectum crus ſpectet in partem exteriorem, quod integrum eſt in interiorem: integrum vicem alterius quam citiſſime ſubibit. Quod ad propoſitum attinet, magni momenti eſt invenire ſtatum corpori commodiſſimum.

Ubi laeſum crus in exteriorem partem circumagunt et integro ſpectante in interiorem nituntur, duplex ſibi

Ed. Chart. XII. [403.] Ed. Baſ. V. (628.)

ται, μήτε βαρύνεσθαί ποτε τὸ πεπονθὸς ὑπερειδόμενον ὅλον τῷ σώματι μήθ' ὑπηρεσίαν αὐτοῦ πολυχρόνιον γίγνεσθαι, βραχύτατον διάστημα κινουμένου τοῦ ὑγιοῦς. ἐὰν γὰρ θελήσῃς ἀκριβῶς προσέχειν, ἑκατέρου τοῦ χρόνου τῆς ἑκατέρου τῶν σκελῶν ὑπηρεσίας οὐ διπλάσιον μόνον, ἀλλὰ καὶ τριπλάσιον εὑρήσεις γιγνόμενον. ὀλίγιστον μὲν γὰρ διάστημα καὶ ταχείᾳ τῇ φορᾷ μόνῃ κινουμένου τοῦ ὑγιοῦς, πολὺ δὲ καὶ βραδείᾳ τοῦ πεπονθότος. εὔδηλον γὰρ ὁπόσῳ μείζων ἐστὶν ἡ κυκλοτερὴς ὁδοιπορία τῆς εὐθείας, εἰ καὶ τοῖς αὐτοῖς πέρασιν ἀμφότεραι χρῶνται.

π'.

Ὅσοισι μὲν οὖν μήπω τελειουμένοισιν ἐς αὔξησιν ἐκπεσὼν μὴ ἐμπέσῃ, γυιοῦται ὁ μηρὸς καὶ κνήμη καὶ ὁ πούς· οὔτε γὰρ τὰ ὀστέα ἐς τὸ μῆκος ὁμοίως αὔξεται, ἀλλὰ βραχύτερα γίνεται, μάλιστα δὲ τὰ τοῦ μηροῦ.

---

lucrum comparant: ſiquidem quod laeſum eſt nec toto corpore ſuperiori oneratur nec diu ſubſervit, quum quod integrum eſt paulum intervalli moveatur. Nam ſi diligenter intueri tempus volueris, quo crus utrumque ſubſervit, non modo duplum, ſed et triplum reperies. Per breviſſimum enim ſpatium celeriterque recta dumtaxat integrum crus fertur, permultum tardeque quod affectum eſt; ſiquidem conſpicuum eſt, quando longior ſit ambulatio in orbem quam quae recta eſt, quamvis utraque iisdem finibus terminetur.

LXXX.

His autem qui nondum perfecte increverunt, ſi excidens non recondatur, brevius redditur femur, crus et pes: neque enim oſſa ſimiliter in longitudinem augentur, ſed breviora fiunt, femur praeſertim.

Ed. Chart. XII. [404.] Ed. Baſ. V. (628. 629.)

[404] Ἔλαττον γίγνεται, φησὶν, ὅλον τὸ σκέλος οἷς ἔξαρθρος οὔπω ὅλος ὁ μηρὸς αὐξανόμενος, ἔτι τε κοινὸν αὐτὸ τῶν ἄρθρων ἐστὶν, ὥσπερ καὶ πρόσθεν εἶπον. ἀλλὰ νῦν γε τοῦ κοινοῦ τὴν αἰτίαν ἔγραψεν, ὡς εἰωθεν· ἅπαξ που μεμνῆσθαι τοῦ κοινοῦ καθ' ἕν τι τῶν ἐν μέρει. διὰ τοῦτο γάρ φησιν ἀναυξὲς καὶ ἄτροφον αὐτοῖς γίγνεσθαι τὸ σκέλος, ἅμα μὲν διὰ τὴν στέρησιν τῆς χώρας τοῦ ἄρθρου, ἅμα δὲ ὅτι ἀδύνατον χρῆσθαί ἐστιν. ἐγὼ δ' ἐν τοῖς ἔμπροσθεν ἔφην τῶν μορίων καὶ τὴν αἰτίαν ἀργίαν εἶναι. γίγνεται δὲ ἄμφω διὰ τὴν ἀνάρθρησιν, ὥστ' οὐκ οἶδ' ὅπως Ἱπποκράτης εἰπὼν, (629) εἶναι τὴν ἐξάρθρησιν, ἐφεξῆς ἐπήνεγκε τὴν ἀργίαν. ἡ γὰρ ἐξάρθρησις οὐ πρώτως ἀτροφίαν ἐργάζεσθαι πέφυκεν, ἀλλὰ διὰ μέσης διαστροφῆς τῶν ὀργάνων καὶ τῆς ἀργίας.

πα'.

Ἄσαρκόν τε ἅπαν τὸ σκέλος καὶ ἄμυον καὶ ἐκτεθηλυσμένον καὶ λεπτότερον γίνεται, ἅμα μὲν διὰ τὴν στέρησιν τῆς

Minus ait reddi crus totum, quibus nondum auctis femur luxatum relinquitur quod ut in ſuperioribus oſtendimus, omnium quoque articulorum commune eſt. Communis autem rei nunc cauſam adſignat, quemadmodum ſolitus eſt: ſemel enim, ubi aliquod ſingularium tractat, ejus meminit quod commune eſt; hac igitur de cauſa, inquit, crus his non augeri neque ali, partim quod articulus loco motus ſit, partim quod nequeat ſuo munere fungi. Ego autem in ſuperioribus retuli otium cauſam eſſe cur partes neque augeantur neque alantur, quae ambo eveniunt articulo luxato: quare non video, quo pacto Hippocrates luxatum articulum cauſſatus otium ſuperjiciat; luxata enim non poſſunt primo prohibere quominus partes alantur, ſed intercedente venarum et arteriarum depravatione atque otio.

LXXXI.

Crus item univerſum ſine carne et ſine muſculis efficitur, ad haec effeminatum tenuiusque, partim quod articulus

Ed. Chart. XII. [404.] Ed. Baſ. V. (629.)

χώρης τοῦ ἄρθρου, ἅμα δὲ ὅτι ἀδύνατον χρέεσθαί ἐστιν, ὅτι οὐ κατὰ φύσιν κέεται.

Τῆς ὅλης τῶν μηρῶν οὐσίας μόριά εἰσιν αἱ σάρκες, ὡς ἐθεάσασθε πολλάκις ἐν τῇ τῶν μυῶν ἀνατομῇ, δεικνύοντος μου τὰ τῆς αἰσθήσεως αὐτῶν αἰσθητὰ στοιχεῖα δύο ὄντα τάς τε νευρώδεις ἶνας καὶ τὰς ἔξωθεν αὐταῖς περιπεγνυμένας σάρκας. ὅταν οὖν τις ἐκ γυμνασίων καὶ τρίψεων ἰσχυρότερος ἑαυτοῦ γένοιτο, τὴν μὲν τῶν ἰνῶν οὐσίαν ἐντροφοτέραν ἔχει, τὴν δὲ τῶν σαρκῶν ἐλάττονα μὲν, ἰσχυροτέραν δέ. τοῖς δὲ ἀγυμνάστοις καλουμένοις πολλὰ τοὐναντίον συμβαίνει τῶν ἶνων ἰσχνῶν οὐσῶν πολλὴν μὲν, ἀλλὰ μαλακὴν δι' ὑγρότητος γίγνεσθαι. προσέοικε γὰρ ἡ τοιαύτη σὰρξ τοῖς ἐπιπεπηγυμένοις τυροῖς, ὥσπερ ἡ τῶν γυμναστικῶν τοῖς ἀκριβῶς ἤδη πεπηγόσι· διὸ καὶ φαίνονται μὲν τούτοισιν οἱ μύες σκληροὶ καὶ νευρώδεις καὶ περιγραφὰς ἔχοντες. τοῖς δ' ἀγυμνάστοις μαλακοὶ καὶ σαρκώδεις, ἤτοι δ' οὐδ' ὅλως, ἀλλ' ἀμυδρῶς φαινόμενοι ἐμφαίνοντες τὰς

loco motus ſit, partim quod nequeat ſuo munere fungi, quum naturalem ſtatum non retineat.

Partes quibus muſculorum natura continetur caro ſunt, ut in muſculis incidendis ſaepe vidiſtis, quum duo eſſe eorum principio demonſtrarem quae ſenſu comprehenduntur, nempe fibras nervoſas et carnem ſuper ipſas ſpiſſatam. Ergo ubi quis exercitatione et frictione robuſtior evadat, fibrae melius aluntur, caro gracilior fit, ſed firmior. Ignavis contrarium fere accidit, graciles enim fibrae ſunt, at caro admodum quidem abundat, ſed ob humorem mollis eſt. Ejusmodi enim carne caſeus qui adhuc concreſcit repraeſentatur, ſed carne eorum qui exercentur, ille qui jam ſpiſſatus eſt; quocirca his muſculi duri, nervoſi et propriis finibus circumſcripti conſpiciuntur; inexercitatis vero molles et carnoſi apparent, ac vel nullo modo vel vix circumſcripti, quibus propterea ſine

Ed. Chart. XII. [404. 405.] Ed. Baf. V. (629.)

ὑπογραφάς. διὰ τοῦτ' οὖν εἰπὼν ὁ Ἱπποκράτης τὸ σκέλος τούτοις ἄσαρκον γίγνεσθαι, γεγνώσκειν δὲ καὶ τοῖς ἐκ γυμνασίων πλεόνων τοιοῦτον γενόμενον ἐπήνεγκε τῷ καὶ ἄσαρκον καὶ ἄμυον ἐν ἴσῳ τῷ τὰς περιγραφὰς οὐκ ἔχον αἰσθητὰς μυῶν. οὐ γὰρ δὴ παντάπασι καὶ διαφθείρεταί τις αὐτῶν μῦς, ἀλλὰ ὥσπερ ἄφλεβον σῶμα λέγομεν τὸ μὴ φαινομένας ἔχον τὰς φλέβας, οὕτω καὶ ἄμυον, ἐν ᾧ παντάπασιν ἀφανεῖς εἰσιν αἱ περιγραφαὶ τῶν μυῶν. ἔτι δὲ σαφέστερον ἐνδείξασθαι βουλόμενος ὁποία τις ἡ τοῦ σκέλους αὐτοῖς ἰδέα γίγνεται προσέθηκε τὸ ἐκτεθηλυσμένον, ὅπερ ἐστὶν ὑγρὸν καὶ μαλακὸν καὶ μὴ σφίγγον καὶ διαῤῥέον, ὁποῖον αἱ γυναῖκες ἔχουσιν. ἅπαντα γὰρ ταῦτα προσηκόντως ἄν τις εἴποι κατὰ τῆς τῶν γυναικῶν σαρκὸς, ἀφ' ἧς κατὰ μεταφορὰν ἐποιήσατο ἐκτεθηλυσμένον ὄνομα. τὸ δὲ λεπτότερον ἐπὶ τῆς τελευτῆς τοῦ λόγου προσέθηκεν ἐνδεικνύμενος, ἁπάντων τῶν κατ' αὐτὸ μορίων ὅπερ ἐν ἀρχῇ τῆς ῥήσεως εἶπε γυιοῦται. τὸ γὰρ [405] ἄσαρκον ἐπὶ τῆς κατὰ σάρκα ἐνδείας μόνης λέγεται, τὸ γυιοῦσθαι δὲ τὸ σκέλος ἐπὶ πάντων τῶν μερῶν ἐλαττόνων γιγνομένων.

---

carne crus reddi Hippocrates aſſerit. Sed quum hoc quoque fieri ex multa exercitatione intelligeret, ubi dixit ſine carne, proxime ſubjecit ſine muſculis quaſi muſculis, non circumſcriptis a finibus qui ſenſu comprehendantur: nullus ſiquidem ex ipſis muſculis ex toto corrumpitur, ſed ſicut corpus ſine venis dicimus ubi venae non apparent, ita ſine muſculis quum muſculorum fines penitus deliteſcunt. Ad haec quum clarius oſtendere vellet, in his cujusmodi forma cruris ſequatur adjecit effeminatum, hoc eſt madens, molle, non adſtrictum, ſed laxum, quales ſunt feminae de quarum carne convenienter haec omnia dici poſſent, a quibus translatione uſus mutuatur verbum *effeminatum*. Adjungit autem in extrema oratione tenuius indicans partes ejus omnes extenuari, quam rem in principio dixerat his verbis brevius redditur. Nam quod ait, ſine carne ad ſolam carnis carentiam refertur; quod vero dicit brevius reddi crus, ad partes omnes quae breviores redduntur.

Ed. Chart. XII. [405.] Ed. Baſ. V. (629.)

πβ'.

Χρῆσις γὰρ μετεξετέρη ῥύεται τῆς ἄγαν ἐκθηλύνσιος, ῥύεται δέ τι καὶ τῆς ἐπὶ μῆκος ἀναυξήσιος. κακοῦνται μὲν οὖν μάλιστα, οἷσιν ἂν ἐν γαστρὶ ἐοῦσιν ἐξαρθρήσῃ τοῦτο τὸ ἄρθρον, δεύτερον δὲ οἷσιν ἂν ὡς νηπιωτάτοισιν ἐοῦσιν, ἥκιστα δὲ τοῖσι τετελειωμένοισι. τοῖσι μὲν οὖν τετελειωμένοισιν, οἵη τις ὁδοιπορίη γίνεται, οἷσι δ' ἂν νηπίοισιν ἐοῦσιν ἡ ξυμφορὴ αὕτη φαίνεται.

Ἔνιστι μὲν παρ' Ἡρόδοτον μάλιστα μαθεῖν οὐδὲν πλέον σημαῖνον παρὰ τοῖς Ἴωσι τὸ μετεξετέρην τοῦ παρ' ἡμῖν ἑτέρην· πολλάκις γὰρ αὐτῷ κέχρηται, καθάπερ καὶ τῷ μετεξέτερον. δῆλον οὖν καὶ διὰ τοῦτο πάλιν ὅπερ ἡμῖν διὰ τοῦ τινὲς μὲν εἰ καὶ νῦν οὖν οὐ καὶ μετεξετέρου τοιοῦτον τὸ δῆλον. προειρηκὼς γὰρ ὅτι διὰ τὴν ἀργίαν αὐτοῖς τὸ σκέλος γυιοῦται καὶ τάχα τινὰ παρακοῦσαι νομίσας, ὡς ἅπασιν χρῆσιν τῶν μορίων οὐ τρόφιμον εἶναί φησι πᾶσαν,

LXXXII.

Namque uſus aliquis id quod valde effeminatum eſt confirmat, ſolvit etiam aliquid ex eo quod augeri membrum in longitudinem prohibebat. Potiſſimum autem laeduntur, quibuscunque, dum in utero ſunt, hic articulus elabitur; deinde quibus id accidit, dum in aetate ſunt admodum tenera, minime quum jam robuſti ſunt. Qua ratione autem ingrediantur qui robuſti ſunt, jam oſtendimus.

Verbum *aliquis* μετεξέτερος dixit, quod apud Iones nihil amplius ſibi velle quam quod nobis dicitur ἕτερος, id eſt *alter* licet ex Herodoto colligere. Utitur enim eo frequenter, ſicut et verbo μετεξέτεροι, quo ſignificat id quod nos vocabulo τινὲς, id eſt *aliqui*; ſed et nunc quoque μετεξέτερος tale quidpiam ſonat. Praefatus enim ob ignaviam crus ipſis minui, ne quis fortaſſe rem minus bene accipiens exiſtimet, quemlibet partium motum effi-

Ed. Chart. XII. [405.] Ed. Baſ. V. (629.)

ἀλλά τινα ἐργάσασθαι λέγει τὴν σύμμετρον δηλονότι, καθάπερ καὶ τἄλλα πάντα καθ' ὅλην τὴν ὑγιεινὴν δίαιταν, ὡς ἐν ἄλλοις τέ τισιν ὑπ' αὐτοῦ λέλεκται τοῦτο καὶ δι' ἑνὸς κεφαλαίου ἐν τῷ τῶν ἐπιδημιῶν ἕκτῳ, ἔνθα φησὶ, πόνοι, σιτία, ποτὰ, ὕπνοι, ἀφροδίσια, πάντα μέτρα.

πγ'.

Οἱ μὲν πλεῖστοι καταβλακεύουσι τὴν διόρθωσιν τοῦ σώματος, ἀλλὰ κακῶς εἰλέονται ἐπὶ τὸ ὑγιὲς σκέλος τῇ χειρὶ πρὸς τὴν γῆν ἀπερειδόμενοι τῇ κατὰ τὸ ὑγιὲς σκέλος. καταβλακεύουσι δὲ ἔνιοι, τὴν ἐς τὸ ὀρθὸν ὁδοιπορίην καὶ οἷσιν ἂν τετελειωμένοισιν αὕτη ἡ ξυμφορὰ γένηται. ὁκόσοι δ' ἂν νήπιοι ὄντες ταύτῃ τῇ ξυμφορῇ χρησάμενοι ὀρθῶς παιδαγωγηθῶσι, τῷ μὲν ὑγιεῖ σκέλει χρέονται ἐς ὀρθὸν, ἐπὶ δὲ τὴν μασχάλην τὴν κατὰ τὸ ὑγιὲς σκέλος σκίπωνα περιφέρουσι. μετεξέτεροι δὲ καὶ ὑπ' ἀμφοτέρας τὰς χεῖρας, τὸ δὲ σιναρὸν σκέλος μετέωρον ἔχουσι.

cere ut alantur, afferit non omnem, ſed quendam hoc praeſtare, nempe moderatum, ſicut cetera omnia in univerſo victu ſalubri, quod ipſe et alibi et in una capite in ſexto de morbis vulgaribus teſtatur quum inquit: labor, cibus, potus, ſomnus, venus, omnia moderata.

LXXXIII.

Quos tenera aetate calamitas haec invaſit plerique in dirigendo corpore negligentes ſunt, maleque ſuper integrum crus circumvolvuntur manu, quae e regione ejus eſt deorſum urgentes. Negligentes item nonnulli ſunt in recte ambulando, quibus poſtquam aetas induruit hoc vitium accidit. Sed qui tenera aetate hujusmodi calamitatem experiuntur, ſi recte educentur, integro crure recte inambulant, baculum tamen alae quae integro cruri reſpondet ſubjiciunt; nonnulli baculum ad utrumque brachium admovent, vitiatum vero crus ſuſpenſum habent.

Ed. Chart. XII. [405. 406.] Ed. Baſ. V. (629.)

Τοῖς μὲν ἤδη κεκρατυσμένοις τὰ κῶλα τοιαύτης συμφορᾶς γιγνομένης, γίγνεται χρῆσθαι τῷ σκέλει χωλεύοντι. τοῖς δὲ μικροῖς πάνυ παιδίοις, ἀλλ' εἰ καὶ κατὰ φύσιν ἔχοι καὶ χρῆσθαι πῶς καλῶς δύναιτο τοῖς σκέλεσι; ῥαθυμία τις ἐγγίγνεται περὶ τὴν τοῦ κώλου ἐνέργειαν καὶ διὰ τοῦτο καταβλακεύουσιν ὀρθοῦσθαι, τουτέστιν ἀμελοῦσι καὶ καταῤῥαθυμοῦσι. καὶ τί θαυμαστὸν, εἰ καὶ αὐτὰ καταφρονεῖ τοῦ διανασταντος κωλύειν ὀρθὰ καὶ τῶν ἤδη τελειουμένων ἐνίοτε μὴ τολμώντων ὀρθῶς χωλεύειν, ἀλλ' ὡς εἴρηκεν αὐτὸς, εἱλουμένων ἐπὶ τὸ ὑγιὲς σκέλος; ἐνεδείξατο δὲ σαφῶς αὐτῶν καὶ τὸν τρόπον τῆς κινήσεως, ὁποῖός τις γίγνεται διὰ τοῦ εἱλέονται ῥήματος.

πδ'.

[406] *Καὶ τοσούτῳ ῥηίους εἰσὶν, ἔσω ἂν αὐτοῖσιν ἔλασσον τὸ σκέλος τὸ σιναρὸν ἔῃ.*

Ῥηίους εἴρηκε τοὺς ἑτοιμότερον βαδίζοντας, ὅπερ αὐτοῖς συμβαίνει βραχέος ὄντος τῷ μήκει τοῦ σιναροῦ σκέ-

Quum homo aetate jam robuſta ejusmodi calamitatem experitur, crure uti poteſt, quamquam claudicante; parvulis pueris, qui quamvis crura naturaliter haberent, quonam iis pacto uti poſſent? Supervenit ignavia quaedam circa membri actiones; atque ea de cauſa *καταβλακεύουσιν ὀρθοῦσθαι*, id eſt in dirigendo corpore negligentes ſunt atque ignavi. At quid mirum, ſi ambulantes pueri recte claudicare non ſtudent, quando ii qui jam robuſti ſunt non ſuſtinent interdum claudicare, ſed ut ipſe dixit ſuper integrum crus circumvolvuntur? Manifeſte autem aperuit modum motionis ipſorum verbo circumvolvuntur.

LXXXIV.

Eo autem facilius agunt, quo affectum crus brevius habent.

Facilius agentes appellat eos qui promptius ingrediuntur, quod contingit ubi vitiatum crus brevius habent.

Ed. Chart. XII. [406.] Ed. Baſ. V. (629. 630.)

λους. οὐ γὰρ δέονται μεταφέρειν ἐλίσσοντες αὐτὸ, καθάπερ οἷς τελείοις οὖσιν ἔξαρθρον ἔμελλε, μακρότερον ἐπὶ τούτῳ διὰ τὴν ἔκπτωσιν γενόμενον εἰς ἀνάγκην αὐτοὺς ἄγειν τῆς ὑπ' αὐτοῦ λεγομένης ὄπισθεν ὁδοιπορίας περιφοράδην γινομένης.

πέ.

(630) Τὸ δὲ ὑγιὲς ἰσχύῃ αὐτέοισιν οὐδὲν ἧσσον ἢ εἰ καὶ ἀμφότερα ὑγιέα ἦν.

Εἰκότως τοῦτ' εἶπε· χρῶνται γὰρ εἰκότως τῷ ὑγιεῖ παραπλησίως ἢ εἰ καὶ ἀμφότερα ὑγιεινὰ ἦν. ἅτε οὖν τὴν αὐτὴν ἔχοντες αὐτῷ χρῆσιν, ἣν καὶ κατὰ φύσιν ἀμφοῖν διακειμένων εἶχον, ὁμοίως εὐτροφοῦντι καὶ ῥωμαλέῳ χρῶνται.

πϛ'.

Θηλύνονται δὲ πᾶσι τοῖς τοιούτοισιν αἱ σάρκες τοῦ σκέλεος, μᾶλλον δ' ἔτι θηλύνονται αἱ ἐκ τοῦ ἔξω μέρεος ἢ αἱ ἐκ

Non enim coguntur id circumagere, quemadmodum qui aetate firma ſunt, quum luxatus articulus non reponitur, quibus crus ob prolapſum articulum longius efficitur, coguntur que, ut ipſe antea indicavit, ipſum, dum ambulant, in orbem circumferre.

LXXXV.

Atque integro crure nihilo minus valent quam ſi utrumque integrum eſſet.

Merito hoc adjungit; jure ſiquidem integro crure utuntur aeque ac ſi utrumque integrum eſſet, ut quod eundem uſum praeſtet; atque ubi utrumque integrum erat, ſimiliter nutriatur et robuſtum ſit.

LXXXVI.

Jam vero his omnibus caro cruris effeminatur; plerumque autem magis ab exteriori parte quam ab interiori.

Ed. Chart. XII. [406.] Ed. Baf. V. (630.)

εἴσω ὡς ἐπὶ πολύ. μυθολογοῦσι δέ τινες ὅτι αἱ Ἀμαζονίδες τὸ ἄρσεν γένος τὸ ἑωυτῶν αὐτίκα νήπιον ἐὸν ἐξαρθρέουσιν, αἱ μὲν κατὰ τὰ γούνατα, αἱ δὲ κατὰ τὰ ἰσχία, ὡς δῆθεν χωλὰ γίνοιτο καὶ μὴ ἐπιβουλεύοι τὸ ἄρρεν γένος τῷ θήλει. χειρώναξιν ἄρα τούτοισι χρέονται, ὁκόσα ἢ σκυτίης ἔργα ἢ χαλκείης ἢ ἄλλο τι ἑδραῖον ἔργον. εἰ μὲν οὖν ἀληθέα ταῦτά ἐστιν, ἐγὼ μὲν οὐκ οἶδα. ὅτι δὲ γίνοιτο ἂν τοιαῦτα οἶδα, εἴ τις ἐξαρθρέοι αὐτίκα νήπια ἐόντα.

Πᾶσι μᾶλλον θηλύνονται, φησὶν, αἱ ἔξω τοῦ ἄρθρου σάρκες ἢ ἔσω, εἰ εἰς τὴν ἐντὸς χώραν μεταστῇ, διὸ καὶ μᾶλλον ἀργεῖ τ᾽ αὐτὸ τὸ μέρος· εἰ γὰρ καὶ παρὰ φύσιν, ἀλλ᾽ ὅμως γίγνονταί τινες κνήσεις εἰς τὴν κεφαλὴν τοῦ μηροῦ κατὰ τὰ ἔνδον ἐστηριγμένα μέρη.

πζ'.

Κατὰ μὲν οὖν τὰ ἰσχία μέζον τὸ διάφορόν ἐστιν, ἐς τὸ εἴσω ἢ ἐς τὸ ἔξω ἐξαρθρῆσαι. κατὰ γούνατα δὲ διαφέρει μέν

Nonnulli autem ferunt Amazonas ſuis maribus protinus infantibus articulos ſua ſede expellere alias ad coxas, ad genu alias, ut claudi fiant, ne ſcilicet mares feminis inſidientur, ſed operarum loco ſint et ſutoriam, fabrilem aliasve ſedentarias artes exerceant. Quae vera necne ſint ignoro, ſed haec ſequi certo ſcio, ſi dum infantes ſunt articuli expellantur.

Omnibus ait effeminari carnem ab exteriori parte magis quam ab interiori, ubi in interiorem partem prorumpat: quandoquidem ea pars magis in otio eſt. Nam femoris caput ab interiori parte licet praeter naturam moveatur, movetur tamen aliquantum ubi femoris caput interiori parte continetur.

LXXXVII.

In coxis quidem multum refert in interioremne partem articulus excidat an in exteriorem; in genu refert qui-

Ed. Chart. XII. [406. 407.] Ed. Baſ. V. (630.)

τι, ἔλασσον δέ τι διαφέρει. τρόπος δὲ ἑκατέρου τοῦ χωλώματος ἴδιός ἐστι. γνιοῦνται γὰρ μᾶλλον οἷσιν ἂν ἐς τὸ ἔξω ἐξαρθρήσῃ. ὀρθοὶ δὲ ἧσσον ἵστανται οἷσιν ἂν ἐς τὸ εἴσω ἐξαρθρήσῃ. ὡσαύτως δὲ καὶ εἰ παρὰ τὸ σφυρὸν ἐξαρθρήσῃ, ἢν μὲν ἐς τὸ ἔξω μέρος κυλλοὶ μὲν γίνονται, ἑστάναι δὲ δύνανται. ἢν δὲ ἐς τὸ εἴσω μέρος ἐξαρθρήσῃ, βλαισσοὶ μὲν γίνονται, ἧσσον δὲ ἑστάναι δύνανται.

---

[407] Τὸ κυλλὸν ὄνομα τινὲς μὲν ἅπασαν διαστροφὴν κώλου φασὶ δηλοῦν, γενικόν τι σημαινόμενον ὑποτιθέντες αὐτῷ, τινὲς δὲ τὴν τοιαύτην μόνην διαστροφὴν δηλοῦσθαί φασιν, ἐν ᾗ πρὸς τὴν ἔσω χώραν ἡ ῥοπὴ γίνεται τοῦ κώλου. τούτου γὰρ συμβάντος ἀναγκαῖόν ἐστι τὸ ἄκρον αὐτοῦ, τουτέστι πρὸς πόδα πρὸς τὴν ἔσω χώραν, ὅπερ εἰς τὸ τῆς στάσιος ἑδραῖον οὐ μικρὰ συντελεῖ, ὥστε καὶ αὐτῶν τῶν κατὰ φύσιν ἐχόντων τῶν ῥαιβῶν ἢ ῥοικῶν ὀνομαζομένων, ἀσφαλέστερον δὲ καὶ δυσανατρεπτότερον ἵστασθαι τῶν

dem, ſed minus. Suus vero claudicandi modus utrisque eſt, nam quibus in exteriorem procidit, vari magis fiunt, minus autem recti ſtant quibus in interiorem partem luxatur. Similiter ubi circa talos articulus prorumpat, ſiquidem in exteriorem partem vari fiunt, ſed ſtare queunt; ſi in interiorem, valgi et ſtare minus poſſunt.

Varos dixit κυλλοὺς, quo nomine quidam ſignificari volunt pravationem quamlibet, generale ipſum exiſtimantes; alii eam tantummodo, ſub qua membrum in exteriorem partem convertitur, in quo caſu neceſſe eſt extremum ejus pedem ſcilicet in interiorem partem ſpectare. Quae res non mediocriter ad id confert ut pes firmiter inſiſtat, ita ut ii qui naturaliter curvis ſunt cruribus, ῥαιβοὶ aut ῥοικοὶ Graece nominantur, firmius pedibus inſidant et majori negotio ſubvertantur quam ii qui recta penitus ha-

Ed. Chart. XII. [407.] Ed. Baſ. V. (630.)

ἀκριβῶς ἐχόντων τὰ σκέλη ὀρθά. δηλοῦται δὲ τοῦτο κἀξ ὧν Ἀρχίλοχος εἶπεν, οὐ φιλέω μέγαν στρατηγὸν, οὐδὲ διαπεπηγμένον, ἀλλ' ὅς μοι, φησὶ, μακρὸς εἴη καὶ περὶ κνήμας ἰδεῖν ῥοικοὺς, ἀσφαλέως βεβηκὼς ποσὶ, καρδίας πλέως. οὐ μὴν εἰς τε τὰ προκείμενα νῦν ἡμῖν ἡ ἀκρίβεια συντελεῖ τῆς ἐυρέσεως τοῦ σημαινομένου πρὸς τῆς κυλλὸν φωνῆς. ἐκ τοῦ λόγου πάντως γίνεται δῆλον ὡς Ἱπποκράτης οὐκ ἄδηλός ἐστιν. ὅταν γοῦν εἰς τὴν ἐκτὸς χώραν μεταστῇ τὸ ἄρθρον, ἵστασθαί φησι δύνασθαι τούτους μᾶλλον ἢ εἰ ὀπίσω μετασταίη. κατὰ θάτερον γὰρ ὁ ποὺς γίνεται τῷ παντὶ σώματι τοῖς ἔξω μετεστηκὸς ἔχουσι τὸ κατ' ἰσχίον ἄρθρον. ἀποκεχώρηκε δὲ τῆς εὐθυωρίας ἐκτὸς, οἷς ἐβλήθη τὸ σκέλος. ἴσμεν δὲ καὶ αὐτῶν τῶν ἀνθρώπων ὅσοι φύσει βλασσότεροι χεῖρον ἱσταμένους ἅπαντας καὶ μήτε θεῖν ὠκέως δυναμένους εὐαναιρέπτους τε γιομένους καὶ καταπίπτοντας ἑτοίμως ἐπὶ σμικροῖς προφάσεσι. ταύτην οὖν τὴν διαφορὰν τῶν πραγμάτων μεγίστην μὲν δύναμιν ἔχειν ἐν τῷ ἰσχίῳ, δευτέραν δ' ἐν τῷ γόνατι, καὶ τρίτην ἐν τῷ σφυρῷ· κατὰ γὰρ τὸ

bent crura. Id vel ex Archilocho patet quum inquit: imperatorem magnum non probo cruribus divaricantibus, ſed parvum cruribus curvis, pedibus firmiter inſiſtentem et animi audacis. Verum curioſa inquiſitio ſignificationis κυλλοῦ nihil ad praeſentem locum confert: ex ipſa enim oratione ita planum fit, ut Hippocrates nullo modo obſcurus eſſe videatur. Ergo quibus in exteriorem partem articulus procidit, ſtare magis poſſe affirmat quam quibus in interiorem venit. Nam quibus coxae articulus in exteriorem partem excidit, pes e regione totius corporis collocatur; recedit autem a ſitu qui e regione eſt, ubi articulus in interiorem partem convertitur. Conſtat autem omnes homines qui naturaliter valgi ſunt deterius ſtare, neque poſſe celeriter currere tum parvo momento ac levi de cauſa cadere. Hoc igitur rerum diſcrimen in coxa maximum eſt, deinde in genu, tertio ad talos; commiſſurae enim magnitudinem noxae quoque magnitudo

Ed. Chart. XII. [407.] Ed. Baf. V. (630.)

μέγεθος δηλονότι τῆς διαρθρώσεως καὶ τῆς βλάβης ἕπεται μέγεθος. ἐκ τούτων οὖν δῆλον ὡς ἄμεινον ἵστανται καὶ βαδίζουσιν οἷς εἰς τὴν ἔξω χώραν ὤλισθεν ἡ κεφαλὴ τοῦ μηροῦ, περὶ ἧς ὀλίγον ὕστερον ἐρεῖ.

πη'.

Ἡ γε μὴν ξυναύξησις τῶν ὀστέων τοιήδε γίνεται· οἷσι μὲν οὖν καὶ τὸ σφυρὸν ὀστέον τὸ τῆς κνήμης ἐκστῇ, τούτοισι μὲν τὰ τοῦ ποδὸς ὀστέα ἥκιστα ξυναύξεται. ταῦτα γὰρ ἐγγυτάτω τοῦ τρώματός εἰσι, τὰ δὲ τῆς κνήμης ὀστέα αὔξεται μέν, οὐ πολὺ δὲ ἐνδεεστέρως. αἱ μέντοι σάρκες μινύθουσιν, οἷσι δ' ἂν κατὰ μὲν τὸ σφυρὸν μένῃ τὸ ἄρθρον κατὰ φύσιν, κατὰ δὲ τὸ γόνυ ἐξεστήκῃ, τούτοισι τὸ τῆς κνήμης ὀστέον οὐκ ἐθέλει ξυναύξεσθαι ὁμοίως, ἀλλὰ βραχύτατον γίνεται. τοῦτο γὰρ ἐγγυτάτω τοῦ τρώματός ἐστιν· τοῦ μέντοι ποδὸς τὰ ὀστέα μινύθει μέν, ἀτὰρ οὐχ ὁμοίως ὥσπερ ὀλίγον τι πρόσθεν εἴρηται, ὅτι τὸ ἄρθρον τὸ παρὰ τὸν πόδα σῶόν ἐστιν. εἰ δὲ οἱ χρέεσθαι ἠδύναντο, ὥσπερ καὶ τῷ κυλλῷ, ἔτι ἂν ἧσσον

consequitur. Hinc ergo manifestum est eos melius stare atque ingredi, quibus femoris caput in exteriorem partem prolapsum est, de quo paulo inferius tractabit.

LXXXVIII.

Ratio autem incrementi ossium haec est. Quibus ad talos crus exciderit, his pedis ossa minimum increscunt, haec enim vitio finitima sunt. In crure augentur, neque multo minus, caro tamen minuitur. Sed quibus articulus qui ad talos est suo loco manet, ille qui ad genu elabitur, his cruris ossa non aeque increscunt, sed brevissima fiunt ut quae vitio proxima sint. At in pede minuuntur quidem, sed non similiter, quemadmodum paullo ante dictum est, quoniam articulus qui ad pedem est inviolatus servatur; quodsi uti pede liceret, sicut quum varus est, minus adhuc his minuerentur pedis ossa.

Ed. Chart. XII. [407. 408.] Ed. Baf. V. (630. 631.)

ἐμινύθη τὰ τοῦ ποδὸς ὀστέα τούτοισιν. οἷσι δ' ἂν κατὰ τὸ ἰσχίον ἐξάρθρησις γένηται, τούτοισι τοῦ μηροῦ τὸ ὀστέον οὐκ ἐθέλει ξυναύξεσθαι ὁμοίως. τοῦτο γὰρ ἐγγυτάτω τοῦ τρώματός ἐστιν, ἀλλὰ βραχύτερον τοῦ ὑγιέος γίνεται. τὰ μέντοι τῆς κνήμης ὀστέα οὐχ ὁμοίως τούτοισιν ἀναυξέα γίνεται, οὐδὲ τὰ τοῦ ποδός. διὰ τοῦτο δὴ ὅτι τὸ τοῦ μηροῦ ἄρθρον τὸ κατὰ τὴν κνήμην ἐν τῇ ἑωυτοῦ φύσει μένει καὶ τὸ παρὰ τὸν πόδα. σάρκες μέντοι χρέεσθαι τῷ σκέλει ἐδύναντο, (631) ἔτι ἂν μᾶλλον τὰ ὀστέα ξυνηυξάνετο, ὡς καὶ πρόσθεν εἴρηται, πλὴν τοῦ μηροῦ, καὶ ἧσσον ἄσαρκα ἔῃ. ἀσαρκότερα δὲ πολλῷ ἢ ὑγιέα ἦν. σημήϊον δὲ ὅτι τοιαῦτά ἐστιν. ὁκόσοισι [408] γὰρ τοῦ βραχίονος ἐκπεσόντος γαλιάγκωνες ἐγένοντο ἐκ γενεῆς ἢ καὶ ἐν αὐξήσει πρὶν τελειωθῆναι, οὗτοι τὸ μὲν ὀστέον τοῦ βραχίονος βραχὺ ἴσχουσι, τὸν δὲ πῆχυν καὶ ἄκρην τὴν χεῖρα ὀλίγῳ ἐνδεεστέρην τοῦ ὑγιέος διὰ ταύτας τὰς προφάσιας τὰς εἰρημένας, ὅτι ὁ μὲν βραχίων ἐγγυτάτω τοῦ ἄρθρου τοῦ τρώματός ἐστιν, ὥστε διὰ

Quibus vero coxae articulus promovetur his femoris os non pariter increſcit, proxime ſiquidem vitium attingit, ſed integro brevius evadit. His tamen oſſa cruris et pedis etiam non aeque increſcere prohibentur: id autem evenit propterea quod et femoris articulus, qui cum crure committitur, et cruris, qui cum pede ſuo loco manet; crus tamen univerſum his gracilius redditur. Quodſi crure uti poſſent, oſſa magis adhuc augerentur, ſicut antea quoque dictum eſt, femore excepto et minus caro minueretur, multo tamen magis quam in ſano crure. Hujus autem rei indicio ſunt illi quibus humeri luxati vel a primo natali die vel dum increſcunt priusquam robuſti ſunt breviores redduntur. Hi humeri os brevius, brachium vero et manum ſanis paullo minora habent ob cauſas ſuperius dictas, quia humerus laeſo articulo propior eſt, idcirco brevior redditur; brachium vero ejusmodi noxae non ſimiliter cedit, quoniam humeri

Ed. Chart. XII. [408.] Ed. Baſ. V. (631.)

τοῦτο βραχύτερος γέγονεν. ὁ δ' αὖ πῆχυς διὰ τοῦτο οὐχ ὁμοίως ἐνακούει τῆς ξυμφορῆς, ὅτι τὸ τοῦ βραχίονος ἄρθρον τὸ πρὸ τοῦ πήχεος ἐν τῇ ἀρχαίῃ φύσει μένει, ἥ τε αὖ χεὶρ ἔτι τηλοτέρω ἄπεστιν ἢ ὁ πῆχυς ἀπὸ τῆς ξυμφορῆς. διὰ ταύτας οὖν τὰς εἰρημένας προφάσιας τῶν ὀστέων τά τε μὴ συναυξόμενα οὐ συναύξεται, τό τε ξυναυξόμενον ξυναύξεται. ἐς δὲ τὸ εὔσαρκον τῇ χειρὶ καὶ τῷ βραχίονι ἡ ταλαιπωρίη τῆς χειρὸς μέγα προσωφελήσει. ὅσα γὰρ χειρῶν ἔργα ἐστί, τὰ πλεῖστα προθυμέονται οἱ γαλιάγκωνες ἐργάζεσθαι τῇ χειρὶ ταύτῃ, ὅσα καὶ τῇ ἑτέρῃ δύνανται, οὐδὲν ἐνδεεστέρως τῆς ἀσινέος. οὐ γὰρ δεῖ ὀχέεσθαι τὸ σῶμα ἐπὶ τῶν χειρῶν, ὡς ἐπὶ τῶν σκελέων, ἀλλὰ κοῦφα αὐτοῖσι τὰ ἔργα ἐστί. διὰ δὲ τὴν χρῆσιν οὐ μινύθουσιν αἱ σάρκες αἱ κατὰ τὴν χεῖρα καὶ κατὰ τὸν πῆχυν τοῖσι γαλιάγκωσιν, ἀλλὰ καὶ ὁ βραχίων τι προσωφελέεται ἐς εὐσαρκίην διὰ ταῦτα. ὅταν δὲ ἰσχίον ἐκπαλὲς γένηται ἐς τὸ εἴσω μέρος ἐκ γενεῆς ἢ καὶ ἔτι νηπίῳ ἐόντι μινύθουσι αἱ σάρκες, διὰ τοῦτο μᾶλλον ἢ τῆς χειρὸς ὅτι οὐ δύνανται χρέεσθαι τῷ σκέλει.

---

articulus qui cum brachio committitur in priſtina ſede manet; manus item longius diſtat a vitio quam brachium. Ob propoſitas igitur cauſas quaecunque oſſa vitium attingunt incremento prohibentur: quae non attingunt, non prohibentur. Multum autem facit ad bonum habitum totius brachii labor manus: nam qui humerum jam luxatum breviorem habent, pleraque ex manuum operibus non minus praeſtare poſſunt manu ejus partis quam integrae. Neque enim quemadmodum cruribus, ita manibus ferendum corpus eſt, ſed earum opera levia ſunt; propter uſum vero iis qui luxatum jam humerum breviorem habent, caro manus ac brachii non minuitur, ſed et humerus inde aliqua parte impletur. Ubi vero in interiorem partem coxae articulus excedit vel in utero matris vel adhuc infantibus caro magis minuitur quam in brachio, ea de cauſa quia crure uti non poſſunt.

Ed. Chart. XII. [408.] Ed. Baſ. V. (631.)

Σαφὴς οὗτός ἐστιν ἅπαξ ὁ ἐφεξῆς λόγος αὐτῷ κεφάλαια μὲν ἔχων τῆς διδασκαλίας δὴ ταῦτα. τῶν ἐξεστηκότων τῆς οἰκείας ἕδρας ἄρθρων τὰ μὲν ἐγγύτερον μᾶλλον ἀναυξῆ καὶ ἄτροφα γίγνεσθαι, τὰ δ' ἄποθεν ἧττον. ἐπὶ δὲ τῶν ἐξαρθρήσεων τοῦ μηροῦ πολὺ μᾶλλον ἢπερ ἐπὶ τῶν ἔξω καὶ ἀναυξὲς καὶ ἄτροφον ἀποτελεῖται τὸ κῶλον, διότι καὶ χεῖρον οὖν οὗτοι κινοῦνται καὶ μᾶλλον κωλύουσι. λέγει δὲ καὶ ἐπὶ τῶν γαλιαγκώνων, οὕτω δ' αὐτὸν ὀνομάζειν τοὺς βραχὺν ἔχοντας τὸν βραχίονα ἔφην, διὰ τὴν εἰς μασχάλην ἐκπτώσιν, ὅταν ἔτι αὐξανομένων τῶν σωμάτων τοῦτο παθοῦσι. τούτους οὖν φησι τοὺς γαλιάγκωνας ἧττον βλάπτεσθαι τὴν ὅλην χεῖρα, βλαπτόμενον τὸ σκέλος ἅπαν, ὅταν ἐκπαλαίσωσι τὸ κατ' ἰσχίον ἄρθρον, ὅτι πολλὰ τῶν κατὰ τὸν βίον ἔργων ἱκανῶς διαπονοῦσιν οὐ δυναμένων ὁμοίως τούτοις χρῆσθαι τῷ σκέλει, οἷς ἐξεπάλαισαν ἕως τὸ κατ' ἰσχίον ἄρθρον.

Sermo hic qui ſequitur univerſus perſpicuus eſt, doctrinae autem capita duo habet. Quae ad prolapſos articulos propius accedunt magis incremento prohibentur, emacreſcuntque; minus quae longius abſunt. Femore autem luxato multo magis membrum incremento prohibetur atque emacreſcit, ſi in interiorem partem quam ſi in exteriorem prorumpat, ſiquidem deterius moventur et claudicant magis. Meminit autem eorum quos *γαλιάγκωνας* vocat, quo vocabulo retuli apud ipſum ſignificari eos qui ob humeri caput in alam prolapſum dum adhuc increſcunt humerum breviorem habent. His ait minus laedi brachium totum, quam crus totum illis quibus luxatur articulus qui in coxam inferitur, quoniam in multis vitae operibus laborant; at non ſimiliter uti crure poſſunt quibus femoris articulus in interiorem partem promovetur.

Ed. Chart. XII. [408. 409.] Ed. Baf. V. (631.)

πθ'.

Μαρτύριον δέ τι ἔν ἔσται ἐν τοῖσιν ὀλίγον ὕστερον εἰρησομένοισιν, ὅτι ταῦτα τοιαῦτά ἐστι.

Τίνα λέγει τοιαῦτα τὰ ἔκτεινε, καίτοι τὸ μαρτύριον ἐρεῖν ἐπαγγέλλεται; ὅτι καὶ τῶν παρὰ φύσιν ἐχόντων αὐτῶν τὰ μὲν ἧττον κινούμενα μᾶλλον ἀναυξῆ καὶ ἄτροφα γίγνεται. ἐπηγγείλατο μὲν ὁ αὐτὸς δείξειν ὁ Ἱπποκράτης ἐπὶ τῶν ὀλίγον ὕστερον εἰρησομένων. ἐγὼ δ' ὅταν ἐπὶ τῶν λέξεων ἔνεστι τοῦτο πράττειν, τηνικαῦτα ἀναμνήσω τοῦ λόγου.

ϟ'.

[409] *Ὁκόσοισι δ' ἂν ἐς τὸ ἔξω ἡ τοῦ μηροῦ κεφαλὴ ἐκβῇ, τούτοισι βραχύτερον μὲν τὸ σκέλος φαίνεται, παρατεινόμενον παρὰ τὸ ἕτερον εἰκότως· οὐ γὰρ ἐπ' ὀστέον ἡ ἐπίβασις τῆς κεφαλῆς τοῦ μηροῦ ἐστιν, ὡς ὅτε εἴσω ἐξέπιπτεν, ἀλλὰ παρ' ὀστέον παρεγκεκλιμένην τὴν φύσιν ἔχον, ἐν σαρκὶ δὲ στηρίζεται ὑγρῇ καὶ ὑπεικούσῃ, διὰ*

LXXXIX.

Haec ita habere id teſtabitur quod paullo infra ſubjiciemus.

Quaenam ſunt quorum teſtimonium allaturum ſe pollicetur? Haec ſane quae ex iis quae praeter naturam habent, quae minus moventur magis alimento incrementoque prohibentur. Pollicetur ergo ipſe Hippocrates offenſurum ſe in iis quae paullo infra ſubdet eorum teſtimonium. Ego quum ad locum veniam ubi eam rem agit, hanc ipſam orationem in memoriam revocabo.

XC.

Quibus in exteriorem partem femoris caput elabitur, crus ſi cum altero extendatur, brevius eſt, idque non immerito quum femoris caput non feratur ſuper os, ſicut quando in interiorem partem procidebat; ſed juxta os quod non prohibet, ſed natura reſidet, in carnem humidam cedentemque infigatur, hac itaque de cauſa bre-

Ed. Chart. XII. [409.] Ed. Baf. V. (631.)

τοῦτο μὲν βραχύτερον φαίνεται. ἔσωθεν δὲ ὁ μηρὸς παρὰ τὴν πληχάδα καλεομένην κυλλότερος καὶ ἀσαρκότερος γίνεται, ἔξωθεν δὲ ὁ γλουτὸς κυρτότερος, ἅτε ἐς τὸ ἔξω τῆς κεφαλῆς τοῦ μηροῦ ὠλισθηκυΐας· ἀτὰρ καὶ ἀνωτέρω φαίνεται ὁ γλουτὸς, ἅτε ὑπειξάσης τῆς σαρκὸς τῆς ἐνταῦθα τῇ τοῦ μηροῦ κεφαλῇ, τὸ δὲ παρὰ τὸ γόνυ τοῦ μηροῦ ἄκρον εἴσω ῥέπον φαίνεται καὶ ἡ κνήμη καὶ ὁ πούς.

Περὶ τῆς δευτέρας διαφορᾶς τῶν εἰς τὸ ἰσχίον ἐξαρθρήσεων ὁ λόγος αὐτῷ νῦν ἐστι, τὰ φαινόμενα νοσήματα διηγουμένῳ καὶ τὰς αἰτίας αὐτῶν προστιθέντι, καθάπερ ἐπὶ τῶν πασῶν ἐποίησεν ἐμπειρικῆς διδασκαλίας οὔτε ἀπολιπών τι. σαφὴς δὲ καὶ οὗτος ὁ λόγος ἐστὶ σύμπας.

ΜΑ'.

Ἀτὰρ οὐδὲ ξυγκάμπτειν ὥσπερ τὸ ὑγιὲς σκέλος δύνανται. τὰ μὲν οὖν σημήϊα ταῦτα τοῦ ἔξω ἐκπεπτωκότος μηροῦ εἰσι.

---

vius apparet. Interior autem regio qua crura diducuntur cava magis conſpicitur et gracilior eſt; exterior vero gibba, in quam venerit femoris caput. Sed et clunis apparet ſuperior, quum quae ibi caro eſt cedat capiti femoris; femoris item extremitas quae ad genu eſt intro ſpectat, non ſecus etiam crus et pes.

Agit nunc de coxae articulo in alteram partem luxato, narratque mala quae ibi apparent et cauſas adjicit, quemadmodum in omnibus fecit, nihilque praeterit ex ea doctrina quae in experimento aut ratione conſiſtit. Quae oratio univerſa ſimiliter in aperto eſt.

XCI.

Sed neque curvare crus poſſunt perinde ac ſanum. Hae ſunt ergo notae femoris in exteriorem partem excidentis.

Ed. Chart. XII. [409.] Ed. Baf. V. (631. 632.)

Καὶ τοῦτο γίνεται τῶν ὄπισθεν μυῶν ἀντιβαινόντων τῇ κάμψει διὰ τὸ μὴ δύνασθαι μέχρι πλείστου τὴν ἔκτασιν ὑπομένειν ἐν τῷ τοιούτῳ σχήματι.

ΗΒ'.

(632) *Οἷσι μὲν οὖν τετελειωμένοισιν ἤδη ἐκπεσὸν τὸ ἄρθρον μὴ ἐμπέσῃ, τούτοισι βραχύτερον μὲν φαίνεται τὸ σύμπαν σκέλος, ἐν δὲ τῇ ὁδοιπορίῃ τῇ μὲν πτέρνῃ οὐ δύνανται καθικνέεσθαι ἐπὶ τῆς γῆς, τῷ δὲ στήθει τοῦ ποδὸς βαίνουσι ἐπὶ τὴν γῆν. ὀλίγον δὲ εἰς τὸ ἔσω μέρος ῥέπουσι τοῖσι δακτύλοισιν ἄκροισιν. ὀχέειν δὲ δύναται τὸ σῶμα τὸ σιναρὸν σκέλος τούτοισι πολλῷ μᾶλλον ἢ οἷσιν ἂν ἐς τὸ ἔσω μέρος ἐκπεπτώκῃ, ἅμα μὲν ὅτι ἡ κεφαλὴ τοῦ μηροῦ καὶ ὁ αὐχὴν τοῦ ἄρθρου πλάγιος φύσει πεφυκὼς ὑπὸ συχνῷ μέρει τοῦ ἰσχίου τὴν ὑπόστασιν πεποίηται, ἅμα δὲ ἄκρος ὁ ποὺς οὐκ ἐς τὸ ἔξω μέρος ἀναγκάζεται ἐγκεκλεῖσθαι, ἀλλ' ἐγγύς ἐστι τῆς ἰθυωρίης τῆς κατὰ τὸ σῶμα καὶ τείνει καὶ ἐσωτέρω.*

Hoc vero accidit ob muſculos poſteriores qui fluxui repugnant, quoniam ita figurati plurimum extendi non ſuſtinent.

XCII.

Quibus ergo aetate jam robuſta prolapſus articulus non revertitur, totum crus brevius fit; calx ingreſſu terram non contingit, ſed planta ima extremique digiti parum in interiorem partem ſpectant, meliusque id crus ſuperius corpus fert, quam quibus in interiorem partem exceſſit, partim quia femoris caput et articuli cervix quum natura a latere contineatur magna ex parte coxae ſubjicitur, partim quia extremus pes non cogitur in exteriorem partem inclinari: ſed prope e regione corporis eſt et aliquantum magis in interiorem partem convertitur.

Ed. Chart. XII. [410.] Ed. Baſ. V. (632.)

[410] Στῆθος ποδὸς εἴρηκε τὸ καλούμενον ἐπὶ τῶν ἀνατομικῶν πεδίον, ἔστι δὲ τοῦτο πρὸ τῆς τῶν δακτύλων ἀρχῆς, ἐπὶ γὰρ τῶν κατὰ φύσιν ἐσχηματισμένων ποδῶν τὸ μέσον κοῖλόν ἐστιν, ὀπίσω μὲν ὁριζόμενον τῷ τῆς πτέρνης πέρατι, κατὰ δὲ τὰ πρόσω τῇ ἀρχῇ τοῦ πεδίου, ὥστε ἐπὶ μέν τι τῆς γῆς στηρίζεσθαι τὸν πόδα διά τε τῆς πτέρνης καὶ τοῦ πεδίου καὶ τῶν ποδῶν καὶ τῆς ἐν τῷ πέρατι τῶν δακτύλων ὑποκάτω σαρκὸς μετέωρον εἶναι, τὸ δ' ἄλλο πᾶν τοῦ ποδὸς ὅσον ἐν τῷ μεταξὺ τῶν εἰρημένων μορίων ἐστὶ. πλὴν κατὰ τὸ ἔξω τοῦ ποδός ἐστιν· ἐνταῦθα γὰρ ὅλος ἐπὶ γῆς στηρίζεται. μοχθηρῶς δ' ἐνίοις διαπέπλασται τὰ κατὰ τοὺς πόδας οὓς ὀνομάζουσι λειόποδας οὐκ ἔχοντας τὸ μέσον αὐτῶν ἔνδοθεν ὑψηλόν· ἀλλὰ τούτοις μὲν οὐκ ἄλλως διαπεπλασμένους, ὥσπερ καὶ τοὺς βλαισούς, ἐν τῷ νῦν λόγῳ κατέλιπε. παρακολούθησον δὲ τοῖς ἐφεξῆς εἰρημένοις ἐξετάζων τὸν λόγον ἐπὶ τῶν κατὰ φύσιν ἐσχηματισμένων. οὗτοι γὰρ ἐπειδὰν μὲν μετρίως προβαίνουσιν, ἐρείδουσι κατὰ τῆς γῆς ὅλην τε τὴν πτέρναν καὶ τὸ πεδίον καὶ τὰ σαρκώδη

Imam plantam dixit *στῆθος*, quam *πεδίον* appellant qui in corporibus incidendis verſantur. Ea eſt ad radices digitorum, nam pedis medium naturaliter cavum eſt, quod calce extremo a poſteriori parte terminatur, a priori plantae principio ſic ut pes humi inſidat calce, ima planta et ea carne quae extremis digitis ſubjecta eſt; reliquis partibus omnibus quae propoſitis interjectae ſunt attollatur, excepta pedis parte exteriori, qua humi totus inſidet. Habent autem nonnulli pedum ſtructuram pravam, ut quibus medius pes ab interiori parte non ſit cavus, quos a pedibus planis Graeci nominant *λειόποδας*. Sed hos, ut qui ſimilem valgis pedum ſtructuram habeant, in hoc ſermone praeteriit. Quae ſequuntur igitur animadvertens in iis qui naturaliter figurati ſunt perpende. Namque hi quum moderate progrediuntur toto calce, ima planta ac digitorum parte carnoſa humi haerent; quodſi enitantur

Ed. Chart. XII. [410.] Ed. Baſ. V. (632.)

τῶν σκελῶν. εἰ μέντοι μέγιστον διαβαίνειν ἐπιχειρήσειεν, ἐρείδουσι μὲν ἐν ἀρχῇ τὴν πτέρναν, ὕστερον δ' ὅταν ἤδη μεταφέρωσι πρὸς τὸ ἕτερον σκέλος, τηνικαῦτα καὶ τῷ πεδίῳ στηρίζονται καὶ τελευτῶντες ὅταν ὁμοίως ἐπὶ πλεῖστον προβαίνοντες θατέρῳ, κατὰ γῆς ἄρχονται τὴν πτέρναν ἐρείδειν, τότε καὶ τοῦ πρότερον ἐστηριγμένου ποδὸς ἐπαίρουσι μὲν τὴν πτέρναν, ἐρείδουσι δὲ κατὰ τῆς γῆς ἄκρους τοὺς δακτύλους. αὕτη μὲν ἡ τῶν κατὰ φύσιν ἐχόντων ὁδοιπορία· τῶν δ' ἐκ πάθους τινὸς ἤτοι μακρότερον ἐχόντων τὸ σκέλος αἰτία μὲν ἑκατέρων διττὴ, τῶν μὲν προτέρων ὑγρότης πολλὴ τοῦ νευρώδους γέγονεν ἢ ἐξαρθρήματος εἶδος, ὅσον καὶ νῦν πρόκειται. τρόπος δὲ βαδίσεως τῶν μὲν προτέρων οἷος ὀλίγον ἔμπροσθεν εἴρηται, τῶν δὲ δευτέρων ὁποῖον νῦν διηγεῖται. πρῶτον μὲν διδάξας ὅτι τὴν κεφαλὴν τοῦ μηροῦ σαρκῶδες ὑποδέχεται χωρίον, οὐχ ὥσπερ ἐπὶ τῆς ἑτέρας ἐκπτώσεως ὀστοῦ. ἥκει τοιγαροῦν αὕτη τὸ σαρκῶδες τοῦτο καὶ τῶν μυῶν ἐπὶ τὴν ἰδίαν ἑκάστου κεφαλὴν ἀνασπωμένων συνανασπᾶσθαι συμβαίνει τὸν ὅλον μηρόν. εἰκότως οὖν

maxime progredi, principio calci inſidunt; deinde quum jam transferunt in priorem partem alterum crus, tunc imae quoque plantae innituntur; poſtremo ubi plurimum ſimiliter altero pede progreſſi ſunt, calce terram contingere incipiunt, tuncque pedis ante conſiſtentis calcem quidem attollunt, extremos vero digitos in ſolo collocant. Eorum igitur qui naturaliter habent ambulatio hujusmodi eſt. Sed ut quibusdam ex vitio aliquo crus longius ſit aut brevius, utrumque duplici de cauſa accidit. Longitudinis cauſa eſt humor multus nervorum vel articulus luxatus, quomodo ſupra diximus, brevitatis ſiccitas et articulus luxatus in eam partem quam nunc propoſuit. Priores quidem ingrediuntur ad eum modum, quem paullo ſupra indicavit; reliqui ſicut nunc docet primo oſtendens, femoris caput carnoſo loco excipi et non oſſe, ut in primo caſu femoris erumpentis quem propoſuit. Cedit igitur in hac parte caro ſingulisque muſculis ad ſuum initium attractis ſit ut totum quoque femur ſurſum trahatur. Me-

Ed. Chart. XII. [410.] Ed. Baſ. V. (632.)

ἐλαττόν σοι φαίνεται θατέρου τὸ σκέλος καὶ τῆς γῆς οὐκέθ' ὁμοίως δύναται ψαύειν, ὡς ὅτ' εἶχε κατὰ φύσιν. ὅταν οὖν ἀναγκάζωνται βαδίζειν οἱ οὕτω παθόντες, ἐναντίως σχηματίζουσι τὸν πόδα τοῖς ἔμπροσθεν εἰρημένοις, ὧν μακρότερον ἐφαίνετο τοῦ κατὰ φύσιν ἔχοντος σκέλος τὸ πεπονθός. ἐκεῖνοι μὲν γὰρ τῇ κατὰ τὸν ἀστράγαλον διαρθρώσει τὸν πόδα σιμοῦντες εἰς ὕψος ἀνέτειναν τοὺς δακτύλους, οὗτοι δ' ἔμπαλιν ἐπινεύουσί τε καὶ κατακάμπτουσιν ἐπὶ τὴν γῆν τὸν πόδα καὶ διὰ τῶν δακτύλων ἄκρων αὐτῆς ἐπιψαῦσαι ποθοῦντες· διὰ τοῦτο δὲ καὶ ταπεινοῦσιν ἑαυτοὺς κατὰ τὸ πεπονθὸς ἰσχίον, ὅπως ἐρείσωνται κατὰ τῆς γῆς οὐ μόνον ἄκρους τοὺς δακτύλους, ἀλλὰ καὶ ἐπὶ πλέον αὐτῶν, ὥσπερ ἔφην ὀνομάζεσθαι πεδίον ὑπὸ τῶν ἀνατομικῶν. Ἱπποκράτης δὲ αὐτὸ στῆθος ἐκάλεσεν, εἰ καὶ τὴν πτέρναν ἐπὶ τῆς γῆς ἠθέλησεν ἑδράσαι, πάνυ χρὴ ταπεινοὺς αὐτοὺς γενέσθαι κατὰ τὸ πεπονθὸς ἰσχίον, ὡς κινδυνεῦσαι καταπεσεῖν, ἑτεροκλινεῖς ἀπεργασθέντας. οὗτοι τοίνυν οὐδ' ἐπιχειροῦσι διὰ τοῦτ' αὐτὸ χρῆσθαι τῇ πτέρνῃ.

---

rito itaque crus brevius altero ſe oſtendit, neque terram contingere ſimiliter poteſt, atque ubi naturaliter habuit. Hi ergo quum ingredi neceſſe habent, contrario modo pedem figurant, atque ii qui ante propoſiti ſunt, quibus affectum crus integro longius reddebatur: illi enim juxta talum pedem ſimum figurabant digitos excitantes. Contra hi pedem inclinant inflectuntque et terram contingere extremis digitis cupiunt; atque hac de cauſa ab affecta coxa ſe demittunt, ut humi innitantur non ſolum extremis digitis, ſed magna ex parte ima planta quam retuli ab iis qui in corporibus incidendis verſantur vocari *πεδίον*; Hippocrates autem eam dixit *στῆθος*. Quodſi velint calce terram contingere, demitti multum ab affecta coxa cogentur, periculumque erit ne inclinati in alteram partem cadant. Qua de cauſa neque uti calce ejusmodi homines tentant.

Ed. Chart. XII. [411.] Ed. Baſ. V. (632.)

ιγ'.

[411] Ὅταν μὲν οὖν τρίβον λάβῃ τὸ ἄρθρον, ἐν τῇ σαρκὶ εἰς ἣν ἐξεκλείσθη, ἡ δὲ σὰρξ γλισχρανθῇ, ἀνώδυνον τῷ χρόνῳ γίνεται. ὅταν δὲ ἀνώδυνον γένηται, δύνανται μὲν ὁδοιπορέειν ἄνευ ξύλου· ἢν ἄλλως βούλωνται, δύναται δὲ ὀχέειν τὸ σῶμα ἐπὶ τὸ σιναρὸν σκέλος. δι' οὖν τὴν χρῆσιν ἧσσον τοῖσι τοιούτοισιν ἐκθηλύνονται αἱ σάρκες ἢ οἷσιν ὀλίγον πρόσθεν εἴρηται. ἐκθηλύνονται δὲ ἢ πλεῖον ἢ ἔλασσον. μᾶλλον δ' ἔτι ἐκθηλύνονται κατὰ τὸ εἴσω μέρος ἢ κατὰ τὸ ἔξω ὡς ἐπὶ τὸ πολύ. τὸ μέντοι ὑπόδημα μετεξέτεροι τούτων ὑποδέεσθαι οὐ δύνανται διὰ τὴν ἀκαμπίην τοῦ σκέλεος, οἱ δέ τινες καὶ δύνανται. οἷσι δὲ ἂν ἐν γαστρὶ ἐοῦσιν ἐξαρθρήσῃ τοῦτο τὸ ἄρθρον ἢ ἔτι ἐν αὐξήσει ἐοῦσι βίῃ ἐκπεσὸν ἤδη μὴ διεμπέσῃ ἢ καὶ ὑπὸ νόσου ἐξαρθρήσῃ τοῦτο τὸ ἄρθρον καὶ ἐκπαλήσῃ, πολλὰ γὰρ τοιαῦτα γίνεται· καὶ ἐνίων μὲν τῶν τοιούτων, ἢν ἐπισφακελίσῃ ὁ μηρὸς, ἐκπνήματα χρόνια καὶ ἔμμοτα γίνεται καὶ ὀστέων ψιλώσιες ἐνίοισιν. ὁμοίως δὲ καὶ οἷσιν ἐπισφακελίζει καὶ οἷσι μὴ ἐπισφακελίζει τοῦ μηροῦ

XCIII.

Ubi caro in quam articulus exceſſit jam trita eſt et glutinoſa evaſit, dolor tempore conquieſcit: quo ceſſante ingredi absque baculo poſſunt, ſi alioquin velint, poteſtque affecto crure fieri corpus. His ergo quum crure utantur caro minus effeminatur quam paulo ante propoſitis; effeminatur autem vel magis vel minus, fere tamen magis ab interiori parte quam ab exteriore. Alii vero ex iis nequeunt calceamenta ſibi induere, propterea quod crus non curvetur, aliis id licet. Quibus autem ſeu in utero matris ſeu vi, dum adhuc increſcunt, hujusmodi articulus exciderit, neque repoſitus fuerit; quibus item morbo elapſus fuerit expulſusque: complura enim talia eveniunt ubi aliquibus horum femur corrumpatur, ſuppurationes habent diuturnas et linamentis indigent, atque oſſa nonnullis nudantur et femoris os tam ubi corrumpitur quam ubi non corrumpitur multo bre-

Ed. Chart. XII. [411.] Ed. Baſ. V. (632. 633.)

τὸ ὀστέον πολλῷ βραχύτερον γίνεται καὶ οὐκ ἐθέλει ξυναύξεσθαι, ὥσπερ τοῦ ὑγιέος. τὰ μέντοι τῆς κνήμης βραχύτερα μὲν γίνεται ἢ τὰ τῆς ἑτέρης, ὀλίγῳ δὲ διὰ τὰς αὐτὰς προφάσιας αἳ (633) καὶ πρόσθεν εἴρηνται ὁδοιπορέειν τε δύνανται οἱ τοιοῦτοι. οἱ μέν τινες αὐτῶν τοῦτον τὸν τρόπον, ὥσπερ τοῖς τετελειωμένοισιν ἐξέπεσε καὶ μὴ ἐνέπεσεν, οἱ δὲ καὶ βαίνουσι μὲν παντὶ τῷ ποδί.

Κατὰ μεταφορὰν εἴρηκε τρίβον ἀπὸ τῶν τετριμμένων χωρίων ὑπὸ τῶν ὁδοιπορούντων. ἔστι δὲ ὁ λόγος αὐτοῦ οὗτος· ἡ κεφαλὴ τοῦ μηροῦ τῆς οἰκείας χώρας μεταστᾶσα ἐν τοῖς ἔξω μέρεσι τῆς διαρθρώσεως ἐν σαρκὶ στηρίζεται. κατ' ἀρχὰς μὲν οὖν οἱ οὕτω παθόντες ὀδυνῶνται τὴν θλιβομένην ὑπ' αὐτοῦ σάρκα, τῷ χρόνῳ δὲ τυλοῦται καθάπερ αἱ τῶν σκαπτόντων χεῖρες. ὅταν δὲ τοῦτο γένηται, παραπλησίον τῇ διαρθρώσει κατασκευάζεται χρωμένου τῇ γεγενημένῃ τρίβῳ καθάπερ ἔμπροσθεν ἐχρῆτο τῇ κοτύλῃ τοῦ ἰσχίου· τά τε γὰρ ἄλλα καὶ ὑγρότης τις αὖτη γίγνεται,

vius reddatur, neque ad ſani exemplum augetur; praeterea oſſa hujus cruris breviora fiunt quam alterius, parum tamen ob easdem cauſas quae ante expoſitae ſunt. Ingredique hujusmodi homines poſſunt, nonnulli quidem eo modo, quo illi quibus aetate jam firma articulus excidit, neque repoſitus eſt.

Locum tritum dixit translatione uſus a locis ambulatione tritis. Eſt autem ejus oratio talis: femoris caput ſuo loco motum in exteriorem partem figitur in carnem; iis vero qui ſic affecti ſunt a principio dolet caro, quam premit femoris caput, procedente tempore occalleſcit perinde quaſi foſſorum manus. Ubi id accidit ſedes fit commiſſurae ſimilis, quum femur trito loco utatur, non ſecus atque antea cavo coxae: nam praeter cetera quidem ea parte humor colligitur, qui in principio quidem copioſe

Ed. Chart. XII. [411.] Ed. Baſ. V. (633.)

κατ' ἀρχὰς μὲν διὰ τὴν φλεγμονὴν ἀθροιζομένη πλείων, ἐν δὲ τῷ χρόνῳ τοῦ λεπτοτέρου τε καὶ ὑδατώδους ἐν αὐτῇ διατμηθέντος ὑπὸ τῶν συμπιπτόντων ἐπιτιθεμένων ἔξωθεν φαρμάκων καταλειπομένου τε τοῦ γλίσχρου τε καὶ μυξώδους ὃ πρὸς τὴν κίνησιν τῇ κεφαλῇ τοῦ μηροῦ συμφορώτατόν ἐστι. καὶ διὰ ταύτην οὖν τὴν ὑγρότητα καθάπερ ἄρθρῳ χρῶνται τῇ τρίβῳ, μᾶλλον δὲ ἐπικλίνονται κατὰ τὸ ἔξω μέρος ἢ κατὰ τὸ ἔσω· εἴρηται δὲ καὶ πρόσθεν ὡς καὶ τἀναντία μέρη τῶν ὑποδεξαμένων τὸ ἐκπεπτωκὸς ἄρθρον ἀτροφώτερά τε καὶ μαλακώτερα γίνεται κατὰ τὸ μᾶλλον ἀργεῖν. ἐν οἷς δ' ἂν μᾶλλον στηριχθῇ τὸ ἐκπεπτωκὸς καὶ παρὰ φύσιν· ὅμως γοῦν γίνονταί τινες κινήσεις ὅθεν ἀπεχώρησε. πρῶτον μὲν οὖν γίγνονται, κατὰ συμβεβηκὸς δέ τινες βραχεῖαι ἔπονται τοῖς πρώτοις κινουμένοις θηλυνομένων τῶν μορίων ἐν τοῖς νῦν, τοντέστι τὸ μαρτύριον ὃ ἐν τοῖς ἑφεξῆς λόγοις ἐρεῖν ἐπηγγείλατο, περὶ τῶν μᾶλλον ἢ ἧττον ἀτροφούντων τε καὶ καταλεπτυνομένων μερῶν.

---

ob inflammationem coit, dein tenuiori ſui parte et aquoſa magis a ſuperjectis medicamentis diſſipata reliqua remanet quae glutinoſa eſt et mucoſa, haec ad motionem capitis femoris maxime conſert. Ob quem humorem trito hoc loco tanquam articuli ſinu utuntur, magis autem inclinantur in exteriorem partem quam in interiorem. Dictum autem eſt in ſuperioribus quoque partes contrarias iis quae luxatum articulum recipiunt graciliores fieri et molliores, quatenus magis in otio ſunt; eas vero in quas prolapſus articulus figitur, quamvis praeter naturam, aliquantum tamen moventur; illae unde receſſit per ſe quidem non moventur, ſed paullulum per alias quae primo motae ſunt, quum partes in quibus articulus erat effeminentur. Atque hoc eſt id teſtimonium quod allaturum ſe pollicitus eſt. In ſequentibus de partibus quae plus minusve emacreſcunt extenuanturque.

Ed. Chart. XII. [412.] Ed. Baf. V. (633.)

ηδ'.

[412] Διαῤῥέπουσι δὲ ἐν τῇσιν ὁδοιπορίῃσιν ἀναγκαζόμενοι διὰ τὴν βραχύτητα τοῦ σκέλεος. ταῦτα δὲ τοιαῦτα γίνεται, ἢν ἐπιμελῶς μὲν παιδαγωγηθῶσιν ἐν τοῖσι σχήμασι καὶ ὀρθῶς ἐν οἷσι δεῖ πρὶν κρατηθῆναι ἐς τὴν ὁδοιπορίην, ἐπιμελῶς δὲ καὶ ὀρθῶς ἐπὴν κρατηθῶσιν. πλείστης δὲ ἐπιμελείης δέονται οἷσιν ἂν νηπιωτάτοισιν ἐοῦσιν αὕτη ἡ ξυμφορὴ γένηται· ἢν γὰρ ἀμεληθῶσι νήπιοι ἔοντες ἀχρηΐον παντάπασιν καὶ ἀναυξὲς ὅλον τὸ σκέλος γίνεται, αἵ τε σάρκες τοῦ ξύμπαντος σκέλεος μινύθουσι μᾶλλον ἢ τοῦ ὑγιέος. πάνυ μὴν πολλῷ ἧσσον τούτοισι μινύθουσιν ἢ οἷσιν ἂν εἴσω ἐκπεπτώκῃ διὰ τὴν χρῆσιν καὶ τὴν ταλαιπωρίην. οἷον εὐθέως δύνασθαι χρέεσθαι τῷ σκέλεϊ, ὡς καὶ πρόσθεν ὀλίγον ἐπὶ τῶν γαλιαγκώνων εἴρηται. εἰσὶ δέ τινες ὧν τοῖσι μὲν ἐκ γενεῆς αὐτίκα, τοῖσι δὲ καὶ ὑπὸ νόσου ἀμφοτέρων τῶν σκέλεων ἐξέστη τὰ ἄρθρα ἐς τὸ ἔξω μέρος. τούτοισιν οὖν

XCIV.

Nonnulli vero toto pede infiſtunt, cogunturque ob cruris brevitatem in ingreſſu a recto habitu et qui ſine inclinatione eſt in affectam partem inclinari et ab inclinatione quae in affectam partem eſt rurſus attolli atque erigi. Haec itaque ſic eveniunt, ubi et quod ad figurandi rationem attinet et quod ad cetera quae conveniunt fuerint diligenter a pueris inſtituti, priusquam ita confirmentur ut inambulare poſſint; diligenter item ac recte, poſtquam confirmati fuerint. Summam vero curam poſtulant quibus aetate maxime tenera hoc infortunium accidit; nam ſi negligantur, quum teneri ſint crus univerſum inutile efficitur et minime increſcit; caro item totius cruris magis minuitur quam in ſano, multo tamen minus iis quam quibus in interiorem partem exceſſit, idque uſus ac laboris cauſa, quum ſtatim uti crure poſſint, quemadmodum ſupra de iis diximus quibus ob humeri caput jam in alam prolapſum humerus brevior redditur. Inveniuntur autem nonnulli qui-

Ed. Chart. XII. [412.] Ed. Baſ. V. (633.)

τὰ μὲν ὀστέα ταὐτὰ παθήματα πάσχει· αἱ μέντοι σάρκες ἥκιστα ἐκθηλύνονται, ἄσαρκα δὲ καὶ τὰ σκέλεα γίνονται, πλὴν εἴ τι ἄρα κατὰ τὸ εἴσω μέρος ἐκλείποι ὀλίγον. διὰ τοῦτο δὲ εὔσαρκά ἐστιν, ὅτι ἀμφοτέροισι τοῖσι σκέλεσιν ὁμοίως ἡ χρῆσις γίνεται.

Ὁποῖόν τι σημαίνει τὸ διαῤῥέπουσιν εἴρηται μέν μοι καὶ πρόσθεν· εἰρήσεται δ' οὐδὲν ἧττον ἔτι καὶ νῦν, ὅτι γὰρ ἐξήρθρησεν ὁ μηρὸς εἰς τὴν ἔσω χώραν ἀνασπώμενος ὑπὸ τῶν ταύτῃ μυῶν, ὡς ὀλίγον ἔμπροσθεν ἐλέχθη, τὸ συνεχὲς σκέλος αὐτῷ ὅλον ὑψηλότερον ἐργάζεται καὶ διὰ τοῦτο μόγις ἁπτόμενος γῆς ἐῤῥήθη. διὰ ταύτην τὴν αἰτίαν ἀναγκάζονται τῷ στήθει μόνῳ τοῦ ποδὸς χρῆσθαι κατὰ τῆς γῆς ἐπιβαίνοντες ἅμα τῷ καὶ συνεπινεύειν ὅλῳ τῷ σώματι πρὸς τὸ πεπονθὸς σκέλος, ὅταν ἐπ' αὐτοῦ στηρίζωνται. ἀναγκαῖον οὖν ἐστιν, ἐπειδὰν θατέρου τοῦ ὑγιοῦς ἐρ-

bus in utero penitus, alii quibus ſub morbo utriusque cruris articulus in exteriorem partem prolabitur. His ergo oſſa ejusmodi vitio vexantur, ſed caro minime effeminatur; crura autem habitiora fiunt, niſi ſi ab interiori parte parum emacreſcant. Ea vero de cauſa habitiora ſunt, quia hi utroque pariter utuntur.

A recto habitu et qui ſine inclinatione eſt in affectam partem inclinari et rurſus ab inclinatione attolli atque erigi διαῤῥέπειν dixit. Quod quid ſibi velit et in ſuperioribus oſtendimus et hic quoque oſtendemus. Namque ubi femur in exteriorem partem promovetur, a muſculis qui ibi ſunt ſurſum attractum, quemadmodum ante dictum eſt, innexum crus totum ſublimius reddit atque ea de cauſa vix terram contingit. Quamobrem coguntur ima tantum planta humi inſidere, dum ambulant, univerſo corpore in affectum crus converſo, quum huic innituntur. Neceſſario itaque ubi ſano inniti debent, quum quod lae-

Ed. Chart. XII. [412. 413.] Ed. Baſ. V. (633.)

γάζεσθαι δεηθῶσιν ἐν τῷ μεταφέρειν ἔσω τὸ πεπονθὸς ἐπ᾽ ἐκεῖνο πάλιν αὐτοὺς ῥέπειν ὀρθούμενον τοῦ μηροῦ, ὥστε κατὰ τὴν ὁδοιπορίαν ἀμείβειν ἀεὶ καὶ μεταβάλλειν εἰς ἄλληλα τὰ δύο σχήματα. καθ᾽ ὃν μὲν χρόνον ἔτι κατὰ φύσιν ἔχοντες σκέλη στηρίζοντές τε καὶ ὀρθοῦντες τὸ σῶμα μετεωρίζονταί τε ἅμα καὶ ὁδοιποροῦσι. καθ᾽ ὃν δ᾽ αὖ πάλιν ἐπὶ τοῦ πεπονθότος καμπτόμενοι ἐν τῇ κατ᾽ ἐκεῖνο τὸ μέρος. ὑψηλὸν οὖν εἰς τὸ μεταβάλλειν τὸ σῶμα ποτὲ μὲν ἐξ ὀρθοῦ καὶ ἀκλινοῦς ἐπὶ τὸ πεπονθός τε καὶ κεκαμμένον, αὖθις δὲ ἀπὸ τοῦ πεπονθότος καὶ κεκαμμένου πρὸς ὑψηλόν τε καὶ ὀρθὸν ὠνόμασε διαῤῥέπειν ἑνὶ ῥήματι τὴν εἰρημένην μεταβολὴν τῶν σχημάτων ἐνδειξάμενος.

ΚΕ΄.

[413] *Ὁμοίως γὰρ σαλεύουσιν ἐν τῇ ὁδοιπορίᾳ ἔνθα καὶ ἔνθα, ἐξεχέγλουτοι δὲ οὗτοι ἰσχυρῶς φαίνονται διὰ τὴν ἔκστασιν τῶν ἄρθρων.*

ſum eſt in priorem partem transferunt, in ſanum ſurſus convertuntur ſemore erecto, ita ut ſemper in ingreſſu duos habitus invicem mutent varientque: nam quo tempore integro crure inſiſtunt, erecto corpore attolluntur ſimul et ambulant, quo rurſus laeſo humiliore nituntur, demittunt ſe atque in id inclinantur. Mutare igitur corpus modo a recto habitu et ſine inclinatione in affectam partem inclinando et ab inclinatione quae in affectam partem eſt, rurſus attollendo atque erigendo διαῤῥέπειν dixit uno verbo propoſitam habitus mutationem exprimens.

XCV.

Similiter enim ab utraque parte in ingreſſu agitantur omnibusque apparent admodum in exteriorem partem prominentibus, propterea quod exceſſerunt.

Ed. Chart. XII. [413.] Ed. Baf. V. (633. 634.)

Οἷσιν ἀμφότερα τὰ ἄρθρα παθόντων σκελῶν ἑκατέρων τὴν εἰς τοὐκτὸς ἐξάρθρησιν ἢ μεταβολὴν τῶν γινομένων σχημάτων ὅλου τοῦ σώματος ὁδοιποροῦσιν αὐτοῖς ὅμοια γίνεται καθ' ἕτερον τὸ σκέλος, ὅταν ἐπ' αὐτῷ στηρίζωνται ταπεινουμένων τε καὶ κοιλαινομένων κατὰ τὸν κενεῶνα, θατέρου μόνον ἐξαρθρήσαντος. ἡνίκα μὲν οὖν τοῦ πεπονθότος ἐστηρίζοντο, τὸν εἰρημένον νῦν τρόπον ἐσχημάτιζον αὐτό· ὁπότε δὲ ἐπὶ θατέρου, τὸν ἐναντίον ἀνατεταμένον μὲν ἔχοντες σῶμα ὑψηλὸν, εὐθεῖαν δὲ τὴν λαγόνα· πρόδηλον οὖν ὡς τεταμένον ὁμοίως ἐσχημάτιζοντο. νυνὶ δ' ὁμοίως (634) *καθ' ἕτερα τὰ μέρη τό τε δεξιὸν καὶ τὸ ἀριστερόν. διαῤῥέπουσι δὲ καὶ νῦν οὐδὲν ἧττον τῇ μεταβολῇ τῶν στηριζόντων ποδῶν, ὅπερ ὠνόμασε σαλεύειν ἐν τῇ ὁδοιπορίᾳ, δύναμιν δὲ τὴν αὐτὴν ἔχει τὸ σαλεύουσι τῷ διαῤῥέπουσιν, ἀλλ' ἐπὶ τῷ κοινῷ τὸ διαῤῥέπειν. ἐνταῦθα δὲ ὁμοίως ἀμφοτέροις τοῖς τοῦ σώματος μέρεσι συμβαίνει σχηματίζεσθαι στηριζομένου τοῦ σκέλους ἑκατέρου παρὰ μέρος ἐπὶ τῆς γῆς, ἔμπροσθεν δὲ οὐ τοῦθ' ὑπῆρχεν αὐτοῖς, ὡς δέδεικται.*

Quibus utrique crurum articuli in exteriorem partem exciderunt, mutatio totius corporis, dum ingrediuntur, in utroque crure ſimilis eſt habitui qui accidit, quum altero dumtaxat luxato aeger ipſo innititur, atque ad ilia curvatur deprimiturque: altero enim tantum luxato, quum homo affecto cruri inſiſtit, eo modo quem nunc diximus figuratur, ſed contrario, quum alteri nititur, corpus enim attollit erigitque et ilia recta continet. Conſtat ergo eum tunc diſſimiliter figurari, ſed in hoc caſu aegri eodem ſtatu ab utraque parte tam dextra quam ſiniſtra continentur. Agitantur autem hic nihilominus, dum invicem utrique cruri innituntur, quod ipſe dixit *σαλεύουσιν ἐν τῇ ὁδοιπορίᾳ*, id eſt in ingreſſu agitantur. Agitari expreſſit vocabulo *σαλεύειν*, quod idem ſignificat ac *διαῤῥέπειν*. Accidit igitur hic ut ſimiliter utraeque corporis partes figurentur, quum utrumque crus invicem terrae innitatur, quod, ut oſtenſum eſt, ipſis ante non eveniebat.

Ed. Chart. XII. [413.] Ed. Baf. V. (634.)

ῃστ'.

Ην δὲ μὴ ἐπισφακελίσῃ αὐτοῖσι τὰ ὀστέα μηδὲ κυφοὶ ἀνωτέρω τῶν ἰσχίων γένωνται· ἐνίους γὰρ καὶ τὰ τοιαῦτα καταλαμβάνει· ἢν οἷν μὴ τοιοῦτόν τι γένηται, ἱκανῶς ὑγιηροὶ τἄλλα διαφέρονται.

Κατὰ συμπάθειαν δῆλον ὅτι οὕτω τῶν ἐξαρθρήσεων τῶν σκελῶν ἔνιαι κυφοῦνται, φλεγμονῆς μὲν τὸ πρῶτον ἐν τοῖς συνδέσμοις τῶν σφονδύλων γενομένης, ὕστερον δὲ καὶ σκιῤῥώδους τινὸς ἀπολειφθέντος λειψάνου. φαίνεται γὰρ καὶ ἐπὶ τῶν ἐκτὸς τοῦτο γιγνόμενον ἐν ἰγνύῃ τε καὶ τῇ κατ' ἀγκῶνα διαρθρώσει κἀπὶ τῶν δακτύλων οὐκ ὀλίγον, ὅπερ ὀνομάζουσιν ἀγκύλην. καὶ πρόδηλός ἐστιν ἐν ταῖς τοιαύταις διαθέσεσιν ἡ ἀγκύλη γινομένη διὰ τὸν σκιῤῥον, οὐχ ἑπομένου τοῦ τένοντος τοῖς ἐκτείνουσι τὸ μόριον μυσὶν, ὥσπερ οὐδ' ὅταν τις τῶν ἐκτεινόντων σκιῤῥωθῇ. τοῖς κάμπτουσιν ἑπομένου τὸ καλούμενον ὀρθόκωλον σχῆμα περὶ τὴν οὕτω πεπονθυῖαν ἀποτελεῖται διάρθρωσιν. δύναται μὲν οὖν καὶ

XCVI.

Sed niſi his oſſa vitientur neque gibbi ſupra coxas fiant; nonnulli enim hujusmodi vitiis prehenduntur, niſi, inquam, tale quid eveniat, in ceteris ſatis ſani degunt.

Nonnulli ex iis quibus crura ſic luxantur propter communitatem gibbi fiunt, nempe quum inflammatio vertebrarum ligamentis primo oriatur, tum durae quaedam reliquiae remaneant. Id ſiquidem et extrinſecus accidere videmus popliti, cubito et digitis non raro, quum articulus contrahitur, *ἀγκύλην* Graeci dicunt. Patetque in hujusmodi juncturis articulum prae tumoris duritie contrahi, quum chorda muſculos qui eam partem tendunt minime ſequatur, ſicuti quum ob durum tumorem flectentes non ſequitur, commiſſura quae ſic affecta eſt tenditur, quod malum Graeci nominant *ὀρθόκωλον*. Poteſt igitur ob ta-

Ed. Chart. XII. [413. 414.] Ed. Baſ. V. (634.)

διὰ τοιοῦτόν τινα σκίῤῥον ἡ ῥάχις διαστραφῆναι, δύναται δὲ καὶ τῷ λόγῳ τῆς συμπαθείας φύματος ἀπέπτου καὶ κακοῦ γενέσθαι στέγνωσις ἐπ' αὐτῆς. ὅπως δὲ ἕπεται ταῖς τοιαύταις διαθέσεσιν ἡ διαστροφὴ τῆς ῥάχεως, ἔμπροσθεν εἴρηται κατὰ τὸν ἴδιον ὑπὲρ αὐτῆς λόγον.

ηζ'.

[414] Ἀνανξέστεροι μέντοι τὸ πᾶν σῶμα οὗτοι γίνονται πλὴν τῆς κεφαλῆς.

Ἢν ἔξω τὸ κατ' ἰσχίον ἄρθρον ἐκπέσῃ, βέλτιον μὲν βαδίζουσιν οἱ τοιοῦτοι τῶν ἔσω τὴν μετάστασιν τοῦ ἄρθρου ἐχόντων, ὅταν ἐκφύγωσι τοὺς ἐκ τῆς φλεγμονῆς τε καὶ συμπαθείας τῶν ἐπικαίρων μορίων κινδύνους, αὐτὰ δὲ ταῦτα μᾶλλον ἐκείνων πάσχουσιν· ἡ μὲν γὰρ εἰς τὴν ἔσω χώραν μετάστασις τοῦ ἄρθρου· κἀκ τούτου οὖν ἐπίβασιν ἔχει, μήτε θλιβόμενος διὰ τὴν σκληρότητα μήτε καὶ τούτου αὐτῷ συμβαίνεσθαι δυναμένου. τὸ δ' ἔξω τοῦ μηροῦ

lem quendam durum tumorem ſpina depravari; poteſt et propter conſortium ſub crudo duroque tuberculo idem vitium experiri. Sed quo pacto ejusmodi affectibus ſpinae perverſio ſuperveniat ſupra poſuimus, ubi de ipſa proprie tractavimus.

XCVII.

Minus tamen toto corpore increſcunt capite excepto.

Quibus coxae articulus in exteriorem partem prolabitur melius ingrediuntur quam quibus in interiorem ubi inflammationis periculum effugerint et praecipuarum partium, cui opportuniores ſunt quam illi. Articulus enim quum in interiorem partem luxatur, ſuper os fertur, quod non premitur quum durum ſit, neque huic malo patet; at exterior femoris regio, quum maximis muſculis

Ed. Chart. XII. [414.] Ed. Baf. V. (634.)

χωρίον, ὅτι ὑπὸ μεγίστων μυῶν κατειλημμένον εἰς ὀδύνην ἰσχυρὰν ἀφίκωνται. καὶ γὰρ θλίβονται πρὸς τοῦ μεταστάντος εἰς αὐτοὺς ὀστοῦ καὶ θλῶνται καὶ περιτείνονται τῷ παρὰ φύσιν ὄγκῳ τῆς τοῦ μηροῦ κεφαλῆς, αἰσθάνονται τούτων ἁπάντων ὡς πάσχουσι καὶ διὰ τοῦτο ὀδυνῶνται. διά τε οὖν τὴν θλάσιν καὶ τὴν θλῖψιν τὴν γινομένην φλεγμοναῖς ἐν τοῖς ὑποδεξαμένοις τὸ ἄρθρον μυσὶν, εἰς συμπάθειαν ἔρχονται τὰ ὑποκείμενα μόρια τά τε ἄλλα καὶ τὰ κατὰ τὴν ῥάχιν. ἢν δ' ἅπαξ οὖν νοσήσῃ ταῦτα, καθάπερ ὁ μηρὸς, οὕτω καὶ ταῦτα γίνεται τοῖς τε ἐν αὐξήσει σώμασι παθοῦσι τὸ τοιοῦτον πάθος, ἀναυξέστερά τε καὶ μικρότερα καὶ πάντα φαυλότερα. μεμνῆσθαι γάρ σε χρὴ καὶ τοιούτου διὰ παντὸς ἤδη πολλάκις εἰρημένου καὶ τοιούτου μαρτυροῦντος τοῖς ὀλίγον ἔμπροσθεν, ὡς τοῖς μὲν αὐξήσει παθοῦσιν, οὕτως ἐνδεέστερον αὔξεται τὰ μόρια, τοῖς δὲ τελειωμένοις ἀτροφώτερα γίνεται καὶ μαλακώτερα, τῆς ῥάχεως δὲ ἀναυξεστέρας γενομένης ἀκόλουθόν ἐστι καὶ τὸ σύμπαν σῶμα τοῖς οὕτω παθοῦσιν ἔλαττον γίνεσθαι. κάτω μὲν γὰρ τὰ σκέλη συμπάσχει, τὸ δὲ ἄνω τῶν σκελῶν ἄχρι τῆς κεφαλῆς ἡ ῥάχις

comprehendatur, ingenti dolore torquetur. Premuntur enim articulo in eam prolapſo, terunturque et extenduntur tumore praeter naturam, nempe femoris capite, et ſentiunt omne id quo vexantur ac propterea dolent. Ergo propter muſculos qui articulum admittentes teruntur premunturque, atque idcirco inflammantur et ceterae partes adjunctae et quae circa ſpinam ſunt afficiuntur et aeger adhuc increſcat, non ſecus ac femur incremento prohibentur et minores fiunt atque omnino deteriores. Illius autem meminiſſe oportet, quod jam ſaepius dictum eſt et eorum teſtimonium eſt quae paulo ante propoſita ſunt. Ubi qui adhuc augentur ſic laeduntur, partes minus increſcunt; quibus vero aetate firma id accidit, minus aluntur et molliores evadunt. Spina minus aucta ſequitur ut reliquum corpus hujusmodi hominibus minus reddatur: infra enim crura afficiuntur, ſuper crura uſque ad caput

Ed. Chart. XII. [414. 415.] Ed. Baſ. V. (634.)

ἐστίν. ὅταν οὖν αὕτη τε μικροτέρα γένηται καὶ σύμπαν τὸ σκέλος, εἰκότως ἐπὶ τῶν τοιούτων ἐρεῖ, πλὴν τῆς κεφαλῆς, ἀναυξεστέρους τοὺς ἀνθρώπους γεγονέναι τὸ πᾶν σῶμα.

ιη'.

Ὅσοισι δ' ἂν εἰς τοὔπισθεν ἡ κεφαλὴ τοῦ μηροῦ ἐκπέσοι, ὀλίγοισι δὲ ἐκπίπτει, οὗτοι ἐκτανύειν οὐ δύνανται τὸ σκέλος, οὔτε κατὰ τὸ ἄρθρον τὸ ἐκπεσὸν οὔτε τι κάρτα κατὰ τὴν ἰγνύην, ἀλλ' ἥκιστα τῶν ἐκ παλαιῶν, οὗτοι μᾶλλον ἐκτανύουσι καὶ τὸ κατὰ τὸν βουβῶνα καὶ τὸ κατὰ τὴν ἰγνύην ἄρθρον.

Ὀλίγοις μὲν διαρθρεῖ τὸν νῦν προκείμενον τρόπον ἡ κεφαλὴ τοῦ μηροῦ δι' ἣν εἴπομεν ἔμπροσθεν αἰτίαν, ὅτι τὸ βάθος τῆς κοτύλης ἄνισόν ἐστιν. ἔνθα μὲν οὖν βραχύτερον μᾶλ- [415] λον ἐκπίπτει καὶ διὰ τοῦτ' ἔσω μᾶλλον, ἔνθα δὲ ὑψηλότερον, ὀλίγοις, ἐνταῦθα δὲ ἐξανίσταται τοῦτο σπανίως ὀπίσω. συμβαίνει δὲ ἐν τούτῳ τῷ τρόπῳ τῆς

ſpina ſita eſt. Itaque ubi haec minor fit, minus item crus totum merito dicit his hominibus univerſum corpus minus increſcere excepto capite.

XCVIII.

At ubi in poſteriorem partem femoris caput prolabitur, prolabitur autem raro, extendi non poteſt crus, neque ad articulum luxatum, neque admodum ad poplitem; ſed ex omnibus partibus in quas hic articulus concidit, ubi in poſteriorem excidat, commiſſura quae ad inguen et quae ad poplitem minime extenditur.

Femoris caput ob cauſam quam ſupra declaravimus in propoſitam nunc partem paucis excidit, quoniam ſcilicet cavi latitudo inaequalis eſt. Quocirca qua minor eſt magis procidit, atque ea de cauſa magis in interiorem partem; qua major paucis, et ob id in poſteriorem raro procidit, in quam ubi movetur crus ad inguen, nullo

Ed. Chart. XII. [415.] Ed. Baf. V. (634.)

ἐξαρθρήσεως κατὰ μὲν τὸν βουβῶνα μηδ' ὅλως ἐκτείνεσθαι τῷ σκέλει, κατὰ δὲ τὸ γόνυ μὴ τελέως. αἰτία δ' ἑκατέρου τῶν μυῶν ἡ θέσις, ἣν ἅπασαν ἀκριβῶς τὴν φύσιν ἔν τε τῇ τῶν μυῶν ἀνατομῇ κἀν τῷ δευτέρῳ τῶν ἀνατομικῶν ἐγχειρήσεων ἔχετε γεγραμμένην, ὑπομνήσεως δ' ἕνεκα ὧν ἐθεάσασθε πολλάκις ἀνατεμνομένου πιθήκου, διότι τὰ πολλὰ τὸ ζῶον τοῦτο παραπλησίως ἀνθρώπῳ παρεσκεύασται. πρῶτον οὖν ἀναμνήσθητε νῦν ἐκ τῆς ψύας εἰς τὸν μικρὸν ἥκοντα τροχαντῆρα, δεύτερον δὲ ἐκ τοῦ τῆς ἤβης ὀστοῦ συνεχῆ. τὸ δὲ κατὰ φύσιν εἰς τὸν αὐτὸν τροχαντῆρα ποιούμενον οὕτω μεταστήσεις ὀπίσω τῆς κεφαλῆς τείνονται βιαίως, ἐκεῖσε περιελιττόμενοι καὶ περικλώμενοι τῇ κοτύλῃ καὶ εἰ ἐπιχειρήσειεν ὁ οὕτω πεπονθὼς ἄνθρωπος ἐκτείνειν τοῦτο τὸ ἄρθρον, δεήσει τὸν μηρὸν ὅλον ἐλιχθῆναι πρὸς τοὐπίσω, μειζόνως πονήσουσιν οἱ προειρημένοι δύο μύες ἐπὶ πλεῖστον ἑλκόμενοί τε καὶ τεινόμενοι καὶ ὅτι μείζονες εἴπερ ἦσαν, ἀνώδυνοι πλείονα τάσιν ἀνέχουσιν. εἰ δ' ἠδύναται πρᾶξαι τοῦτο διὰ τὴν κεφαλὴν τοῦ μηροῦ τῆς κοτύλης ἐκπεσοῦσαν

modo extenditur ad genu non ex toto. Utriusque cauſa eſt muſculorum ſitus, quorum naturam perfecte indicavimus in opere de muſculis incidendis et in ſecundo libro de ratione corporum incidendorum. Ut autem in memoria habeatis quae ſaepius intuiti eſtis, inciſa ſimia, hoc enim animal ſtructuram habet maxima ex parte homini ſimilem, primum meminiſſe debetis muſculi qui a lumbis ortus ad parvum femoris tuberculum pertinet; deinde alterius qui ab oſſe quod pubi ſubeſt ad idem tuberculum intendens cum ſuperiori conjungitur. Hi ergo vehementer extenduntur, quum femoris caput in poſteriorem partem elabitur ibi implicati et circa coxae cavum in orbem voluti. Atque ubi is quem hoc vitium exercet extendere articulum tentet, oportebit univerſum femur in poſteriorem partem circumvolvi; in quo caſu propoſiti duo muſculi potiſſimum laedentur, ut qui plurimum trahantur extendanturque. Nam quum longiores quam ante facti ſint, ulterius extendi citra dolorem nequeunt; quumque

Ed. Chart. XII. [415.] Ed. Baſ. V. (634. 635.)

ἐκ τῶν ὀπίσω μερῶν τοῦ περιέχοντος αὐτὴν ὀστοῦ τετάχθαι. εἴπερ οὖν ἔμελλε τὸ κατὰ γόνυ πέρας τοῦ μηροῦ καμψάντων τελέως τὸν βουβῶνα μετέωρον ἱκανῶς ἕσεσθαι τὴν κεφαλὴν τοῦ ἰσχίου πρὸς τὴν ἔσω χώραν ἀναγκαῖον ἦν, ὅπερ οὐκ ἐνδέχεται γενέσθαι χωρὶς τοῦ διασπασθῆναι τὸν ὑποδεξάμενον αὐτὴν μῦν, ὃν ἔξεστιν ἐν τῇ διαρθρώσει, ἣν εἶχε κατὰ φύσιν, οὔθ' ἕτερον ὑπάρχειν τῇ κατὰ βουβῶνα διαρθρώσει τῶν ἔμπροσθεν ὑπαρχόντων, πρὶν ἐκπαλαῖσαι τὸ ἄρθρον· οὔτε γὰρ ἐκτείνεσθαι τελέως οὔτε κάμπτεσθαι δύναται. τί δή ποτ' οὖν ὁ Ἱπποκράτης τὸ ἕτερον (635) αὐτῶν εἶπε μόνον; ὅτι μετὰ τὴν ἔκπτωσιν εὐθέως φαίνεται κεκομμένος ὁ μηρὸς, ὡς ἂν πρὸς τῷ γόναι πέρατος αὐτὸ τὸ σῶσον ἀποχωροῦντος εἰς τὸ πρόσω μέρος, ὅσον ἡ κεφαλὴ μετέστη εἰς τοὐπίσω. ὅσον δ' ἐν τῇ κατὰ τὸν βουβῶνα φαίνεται καμφθὲν τὸ σκέλος, οὕτω καὶ κατὰ τὴν ἰγνύαν ἐντείνονται οἱ ὄπισθεν μύες ἅπαντες ἐν ταῖς ἀνω-

longiores fieri non poſſint, commiſſuram extendi non patiuntur. Hac igitur de cauſa qui ſic affecti ſunt extendere crus ad inguen non poſſunt, neque etiam ad genu, propterea quod femoris caput ſuo cavo prolapſum continetur in poſteriori parte illius oſſis a quo recipi ſolet. Quodſi futurum eſſet ut femoris caput extentum ad genu inguine penitus curvato multum attolleretur, neceſſe eſſet ut femoris caput a coxa plurimum in poſteriorem partem excederet. Quod fieri non poteſt, niſi convellatur muſculus quo exceptus eſt, quum ex naturali ſede procidit. In commiſſura ergo quae ad inguen eſt neutrum fieri poteſt ex iis quae fiebant, priusquam articulus procidiſſet: nam neque perfecte extendi neque perfecte curvari poteſt. Quid ergo Hippocrates alterum dumtaxat adſcripſit? An quia poſtquam luxatus articulus eſt crus curvatum protinus apparet? utpote quum imum femur ad genu eatenus in priorem partem excedat, quatenus ſummum in poſteriorem et quatenus ad inguen crus curvatur; quo fit ut poſteriores muſculi, qui ad poplitem ſunt

Ed. Chart. XII. [415.] Ed. Baſ. V. (635.)

θεν ἀρχαῖς, ὀπίσω μεταχωρήσαντος κατὰ ταῦτα τοῦ μηροῦ. τεινομένων δὴ τούτων αὐτοῖς τῶν μερῶν συνεντείνεται καὶ τὸ λοιπὸν σῶμα ἅπαν ἄχρι τῶν εἰς τὴν κνήμην καθηκόντων τενόντων· ἡ δὲ τούτων ἔντασις κάμπτει τὴν ἰγνύαν, ὥστε οἱ οὕτως ἐκπαλαίσαντες εὐλόγως ἀμφοτέρας τὰς διαρθρώσεις ὀρῶνται κεκαμμένας ἔχοντες. ἐπεὶ τοίνυν ἐκτείνονται ἑαυτὰς ἀδυνατοῦσιν ἂν καὶ μάλιστα τὴν κατὰ βουβῶνα, διὰ δὴ τοῦθ' Ἱπποκράτης τοῦτο μόνον εἶπε, τὸ μὴ δύνασθαι τὰς διαρθρώσεις ταύτας ἐκτείνειν. ἀλλ' ἐπὶ τῆς κατ' ἰσχίον ἁπλῶς εἶπεν· ἐπὶ δὲ τῆς κατὰ γόνυ προσέθηκε τὸ κάρτα, τουτέστι τὸ λίαν, ὡς ἐκτείνεσθαι τῆς δυνάμεως, οὐ μὴν λίαν γε τοῦτο πασχούσης, ἐπεὶ δύναται τὸ τελέως μηδὲν ἀπολείπεσθαι τοῦ κατὰ φύσιν· αὐτὸ δὲ τὸ σύμπτωμα γίνεται διὰ τὴν αὐτὴν αἰτίαν, δι' ἣν καταπίπτεται μετὰ τὴν ἐξάρθρησιν αὐτίκα τὸ κατὰ τὴν ἰγνύαν ἄρθρον. ἐπὶ πασῶν γάρ σε χρὴ τοῦτο γιγνώσκειν τῶν διαστροφῶν κοινὸν, ὡς ἐκτεινομένων μερῶν αἱ πρὸς ἐκεῖνο ῥοπαὶ γίγνονται, συνακολουθούντων αὐτοῖς τῶν συνεχῶν. οὐδὲν γὰρ τῶν με-

ſuperioribus capitibus extendantur, quum femur ſic retro prolapſus eſt; his autem ſuperne extentis extenditur una reliquum eorum corpus uſque ad chordas, quae perveniunt ad crus, quibus extentis poples curvatur. Quocirca quibus ſic articuli luxantur, curvatae merito utraeque commiſſurae conſpiciuntur. Igitur quia extendere ipſas nequeunt, praecipue eam quae ad inguen eſt, idcirco non dixit tantummodo has commiſſuras non poſſe extendi, ſed in ea quae ad coxam eſt id ſimpliciter protulit, in ea quae ad genu adjecit *κάρτα*, hoc eſt *admodum*, utpote quae extendi poſſit, non admodum tamen, nam ſi id poſſet, a naturali ſtatu recederet. Supervenit autem haec noxa ob eandem cauſam ob quam ab articulo luxato protinus poples curvatur. Illud enim ſcire licet commune omnium depravationum, quod ubi partes aliquae extendantur, quae cum his continuantur, ſequentes ad ipſas convertuntur. Nulla enim ex iis quae ſic ſuo vitio con-

Ed. Chart. XII. [415. 416.] Ed. Baſ. V. (635.)

Θισταμένων [416] *οὕτως ἰδίῳ πάθει καὶ τὴν οἰκείαν ἀπολείπει χώραν, ἀλλ' ἀπὸ τοῦ συνεχοῦς ἑλκόμενον ἕλκει μὲν τὸ συνεχὲς ἑνὶ μὲν λόγῳ κοινῷ τεινόμενον, οὐχ ὑπὸ μιᾶς δὲ προφάσεως τοῦτο πάσχει· καὶ γὰρ ὑγρανθέντι πόρρω τοῦ προσήκοντος αὐτῷ καὶ ξηρανθέντι, φλεγμαίνοντί τε καὶ σκιρρωθέντι καὶ τῆς οἰκείας χώρας μεταστάντι κοινὸν ὑπάρχει τὸ γίνεσθαι πάθημα. διὸ περὶ πάντων τῶν τοιούτων ἐπὶ πλέον ἐξῆς ὁ Ἱπποκράτης ἐδίδαξε. καὶ ἡμεῖς ἀκολουθήσαντες αὐτοῦ ταῖς ῥήσεσιν ἁπάσας τὰς λέξεις ἐξηγησάμεθα.*

ΗΘ'.

Προσξυνιέναι μὲν οὖν καὶ τόδε χρή· εὔχρηστον γὰρ καὶ πολλοῦ ἄξιόν ἐστι καὶ τοὺς πλείστους λήθει ὅτι οὔτε ὑγιαίνοντες δύνανται κατὰ τὴν ἰγνύην ἐκτανύειν τὸ ἄρθρον, εἰ μὴ ξυνεκτανύουσι καὶ τὸ κατὰ τὸν βουβῶνα ἄρθρον, πλὴν ἢν μὴ πάνυ ἄνω ἀείρωσι τὸν πόδα, οὕτω δ' ἂν δύναιντο. οὗτοι τοίνυν οὐδὲ ξυγκάμπτειν δύνανται τὸ κατὰ τὴν ἰγνύην ἄρθρον ὁμοίως, ἀλλὰ πολὺ χαλεπώτε-

verſae ſunt naturalem ſedem relinquit, ſed ab ea cum qua continuatur attrahitur. Haec autem attrahit communi una ratione, quod tendatur; ſed tenditur non una de cauſa, ſiquidem intendi ſolet, ubi ultra debitum humore impleatur, ſicceſcat inflammatione vel duro tumore teneatur vel locum mutat. Quare cuncta haec Hippocrates in ſequentibus latius adſcripſit cujus nos ſermonem ſequuti verba omnia enodabimus.

XCIX.

Illud etiam ignorare non oportet; utiliſſimum enim et maximi momenti eſt ac plerosque latet, quod nec qui bene valent extendere poplitis commiſſuram poſſunt, niſi ſimul extendant eam quae ad inguen, praeterquam ubi pedem admodum attollunt, ſic enim poſſent. Hi ergo

Ed. Chart. XII. [416.] Ed. Baſ. V. (635.)

ρον, ἢν μὴ συγκάμψωσι καὶ τὸ κατὰ τὸν βουβῶνα ἄρθρον.

Ἢν ἔφη εἶναι κοινότητά τινα τῶν ἀποστερουμένων τινὰς κινήσεις μορίων, οὐ δι' ἴδιον πάθος, ἀλλά τινα τῶν κοινωνούντων σωμάτων γιγνομένην ἐντεῦθεν ἤρξατο διδάσκειν, ἐπὶ τῶν κατὰ φύσιν μυῶν οὐδὲν ἐκφύεσθαι τοῦ μηροῦ, καίτοι πολλῶν ὄντων. ἔνιοι μὲν ἐκ τοῦ τῆς λαγόνος ὀστοῦ κατέρχονται, τινὲς δὲ ἐξ ἰσχίου πεφύκασιν, εἷς δὲ μόνος τοῦ ἐκ τῆς ἤβης ὀστοῦ. διὰ τοῦτ' ἀναγκαῖόν ἐστι συγκινεῖσθαι τὰς διαρθρώσεις ἀλλήλαις, ὥσπερ ἀρτίως ἐπὶ τῆς κατὰ τὸν πόδα καὶ τὴν ἰγνύαν ἐδείχθη, συμφαινομένης ἅμα καὶ τῆς κατὰ τὸν βουβῶνα κοινωνίας αὐτῶν. ὥσπερ γὰρ ἐδείχθησαν οἱ κινοῦντες τὸ ὄπισθεν αὐτῶν ἥκοντες, ὡς ἔφην, ἐκπεφυκέναι τῶν κάτω περάτων τοῦ μηροῦ κατὰ τὰς ῥίζας τῶν κονδύλων, οὕτω καὶ νῦν ἄνω τοῦ ποδὸς εἰς τὴν κνήμην καθήκοντας ἐκ τῶν εἰρημένων ἀρχῶν ἀναγκαῖόν ἐστι τείνεσθαι, τοὺς μὲν ὄπισθεν ἐκτεινομένης τῆς ἰγνύας, τοὺς

poplitis articulum curvare non ſimiliter poſſunt, ſed multo aegrius, niſi inguinis quoque articulum curvent.

Conjunctionem quam poſuit in partibus quae moveri aliquo modo prohibentur non ſuo vitio, ſed earum cum quibus conſortium habent nunc docere incipit in muſculis qui naturaliter habent, quorum nullus initium ſumit a femore, quamquam multi ſunt. Nonnulli enim ab oſſe quod ad ilia pertinet oriuntur, nonnulli a coxa, unus tantum ab oſſe quod pubi ſubeſt. Hac igitur de cauſa commiſſuras moveri ſimul neceſſe eſt, ſicut nunc in pede et poplite oſtenſum eſt, in quibus apparet etiam conſortium quod cum inguine habent. Nam ſicut demonſtratum eſt, quemadmodum muſculi qui poſteriorem ipſorum partem movent, ut dixi, in femore imo ad radices tuberculorum incipiunt, ita qui per priorem cruris partem feruntur ex eodem imo femore dependent. Quare neceſſe eſt intendi poſteriores

Ed. Chart. XII. [416.] Ed. Baſ. V. (635.)

δὲ πρόσω καμπτομένης. ὅταν οὖν ἐπὶ πλέον πεφύκασι, τείνονται ἀντιτεταγμένοι αὐτοῖς ἀντισπῶσί τε καὶ οὐχ ἕπονται. λέγω δὲ ἀντιτεταγμένους τοὺς ἐκτείνοντας τοῖς κάμπτουσι, τουτέστι τοὺς προσθίους τοῖς ὄπισθεν ἐπὶ δυσὶ μυοῖν ὡς ἐπὶ παραδείγματος ἕνεκα σαφηνείας τὸν λόγον ποιησάμενος ἀρκεσθήσομαι. τοῖς γὰρ ἑωρακόσιν ἐν ταῖς ἀνατομαῖς ἅπαντας τοὺς κατὰ σκέλη μύας ἐκ τῶν εἰρημένων ἐστὶ καὶ περὶ τῶν ἄλλων ταῦτα λογίζεσθαι. τοῖς δ' οὐδ' ὅλως ἑωρακόσιν οὐδ' ὁ περὶ τὰ δύο λόγος ἔσται σαφής. οὗτοι οὖν ἐκ τοῦ τῆς λαγόνος ὀστοῦ πεφυκότες ὑπερβαίνουσι καταφερόμενοι πρώτην μὲν τὴν κατὰ τὸν βουβῶνα τοῦ μηροῦ διάρθρωσιν, εἶτα διελθόντες ὅλον τὸν μηρὸν, ἐφεξῆς δευτέραν τὴν κατὰ γόνυ. φέρεται δὲ ὁ μὲν ἕτερος αὐτῶν ὁ στενὸς παρὰ τὸν ἕνα κόνδυλον τοῦ μηροῦ ταπεινότερον αὐτοῦ, κἄπειτα ἀνανεύσας πάλιν ἐπὶ τὸ καλούμενον ἀντικνήμιον εἰς τὴν ἐντὸς χώραν αὐτοῦ καταφύεται. ὁ δ' ἕτερος ὁ μέγας ἰσχυρότατον ἐπιφύεται τένοντα πλατὺν ἀναμιγνύμενον ἑτέρῳ τένοντι τὴν γένεσιν ἐκ τοῦ μεγίστου μυὸς

quidem, quum poples extenditur, priores, quum curvatur. Ubi ergo tendantur magis quam eorum naturae conveniat, oppoſiti renituntur et minime ſequuntur. Voco autem oppoſitos eos qui extendunt iis qui curvant, id eſt priores poſterioribus. Duobus autem muſculis exempli gratia contentus ero ad hujus loci explanationem, quum qui in corporibus incidendis omnes cruris muſculos intuiti ſunt, ex his poſſint de reliquis facere conjecturam; aliis vero qui nullo modo intuiti ſunt neque ſermo de duobus clarus erit. Hi ergo orſi ab eo oſſe quod ad ilia pertinet procedunt primo quidem per femoris commiſſuram quae ad inguen eſt, deinde ubi per femur totum ad alteram ejus commiſſuram quae ad genu eſt intenderunt; alter qui anguſtior eſt ſertur juxta interius femoris tuberculum quod humilius, tum ſpectans in priorem tibiae partem cruri ex interiori parte innectitur; alter qui magnus eſt lateſcit degenerans in valentiſſimam chordam, quae miſcetur cum altera chorda dependente a maximo ex muſculis

Ed. Chart. XII. [416. 417.] Ed. Baſ. V. (635.)

ἔχοντι τῶν [417] προσθίων, ὃς ἀπὸ τοῦ γλουτοῦ καταφέρεται. πρῶτον μὲν ἐπιφύεται τῇ μίλῃ, μετὰ ταῦτα ἐμφύεται τῇ κνήμῃ. ἐὰν μὲν οὖν κάμπτηται κατὰ βουβῶνα τὸ σκέλος, ἧττον γίνεται τὸ μῆκος ἐνταῦθα τῶν μυῶν, ἐὰν δὲ ἐκτείνηται, μεῖζον. ἐπὶ δὲ τοῦ γόνατός τε καὶ τῆς ἰγνίας ἐκτεινομένης μὲν τῆς διαρθρώσεως ὁ μὲν τὴν μύλην ἐπιβαίνων βραχύτερος, ὁ δὲ ἐκ τῶν ἔνδον μερῶν φερόμενος μακρότερος γίγνεται, ὥσθ' ὁ μὲν πρόσθιος ἄκραν ἔκτασιν ἀναγκασθήσεται λαμβάνειν, ἐὰν κατὰ βουβῶνα τὸ σκέλος ἐκτείναντες ἐπιχειρῶμεν κάμπτειν τὴν ἰγνύαν. ὁ δ' ὀπίσθιος, ἐὰν ἐκτείνηται τὴν ἰγνύαν, κάμπτομεν τὸν βουβῶνα. καταφερόμενος γὰρ ἐξ ὑψηλοῦ χωρίου διὰ τῶν πρόσω τοῦ μηροῦ κάμπτεται ἐντεῦθεν ἐπιστρεφόμενος λοξὸς, ἀνανεύεται πρὸς τὸ καλούμενον ἀντικνήμιον. εἰκότως οὖν αὐτὸς μακρότερα ἐργάζεται τὰ πρῶτα μέρη καὶ τοῦ μηροῦ καὶ τῆς κνήμης ὑψούμενα μακρότερος γινόμενος. ἐδείχθη γὰρ ἐν τοῖς περὶ μυῶν κινήσεως ἡ ἐσχάτη συστολή τε καὶ ἔκτασις ὀδυνῶσα, ὧν τὴν μὲν συστολὴν ἐνεργοῦντες αὐτοὶ, τὴν δ' ἔκτασιν ὑπὸ τῶν ἀντιτεταγμένων ἑλκόμενοι πάσχουσιν. ἐὰν

prioris partis, qui a clune inchoatur, patellae autem primum ſuperjicitur, dein fertur ad crus. Itaque ſi crus ad inguen flectatur, ea parte muſculi breviores reddentur; ſi extendatur, longiores. Commiſſura vero genu ac poplitis, ubi extendatur qui ſuper patellam fertur, brevior ſit; qui ab interiori parte, longior: quare cogetur maxime extendi qui a priori parte eſt, ſi extendentes commiſſuram quae ad inguen eſt conemur poplitem curvare; qui a poſteriori, ſi poplite extento inguen curvetur. Ex ſublimiori enim loco per priorem partem femoris deſcendens flectitur, inde convertitur obliquus et ad priorem tibiae partem porrigitur. Merito ipſe longior evadens primas partes cruris ac femoris longiores reddit, ubi excitantur. Oſtendimus enim in libris de motu muſculorum ſummam contradictionem ſummamque extenſionem dolori eſſe; et muſculos quidem contrahi dum agunt; extendi vero dum ab oppoſitis attra-

Ed. Chart. XII. [417.] Ed. Baf. V. (635. 636.)

οὖν ποτε τοῖς εἰς τὴν αὐτῶν σύνοδον ἐνεργοῦσι μυσὶν οἱ ἀντιτεταγμένοι μὴ ὀδυνῶνται, συνεκτείνεται κατὰ φύσιν μὲν ἐν ταῖς εἰρημέναις ἄρτι κοινωνίαις τῶν διαρθρώσεων, παρὰ φύσιν δ' ἐν ταῖς ἐφεξῆς εἰρησομέναις. τηνικαῦτα συμβαίνει πολλοὺς τῶν ἰατρῶν ἀπατᾶσθαι καὶ νομίζειν πεπονθέναι τοὺς μῦας ἐκείνους, ὧν ὁρῶσι τὴν ἐνέργειαν ἐμποδιζομένην. ἔτι δὲ ἐναργέστερον τοῦτο γνωσθήσεται διὰ τῶν ἐφεξῆς εἰρησομένων.

ρ'.

Πολλὰ δὲ καὶ ἄλλα κατὰ τὸ σῶμα τοιαύτας ἀδελφίξιας ἔχει καὶ κατὰ νεύρων ξυντάσεας καὶ κατὰ μυῶν σχήματα καὶ πλεῖστά τε καὶ πλείστου ἄξια γινώσκεσθαι ἢ ὅστις οἴεται (636) καὶ κατὰ τὴν τοῦ ἐντέρου φύσιν καὶ τὴν τῆς ξυμπάσης κοιλίης καὶ κατὰ τὰς τῶν ὑστερέων πλάνας καὶ ξυντάσιας. ἀλλὰ περὶ μὲν τούτων ἑτέρωθι λόγος ἔσται ἠδελφισμένος τοῖσι νῦν λεγομένοισι. περὶ οὗ δὲ ὁ λόγος ἐστὶν, οὔτε ἐκτανύειν δύναται, ὥσπερ ἤδη εἴρηται, βρα-

huntur. Si quando autem, quum muſculi in ſe ipſos contracti agunt, oppoſiti non dolent, ſimul extenduntur naturaliter quidem in commiſſuris quae propoſitum conſortium habeant; praeter naturam vero in illis quae deinceps adſcribentur. Complures autem medici decipiuntur putantque eos muſculos affectos eſſe, quorum prohiberi actionem viderint, quod magis adhuc perſpicuum eſt in ſequentibus.

C.

Multa quoque alia in corpore inveniuntur, quae ſimiliter germana ſunt; de nervorum item extenſione, muſculorum habitu multa etiam ſunt et magis ſcitu digna quam quis exiſtimet; praeterea de inteſtinis ac ventre univerſo, de utero qui huc atque illuc fertur contrahiturque. Sed alibi de his verba faciemus germana his quae nunc traduntur; quod ad hunc locum attinet et extendi crus non poteſt, ſicut jam dictum eſt et brevius apparet duplici

Ed. Chart. XII. [417.] Ed. Baf. V. (636.)

χύτερόν τε τὸ σκέλος φαίνεται διὰ δισσὰς προφάσιας, ὅτι τε οὐκ ἐκτανύεται, ὅτι τε πρὸς τὴν σάρκα ὠλίσθηκε τὴν τοῦ πυγαίου.

Εἴρηται μοι καὶ πρόσθεν, ὡς τὰς κοινωνίας καὶ οἷον συγγενείας τῶν μορίων ἀδελφίξιας εἴωθεν ὀνομάζειν, ὡσεὶ καὶ ἀδελφότητας εἶπεν. ἔστι δὲ αὐτῶν τὸ κεφάλαιον ἑτέρου μορίου πεπονθότος ἐν ἄλλῳ φαίνεσθαι τὴν βλάβην ἤτοι τῆς ἐνεργείας ἢ τῆς θέσεως ἢ τοῦ σχήματος ἢ τοῦ μεγέθους. κοινὴ δὲ ἐπὶ πάντων αἰτία τάσις εἰς τὸν ἀντικείμενον τόπον· οἷον ἐκθέσεως, ἵν' ἀπὸ τῶν προφανεστάτων ἄρξωμαι, πολλοὺς τῶν ἐπιπηδώντων τῇ τέχνῃ χωρὶς τοῦ νομίμως αὐτὴν ἐκμαθεῖν, ἐθεασάμην ἐξαίφνης συσταθέντος τινὸς μορίου καὶ τῷ τε μεγέθει βραχύ τι φαινομένου καὶ τὴν ἀρχαίαν θέσιν οὐκ ἀκριβῶς φυλάττοντος αὐτῷ τούτῳ τῷ μορίῳ προσφέροντας τὰ βοηθήματα, καίτοι μηδεμίαν ἔχοντι διάθεσιν ἰάσεως δεομένην. παραλυθέντων γοῦν τῶν κατὰ τὴν ἑτέραν γνάθον μυῶν συμβαίνει τὴν μὲν ἀντικειμένην

de cauſa, tum quod non extendatur, tum quod articulus in carnem clunis eruperit.

Antea quoque diximus conſueſſe Hippocratem eas partes nominare germanas, quae inter ſe conſortium et cognationem habent, quarum id caput eſt quod una parte vitiata alterius actio, ſitus, habitus vel magnitudo laeditur; communis horum omnium cauſa eſt in contrariam regionem extenſio. In ſitu exempli cauſa, ut ab evidentiſſimis ordiamur, multos vidimus, qui mederi aggrediuntur quod non rite didicerunt; et protinus ubi aliqua pars contraheretur et brevior fieret, priſtinumque ſitum penitus non ſervaret, ad eam ipſam remedia adhiberent, quamvis nullo vexaretur affectu qui curatione indigeret. Itaque ubi muſculi ab altera maxillae parte reſolvantur, fit ut altera brevior appareat et quaſi contracta; ſed quae laeſa eſt eam ſequuta extendi videatur: nam quum muſculi

Ed. Chart. XII. [417. 418.] Ed. Baſ. V. (636.)

αὐτῇ βραχυτέραν φαίνεσθαι καὶ οἷον συνεσπασμένην τὴν πεπονθυῖαν δι' αὐτὴν ἐκτείνεσθαι συνεπομένην ἐκείνην. διὰ γὰρ τὸ τοὺς μίας ἅπαντας οἰκείαν ἔχειν μίαν ἐνέργειαν, ἐπὶ τὰς ἰδίας κε- [418] φαλὰς ἀνατεινομένους ὅταν οἱ κατὰ τὴν ἀριστερὰν γνάθον ἀπολέσωσι τὴν ἐνέργειαν οἱ κατὰ τὴν δεξιὰν ἐῤῥωμένοι τε καὶ κατὰ φύσιν ἔχοντες ἐνεργήσαντες ἕλκουσιν ὅλην ἐφ' ἑαυτοὺς τὴν δεξιὰν γνάθον καὶ τὰ χείλη· καὶ οὕτω φαίνεται τὸ μὲν ἀριστερὸν χεῖλος ἐκτεταμένον τε καὶ μακρότερον αὐτοῦ γεγονὸς, τὸ δεξιὸν δὲ ἔλαττόν τε καὶ συντεταμένον. ἐνταῦθα μὲν οὖν ἔλαττον γίνεται τὸ ἀπαθὲς ἀντισπῶν ἐφ' ἑαυτὸ θάτερον μέρος τῆς γνάθου τὸ παραλυθέν. ἑτέρωθι δ' ὑπὸ τοῦ πεπονθότος ἕλκεταί τε καὶ σπᾶται τὸ ἀπαθὲς, ὥσπερ ὅταν ἢ τένων ἢ μῦς σκιῤῥωθεὶς ὅλως ἀδυνατεῖ συνεπεκτείνεσθαι τοῖς ἀντιτεταγμένοις ἐνεργοῦσι. πολλὰ δὲ τοιαῦτα φαίνεται γιγνόμενα, κατὰ δὲ τοὺς δακτύλους τῆς χειρὸς καὶ κατ' ἀγκῶνα τὴν ἰγνύαν ἀγκυλουμένων μὲν αὐτῶν ἐπὶ τοῖς τῶν ἔνδον μυῶν ἢ τενόντων πάθεσιν. ὀρθοκύλλων δὲ γινομένων ἐπὶ τοῖς τῶν ἐκτὸς, οὕτως γὰρ ὀνομάζειν ἔθος ἐστὶ τοῖς ἰατροῖς, ὅταν

omnes unam propriam habeant actionem, qua ſcilicet ad ſua initia contrahuntur, quando illi qui a ſiniſtra parte maxillae ſiti ſunt agendi poteſtate privantur; qui a dextra ſunt robuſti ac naturaliter habentes agunt, dextram maxillam univerſam et labra ad ſe contrahentes; atque ita conſpicitur ſiniſtrum labrum extentum et longius redditum; dextrum brevius et contractum: ergo in hoc caſu brevius ſit quod integrum eſt attrahens ad ſe ipſum maxillae partem quae reſoluta eſt. Alibi vero ab eo quod affectum eſt attrahitur convelliturque id quod ſanum, ſicut ubi muſculus vel chorda, quum induruit, nequit ſimul cum oppoſitis dum agunt extendi. Multa quoque ſimilia evenire conſtat in digitis manus, cubito, poplite, quum contrahuntur propter vitia muſculorum et chordarum interiorem; ſed ubi extenduntur, Graeci ὀρθοκύλλους dicunt: ita enim appellare medici ſolent articulos qui extenſi ſunt

Ed. Chart. XII. [418.] Ed. Baſ. V. (636.)

ἐκτεταμένον τι μὴ δυνάμενον κάμπτεσθαι. ὅμοιον δὲ τούτῳ συμβαίνειν εἴωθεν ἐπὶ ταῖς μεγάλαις τε καὶ σκληραῖς οὐλαῖς· καὶ γὰρ καὶ αὗται κατὰ μὲν τὴν ἔνδον χώραν γενόμεναι κυλλοῦσι τὸ μέρος, κατὰ δὲ τὴν ἔξω τὸ καλούμενον, ὡς ἔφην, ὀρθόκυλλον ἐργάζονται καὶ διὰ ξηρότητος καὶ διαπλήρους ἐξ ὑγρῶν ἐπιῤῥοῆς ἢ φυσώδους πνεύματος ταὐτὸ συμβαίνειν εἴωθε. συναγομένων γὰρ εἰς ἑαυτὰ τῶν οὕτω πεπονθότων μορίων ἀκόλουθόν ἐστι τοὺς ἀντιτεταγμένους μύας ἀδυνάτους ἐνεργεῖν, ἀντισπώντων τὰ μόρια τῶν συντεταμένων. οὕτως δὲ καὶ οἱ σπασμοὶ γίγνονται τῶν τε μυῶν αὐτῶν ἑλκομένων ἐπὶ τὴν ἰδίαν ἀρχὴν αὐτῶν πρώτων καὶ μάλιστα καὶ δι' αὐτοὺς τῶν μορίων εἰς ἃ καθήκουσιν· οὕτω καὶ ἡ μήτρα ποτὲ μὲν ἄνω χωρεῖ, ποτὲ δὲ εἰς τὰ πλάγια μέρη καθίσταται, οὐκ αὐτὴ κατ' ἰδίαν ἐνέργειαν ἀποχωροῦσα τῆς οἰκείας χώρας, ἀλλ' ὑφ' ἑτέρων ἑλκομένη. τὰ δ' ἕλκοντα πολλά· καὶ γὰρ ἀρτήματα καὶ νεῦρα καὶ ἀρτηρίαι καὶ φλέβες αἱ εἰς αὐτὴν καθήκουσαι τοῦτο ποιεῖν πεφύκασιν, ὅταν εἰς ὄγκον ἀρθεῖσαι τοῦ μήκους ἀφαιρῶσι τοσοῦτον ὅσον εἰς εὖρος

et curvari non poſſunt. Hujusmodi quid accidit cicatricibus magnis ac duris, quae quum ab interiori parte ſunt articulum contrahunt, quum ab exteriori, ut dixi, ſic extendunt, ut curvari non poſſit. Quod ob ſiccitatem et ob ingentem humorum vel ſpiritus inflantis concurſum evenire etiam ſolet: nam quum partes quae ſic affectae ſunt in ſe ipſas contrahuntur, ſequitur ut oppoſiti muſculi agere nequeant, quum qui contrahuntur partes in contrarium avellant. Sic nervorum diſtenſiones fiunt, quum ipſi muſculi primo ac praecipue ſe ipſos, deinde partes ad quas perveniunt ad ſuum initium contrahunt. Sic et uterus interdum ſurſum fertur, nonnunquam in latus convertitur, non quod ipſe ſua actione naturalem ſedem relinquat, ſed quod ab alio trahatur. Multa vero ſunt quae attrahunt, nam et ea quibus appenditur et nervi et arteriae et venae quae cum eo conjunguntur efficere id poſſunt, ubi in tumorem adſurgentes eatenus breviores

Ed. Chart. XII. [418.] Ed. Baſ. V. (636.)

ἐπέδωκε, κοινὸν γὰρ τούτων πάντων ἐστὶ τῶν ἐκτάσεις τε καὶ συστολὰς ἐχόντων σωμάτων, οὐ τῶν ζώντων μόνον, ἀλλὰ καὶ τῶν ἀψύχων, οἷον ἀσκῶν τε καὶ θυλάκων καὶ πλοκάμων. ἥ τε οὖν μήτρα κατὰ τοιαύτην αἰτίαν ἀνασπᾶταί τε καὶ κατασπᾶται καὶ τῶν ἐντέρων ἔνια καὶ μύες πολλοὶ καὶ δι' αὐτοὺς τά τε κῶλα καὶ αἱ γέννες. ἀνάλογον δέ τι τούτῳ κἀπὶ τῶν τῆς ῥάχεως παθῶν ἔμπροσθεν ἐδείκνυτο κυφώσεώς τε καὶ λορδώσεως καὶ σκολιώσεως.

ρα'.

Ἡ γὰρ φύσις τοῦ ἰσχίου τοῦ ὀστέου ταύτῃ, ᾗ καὶ ἡ κεφαλὴ καὶ ὁ αὐχὴν τοῦ μηροῦ γίνεται, ὅταν δὲ ἐξαρθρήσῃ, καταφερής τε πέφυκεν ἐπὶ τοῦ πυγαίου τὸ ἔξω μέρος ξυγκάμπτειν μέντοι δύνανται, ὅταν μὴ ὀδύνη κωλύοι.

Φύσις ὀστοῦ λεπτοῦ κατὰ τὸ ἰσχίον, ἐν ᾧ καὶ ἡ κοτύλη, πρόδηλον γὰρ ὅτι τὴν ὀπίσω τοῦ μηροῦ τῆς κεφαλῆς μετάστασιν ἐπὶ τῆς ὀπίσω χώρας ὀχεῖσθαι τῆς κοτύλης

fiunt, quatenus in latitudinem augentur: namque hoc commune eſt corporum omnium quae extenduntur contrahunturque non modo animalium, ſed eorum quae inanima ſunt, cujusmodi ſunt utres, ſacculi, calathi. Uterus igitur hac de cauſa ſurſum ac deorſum fertur et quaedam inteſtina muſculique complures, ac propterea membra et maxilla. Simile quid ſupra oſtenſum eſt in ſpina, ubi gibba, cava vel obliqua redditur.

CI.

Eſt enim haec natura oſſis coxae, ubi et caput et cervix femoris recipitur, quod quum hoc luxatum in exteriorem partem natium declive fertur, curvare quidem homo crus poteſt, ſi dolore non prohibeatur.

Tenuis eſt natura oſſis coxae in quo cavum continetur. Patet autem quum femoris caput in poſteriorem partem prorumpit ab ea parte quae poſt cavum eſt ſuſtineri,

Ed. Chart. XII. [418. 419.] Ed. Baf. V. (636.)

ἀναγκαῖόν ἐστιν ὡς εἶναι μεταξὺ τῆς κοιλότητος καὶ τῆς τοῦ μηροῦ κεφαλῆς τὸ περιλαμβάνον ἐκ τῶν ὀπίσω μερῶν ὀστοῦ τὴν κοτύλην. ἔστι δὲ τοῦτο τὸ μέρος αὐτοῦ τοῦ ἰσχίου· καὶ νῦν ποιούμενος τὸν λόγον καταφερὴς, φησὶ, πέφυκε αὐτὸ πρὸς τὸ ἔξω μέρος τοῦ πυγαίου. πρόδηλον οὖν ἐστι τοῖς ἑωρακόσιν, [419] ἀνατεμνόμενα ταυτὶ τὰ χωρία τὴν κεφαλὴν τοῦ μηροῦ μεθ' ὅλου τοῦ αὐχένος ἐκπεπτωκέναι βιαίως τῷ κατὰ τὴν πυγὴν μυὶ τῷ μεγάλῳ τῷ τὴν ἔκτασιν ἐργαζομένῳ τῆς κατὰ τοῦτο διαρθρώσεως. ἀποφύεται δέ τις τοῦ μυὸς τοῦδε τένων ὑμενώδης ἑνούμενος τῷ μικρὸν ἔμπροσθεν εἰρημένῳ τένοντι τὴν γένεσιν ἔχοντι ἐκ τῶν προσθίων τοῦ μηροῦ δυοῖν μυοῖν, ὧν καὶ τὴν μύλην ἔφην ὑπερβαίνοντα καταφύεσθαι τῇ κεφαλῇ τῆς κνήμης. οὗτος οὖν ὁ μῦς ὁ τὴν τοῦ μηροῦ κεφαλὴν ἐκπεσοῦσαν δεχόμενος ὀδυνᾶται μάλιστα πάντων ὑπ' αὐτῆς θλιβόμενός τε καὶ διατεινόμενος, ὥστε καὶ φλεγμαίνειν ἀναγκαῖόν ἐστιν αὐτὸν ἕλκειν τε πρὸς ἑαυτὸν ἄνω τὸν ὀλίγον ἔμπροσθεν εἰρημένον ὑμενώδη τένοντα. τούτου δὲ συμβαίνοντος ἀκόλουθόν ἐστιν

ut inter cavum et femoris caput id os ſit, quod a poſteriori parte cavum complectitur, hoc quidem eſt pars coxae cujus nunc meminit quum ait: in exteriorem partem natium declive fertur. Manifeſtum eſt autem iis qui viderint ejusmodi locorum ſectionem, femoris caput vi cum tota cervice expelli in magnum muſculum natium, qui commiſſuram hanc extendit. A quo muſculo chorda oritur quae a membrana non abhorret, conjungiturque cum ea chorda quam paulo ſupra diximus, quae ex duobus muſculis orſa a priore parte femoris ultra patellam tendens cum tibiae capite connectitur. Ergo hic muſculus prolapſum femoris caput admittens omnium maxime torquetur, quum ſub ipſo prematur diſtendaturque: quare neceſſe eſt inflammatione ipſum prehendi ſurſumque ad ſe trahere chordam, quam paullo ante commemoravimus a membrana non abhorrentem. Quod quum accidit, conſequens eſt ut homo doleat ubi poplitem flectit: quatenus

Ed. Chart. XII. [419.] Ed. Baf. V. (636. 637.)

ὀδυνᾶσθαι τὸν κάμινοντα καμπτομένης τῆς ἰγνύας· εἰς ὅσον γὰρ αὖτη κάμπτεται, περιτείνεσθαί τε καὶ περιθλᾶσθαι τῇ μύλῃ τὸν τένοντα. τεινόμενος δ' οὗτος ἀναπέμπει τὴν τάσιν ἐπὶ τὸν μῦν αὐτὸν, ὅθεν ἀπέφυ, τὸν μέγαν ἐκεῖνον, ἐν ᾧ τὴν κεφαλὴν ἔφην ἐστηρίχθαι τοῦ μηροῦ. τοῦ χωρίου μὲν τούτου προϊόντος, ὅταν ἡ τε φλεγμονὴ παύσηται τούτου τοῦ μυὸς ὑγρότητά τέ τινα ἴσχει γλίσχραν καὶ τύλον ἐν ἑαυτῷ κτήσεται τὸ ψαῦον τοῦ ἄρθρου μέρος μυὸς, ἀνώδυνος ἡ κατ' ἰγνύαν γίνεται καμπή. συντελεῖ δὲ εἰς τοῦτο καὶ τὰ ἄλλα τὰ πρόσθεν εἰρημένα περὶ τῶν κατὰ τὸ σκέλος μυῶν.

ρβ'.

(637) *Καὶ ἡ κνήμη τε καὶ ὁ ποὺς ὀρθὰ ἐπιεικέως φαίνονται καὶ οὔτε τῇ οἴτε τῇ πολὺ ἐγκεκλιμένα.*

Ὅτι μήτε τελείως καὶ πάνυ σφοδρῶς μήτε παντελῶς ἐκ τῆς ἐπιεικέως δηλοῦται φωνῆς, ἀλλὰ τὸ μετρίως, εὔδηλόν ἐστι κατ' αὐτῆς τῆς λέξεως. αὐτὸς γὰρ ἐφεξῆς ὁ Ἱππο-

enim hic flectitur, hactenus chorda extenditur atteriturque a patella. Haec autem extenta musculum extendit, a quo dependet, nempe magnum illum quo, ut retuli, recipitur femoris caput. Procedente tempore quum musculus hic ab inflammatione solvitur contrahitque humorem quendam glutinosum, pars ejus quae articulum contingit occallescit et poples citra dolorem extenditur, ad quam rem faciunt et alia quae prius proposita sunt de cruris musculis.

CII.

Tum crus et pes modice recta se ostendunt, neque multum in hanc vel illam partem inclinata.

Hippocrates modice ἐπιεικέως dixit, quo verbo significari neque perfecte aut omnino vehementer, neque ex toto, sed mediocriter, ex ipsius verbis colligitur. Ipse

Ed. Chart. XII. [419.] Ed. Baſ. V. (637.)

κράτης εἶπε καὶ οὔτε τῇ οὔτε τῇ πολὺ ἐγκεκλιμένα σαφῶς ἐνδεικνύμενος δι' αὐτοῦ προσγράψαι τὸ πολὺ μὴ παρεῖναι τῷ σκέλει, τὸ δ' ἐπ' ὀλίγον ἐκτετράφθαι τε καὶ διεστράφθαι παρεῖναι. διὰ τοῦτ' οὖν ἔφη καὶ ἡ κνήμη τε καὶ ὁ πούς ὀρθὰ ἐπιεικῶς φαίνεσθαι, ὡς εἰ καὶ μετρίως ὀρθὰ φαίνεσθαι τὰ μόρια ταῦτ' εἰρήκει.

ργ'.

Κατὰ δὲ τὸν βουβῶνα δοκέει τι ἡ σὰρξ λαπαρωτέρα εἶναι, ποτὶ καὶ ψαυομένη, ἅτε τοῦ ἄρθρου εἰς τὰ ἐπὶ θάτερα μέρη ὠλισθηκότος, κατὰ δὲ τὸ αὐτὸ πνγαῖον διαψαυομένη ἡ κεφαλὴ τοῦ μηροῦ δοκέει τι ἐξογκέειν καὶ μᾶλλον. τὰ μὲν οὖν σημήϊα ταῦτα, ᾧ ἂν ἐς τὸ ὄπισθεν ἐκπεπτώκῃ ὁ μηρός. ὅτῳ μὲν οὖν τετελειωμένῳ ἤδη ἐκπεσὼν μὴ ἐμπέσῃ, ὁδοιπορέειν μὲν δύναται, ὅταν ὁ χρόνος ἐγγένηται καὶ ἡ ὀδύνη παύσηται καὶ ἐθισθῇ τὸ ἄρθρον ἐν τῇ σαρκὶ ἐνστροφᾶσθαι. ἀναγκάζεται μέντοι ἰσχυρῶς ξυγκάμπτειν κατὰ τοὺς βουβῶνας ὁδοιπορέων διὰ δισσὰς

enim ſubjungens neque multum in hanc vel illam partem inclinata aperte demonſtrat quum adſcripſerit, multum id cruri accidere, ut non multum, ſed ut paullum pervertatur depraveturque; atque ob eam rem dixit, tum crus et pes modice recta ſe oſtendunt, quaſi dixerit has partes apparere mediocriter rectas.

CIII.

Praeterea in inguine caro mollior ſentitur, praeſertim ſi tangatur, utpote quum articulus in alteram partem exciderit; ſed in natibus ſi tangatur femoris caput, videtur magis prominere. His ergo notis indicatur femoris caput in poſteriorem partem procidiſſe. Cui autem aetate jam robuſta prolapſum reſtitutum non fuerit, ambulare quidem poteſt quum tempus proceſſit et dolor ceſſavit, atque articulus volvi in carne conſuevit. Cogitur tamen dum ambulat vehementer ad inguina curvari, idque duplici de cauſa quia ob ea quae propoſita

Ed. Chart. XII. [419. 420.] Ed. Baf. V. (637.)

προφάσιας, ἅμα μὲν ὅτι πολλῷ βραχύτερον τὸ σκέλος γίνεται. διὰ τὰ προειρημένα καὶ τῇ μὲν πτέρνῃ καὶ πάνυ πολλῷ δέεται ψαύειν τῆς γῆς. ἢν γὰρ πειριᾶτο καὶ ἐπ' ὀλίγον τοῦ ποδὸς ὀχηθῆναι, μηδενὶ ἄλλῳ ἀντιστηριζόμενος ἐς τὸ ὀπίσω ἂν πέσοι. ἡ γὰρ ῥοπὴ πολλὴ ἂν εἴη τῶν ἰσχίων ἐπὶ πολὺ ἐς [420] τοὐπίσω ὑπερεχόντων ὑπὲρ τοῦ ποδὸς τῆς βάσιος καὶ τῆς ῥάχιος ἐς τὰ ἰσχία ῥεπούσης. μόλις δὲ τῷ στήθει τοῦ ποδὸς καθικνέεται καὶ οὐδὲ οὕτως, ἢν μὴ κάμψῃ αὐτὸς ἑωυτὸν κατὰ τοὺς βουβῶνας καὶ τῷ ἑτέρῳ σκέλει κατὰ τὴν ἰγνύαν ἐπιξυγκάμψῃ. ἐπειδὴ τούτοισιν ἀναγκάζεται, ὥστε τῇ χειρὶ τῇ κατὰ τὸ σιναρὸν σκέλος ἐρείδεσθαι ἐς τὸ ἄνω τοῦ μηροῦ ἐφ' ἑκάστῃ ξυμβάσει. ἀναγκάζει οὖν τι τοῦτο αὐτό, ὥστε κάμπτεσθαι κατὰ τοὺς βουβῶνας. ἐν γὰρ τῇ μεταλλαγῇ τῶν σκελέων ἐν τῇ ὁδοιπορίῃ οὐ δύναται τὸ σῶμα ὀχέεσθαι ἐπὶ τοῦ σιναροῦ σκέλεος, εἰ μὴ προσκατερείδεται τὸ σιναρὸν πρὸς τὴν γῆν ὑπὸ τῆς χειρὸς, ἅτε οὐχ ὑφεσιῶτος τοῦ ἄρθρου ὑπὸ τῷ σώματι, ἀλλ' ἐς τὸ ὄπισθεν ἐξεστεῶτος κατὰ τὸ ἰσχίον. ἄνευ μέντοι τοῦ ξύλου δύνανται ὁδοιπορέειν οἱ τοιοῦτοι, ἢν ἄλλως ἐθισθῶσι, διὰ τοῦτο ὅτι ἡ βάσις τοῦ ποδὸς κατὰ

ſunt crus multo brevius redditur et multum calx abeſt ut terram contingat: nam ſi vel paullum tentet eo pede ſuſtineri, nulli alteri rei innixus cadet utique in partem poſteriorem. Coxae enim quum magis in poſteriorem partem quam pedum baſis excedant, in eam plurimum inclinabunt et ſpina item in coxas vixque ima planta conſiſtet. Neque hoc accidet, niſi ad inguina ſe curvet et alterius cruris poplitem flectat, quandoquidem neceſſe eſt ut manus quae a parte affecti cruris eſt in quolibet paſſu ſuper femore haereat. Quae res cogit ipſum flecti aliquid ad inguina: nam quum in ingreſſu crura permutentur, nequit corpus affecto crure ſuſtineri, niſi id crus manu deorſum ad terram compellatur, quoniam articulus corpori non ſubjicitur, ſed in poſteriorem partem ad coxam prominet. Ambulare tamen offenſus ſine baculo poteſt, ſi alioquin adſueverit, propterea

Ed. Chart. XII. [420.] Ed. Baſ. V. (637.)

τὴν ἀρχαίην ἰθυωρίην ἐστὶν, ἀλλ' οὐκ εἰς τὸ ἔξω ἐγκεκλιμένη, διὰ τοῦτο οὖν οὐδὲν δέονται τῆς ἀντικοντώσιος. ὅσοι μέντοι βούλονται ἀντὶ τῆς τοῦ μηροῦ ἐπιλαβῆς ὑπὸ τὴν μασχάλην τῶν κατὰ τὸ σιναρὸν σκέλος ὑποτιθέμενοι σκίπωνα ἀντερείδειν, κεῖνοι, ἢν μὲν μακρότερον τὸν σκίπωνα ὑποτιθέοιντο, ὀρθότεροι μὲν ὁδοιπορήσουσι, τῷ δὲ ποδὶ πρὸς τὴν γῆν οὐκ ἐρείδονται. εἰ δ' αὖ βούλονται ἐρείδεσθαι τῷ ποδὶ, βραχύτερον μὲν τὸ ξύλον ποιητέον, κατὰ δὲ τοὺς βουβῶνας ἐπιξυγκάμπτεσθαι ἂν δέοι αὐτούς. τῶν δὲ σαρκῶν αἱ μινυθήσιες κατὰ λόγον γίνονται καὶ τούτοισιν, ὥσπερ καὶ πρόσθεν εἴρηται, τοῖσι μὲν γὰρ μετέωρον ἔχουσι τὸ σκέλος οὐκ ὠφελέεται, ἀλλὰ μᾶλλον καὶ ἀσχημονέστερον γίνεται, ἢν χρέωνται τῷ σιναρῷ σκέλει ἐπὶ τὴν γῆν. συνυπουργέον γὰρ ἐκείνῳ ἐξίσχιόν τε ἐπαναγκάζεται εἶναι καὶ κατὰ τὴν ἰγνύην ξυγκάμπτειν, ἢν δὲ μὴ προσχρέηται τῷ σιναρῷ ἐπὶ τὴν γῆν, ἀλλὰ μετέωρον ἔχων σκίπωνι ἀντερείδηται, οὕτω δὲ καριερὸν γένηται τὸ ὑγιὲς σκέλος· ἔν τε γὰρ τῇ φύσει διαιτᾶται καὶ

quod baſis pedis e regione priſtina ſpectat, neque in exteriorem partem convertitur. Idcirco igitur nihil egent baculo quod renitatur, quicunque velint femur non amplius comprehendere, ſed invicem baculo inniti, quod alae ab affecto latere ſubjiciatur; quod ſi longius baculum admoveant, magis erecti ambulant, pes tamen terrae non innititur; ſi inniti velint, brevius admoveant, cogentur autem ad inguina curvari. Emacreſcit etiam iis caro pro ratione, quemadmodum antea diximus: nam quibus ſuſpenditur crus minimeque laborat, maxime extenuatur; ſed quum in ingreſſu uſui admodum eſt, minime gracile fit; integrum tamen crus non juvatur, ſed potius deformius redditur, ſi vitiato utantur terrae innixi; nam dum ſanum vitiato ſubſervit coxam et poplitem curvari neceſſe eſt; quodſi vitiatum crus terram non contingat, ſed ſuſpenſum ſit et homo baculo innitatur, hoc pacto integrum robuſtius reddetur, quum naturaliter habeat et exercitatione magis firmetur. At

Ed. Chart. XII. [420.] Ed. Baf. V. (637. 638.)

τὰ γυμνάσια προσκρατύνει αὐτό. φαίη μὲν οὖν ἄν τις ἔξω ἰατρικῆς τὰ τοιαῦτα εἶναι· τί γὰρ δῆθεν δεῖ περὶ τῶν ἤδη ἀνηκέστων γεγονότων ἔτι προσξυνιέναι; πολλοῦ δὲ δεῖ οὕτως ἔχειν, τῆς γὰρ αὐτῆς γνώμης καὶ ταῦτα ξυνιέναι. οὐ γὰρ οἷόν τε ἀπαλλοτριωθῆναι ἀπ' ἀλλήλων. δεῖ μὲν γὰρ τὰ ἀκεστὰ μηχανάεσθαι, ὅκως μὴ ἀνήκεστά ἐστι, ξυνιέντα ὅπῃ ἂν μάλιστα κωλυτέα εἰς τὸ ἀνήκεστον ἐλθεῖν· δεῖ δὲ καὶ τὰ ἀνήκεστα ξυνιέναι, ὡς μὴ μάλιστα λυμαίνηται. τὰ δὲ προῤῥήματα λαμπρὰ καὶ ἀγωνιστικὰ ἀπὸ τοῦ διαγινώσκειν, ὅπῃ ἕκαστον καὶ οἵως καὶ ὁπότε τελευτήσει, ἤν τε εἰς τὸ ἀκεστὸν τράπηται, ἤν τε εἰς τὸ ἀνήκεστον. ὁκόσοισι δ' ἂν ἐκ γενεῆς ἢ ἄλλως ἐν αὐξήσει (638) ἐοῦσιν οὕτως ὀλισθῇ τὸ ἄρθρον ὀπίσω καὶ μὴ ἐμπέσῃ, ἤν τε βίῃ ὀλισθῇ ἤν τε ὑπὸ νόσου. πολλὰ γὰρ τοιαῦτα ἐξαρθρήματα γίνεται ἐν νούσοισιν, οἷαι δέ τινές εἰσιν αἱ νοῦσοι ἐν ἧσιν ἐξαρθρέεται τὰ τοιαῦτα ὕστερον γεγράψεται· ἢν γοῦν ἐκστὰν μὴ ἐμπέσοι, τοῦ μὲν

dicet quis haec praeter medicinam esse: nam quid ultra scire nobis convenit de iis quae curationem non admittant? Convenit tamen summopere, intelligenda enim haec sunt ab eodem professore, quum tanquam aliena sejungi nequeant: siquidem tractare debemus quae curationem recipiunt, ne insanabilia evadant, intelligentes qua potissimum ratione occurramus quominus insanabilia efficiantur; illa vero in quibus medicinae locus non est dignoscenda sunt, ne maxime noxia reddantur. Praeclara autem et ardua praedictio in eo consistit ut intelligamus, quo, qualiter et quando singula terminentur, ac sive in ea mala vertantur in quibus remedio futurus locus sit, sive evadere in insanabilia debeant. Cetera quibus vel a primo natali die vel alioquin dum increscunt articulus similiter in posteriorem partem excidit, neque reconditus fuit, seu vi seu morbo exciderit, multis propter morbos sic articuli luxantur, cujusmodi tamen sint hi morbi posthac judicabimus; si prolapsus,

Ed. Chart. XII. [420. 421.] Ed. Baf. V. (638.)

μηροῦ τὸ ὀστέον βραχὺ γίνεται, κακοῦται δὲ πᾶν τὸ σκέλος καὶ ἀνανξέστερον γίνεται καὶ ἀσαρκότερον πολλῷ διὰ τὸ μηδὲν προσχρέεσθαι αὐτῷ.

Εἴρηται καὶ πρόσθεν ὅτι τῇ φωνῇ χρῆται ὁ Ἱπποκράτης, ὅταν αὐξῆσαί ποτε βουληθῇ τὸ λεγόμενον. ἔστι γὰρ ὁ λόγος τοιόσδε· κατὰ βουβῶνα δοκεῖ τι ἡ σὰρξ λαπαρωτέρα θεωμένοις καὶ πολὺ μᾶλλον, εἰ ψαύσειέ τις τοῦ χωρίου. τὰ δ' ἐφεξῆς πάντα τοῖς μεμνημένοις τῶν ἔμπροσθεν εἰρημένων ἐστὶ δῆλα.

ρδ'.

[421] Κακοῦται γὰρ τούτοισι καὶ τὸ κατὰ τὴν ἰγνύην ἄρθρον· τὰ γὰρ νεῦρα ἐντεταμένα γίνεται διὰ τὰ πρόσθεν εἰρημένα, διὸ οὐ δύνανται τὸ κατὰ τὴν ἰγνύην ἄρθρον ἐκτανύειν, οἷσιν ἂν οὕτως ἰσχίον ἐκπέσῃ. ὡς γὰρ ἐν κεφαλαίῳ εἶπε, πάντα τὰ ἐν τῷ σώματι, ὁκόσα ἐπὶ χρήσει γέγονε, χρεομένοισι μὲν μέτρια καὶ γυμναζομένοι-

inquam, reverſus non eſt, femoris os breve efficitur; vitiatur item crus univerſum minusque increſcit et gracilius redditur, quum nulli uſui ſit.

Praeſertim *ποτὲ* dixit, quam vocem in ſuperioribus etiam retuli ab Hippocrate uſurpari, ubi intendere velit quod proponitur. Eſt autem oratio talis: in inguine caro mollior ſentitur, ſi adſpiciatur et multo magis ſi locus tangatur. Quae ſequuntur omnia patent iis qui in memoria habeant quae ante poſita ſunt.

CIV.

Vitiatur enim his et articulus qui ad poplitem eſt, quoniam nervi ob propoſitas cauſas intendunt. Quare quibus ſic coxa exciderit, extendere poplitem non poſſunt: nam ut ſummatim dicam quaecunque in corpore ad aliquem uſum fabricata ſunt, ſi quis moderate utatur exerceatque in eo laboris genere cui ſingula adſueverint,

Ed. Chart. XII. [421.] Ed. Baſ. V. (638.)

σιν ἐν τῇσι ταλαιπωρίῃσιν ἐν ἥσιν ἕκασται εἰθισται, οὕτω μὲν ὑγιεινὰ καὶ αὔξημα καὶ εὔγηρα γίνεται, μὴ χρεομένοισι δὲ, ἀλλ' ἐλινύουσι νοσηρότερα γίνεται καὶ ἀναυξέα καὶ ταχύγηρα. ἐν δὲ τούτοισιν οὐχ ἥκιστα τὰ ἄρθρα τοῦτο πέπονθε καὶ τὰ νεῦρα, ἢν μή τις αὐτοῖσι χρέηται. κακοῦται οὖν διὰ ταύτας τὰς προφάσιας μᾶλλόν τι ἐν τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος ἢ ἐν τοῖσιν ἄλλοισιν. ὅλον γὰρ τὸ σκέλος ἀναυξὲς γίνεται καὶ τῇ ἀπὸ τῶν ὀστέων φύσει καὶ τῇ ἀπὸ τῶν σαρκῶν. οἱ οὖν τοιοῦτοι ὁκόταν ἀνδρωθῶσι, μετέωρον καὶ συγκεκλιμένον τὸ σκέλος ἴσχουσιν, ἐπὶ δὲ τοῦ ἑτέρου ὀχέονται καὶ τῷ ξύλῳ ἀντιστηριζόμενοι οἱ μὲν ἑνὶ, οἱ δὲ δυσί.

Δῆλον ὅτι μὲν ἰσχίον εἴρηκεν ἐκπίπτειν ἀντὶ τοῦ κατ' ἰσχίον ἄρθρου. εἴρηται γὰρ ἡμῖν πολλάκις, ὡς οἱ παλαιοὶ πάντες, οὔπω τὴν ὕστερον ἀσκηθεῖσαν εἶδεσαν ἀκριβολογίαν τε καὶ λεπτολογίαν ἐν τοῖς ὀνόμασιν, ἀλλ' ἱκανὸν ἦν αὐτοῖς ἑρμηνεύειν, ἑνὸς μόνου στοχαζομένοις τὸ παρακολουθεῖν τοῖς

eo pacto bene valent, augentur et ad longam ſenectutem perducuntur; ſi in uſu non ſint, ſed otioſa degant, morbis patent, non augentur et mature ſeneſcunt: id praecipue accidit nervis atque articulis, niſi quis illis utatur. His igitur de cauſis vitiantur magis, quum hoc modo articulus luxatur, quam cum aliis: totum enim crus incremento prohibetur et quod ad carnem et quod ad oſſa pertinet. Hujusmodi ergo homines quum aetate jam robuſta ſunt, ſuſpenſum curvatumque crus tenent, ſed altero feruntur baculo innixi uno vel etiam altero.

Evidentiſſimum eſt, Hippocratem dixiſſe coxam excidere pro coxae articulo; ſaepe enim narravimus majores noſtros nondum tenuiſſe exquiſitam tenuemque nominum rationem, in qua poſteriores exercentur; ſed ſat exiſtimaſſe in iis quae explicabant eo tantum incumbere, ut

Ed. Chart. XII. [421.] Ed. Baſ. V. (638.)

λεγομένοις τοὺς ἀκούοντας. ὃ δ' οὖν λέγει τοιόνδε ἐστὶν, οἷς ἂν εἰς τὴν ὀπίσω χώραν ὁ μηρὸς ἐκπέσῃ κακοῦσθαί φησιν οὐ μόνον ἐκεῖνο τὸ ἐκπεσὸν ἄρθρον, ἀλλὰ πρὸς αὐτῷ καὶ τὸ κατὰ τὴν ἰγνύην. διὰ τοῦτο οὖν προσέθηκε τὸν καί σύνδεσμον οὐχ ἁπλῶς εἰπών· κακοῦται γὰρ τὸ κατὰ τὴν ἰγνύην ἄρθρον. ἥντινα δὲ κάκωσιν κακοῦται σαφῶς αὐτὸς ἐδήλωσεν εἰπών, τὰ γὰρ νεῦρα ἐντεταμένα γίνεται, νεῦρα δ' εἴτε κυρίως τὰ λεγόμενα τὰ ἐκ νωτιαίου πεφυκότα νῦν ἐβουλήθη δηλοῦν, εἴτε τὰς ἀπονευρώσεις τῶν μυῶν ὅσαι καθήκουσιν εἰς τὴν κνήμην, οὐδὲν εἰς τὰ παρόντα διαφέρει. μαρτύρια γὰρ ἡμῖν ἑκάτερα καλῶς ἐξηγουμένοις τὰ εἰρημένα κατὰ τὸν ἔμπροσθεν ὑπ' αὐτοῦ λόγον, ἐν οἷς ἔφασκε κατὰ τὴν ἰγνύαν ἄρθρον ἀδυναιεῖν ἐκτείνειν, οἷς οὕτως ἐξήρθρησε μηρὸς, ἔτι τε κοινόν τινα προσετίθει λόγον, ὡς πολλαὶ βλάβαι περί τινα μόρια γίνονται καὶ σχημάτων καὶ μεγεθῶν καὶ θέσεων καὶ κινήσεων, οὐδὲν αὐτῶν ἐκείνων τῶν μυρίων ἴδιον πάθος πεπονθότων, ἀλλὰ δι' ἕτερά τινα τῶν κοινωνούντων αὐτοῖς· καὶ μάλιστά γε τὰς τάσεις αἰτίαν

quae dicerent ab auditore intelligerentur. Quod inquit igitur hujusmodi eſt: quibus femur in poſteriorem partem prorupit, vitiatur non ſolum articulus luxatus, ſed et qui ad poplitem eſt; propterea et conjunctionem adjunxit neque ſimpliciter dixit, vitiatur articulus qui ad poplitem eſt. Quo autem vitio occupetur ipſe aperte expoſuit, quum ait: nervi intenduntur. Sed nervosne intellexerit eos qui proprie nervi ſunt quique a ſpinae medulla oriuntur vel in quas muſculi degenerant chordas quae ad crus pertinent, in hoc loco nihil intereſt, quum utraque fidem facere poſſint recte a nobis expoſita fuiſſe quae ab Hippocrate dicta ſunt, ubi aſſerit non poſſe poplitem extendi, quibus hoc modo femur promovetur. Quandam praeterea communem rationem adjecit, nempe partes aliquas varie laedi, quod ad habitum pertinet, magnitudinem, poſitionem ac motum, quamvis ipſae nullo proprio morbo laedantur, ſed a quibusdam aliis efficiantur quibuscum conſortium habent. Intenſionem vero in hujus-

Ed. Chart. XII. [421. 422.] Ed. Baſ. V. (638.)

εἶναί φησι τῶν τοιούτων συμπαθειῶν, ὑπὲρ ὧν ἐδήλουν διελθών, ὡς τριχῶς αἴτια γίνεται. καθ' ἕνα μὲν λόγον ὅταν παραλυθῇ τις μῦς, οὐ γὰρ ὑγιής τις συνεσπασμένος φαίνεται, καθ' ἕτερον δ' ὅταν ὁ ἀντικείμενος ταθῇ, κατ' ἄλλον δὲ τρίτον ὅτε ἑλχθῇ τὸ ὑγιὲς ὑπό τινος τῶν συνεχῶν, ὡς ἐπὶ τῶν τῆς ἑτέρας μεταστάσεως. νῦν οὖν τῶν ὄπισθεν νεύρων καὶ μυῶν καὶ τενόντων τεταμένων ἐγνύα καμφθεῖσα τοῖς ἐκτείνουσιν οὐχ ἕπεται μυσί. περὶ μὲν οὖν τῶν τενόντων τε καὶ μυῶν τῆς τάσεως ἔμπροσθεν εἰπών· ἐν δὲ τῷδε τῷ λόγῳ περὶ τῶν νεύρων τῶν ἀπὸ τοῦ νωτιαίου πεφυκότων ἐπὶ τὰ σκέλη. τρεῖς δέ εἰσιν αὐτῶν ἀρχαί· μία μὲν ἐν τοῖς πρόσω κατὰ τὸ μέγα τρῆμα τοῦ τῆς [422] ἤβης ὀστοῦ. μία δ' ἄλλη κατὰ βουβῶνα τοῦ τε συμφερομένου τῇ μεγάλῃ φλεβὶ νεύρου καὶ τοῦ ταύτης ἔξωθεν ἐν τοῖς πρόσω τοῦ μηροῦ. μικραὶ μὲν αὗται, μεγίστη δ' ἀρχὴ νεύρων εἰς ὅλον ἀφικνεῖται τὸ σκέλος ἐπὶ τὴν ὀπίσω χώραν πρῶτον ἐξερχομένη μεταξὺ τοῦ τε πλατέος ὀστοῦ καὶ τοῦ καλουμένου κόκκυγος. αὕτη τοίνυν ἡ ἀρχὴ μεταστάντος

modi affectibus praecipue cauſatur, quam perſequutus tribus modis indicat: uno quum muſculus aliquis reſolvitur, tunc enim qui integer eſt contrahi videtur; altero quum oppoſitus tenditur; tertio ubi quod integrum eſt trahitur ab aliquo eorum cum quibus conjungitur, ſicut accidit quum uterus movetur. Nunc ergo quum poſteriores nervi, muſculi et chordae tendantur curvatus poples extendentibus muſculis non patet. Ceterum de chordarum muſculorumque extenſione antea dictum eſt; nunc de nervis qui a medulla ſpinae orti ad crura intendunt, quorum initia tria ſunt, unum a priori parte juxta magnum foramen oſſis, quod pubi ſubjectum eſt; alterum ad inguina ubi nervus fertur et cum magna vena et absque ipſa a priori parte femoris. Atque haec parva ſunt; maximum autem nervorum initium a poſteriori parte fertur ad univerſum crus, primumque procedit ab ea regione quae eſt inter os latum et id quod ad anum terminatur, κόκκυξ Graece dicitur. Hoc igitur initium, ubi articulus in po-

Ed. Chart. XII. [422.] Ed. Baf. V. (638.)

ὀπίσω τοῦ ἄρθρου θλίβεται καὶ τείνεται· καὶ διὰ τοῦτ' ἔφην ἐν τῇ προκειμένῃ ῥήσει δύνασθαι τὸν Ἱπποκράτην καὶ τὰ κυρίως καλούμενα νεῦρα τείνεσθαι λέγειν.

ρε'.

Οἷσι δ' ἂν ἐς τοὔμπροσθεν ἡ κεφαλὴ μηροῦ ἐκπέσῃ, ὀλίγοισι δὲ τοῦτο γίνεται, οὗτοι ἐκτανύειν μὲν τὸ σκέλος δύνανται τελείως, ξυγκάμπτειν δὲ ἥκιστα οὗτοι δύνανται τὰ κατὰ τὸν βουβῶνα. ποιέουσι δὲ καὶ ἢν κατὰ τὴν ἰγνύην ἀναγκάζωνται ξυγκάμπτειν, μῆκος δὲ τοῦ σκέλεος παραπλήσιον φαίνεται κατὰ μὲν τὴν πτέρνην καὶ πάνυ.

Ὅτι μὲν τὸ βάθος τῆς κοτύλης οὐκ ἴσον ἐν ἅπασι τοῖς μέρεσιν αἴτιον μέν ἐστι τοῦ κατά τινα μὲν ὀλιστάκις ἐκπίπτειν, ἐν ἄλλοις δὲ τόποις πλειστάκις ἔμπροσθεν εἴρηται. νυνὶ δὲ περὶ τῆς εἰς τὸ πρόσω γιγνομένης ὀλισθήσεως τοῦ μηροῦ διαλεγόμενος ἐναντία φησὶ πάσχειν τοὺς οὕτω διακειμένους τοῖς ὀπίσω τὴν ἐξάρθρησιν ἐσχηκόσιν. ἐκεῖνοι μὲν

---

fteriorem partem elabatur premitur tenditurque; atque idcirco diximus Hippocratem hoc loco intelligere eos tendi qui proprie nervi vocantur.

CV.

At quum femoris caput in priorem partem erumpit, quod quidem raro accidit, perfecte extendi crus poteſt, ſed ad inguen minime curvari: laborat enim homo, etiam ſi flectere poplitem cogatur; ad calcem vero et in univerſum crus aeque longum conſpicitur.

Propter cavum quod non aeque undique altum eſt, articulum in aliam partem raro, in aliam frequenter luxari, antea ſaepenumero demonſtravit. Nunc autem de femore differens in priorem elapſo contrario modo afficit eos, quibus in hanc luxatur atque eos quibus in poſteriorem: illi enim extendere crus non poterant, hi quum

Ed. Chart. XII. [422.] Ed. Baſ. V. (638. 639.)

γὰρ ἐκτανύειν τὸ σκέλος οὐκ ἠδύνατο, κάμπτειν δ' οὗτοι κατὰ μὲν τὸν βουβῶνα. διότι καὶ αὐτὴν τὴν καμπτὴν ἡ κεφαλὴ τοῦ μηροῦ νῦν ἐστιν ἅμα τῷ αὐχένι, κατὰ δὲ τὸ γόνυ διὰ τὸν ἀπὸ τοῦ τῆς λαγόνος ὀστοῦ καταφερόμενον μῦν πρόσθιον, ὃν ἡ κεφαλὴ τοῦ μηροῦ θλίβεται καὶ διατείνεται κυρτοῦσα περὶ αὐτήν. ἐκτείνεσθαι τοιγαροῖν ἐπὶ πλεῖον οὐκ ἄρα δυναμένη ἀντιβαίνει τοῖς κάμπτειν ἐπιχειροῦσι τὴν ἰγνύαν. μῆκος δὲ σκέλεος παρα- (639) πλησίως φαίνεται ἐπὶ μὲν τῆς εἰς τὴν ἔσω χώραν ἐκπτώσεως αὐτὸς εἶπε κατὰ λέξιν οὕτως· ἐπί τε γὰρ τὸ ἀπὸ τοῦ ἰσχίου πέφυκεν ὀστοῦν τὸ ἀναφερόμενον πρὸς τὸν κτένα, ἐπὶ τοῦτον ἡ ἐπίβασις τῆς κεφαλῆς τοῦ μηροῦ γίνεται καὶ ὁ αὐχὴν τοῦ ἄρθρου ἐπὶ τῆς κοιλης ὀχέεται κατὰ τὸν ἔμπροσθεν χρόνον οὐχ ὅλως ἐπ' αὐτῆς ὀχούμενος, ἀλλὰ τῷ πλείστῳ κατὰ τοῦ βάθους αὐτῆς ὀχούμενος. ἐν δὲ τῷ νῦν λόγῳ φησί· κατὰ μὲν τὸν βουβῶνα ἐξογκέονται καὶ κατατεταμένον τὸ χωρίον φαίνεται, ὥστε ἀποκεχώρηκε νῦν ἐκείνης τῆς ἐξαρθρήσεως ὁ μηρὸς εἴς τε τὸ πρόσω καὶ τὸ κατωτέρω βραχὺ καὶ διὰ τοῦτ' ἴσον φαίνεται τὸ πεπονθὸς σκέλος τῷ ὑγιεῖ καὶ τοῦτο μάλιστα αὐτοῖς ὑπάρχει κατὰ τὴν πτέρναν.

in ipſo flexu nunc ſit femoris caput ac cervix, curvare ad inguen non poſſunt nec ad poplitem propter muſculum priorem qui oritur ab oſſe quod ad ilia pertinet. Ille enim comprimitur tenſusque attollitur a femoris capite, quumque extendi amplius non poſſit, renititur ſi quis flectere poplitem conetur; apparet autem cruris longitudo conſimilis. In ſuperioribus autem de femore luxato in partem interiorem ſic ad verbum ſcripſit: os enim quod a coxa ſurſum procedit ad pectinem femoris capiti inhaeret, cervixque articuli cavo ſuſtinetur, a quo prius non ſuſtinebatur ex toto, ſed magna ex parte in ejus cavi altioribus partibus inſidebat; in caſu autem quem nunc ponit in inguine prominet, atque is locus intenſus appareret quum femur nunc a ſuo cavo recedens in priorem partem et paullo inferius venerit. Quo fit ut vitiatum crus ſani longitudinem aequet, id quod praeſertim ipſis

Ed. Chart. XII. [422. 423.] Ed. Baf. V. (639.)

ἄρκος γὰρ ὁ ποὺς ἧσσον ἐπινεύειν δύναται πρὸς τὴν γῆν. εἴρηται δ' ἡμῖν τούτου πρόσθεν ἡ αἰτία καὶ νῦν δ' ἐφεξῆς εἰρήσεται διὰ κεφαλαίων.

ροστ'.

[423] Ἄκρος δὲ ὁ ποὺς ἧσσόν τι προκύπτειν ἐθέλει ἐς τοὔμπροσθεν. ὅλον δὲ τὸ σκέλος ἔχει τὴν ἰθυωρίην κατὰ τὴν φύσιν καὶ οὔτε τῇ οὔτε τῇ ῥέπει.

Τὸ μὲν ἐθέλειν αὐτὸ σημαίνει τὸ δύνασθαι, καθάπερ που καὶ παρὰ τῷ ποιητῇ·

οὐδ' ἔθελε προρέειν.

ἐπὶ τῷ μὴ δύνασθαι λέλεκται· ποδὸς δὲ ἄκρον εἴρηκε τὸ ἀπὸ τοῦ πεδίου μέχρι τοῦ κατὰ τοὺς δακτύλους ὀνύχων τε μέρος τοῦ ποδός· συμβαίνει δ', ὡς καὶ πρόσθεν ἐῤῥέθη, μὴ δύνασθαι καλῶς εἰς τοὐπίσω τὸ κατὰ τὸν ἀστράγαλον ἄρθρον ἐκτεταμένης τῆς ἰγνύος. ταῦτ' οὖν καὶ νῦν ἑρμηνεῦ-

accidit ad calcem: extremum enim crus minus demitti in terram poteſt, cujus rei cauſa in ſuperioribus explicata, nunc rurſus ſummatim etiam enarrabitur.

CVI.

Sed pes extremus ſpectare minus poteſt in partem anteriorem, crus vero totum rectam poſitionem naturaliter ſervat nec in hanc aut illam partem inclinatur.

Poteſt dixit ἐθέλει, ubi verbum ἐθέλειν, id eſt *velle* pro *poſſe* uſurpavit, quemadmodum etiam Homerus quum ait:

οὐδ' ἔθελε προρέειν.

Ubi ponit οὐδ' ἔθελε, id eſt *noluit* pro *non potuit*. Extremum pedem appellavit eam partem pedis quae a planta ad digitos eſt et ungues. Accidit enim, quemadmodum ſupra oſtenſum eſt, ut extento poplite non bene articulus tali in priorem partem inclinetur. Haec itaque nunc ex-

Ed. Chart. XII. [423.] Ed. Baſ. V. (639.)

σαι θέλων εἶπεν· ἄκρος δὲ ὁ ποὺς ἧσσόν τι προκύπτειν ἐθέλει εἰς τοὔμπροσθεν, ἐνδεικνύμενος ὕτι τοὺς δακτύλους, οἵπερ ἦσαν ἄκρος ποὺς οὐχ οἷόν τε εὐκόλως κατατείνειν τε καὶ κατανεύειν καὶ καταφέρειν εἰς τοὔδαφος.

ρξ'.

Ὀδυνῶνται δὲ αὐτίκα οὗτοι μάλιστα καὶ οὖρον ἴσχειαι τὸ πρῶτον μᾶλλόν τι ἢ τοῖσιν ἄλλοισιν ἐξαρθρήμασιν.

Αὐτὸς εἶπε τὴν αἰτίαν δι' ἣν ταῦτα γίνεται.

ρη'.

Ἐγκέται γὰρ ἡ κεφαλὴ τοῦ μηροῦ ἐγγυτάτω τούτοισι τῶν πόνων τῶν ἐπικαίρων καὶ κατὰ μὲν τὸν βουβῶνα ἐξογκίονται καὶ κατατεταμένον τὸ χωρίον φαίνεται, κατὰ δὲ τὸ πυγαῖον σιολιδωδέστερον καὶ ἀσαρκότατον. ταῦτα μὲν οὖν σημήϊά ἐστι τὰ εἰρημένα, ὧν ἂν οὕτως ἐκπεπτώκῃ ὁ μηρός.

ponere volens ait: ſed pes extremus minus ſpectare vult in partem anteriorem indicans digitos quibus continetur extremus pes non facile extendi poſſe aut deorſum converti et terram contingere.

CVII.

Fere autem his dolor protinus accedit et urina ſupprimitur, magisque quam ſi articulus in aliam partem luxetur.

Quamobrem haec ſequantur ipſe cauſam adjungit.

CVIII.

Venit enim femoris caput maxime prope nervos magnam vim habentes et in inguine prominet, atque is locus extentus apparet, in clunibus rugae conſpiciuntur et ſumma gracilitas. Quas quidem diximus, notae ſunt femoris in priorem partem prolapſi.

Ed. Chart. XII. [423. 424.] Ed. Baf. V. (639.)

Ὠνόμασε δ' οὕτω τὰ συγκαταφερόμενα διὰ τοῦ βουβῶνος νεῦρα τῇ τ' ἀρτηρίᾳ καὶ τῇ φλεβί. κέκληκε δὲ ἐπίκαιρα ταῦτα τὰ νεῦρα, καθότι καὶ πρόσθεν ἐμάθομεν, ὅσοι μεγάλην οὕτως ἔχει δύναμιν αὐτὸν ὀνομάζειν. ἔχει δὲ ταῦτα μεγάλην δύναμιν ἐγγυτάτω τοῦ τε νωτιαίου κείμενα καὶ κατ' ἐκεῖνα τὰ μέρη τὴν ἔκφυσιν αὐτῶν λαμβάνοντα, καθ' ἃ καὶ εἰς τὴν κύστιν ἀποφύεται νεῦρα, διὸ καὶ ἡ συμπάθεια τῆς κύστεως ἀκολουθεῖ τοῖς τοιούτοις ἐξαρθρήμασι φλεγμαινούσης τε καὶ ἀδυνατούσης ἐκκρίνειν τὸ οὖρον. ἴσως δ' ἄν ποτε καὶ διὰ μέγεθος φλεγμονῆς ἐν τῷ τραχήλῳ τῆς κύστεως γενόμενον, ἔνθα καὶ ὁ μῦς ἐστιν ὁ σφίγγων αὐτὸν ἐπισχεθῇ τὰ οὖρα τὴν κατὰ τὸν πόρον χώραν τῶν φλεγμαινόντων μορίων καταλαμβανόντων τε καὶ ἀποφραττόντων.

ρθ'.

[424] Ὁκόσοισι μὲν οὖν ἂν ἤδη ἠνδρωμένοισι τοῦτο τὸ ἄρθρον ἐκπεσὸν μὴ ἐμπέσῃ, οὗτοι ὁκόταν αὐτοῖσιν ἡ ὀδύνη παύσηται καὶ τὸ ἄρθρον ἐθισθείη ἐν τῷ χωρίῳ

Nervos appellavit τόνους eos intelligens qui cum vena et arteria per inguen feruntur, magnam vim habentes vocavit ἐπικαιροτάτους, ſicut in ſuperioribus etiam didicimus. Habent autem hi magnam vim, quum medullae ſpinae proximi ſint atque inde oriantur, unde initium ſumunt nervi qui ad veſicam feruntur: quo fit ut femoris capite in hanc partem luxato veſica quoque afficiatur inflammeturque et reddere urinam nequeat. Fortaſſe etiam aliquando ob inflammationis magnitudinem qua veſicae cervix affligitur, ubi muſculus eſt qui eam adſtringit, urina ſupprimitur, eo quod inflammatis partibus excaecatum iter claudatur.

CIX.

Quibus vero aetate jam robuſta articulus in hanc partem elapſus minime reſtituitur, hi quum dolor ſinitur et articulus adſueſcit in eum locum converti in quem proci-

Ed. Chart. XII. [424.] Ed. Baſ. V. (639.)

τούτῳ στρωφᾶσθαι, ἵνα ἐξέπεσεν, οὗτοι δύνανται σχεδὸν εὐθὺς ὀρθοὶ ὁδοιπορέειν ἄνευ ξύλου καὶ πάνυ μέντοι εὐθέες, ἐπὶ δὲ τὸ σιαρὸν, ἅτε οὔτε κατὰ τὸν βουβῶνα εὐκαμπτοι ἐόντες οὔτε κατὰ τὴν ἰγνύην. διὰ γοῦν τοῦ βουβῶνος τὴν ἀκαμπίην εὐθυτέρῳ ὅλῳ τῷ σκέλει ἐν τῇ ὁδοιπορίῃ χρέονται ἢ ὅτε ὑγίαινον.

Τὸ μὲν αὐτίκα, τουτέστι παραχρῆμα, κατὰ τὸν τῆς ἐκπτώσεως καιρὸν ὀδυνᾶσθαί τε αὐτοὺς εἶπε καὶ οὔρων ἐπίσχεσιν γίγνεσθαι. τοῦ μέντοι χρόνου προϊόντος, ὅταν ταῦτα παύσηται, βαδίζειν δύνασθαι· διὰ τί δὲ ταῦτα πέπαυται, καίτοι κατὰ τὴν αὐτὴν χώραν μενούσης τῆς κεφαλῆς τοῦ μηροῦ καὶ θλιβούσης τε καὶ τεινούσης ὁμοίως τὰ νεῦρα διδάξει τε διὰ τοῦ προσθεῖναι τῇ λέξει τὸ ἐθισθείη ἐν τῷ χωρίῳ στροφᾶσθαι, ἵνα ἐξέπεσεν. εἰς γὰρ τὸν ἐθισμὸν ἀναφέρειν φαίνεται τοῦ γινομένου τὴν αἰτίαν, ἐπειδὴ τά τε θλιβόμενα πρός τινων ἐν τῷ χρόνῳ τυλουμένων ῥᾷον αὐτῶν ἀνέχεται καὶ τὰ τεινόμενα κατὰ τὸν αὐτὸν χρόνον, ὅταν ἐθισθῇ τοῦτο πάσχειν, ἀνιώμενα παύεται. διὰ τί δ' ὀρθοὶ

dit, recti protinus ingredi poſſunt ſine baculo ac recti ex toto, quum vitiatum crus neque ad inguen neque ad poplitem facile complicetur. Ergo quum ad inguen non flectatur, crure in ingreſſu magis recto utuntur, quam quum integrum erat.

Quo tempore articulus excidit, dolorem dixit protinus accedere et urinam ſupprimi; procedente vero tempore ubi haec ceſſant ingredi hominem poſſe; at qua de cauſa haec finiantur, quamquam femoris caput maneat comprimatque et ſimiliter nervos extendat, docuit quum orationi adjecit: et articulus aſſueſcit in eum locum converti in quem procidit. Videtur enim in ea re conſuetudinem cauſari, quoniam quae ab aliquo premuntur, quum tempore occalleſcant, id facilius ferunt et ea quae tune tendebantur, quum huic moleſtiae aſſueverint, dolore

Ed. Chart. XII. [424.] Ed. Baſ. V. (639.)

δύνανται βαδίζειν ἄνευ ξύλου κατὰ τὴν ἐχομένην ῥῆσιν αὐτὸς ἐδίδαξε· κεφάλαιον δ' ἐστὶ τοῦ λόγου τό τε κατὰ τὴν εὐθυωρίαν φυλάττεσθαι τὸ σκέλος καὶ τὸ μηδέτερον κάμπτεσθαι τῶν ἄρθρων, μήτε τὸ κατὰ βουβῶνα, μήτε τὸ κατὰ γόνυ.

ρί'.

Καὶ σύρουσι δὲ ἐνίοτε πρὸς τὴν γῆν τὸν πόδα, ἅτε οὐ ῥηϊδίως ξυγκάμπτοντες τὰ ἄνω ἄρθρα καὶ ἅτε πανὶ βαίνοντες τῷ ποδί. οὐδὲν γὰρ ἧσσον τῇ πτέρνῃ οὗτοι βαίνουσιν ἢ τῷ ἔμπροσθεν.

Τὰ ἄνω ἄρθρα λέγει τό τε κατ' ἰγνύαν καὶ τὸ κατὰ βουβῶνα. τέτταρα δ' ἐστὶν ἄρθρα τὰ πρὸς τὸ βαδίζειν ὑπηρετοῦντα, τὸ κατὰ βουβῶνα, τὸ κατ' ἰγνύαν, τὸ κατ' ἀστράγαλον, τὸ κατὰ τοὺς δακτύλους. ὡς ἓν γὰρ ἀριθμῷ τοῦτο, κἂν ᾖ πολλά, διὰ τὸ τῆς χρείας τε καὶ τῆς ἐνεργείας κοινόν. τοῦτο μὲν οὖν τὸ ἄρθρον ὀλίγον τι συντελεῖ, τὸ

ceſſant. Cur vero ſine baculo recti ingrediantur ipſe ſubjecit; caput autem orationis id eſt quod crus erectum ſervatur et neutra commiſſura, nec quae ad inguen nec quae ad poplitem eſt, flectitur.

CX.

Nonnunquam etiam pedem per terram trahunt qui ſuperiores commiſſuras non facile flectant, quamquam pede toto inambulant; namque hi minus calce quam priori parte pedis in ingreſſu nituntur.

Superiores commiſſuras nominat eam quae ad inguen eſt et eam quae ad poplitem; quatuor autem commiſſurae ingreſſui accommodantur, quae ad inguen eſt, quae ad poplitem, quae ad talum et quae ad digitos; poſtremam, quamvis multiplex ſit, ut unam tantum adnumero, quum uſum atque actionem communem praeſtet. Haec non ad-

Ed. Chart. XII. [424. 425.] Ed. Baſ. V. (639. 640.)

μέντοι κατὰ τῆς γῆς σιηριζόμενον διὰ τοῦ ποδὸς ἐκ τοῦ μάλιστα ἡμῖν ὑπάρχει βραχύ τι συντελούντων αὐτῶν κατὰ τοὺς δα- (640) κτύλους ἄρθρων. ἡ γε μὴν ὅλη τῶν σκελῶν ἐνέργεια κατά τε τὸ βαδίζειν καὶ πολὺ μᾶλλον κατὰ τὸ θεῖν ἐκ τῆς κατὰ τὸν βουβῶνα καὶ τὸ γόνυ διαρθρώσεως τείνεται. καμπτομένων γὰρ αὐτῶν ὑψηλὸν ἀπὸ τῆς γῆς τὸ κῶλον εὐμαρῶς καταφέρεται. νῦν οὖν εἰκότως οὐδετέρου καμπτομένου σύρειν αὐτοὺς ἐπὶ τῆς γῆς ἔφη τὸν πόδα. τὸ δ' ἐνίοτε προσέθηκε διά τε τὴν ἐν τοῖς ἐδάφεσι διαφορὰν καὶ τὸ ποσὸν τῆς βλάβης. οἱ μὲν γὰρ ἐν ὁμαλῷ τε καὶ κατάντει χωρίῳ βαδίζοντες· εἰ βραχὺ γοῦν κάμπτοιεν ἐν τοῖς ὑψηλοῖς ἄρθροις τὸ σκέλος, οὐδ' ὅλως σύρουσι τὸν πόδα, οἱ δ' ἀνωμάλῳ τε [425] καὶ ἀνάντει κάμπτειν ἱκανοὶ τοσοῦτον ἀποδίουσι τοῦ μὴ σύρειν, ὥστε καὶ προσκόπτουσι τοῖς ἐξέχουσι κατὰ τοὔδαφος καὶ ἅτε παντὶ βαίνοντες τῷ ποδὶ, ὅλῳ τῷ ποδὶ βαίνουσιν, οἱ καὶ τῇ πτέρνῃ καὶ τῷ πεδίῳ καὶ τοῖς ἄκροις δακτύλοις σιηριζόμενοι κατὰ τῆς γῆς. οὐ γὰρ πρὸ τούτων οἷς ὀπίσω μετέστη τὸ ἄρθρον,

modum confert, dum per aequale ſolum ingredimur; ea vero quae ad talum, ad progrediendum atque ad crura transferenda nihil proficit, maxime tamen efficit ut pes humi haereat, ad quam rem parum faciunt digitorum commiſſurae. Univerſa autem cruris actio dum ingredimur et multo magis dum currimus, a commiſſura quae ad inguen eſt et ab ea quae ad poplitem proficiſcitur: his enim curvatis crus a terra attollitur ac facile transfertur. At nunc quum neutra flectatur, jure per terram trahi pedem ait. Adjecit nonnunquam propter ſoli differentiam et vim; illi enim qui per aequalia et declivia loca ingrediuntur, ſi vel parum quid crus ad ſuperiores commiſſuras inflectant, pedem haud trahunt, ſed qui per inaequalia ambulant et acclivia, minimeque eas curvant, tantum ab eo abſunt ut pedem non trahant, ut etiam offendant in ea quae in ſolo eminent. Quique pede toto inambulent, inambulant pede toto; qui calce, planta et extremis digitis terram contingunt. Illi enim quibus in

Ed. Chart. XII. [425.] Ed. Baſ. V. (640.)

ὡς ἂν μικρότερον ἔχοντες τὸ σκέλος οὐκ ἐχρῶντο τῇ πτέρνῃ βαδίζοντες, ἀλλ' ἤρκει μόνον αὐτοῖς εἰς τοῦτο τοῦ ποδὸς τὸ στῆθος, ὅπερ ἔφην ὑπὸ τῶν ἀνατομικῶν ὀνομάζεσθαι πεδίον. ἀλλ' οἷς γε εἰς τὸ πρόσω τὸ κατ' ἰσχίον ἄρθρον ἐξέπεσεν, ὡς ἂν τὴν πτέρναν ἐπὶ τῆς γῆς ἑδράζοντες διὰ τὸ μὴ δύνασθαι τῷ κατὰ τοὺς δακτύλους μέρει τοῦ ποδὸς ἐπιβαίνειν, ὧν ὑστέρῳ χρῶνται τῷ πρόσω κατ' ἐκεῖνον τὸν καιρὸν, ἡνίκα ἤδη μέλλωσι στηριχθέντες ἐπὶ τοῦ πεπονθότος σκέλους ἐπιχειρεῖν τὸ ἕτερον μεταφέρειν.

ρια'.

Εἰ δέ γε ἠδύναντο μέγα προβαίνειν, κἂν πάνυ πτερνοβάται ἦσαν. καὶ γὰρ οἱ ὑγιαίνοντες, ὅσῳ ἂν μεῖζον προβαίνοντες ὁδοιπορέωσι, τοσούτῳ μᾶλλον πτερνοβάται εἰσὶ τιθέντες τὸν πόδα, αἴροντες δὲ τὸν ἐναντίον.

Ὅτι μὲν οἱ μέγα προβαίνοντες τὴν πτέρναν ἐπὶ τῆς γῆς στηρίζουσιν, εἴρηταί μοι πρόσθεν ἐναργῶς τε φαίνεται.

poſteriorem partem femoris caput elabitur, de quibus ante hos tractavit, quum brevius crus redderetur, non utebantur calce in ingreſſu, ſed terram contingebant ima planta dumtaxat, quae ut diximus ab iis qui in corporibus incidendis verſantur *πεδίον* dicitur; verum quibus in priorem partem coxae articulus promovetur, calce primum in terra confidente, quum ea parte pedis quae ad digitos eſt ingredi nequeant, qua poſtea utuntur quum jam affecto cruri inſiſtentes transferre alterum incipiunt.

CXI.

Verum ſi valde progredi poſſent, calce admodum ingrederentur: nam et qui bene valent, quanto maxime procedunt, tanto maxime calce ingrediuntur, quum uni pedi inſiſtunt et alterum attollunt.

Eos qui valde procedunt calce terram contingere ſupra oſtendimus, quod evidentiſſime apparet. Non minus

Ed. Chart. XII. [425.] Ed. Baf. V. (640.)

οὐδὲν δὲ ἧττον φαίνεται καὶ τὸ μὴ προβαίνειν μέγα πάντως, ὅσοι δύνανται κάμπτειν τὰ ἄνω ἄρθρα διὰ ἠντινοῦν αἰτίαν. πάσχουσι δὲ τοῦτο τὴν ταλαιπωρίαν οὐ φέροντες, ἣν ἐν τῷ μεταφέρειν ἀποτεταμένον τὸ σκέλος ἴσχουσιν· ὡς ἄλλο δ' οὐδέν ἐστι τὸ κωλύον αὐτοὺς μέγιστον προβαίνειν ἐστηριγμένου τηνικαῦτα τοῦ ὑγιοῦς σκέλους, καὶ προελόμενοί γε πρᾶξαι τοῦτο, δύνανται ποιεῖν αὐτὸ μετὰ καμάτου, ὥστε ἄμεινον ἦν ἴσως οὕτως ἑρμηνεύεσθαι τὸν λόγον· οἷς ἐξέπεσε τὸ κατ' ἰσχίον ἄρθρον πρόσω, τούτοις κατὰ τὰς ὁδοιπορίας ὑπάρχει μηδὲν ἧττον τοῦ πεδίου τε καὶ τῶν δακτύλων τῇ πτέρνῃ χρῆσθαι. εἰ δ' ὑπίμενον μέγα διαβαίνειν τῷ πεπονθότι σκέλει, κἂν πάνυ πτερνοβάται ἦσαν· ἀλλὰ γὰρ οὐ τολμῶσι πράττειν οὕτω, διότι ταλαιπωροῦνται μόγις μεταφέροντες ἄκαμπτόν γε τὸ σκέλος.

ριβ'.

Ὁκόσοισι δὲ δὴ οὕτως ἐκπέπτωκε καὶ ἔτι μᾶλλον τῇ πτέρνῃ προσεγχρίπτουσιν ἢ τὸ ἔμπροσθεν.

---

etiam in aperto eſt, non poſſe omnino valde procedere qui ſuperiores commiſſuras curvare ob quamvis cauſam nequeunt. Id autem ipſis accidit propterea quod moleſtiam non ferant, qua dum transferunt extremum crus vexantur: nihil enim aliud prohibet ne maxime procedant. Quodſi ſano cruri inſiſtentes id facere vellent, poſſent quidem, ſed non ſine dolore, quamobrem ſatis fortaſſe fuit hanc orationem ita explicare: quibus coxae articulus in priorem partem erupit, his nihilo minus quam ima planta et digitis ad ambulandum uti calce licet, ac ſi ſuſtineant longius affecto crure procedere et calce omnino ingredientur; verum non ſuſtinent, quoniam ubi extentum crus cum difficultate transferunt dolore torquentur.

CXII.

Praeterea quibus ſic procidit magis adhuc calci inhaerent, quam priori parti pedis.

Ed. Chart. XII. [425. 426.] Ed. Baf. V. (641.)

Τὸ ἐγχρίπτειν εἴωθε λέγειν ἐπὶ τῶν ἐρειδόντων ἄλληλα, καὶ τοῦτο γοῦν σημαινόμενον ὅτε συνεβούλευε διαπλάττειν τὰ κατάγματα διιστάντα πρότερον ἀπ' ἀλλήλων τῇ τάσει τὰ κατεαγότα, οὕτως ἔφη ῥᾷον γίγνεσθαι τὴν ἐπανόρθωσιν αὐτῶν ἢ εἴ τις ἐγχρίπτοντα πρὸς ἄλληλα συνάγοι τὰ ὀστέα. σαφῶς οὖν καὶ κατὰ τὴν νῦν προκειμένην ῥῆσιν ἐδήλωσεν ὃ μικρὸν ἔμπροσθεν εἶπεν. οὐδὲν γὰρ ἧσσον τῇ πτέρνῃ οὗτοι [426] βαίνουσιν ἢ τὸ ἔμπροσθεν. ὅτι σαφέστερον ἂν εἴρητο καὶ κάλλιον, εἴ τις αὐτὸ κατὰ τήνδε τὴν λέξιν ἡρμήνευσεν· οὐδὲν γὰρ ἧσσον τῇ πτέρνῃ οὗτοι βαίνουσιν ἢ τὸ ἔμπροσθεν, ἀλλ' ἔτι μᾶλλον· οὐ μὴν ἐκεῖ γε προσέθηκε τὸ ἔτι καὶ μᾶλλον.

ριγ'.

Τὸ γὰρ ἔμπροσθεν τοῦ ποδὸς ὅταν ἐκτεταμένον ἔῃ τὸ ἄλλο σκέλος, οὐχ ὁμοίως δύναται ἐς τὸ πρόσω καμπυλέεσθαι, ὥσπερ ὅταν ξυγκεκαμμένον ἔῃ τὸ σκέλος, οὔτ' αὖ σιμοῦσθαι δύναται ὁ ποὺς ξυγκεκλιμένου τοῦ σκέλεος, ὡς ὅταν

Inhaerere dixit ἐγχρίπτειν, quod vocabulum mutuari ſolet ad ea ſignificanda, quorum alteri alterum inhaeret, juxta quam ſignificationem eo utitur, quum in fracturis componendis imperat ut fracta oſſa prius intenſa inter ſe diducantur: ſic enim ait facilius componi, quam ſi ἐγχρίπτοντα, id eſt quum alterum alteri inhaeret propellatur. Quod igitur paullo ante propoſuerat clare in hac oratione demonſtravit: namque hi nihilominus calce ingrediuntur, quam priori parte pedis. Quod clarius adhuc et melius dixiſſet hoc modo, non enim minus hi calce ingrediuntur quam priori parte pedis, ſed magis etiam, non tamen adjecit in ſuperiori oratione ſed magis etiam.

CXIII.

Pedis enim anterior pars quum reliquum crus extenſum eſt, non aeque poteſt in priorem partem curvari, atque ubi flexum eſt; neque item ſimus pes redditur ubi crus inflexum eſt, ſicut ubi extenſum crus. Igitur natura quum

Ed. Chart. XII. [426.] Ed. Baf. V. (640.)

ἐκτεταμένον ἔῃ τὸ σκέλος. ὑγιαίνουσά τε οὖν ἡ φύσις οὕτω πέφυκεν, ὥσπερ εἴρηται. ὅταν δὲ ἐκπεσὸν μὴ ἐμπέσῃ τὸ ἄρθρον, οὕτως ὁδοιπορέουσιν, ὡς εἴρηται, διὰ τὰς προφάσιας ταύτας τὰς εἰρημένας, ἀσαρκότερον μέντοι τὸ σκέλος τοῦ ἑτέρου γίνεται, κατά τε τὸ πυγαῖον κατά τε τὴν γαστροκνημίην καὶ κατὰ τὴν ὄπισθεν ἴξιν. οἷσι δ' ἂν νηπίοισιν ἔτι ἐοῦσι τὸ ἄρθρον οὕτως ὀλισθάνον μὴ ἐμπέσῃ ἢ καὶ ἐκ γενεῆς οὕτω γένηται καὶ τούτοισι τὸ τοῦ μηροῦ ὀστέον μᾶλλόν τι μινύθει ἢ τὰ τῆς κνήμης καὶ τὰ τοῦ ποδός.

Τὸ κατὰ τὸ πεδίον τε καὶ τοὺς δακτύλους μέρος τοῦ ποδὸς, ὅπερ ἔμπροσθεν εἶπον, αὐτὸ πρὸς τὴν γῆν ἐπινεύειν ἀδύνατόν ἐστι τῆς ἰγνύας ἐκτεταμένης. ὠνόμασε δὲ τὸ σχῆμα τοῦτο τοῦ ποδὸς καμπύλεσθαι διὰ τὸ μήτ' ἔκτασιν εἰθίσθαι λέγεσθαι μήτε κάμψιν ἐπὶ τοῦ κατ' ἀστράγαλον ἄρθρου, καθάπερ ἐπὶ τῆς ἰγνύας τε καὶ τοῦ βουβῶνος. ὅταν μὲν οὖν οἱ πρόσθιοι μύες ἀνατείνωσι τὸν ταρσὸν εἰθισμένον

bene valet ſic ſe habet, ut diximus. Ubi vero articulus luxatus reſtitutus non fuerit, homo ob propoſitas cauſas inambulat, ſicut oſtenſum eſt; crus tamen altero gracilius redditur et a clune et a carnoſa parte quae in poſteriori crure prominet et e regione poſterioris partis. Quibus itaque tenera aetate articulus elapſus minime reſtituitur vel a primo natali die id mali incidit, femoris os magis minuitur quam tibiae aut pedis.

Pars pedis quae ad plantam et digitos eſt, quam priorem appellant, extenſo poplite contingere terram non poteſt. Vocavit autem hujusmodi pedis habitum καμπύλον, id eſt curvum: nam commiſſura quae ad talum eſt neque extenſa dici ſolet, neque flexa, ſicut ea quae ad poplitem et ea quae ad inguen. Ergo ubi prioris muſculi eam partem pedis quae inter talos et plantam eſt attollunt

Ed. Chart. XII. [426.] Ed. Baſ. V. (640. 641.)

πώς ἐστι λέγειν σιμοῦσθαι τὸν πόδα. τῶν δ' ὄπισθεν εἰς ἑαυτοὺς ἑλκύντων τὴν πτέρναν καὶ τὸν ταρσὸν, οὐδὲν ὄνομα σύνηθές ἐστι τῷ τοιούτῳ σχήματι. διύπερ ὁ Ἱπποκράτης, ὡς ἔφην, αὐτὸ καμπύλεσθαι προσηγόρευσεν, οἰκείαν τῷ δηλουμένῳ πράγματι φωνὴν ἐξευρών. οὔτε γὰρ σιμοῦσθαι δύναται ὁ ποὺς συγκεκαμμένου τοῦ σκέλεος, ὡς ὅταν ἐκτεταμένον ᾖ τὸ σκέλος, ἀνατείνεσθαί τε διὰ τῶν ἔμπροσθεν μυῶν ὁ ποὺς οὐ δύναται. τοῦτο γάρ ἐστι τὸ σιμοῦσθαι κεκαμμένου τοῦ σκέλους, ὥσπερ ἐκτεταμένου, καθάπερ οὐδὲ καμπύλεσθαι χωρὶς τοῦ καμφθῆναι. ἐπ' ὀλίγον μὲν γὰρ καὶ μετὰ βίας ἑκάτερον τῶν εἰρημένων πάσχῃ καὶ καθ' ἑκάτερον τῶν σχημάτων, ἐπὶ πολὺ δὲ καὶ χωρὶς βίας οὐ δύνανται, ἔτι ὡς οἶδ' ἔφην οἱ τῆς γαστροκνημίας μύες ἐκπεφυκότες, οὐκ ἐκ τῆς κνήμης, ὑφ' ὧν ἡ πτέρνα καὶ ὁ ποὺς ὅλος ἕλκεται πρὸς τὴν ὀπίσω χώραν, ὅπερ ἔνιοι μὲν ὀνομάζουσι καμπὴν ποδὸς, ἔνιοι δ' ἔκτασιν. ὥσπερ γε καὶ τὴν ἀντικειμένην κίνησιν, ἣν διὰ τῶν προσθίων ἴσχει, ἔνιοι μὲν ἔκτασιν, ἔνιοι (641) δὲ καμπὴν ὀνομάζουσιν, ἀλλ' ἐπὶ

dici ſolet aliquo modo pes σιμοῦσθαι, id eſt ſimus fieri; ubi vero poſteriores calcem ad ſe trahunt una cum ea parte quae inter talos et digitorum radices eſt, nullum eſt nomen uſitatum quo iſtiusmodi habitus nominetur. Quare Hippocrates ut oſtendimus eum appellavit καμπύλον vocem inveniens rei quam exprimit accommodatam. Neque enim poteſt pes ſimus fieri attollique a prioribus muſculis, quod non aliud eſt quam ſimum fieri, quum crus inflexum eſt, ſicut quando erat extenſum quemadmodum nec curvus fieri, niſi crus flectatur. Poteſt autem utroque modo figurari ſub utroque cruris propoſito habitu, ſed paullum et violentes, multum et ſine vi non poteſt. Ergo quum muſculi, ut diximus, orti a poſteriori parte cruris quae carnoſa prominet non ab interiori calcem et univerſum pedem trahunt ad partem poſteriorem, ejusmodi habitum pedis Graece nonnulli καμπὴν, nonnulli ἔκτασιν nuncupant; quemadmodum ubi pes in contrariam partem a prioribus muſculis movetur, alii ἔκτασιν, alii καμπὴν nominant, in

Ed. Chart. XII. [426. 427.] Ed. Baſ. V. (641.)

μὲν ταύτης εἰθίσθαι τὸν πόδα λέγειν. ἐπὶ δὲ τῆς ἐναντίας οὐδέν ἐστιν ἅπασι σύμφωνον ὄνομα. βλάπτεται δ' οὐδὲν ἡ τῶν πραγμάτων γνῶσις ἐκ τῆς τῶν ὀνομάτων διαφωνίας. ἐγὼ γὰρ νομίζω, σαφῶς ἑκάτερον ἐδήλωσα διὰ τοῦ λόγου χωρὶς τῶν διαπεφωνημένων ὀνομάτων.

ριδ'.

[427] Ἥκιστα μὲν ἐν τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος ὁ μηρὸς μειοῦται. μινύθουσι μέντοι αἱ σάρκες πάντῃ, μάλιστα δὲ κατὰ τὴν ὄπισθεν ἕξιν, ὥσπερ ἤδη καὶ πρόσθεν εἴρηται. ὅσοι μὲν οὖν ἂν τιθηνηθῶσιν ὀρθῶς, οὗτοι μὲν δύνανται προσχρέεσθαι τῷ σκέλεϊ αὐξανόμενοι βραχυτέρῳ μέν τινι τοῦ ἑτέρου ἐόντι, ὅμως δὲ ἐρειδόμενοι ξύλῳ ἐπὶ ταῦτα, ἢ τὸ σιναρὸν σκέλος· οὐ γὰρ κάρτα δύνανται ἄνευ τῆς πτέρνης τῷ σιήθει τοῦ ποδὸς χρέεσθαι ἐπικαθιέντες, ὥσπερ ἐν ἑτέροις χωλεύμασιν ἔνιοι δύνανται. αἴτιον δὲ τοῦ μὴ δύνασθαι τὸ ὀλίγῳ πρόσθεν εἰ-

quo caſu ut retuli dici ſolet pes σιμοῦσθαι, id eſt ſimus fieri. In contrario nullum eſt nomen de quo inter omnes conveniat, ſed nihilo deterius habet, rerum peritia propter vocabulorum diſſenſionem. Equidem absque vocabulis de quibus non conveniat inter omnes, oratione utrumque mihi clare videor explanaſſe.

CXIV.

Minimum autem femur minuitur quum in hanc partem promovetur; minuitur tamen caro ubique a poſteriori parte praeſertim, ſicut in ſuperioribus quoque dictum eſt. Ergo quicunque recte educati fuerint, uti crure poſſunt, quum increſcunt, quamquam aliquanto brevius altero eſt, baculo tamen fulciuntur a parte cruris vitiati: nequeunt enim absque calce ima planta conſiſtere, quod quibusdam alia de cauſa claudicantibus licet. Quamobrem nequeunt, paullo ſupra declaravimus, id-

Ed. Chart. XII. [427.] Ed. Baſ. V. (641.)

ρημένον, διὰ οὖν τοῦτο προσδέονται ξύλου. ὅσοι δ' ἂν καταμεληθῶσι καὶ μηδὲν χρέονται ἐπὶ τὴν γῆν τῷ σκέλει, ἀλλὰ μετέωρον ἔχουσι, τούτοισι μινύθουσι μὲν τὰ ὀστέα ἐς αἴξησιν μᾶλλον ἢ τοῖσι χρεομένοισι, μινύθουσι δὲ καὶ αἱ σάρκες πολὺ μᾶλλον ἢ τοῖσι χρεομένοισι. κατὰ δὲ τὰ ἄρθρα ἐς τὸ εὐθὺ πηροῦται τούτοισι τὸ σκέλος, μᾶλλόν τι ἢ οἷσιν ἄλλως ἐκπεπτώκῃ.

Ἔνιοι τῶν ἐξηγουμένων τὰς τοιαύτας λέξεις οὕτως ἐοίκασιν ἐμπείρως ἔχειν αὐτῶν, ὥστε τὸ μὲν ἥκιστα σημαίνειν νομίζουσιν οὐδ' ὅλως, τὸ δ' οὐχ ἥκιστα μάλιστα. οὗτοι δ' ἂν νομίσαιεν ὑφ' Ἱπποκράτους εἰρῆσθαι, τοῖς οὕτω παθοῦσι μηδ' ὅλως μειοῦσθαι τὸν μηρόν· ἀλλὰ φαίνεταί γε μειούμενος, οὐ μὴν ὥσπερ ἐπὶ ταῖς ἄλλαις ἐκπτώσεσιν, ὅτι μετριωτέρας ἐκείνων ἔχει τὰς μειούσας αἰτίας. ἐλέχθησαν δὲ εἶναι δύο, διαστροφή τε τῶν ὀργάνων καὶ βλάβη τῶν ἐνεργειῶν, δι' ἣν ὀλίγα χρῶνται τῷ σκέλει· ἀλλ' ἐν τούτῳ τῷ πα-

circo igitur baculo egent. Iis vero qui negligenter habiti fuerint, neque crure terram contingant, ſed id ſuſpenſum habeant, oſſa magis minuuntur, quam aliis qui crure utuntur; circa articulos autem crus quod ad rectum habitum pertinet magis depravatur, quam quibus articulus alio modo luxatur.

Quidam ex iis qui hujusmodi dictiones exponunt, tantam videntur earum habere peritiam, ut minimum arbitrentur nullo modo ſignificare, non minimum maxime. Hi ergo Hippocratem dixiſſe exiſtimarent iis qui ſic affecti ſunt femur nullo modo minui. At minui ipſum conſtat, non aeque tamen atque ubi in alias partes prolabitur, cauſae enim ob quas minuitur leviores ſunt in hoc caſu, quam in illis. Duas autem cauſas reddidimus, inſtrumentorum depravationem et actionum noxam, ob quam paullum crure utuntur. Sed quum in hanc partem femoris

Ed. Chart. XII. [427.] Ed. Baf. V. (641.)

θήμιατι πρὸς τῷ μὴ διεστράφθαι μεγάλως οὐδ' ἡ τῆς ἐνεργείας βλάβη σφόδρα τὸ σκέλος γίγνεται.

ριε'.

Ὡς μὲν οὖν ἐν κεφαλαίῳ εἰρέσθαι τὰ ἄρθρα τὰ ἐκπίπτοντα καὶ τὰ ὀλισθαίνοντα ἀνίσως αὐτὰ ἑωυτοῖσιν ἐκπίπτει καὶ ὀλισθαίνει, ἄλλοτε μὲν πολὺ πλείονα, ἄλλοτε δὲ πολὺ ἐλάσσονα. καὶ οἵσι μὲν ἂν πολὺ πλεῖον ὀλισθῇ ἢ ἐκπέσῃ, χαλεπώτερα ἐμβάλλειν τὸ ἐπίπαν ἐστί· καὶ ἢν μὴ ἐμβιβασθῇ, μείζους καὶ ἐπιδηλοτέρας τὰς πηρώσιας καὶ κακώσιας ἴσχει τὰ τοιαῦτα τῶν ὀστέων καὶ σαρκῶν καὶ σχημάτων. ὅταν δὲ μεῖον ἐμπέσῃ καὶ ὀλισθῇ, ῥηϊδιον μὲν ἐμβάλλειν τὰ τοιαῦτα τῶν ὀστέων γίνεται· ἢν δὲ καταποροηθῇ ἢ ἀμεληθῇ ἐμπεσεῖν, μείους καὶ ἀσινέστεραι αἱ πηρώσιες γίνονται τούτοισιν ἢ οἷσιν ὀλίγῳ πρόσθεν εἴρηται. τὰ μὲν οὖν ἄλλα ἄρθρα καὶ πάνυ πολὺ διαφέρει ἐς τὸ, ὅτε μὲν μεῖον, ὅτε δὲ μεῖζον τὸ ὀλίσθημα ποιέεσθαι. μηροῦ δὲ καὶ βραχίονος κεφαλαὶ παρὰ πλη-

caput erumpit, praeterquam quod inſtrumenta non admodum depravantur actio ipſa cruris multum laeditur.

CXV.

Ut ſummatim igitur dicamus, articuli qui excidunt et elabuntur non eodem modo ſemper excidunt et elabuntur; modo enim multo plus, modo multo minus. Ubi quidem multo plus et elabuntur et excidunt, in univerſum majori negotio reſtituuntur; ac niſi revertantur oſſa, caro atque habitus et magis et apertius depravantur vitianturque. At quum minus excidunt et elabuntur, oſſa haec facilius conduntur; at ubi vel negligantur vel reponi nequeant, minus debilitantur et cum leviore detrimento in hoc caſu, quam in eo quem proxime poſuimus. In reliquis ergo articulis multum intereſt, magisne an minus ſua ſede excedant. Sed utrumque caput tam femoris quam humeri ſemper omnino

Ed. Chart. XII. [427 428.] Ed. Baf. V. (641.)

σιότητα ὀλισθαίνουσιν αὐτὴ ἑωυτῇ ἑκατέρη. ἅτε γὰρ στρογγύλαι μὲν αἱ κεφαλαὶ ἐοῦσαι ἁπλῆν τὴν στρογγύλωσιν καὶ φαλακρὴν ἔχουσι. κυκλοτερέες δὲ αἱ κοιλίαι ἐοῦσαι ,αἱ δεχόμεναι τὰς κεφαλὰς, ἁρμόζουσαι δὲ τῇσι κεφαλῇσι. διὰ τοῦτο οὐκ ἔστιν αὐτῇσι τὸ ἥμισυ ἐκστῆναι τοῦ ἄρθρου. ὀλισθαίνοι γὰρ ἂν διὰ τὴν περιφερίην ἢ ἐς τὸ ἔξω ἢ ἐς τὸ εἴσω. περὶ οὖ νῦν ὁ λόγος ἐστὶν, ἐκπίπτουσι τελέως ἤδη, ἐπεὶ ἄλλως γε οὐκ ἐκπίπτουσιν. ὅμως δὲ καὶ ταῦτα ὅτε μὲν πλείω ἀποπηδᾷ ἀπὸ τῆς φύσεως, ὅτε δὲ ἔλασσον, μᾶλλον δέ τι μηρὸς τοῦ βραχίονος πέπονθεν.

---

[428] *Οὐ ταύτης μόνης τῆς ῥήσεως, ἀλλὰ καὶ τῶν ἐφεξῆς ἁπασῶν ἕν ἐστι κεφάλαιον κοινὸν ἀλλήλων διαφέρειν τὰς ἐξαρθρήσεις, οὐ σμικρὰν διαφορὰν ἐν τῷ μᾶλλόν τε καὶ ἧττον. ἔνιαι μὲν γὰρ ἐπὶ πολὺ τοῦ κατὰ φύσιν, ἔνιαι δ' ἐπ' ὀλίγον ἀφίστανται μᾶλλον καὶ ἧττον ἑκάτεραι τοῦτο πάσχουσαι. περὶ μὲν οὖν τῶν ἄλλων ἄρθρων εὔδηλόν ἐστιν, οἷον τοῦ τε κατ' ἀγκῶνα καὶ καρπὸν καὶ κνήμην καὶ πόδα*

aeque prolabitur; quoniam absque ullo exceſſu ſimpliciter rotundum eſt et caro recipitur, quod in orbem eſt et optime ſibi aptatur: quocirca evenire non poteſt, ut in his articuli dimidium procidat: nam quum rotundus ſit vel totus erumpat vel intro revertetur. Id ergo quo de agitur ex toto ſua ſede movetur, alioquin non excideret; interdum tamen magis, interdum minus a naturali ſede recedit, quod magis femori evenit quam humero.

Non modo hujus orationis, ſed et omnium quae ſequuntur caput unum eſt, luxata non mediocriter inter ſe differre, quatenus magis aut minus a naturali ſede recedunt. Nonnulla enim multum, nonnulla paullum abſunt; utrumque autem magis aut minus patiuntur. In iis quidem articulis res clara eſt, ut in cubito, manu, crure,

Ed. Chart. XII. [428.] Ed. Baſ. V. (641.)

καὶ δακτύλους. ἐπὶ δὲ τοῦ κατ' ὦμον καὶ ἰσχίον ἐπιδεικνύει, μὴ δυνάμενον γενέσθαι τὸ καλούμενον παράρθρημα διὰ τὸ τὰς κεφαλὰς τῶν ἄρθρων σφαιροειδεῖς οὔσας ἐμβαίνειν κοιλότησιν ὀφρῦς ἐχούσας κυκλοτερεῖς, ἐφ' ὧν ἀδύνατόν ἐστι διαμένειν τὰς κεφαλάς. ἐξ ἀνάγκης γὰρ εὐθέως, εἴ τισι τὰς κοιλότητας ἐμπίπτουσιν ἐκτὸς αὐτῶν ὀλισθαίνουσιν· ἀλλ' ὅμως φησὶ κἀπὶ τούτων ἐνίοτε μὲν ἀξιόλογον, ἐνίοτε δ' ὀλίγιστον ἀφίστασθαι τὰς κεφαλὰς τοῦ κατὰ φύσιν. εὔδηλον δ' ὅτι τοῦ τε βραχυτάτου καὶ τοῦ πλείστου τὸ μεταξὺ διαφορὰς ἔχει κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον οὐκ ὀλίγας.

pede, digitis; ſed humeri et femoris caput indicat non poſſe paullum ſuo loco excedere, quod vitium Graeci *παράρθρημα* dicunt, quum rotundum ſit et in cavum inferatur, quod oras in orbem habet in quibus conſiſtere caput nequeat: neceſſario enim vel protinus reconderetur vel ex toto excideret. Utrumque tamen caput ait interdum longe, interdum paullulum a naturali ſede recedere. Ubi vero et plurimum et minimum datur, non paucas quod ad plus et minus attinet differentias intercedere manifeſtum eſt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΤΟ ΠΕΡΙ ΑΡΘΡΩΝ ΒΙΒΛΙΟΝ ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΑΥΤΟ ΥΠΟΜΝΗΜΑ ΤΕΤΑΡΤΟΝ.

Ed. Chart. XII. [429. 430.] Ed. Baf. V. (642.)

α'.

[429.] (642.) *Περὶ ἔνια καὶ τῶν ἐκ γενεῆς γινομένων ὀλισθημάτων, ἢν μικρὸν ὀλισθῇ, οἷά τε ἐς τὴν φύσιν ἄγεσθαι καὶ μάλιστα παρὰ τὰ τοῦ ποδὸς ἄρθρα.*

Ἐκ γενεῆς ἔνιοι μὲν οὖν ἐπὶ τῶν συγγενομένων εἰρῆσθαί φασιν, ἔνιοι δ' ἐπὶ τῶν οὐ μετὰ πολὺν χρόνον τοῦ γεννηθῆναι. τούτοις μὲν οὖν μαρτυ- [430] *ρεῖ τὰ εἰρη-*

HIPPOCRATIS DE ARTICULIS LIBER ET GALENI IN EUM COMMENTARIUS QUARTUS.

I.

Quandoquidem nonnulla ex iis quae a primo natali die ſua ſede moventur, ſed paullum exceſſerint, reſtitui poſſunt praeſertimque ad pedis articulos.

Quod ait primo natali die, nonnullo ad eos referunt qui in utero ſunt; alii ad eos qui non multo ante nati ſunt. Horum ſententiam comprobant quae ſequuntur, ſed

Ed. Chart. XII. [430.] Ed. Baf. V. (642.)

μένα ἐφεξῆς καὶ προφανῶς ἁμαρτάνουσιν οἱ περὶ μόνων τῶν γεννηθέντων ἀκούοντες· ἄμεινον γὰρ ἐπ' ἀμφοτέρων ἡγεῖσθαι λελέχθαι τὸν λόγον. ὅτι δὲ τοῖς ἑτέροις μαρτυρεῖ τὰ ἐφεξῆς εἰρημένα μικρὸν ὕστερον ἐπιδείξομεν, ὅταν ἐκείνην ἐξηγώμεθα τὴν ῥῆσιν.

β'.

Ὁκόσοι ἐκ γενεῆς κυλλοὶ γίνονται.

Τὴν ἐπὶ τὰ ἔξω διαστροφὴν τοῦ σκέλους αὐτὸς ἔμπροσθεν ὠνόμασε κύλλωσιν, ἐφ' ἧς ἔφη συμβαίνειν ῥέπειν ἔσω τὸν πόδα. ἄρθρα δὲ ποδὸς εἶπεν, ἐπειδὴ πλείω τὸν ἀριθμόν εἰσι γιγνόμενα μὲν ἅπαντα κατὰ τὰς κατὰ τὸν ἀστράγαλον διαρθρώσεις, οὐ μὴν ἑνὸς ὀστοῦ τὴν διάρθρωσιν ἔσχετο πρὸς αὐτόν· ἡ μὲν γὰρ περόνη κατὰ τὸ ἔξω μέρος, ἡ δὲ κνήμη κατὰ τὸ ἔνδον ἑκατέρα μεγάλαις ἀποφύσεσιν αὐτὸν περιλαμβάνει, τὸ δὲ πρόσω μέρος αὐτοῦ περιφερὲς ὂν, οἷον κεφαλήν τινα ἔχει πεφυκυῖαν ἐπ' αὐχένι περιλαμβα-

illi procul dubio errant, qui accipiunt in iis tantum qui in utero ſunt. Satius enim eſt ad utrosque orationem referre. Praeterea quae ſequuntur cum aliis facere paullo poſt demonſtrabimus, ubi eum locum aperiemus.

II.

Quibus a primo natali die crus varum eſt.

Crus varum, id eſt in exteriorem partem converſum; ſupra etiam nuncupavit κυλλὸν, ubi ſpectare intro pedem ait. Dixit autem pedis articulos, quoniam plures numero ſunt, omnes juxta tali commiſſuram ſiti, cum quo non unum os tantum committitur. Sura enim ab exteriori parte, ab interiori tibia, utraque magno proceſſu complectitur talum, cujus pars prior quae rotunda eſt et quaſi caput habet rotundum cervici ſuperimpoſitum a cavo

Ed. Chart. XII. [430.] Ed. Baſ. V. (642)

νομένην ὑπὸ κοιλότητος ὀστοῦ τοῦ καλουμένου σκαφοειδοῦς καὶ κατὰ ταύτην γε μάλιστα τὴν διάρθρωσιν ἀνατείνεσθαί τε σιμουμένῳ τῷ ποδὶ καὶ πρὸς τὴν ὀπίσω χώραν ἀπάγεσθαι συμβαίνει· καὶ μὴν κἀκ τῶν κάτω μὲν ὁ ἀσιράγαλος πρὸς τὴν πτέρναν διαρθροῦται, καθ' ὃν εἴρηται τρόπον ἐν τῷ περὶ ὀστῶν ὑπομνήματι καὶ γεγυμνάσθαι συνεβούλευσα τὸν μέλλοντα ταῖσδε ταῖς ἐξηγήσεσιν ὁμιλέειν. ἀλλ' αἵ γε κυλλώσεις τοῦ ποδὸς μάλιστα γίνονται πρὸς τὴν ἔξω χώραν ἀφικνουμένης τῆς κνήμης ὡς αἰωρεῖσθαί τε καὶ ἀστήρικτον κρέμασθαι τὴν κάτω τῆς περόνης ἐπίφυσιν, ἣ περιλαμβάνει τὸν ἀστράγαλον ἔξωθεν.

γ'.

Τὰ πλεῖστα τούτων ἰήσιμά ἐστιν, ἢν μὴ πάνυ ἡ ἔκκλισις εἴη ἢ καὶ προαυξέων γεγονότων ἤδη παιδίων ξυμβῇ· ἄριστον μὲν οὖν ὡς τάχιστα ἰητρεύειν τὰ τοιαῦτα πρὶν πάνυ μεγάλην τὴν ἔνδειαν τῶν ὀστέων ἐν τῷ ποδὶ γενέσθαι, πρίν τε πάνυ μεγάλην τὴν ἔνδειαν τῶν σαρκῶν τῶν κατὰ τὴν κνήμην εἶναι.

excipitur illius oſſis quod ſcaphae ſimilitudinem refert, qua parte commiſſurae pes potiſſimum et ſurſum extenditur, quum ſimus efficitur et in poſteriorem partem ducitur; ſed et ab inferiori parte talus cum calce committitur, quomodo in libro de oſſibus explanavimus, in exerceri juſſimus eum qui debeat in his expoſitionibus verſari. Verum pes tunc potiſſimum varus redditur, quum tibia in exteriorem partem crevit, ſic ut inferior ſurae proceſſus, quo talum ab exteriori parte complectitur ſine ulla fultura ſupendatur.

III.

Plerique ſanabiles ſunt, niſi ita magnus exceſſus ſit aut pueris jam adultioribus res indicat. Commodiſſimum itaque his eſt celerrime ſubvenire, antequam et pedis oſſium et carnis in crure magna admodum defectio ſequatur.

Ed. Chart. XII. [430. 431.] Ed. Baſ. V. (642.)

Προαυξέων λέγει τῶν ἐπὶ πλέον ἠυξημένων, ὧν οὐχ ὁμοίως ἐστὶν ἀνάπλαστος τῶν ὀστῶν οὐσία, καθάπερ τῶν βρεφῶν διὰ μαλακότητα· πρόδηλον ἐκ τοῦδε περὶ τῶν ἤδη γεγονότων αὐτὸν διαλέγεσθαι· εἰ δὲ καὶ περὶ τῶν ἔτι κυουμένων οὐχ ὁμοίως δῆλον, ἀλλὰ πολλάκις τε διὰ τῶν ἔμπροσθεν ἐμνημόνευσε καὶ τοῖς κυουμένοις ἐξαρθρήματα γίγνεσθαι.

δ'.

Τρόπος μὲν οὖν κυλλώσιος οὐχ εἷς, ἀλλὰ πλείονες. τὰ πλεῖστα μὲν οὐκ ἐξηρθρηκότα παντάπασιν, ἀλλὰ δι' ἔθος σχήματος ἔν τινι ἀπολήψει τοῦ ποδὸς κεκυλλωμένα.

[431] *Ὡς τὸ πολὺ μὲν ἐπὶ τῶν καθ' ἕκαστον διαφερόντων, ὑπὲρ οὗπερ ἂν ἑκάστοτε τύχῃ διαλεγόμενος, εἴωθεν ἐπιφέρειν τρόπος ὄνομα. δύναταί γε μὴν νῦν καὶ περὶ τῆς γενέσεως τῶν κυλλωμάτων λέγειν, ὅτι κατὰ πολλοὺς γίνεται τρόπους· καὶ γὰρ τὸ ἐπιφερόμενον ἀμφοτέροις μαρτυρεῖ*

Adultiores vocat eos qui plurimum increverunt, quorum oſſa non aeque tractari et componi poſſunt, atque infantium propter mollitiem. Hinc itaque colligitur Hippocratem de iis agere qui nati jam ſunt; at loquaturne de illis qui in utero ſunt, non ſimiliter manifeſtum eſt, ſed in ſuperioribus ſaepius retulit in utero matris articulos luxari.

IV.

Modus ergo ejus vitii, ſub quo pes varus fit non ſimplex eſt, ſed multiplex. Plerumque autem narus redditur, non quod articulus ex toto luxatus fuerit, ſed quod pes conſueverit re aliqua exceptus figurari.

Modum *τρόπον* dixit, quod verbum plerumque mutuari ſolet, quum de unoquoque eorum loquitur quae inter ſe differunt ſingula; ſed nunc agere poteſt qua ratione pes varus fiat, quod multis modis accidit. Namque id quod ſubjicitur utramque ſententiam comprobat quum ait:

Ed. Chart. XII. [431.] Ed. Baſ. V. (642.)

λεγόντος αὐτοῦ, τὰ πλεῖστα μὲν οὐκ ἐξηρθρηκότα παντάπασιν, ἀλλὰ δι' ἔθος σχήματος ἔν τινι ἀπολήψει τοῦ ποδὸς κεκυλλωμένα. ἐκ μὲν γὰρ τοῦ φάναι, μὴ ἐξηρθρηκότα τελέως ἕνα τινὰ τρόπον ἐδήλωσε τοῦ πάθους. ἐκ δὲ τοῦ δι' ἔθος σχήματος ἀπαλά τε ὄντα καὶ οἷον κηροειδῆ τὰ τῶν βρεφῶν ὀστᾶ διαστρέφεσθαι μοχθηρῶς ὑπὸ τῶν τροφῶν σχηματιζόμενα κατατιθεμένων ἐν τοῖς λίχνοις παρεστραμμένα πως ἢ καὶ περιηγμένα πλέοσιν ἐπιβλήμασιν ἢ θλώμενα πρός τινων, ὑφ' ὧν ἁπάντων αἱ διαστροφαὶ γίνονται.

ε'.

Προσέχειν δὲ τῇ ἰητρείῃ. τοῖσι δὲ χρὴ ἀπωθέειν μὲν καὶ καιορθοῦν τῆς κνήμης τὸ κατὰ τὸ σφυρὸν ὀστέον τὸ ἔξωθεν ἐς τὸ εἴσω μέρος, ἀντωθέειν δὲ ἐς τὸ ἔξω μέρος τὸ τῆς περόνης, τὸ καὶ αὐτὴν τὴν ἴξιν, ὅπως ἀλλήλοις ἀπαντήσῃ τὰ ὀστέα τὰ ἐξισχοντα, κατὰ μέσον δὲ καὶ πλάγιον τὸν πόδα. τοὺς δ' αὖ δακτύλους ἀθρόους ξὺν

plerumque autem varus efficitur, non quod articulus ex toto luxatus fuerit, ſed quod pes conſueverit re aliqua exceptus figurari. Nam quum inquit, non quod articulus ex toto luxatus fuerit, unum quendam vitii modum expreſſit; quum vero dixit, ſed quod pes conſueverit re aliqua exceptus figurari, unde is fiat oſtendit. Neque alienum eſt depravari tenera et veluti cerea infantium oſſa prave a nutricibus figurata, quum in cunis collocantur quodammodo contorta vel pluribus velamentis involuta vel ſic ut a quibusdam etiam urgeantur, a quibus omnibus depravationes fiunt.

V.

Haec autem in curatione animadvertenda ſunt. Os cruris quod ad talos exſtat ab exteriori parte in interiorem propellendum dirigendumque eſt; calx contra e regione ejus in exteriorem repellendus, ut oſſa quae exceſſerunt inter ſe concurrant et in medio et a latere pedis, digi-

Ed. Chart. XII. [431.] Ed. Baf. V. (642.)

τῷ μεγάλῳ δακτύλῳ ἐς τὸ ἔσω μέρος ἐγκλίνειν καὶ περιαναγκάζειν οὕτως.

Λύτὸς ἐν τῷ περὶ ἀγμῶν εἶπεν· ἡ δὲ κνήμη δύο ὀστέα ἐστὶ, πῇ μὲν συχνῷ λεπτότερον τὸ ἕτερον τοῦ ἑτέρου, πῇ δὲ οὐ πολλῷ λεπτότερον, ἀλλὰ τοῖς τε μετ' αὐτὸν εἰθίσθη τὸ ἔξωθεν ὀνομάζειν περόνην. ταύτην οὖν ὠθεῖν ἔσω κελεύει καὶ τοῦτο πράττοντα τὴν πτέρναν ἀντωθεῖν ἐκτὸς καὶ μάλιστα αὐτῆς τὸ κατὰ τὴν ἴξιν, ὅπερ δηλοῖ τὴν εὐθυωρίαν, ὡς πρὸς τὴν κνήμην δηλονότι τὴν ἐν τῷ κατὰ φύσιν ἐπικειμένην αὐτῇ. πολλάκις δ' ἔμπροσθεν ἤδη περὶ τοιούτου τρόπου τῆς ἐμβολῆς εἶπεν ἁπάντων ὄντων κοινοῦ. χρὴ γὰρ τὸ μὲν ἐξέχοντος τοῦ κατὰ φύσιν εἰς τὴν ἀρχαίαν χώραν ἐπαναγαγεῖν, ὅπως ἀλλήλοις ἀπαντήσῃ τὰ ὀστᾶ. τὰ δ' ἑφεξῆς εἰρημένα περὶ τῆς διαπλάσεως αὐτῶν ἱκανῶς ἐστι σαφῆ τοῖς μεμνημένοις ὧν τ' ἔμπροσθεν εἰς τοῦτο τὸ βιβλίον εἴπομεν ἐξηγούμενοι καὶ ὧν ἔτι τούτου πρότερον εἰς

tique omnes una cum pollice repellente in interiorem partem inclinandi atque ita cogendi ſunt.

Scribit ipſe in libro de fracturis: crus binis oſſibus continetur, quorum alterum altero tenuius eſt ab una parte multo, paullo ab altera. Solent autem recentiores hoc os quod ab exteriori parte ſitum eſt Graece nominare *περόνην*. Jubet igitur ut illud in interiorem partem cogatur, ſimulque calx repellatur in exteriorem idque praeſertim ex calce, quod e regione eſt cruris videlicet quod ſuper ipſum naturaliter ſitum eſt. De hac autem reſtituendi ratione antea ſaepius mentionem fecit quae omnium communis eſt: ſiquidem neceſſe eſt quod naturali ſede exceſſit in priſtinum locum propellere et quod ſubjectum eſt in contrariam partem adducere ut oſſa inter ſe concurrant. Quae ſubjicit de ipſis dirigendis evidentiſſima ſunt iis qui in memoria habeant, quae ſuperius diximus in expoſitione hujus libri et ante ejus qui de

Ed. Chart. XII. [431. 432.] Ed. Baſ. V. (642. 643.)

τὸ περὶ ἀγμῶν. εἰ δέ τι παρεμπίπτοι δοκοῦν ἀσαφέστερον εἰρῆσθαι, περὶ μόνου τούτου ποιήσομαι τὸν λόγον.

σϛ'.

Ἐπιδεῖν δὲ κηρωτῇ ἐρρητινωμένῃ εὖ καὶ σπλήνεσι καὶ ὀθονίοισι μαλθακοῖσι, μὴ ὀλίγοισι μηδὲ ἄγαν πιέζοντα.

---

[432] (643) Τοῖς διαπλασσομένοις μέρεσιν ἐπιτήδειός ἐστι τὴν ῥητίνην ἔχουσα κηρωτὴ, διότι συνέχεται μᾶλλον τῷ δέρματι καὶ τὰ ὀθόνια καὶ ξηραίνεται μᾶλλον τὰ σώματα. ἐκ μὲν οὖν τοῦ συνέχεσθαι τὸ φυλάττεσθαι τὴν διάπλασιν ἀμετακίνητον ὑπάρξει τοῖς θεραπευομένοις μορίοις, ἐκ δὲ τοῦ ξηραίνεσθαι τὸ πήγνυσθαί τε καὶ κρατύνεσθαι. τοῦτο δ' αὐτὸ μόνιμον αὐτοῖς φυλάξει τὴν διάπλασιν. ὀθονίοις δὲ χρῆσθαι κελεύει μαλθακοῖς μὲν διὰ τὴν μαλθακότητα τῶν σωμάτων, ἣν ἐκ τῆς ἡλικίας ἔχει τὰ βρέφη. περιβεβλημένοις δὲ ἀτρέμα φυλαττόμενος τὴν ἐκ τῆς βιαίας περιβολῆς θλῖψιν αὐτῶν καὶ μάλισθ' ὅταν ἐπὶ μα-

fracturis eſt. Si quid autem occurrat quod obſcurius videatur, illud dumtaxat enodabimus.

VI.

Deligare item convenit adhibito cerato quod reſinam copioſe acceperit et faſciis mollibus non parvis neque admodum arctatis.

Partibus compoſitis aptatur ceratum quod reſinam acceperit, quoniam faſciae cuti melius inhaerent et partes corporis magis ſiccantur; ex eo quod faſciae inhaerent ſequitur ut partes quae curantur immobiles ut compoſitae ſunt ſerventur; ex eo quod partes ſiccantur ut ſpiſſentur et confirmentur, quae res etiam compoſita fideliter tuetur. Porro autem faſcias molles adhibet ob corporum mollitiem quae infantium corporibus propter aetatem ineſt, quas leniter adſtringit cavens ne veliementer arctatae comprimant, praecipue quum corpora mollia ſint. Sed

Ed. Chart. XII. [432.] Ed. Baſ. V. (643.)

λακῶν γίνωνται σωμάτων. ὅτι δὲ ἧττον πιέζεσθαι κελεύει, διὰ τοῦτο πλέοσι χρῆσθαι τοῖς ὀθονίοις ἀξιοῖ· τὴν γὰρ ἀσφάλειαν τῆς ἐπιδέσεως ἔφασκεν ἢ πίεσιν ἢ πλῆθος τῶν ὀθονίων γίγνεσθαι.

ζ'.

Οὕτω δὲ τὰς περιαγωγὰς ποιέεσθαι τῆς ἐπιδέσιος, ὥσπερ καὶ τῇσι χερσὶν ἡ κατόρθωσις ἦν τοῦ ποδὸς, ὅκως ὁ πους ὀλίγον μᾶλλον ἐς τὸ βλαισσὸν ῥέπων φαίνηται.

Καὶ τοῦτο κοινὸν ἁπάσης ἐπανορθώσεως ἄρθρων τε καὶ καταγμάτων ἐστὶ παράγγελμα πολλάκις ὑπ' αὐτοῦ παρηγνημένον. οὐ βούλεται γὰρ ἐν ταῖς ἐπανορθώσεσι τὰ διαπλαττόμενα πρὸς τὸ κατὰ φύσιν ἀκριβῶς ἀχθέντα καταλιπεῖν αὐτόθι. κελεύει μὲν περιβάλλειν ὀλίγον ὅτι ὡς ἐκ τούτου τὴν πολυχρόνιον αὐτῶν ῥοπὴν ἐπὶ τὴν διαστροφὴν ἀντισπῶντες ἐν τῷ μέσῳ καταστήσωμεν, ὅπερ ἦν τὸ κατὰ φύσιν ἀκριβῶς. εἰ γὰρ ἐν τούτῳ διαπλάττοντες καταλεί-

quia minus adſtringit, idcirco imperat ut plures faſciae injiciantur: ſcripſit enim, vinculi firmitatem vel preſſu comparari vel numero faſciarum.

VII.

Non ſecus autem circumagenda faſcia eſt, quam ſi pes manibus dirigendus ſit ut paullo magis valgus appareat.

Hoc item praeceptum communiter ad luxata fractaque omnia pertinet, quod ſaepius ab ipſo memoriae proditur. Non enim vult in dirigendo, quae compoſita ſunt in naturalem ſedem exquiſite reſtituta ita relinqui, ſed paullo ultra compelli, ut ad contrarium ejus loci in quem diu perverſa ſpectarunt a nobis impulſa conſiſtant in medio quod prorſus ſecundum naturam fuit: nam ſi collocata in hoc demitterentur, ad diuturnam depravationem

Ed. Chart. XII. [432.] Ed. Baſ. V. (643.)

πομεν, ἐπὶ τὴν πολυχρόνιον διαστροφὴν ὑπορρεῖ τὰ μόρια. δῆλον δ' ὅτι καὶ τοῦτο παράγγελμα ἐν τῷ γενικωτάτῳ πάντων ὑποπέπτωκε θεραπευτικῷ σκοπῷ, καθ' ὃν ἔφασκε τὰ ἐναντία τῶν ἐναντίων ἰήματα εἶναι, μήτε τὰ κατεψυγμένα θερμαινόντων ἡμῶν τῇ μετρίᾳ θερμασίᾳ, μήτε τὰ θερμαινόμενα μετρίως ψυχόντων, ἀλλ' εἰς τοσοῦτον ἐπέκεινα τῆς μεσότητος εἰς τἀναντία προχωρούντων, ὅσον ἀπεχώρησεν αὐτῆς τὸ πάθος ἐπὶ θάτερον· καὶ νῦν οὖν ἐπεὶ μὲν πάθος ἦ ἡ κύλλωσις ἐναντία βλαισσώσει διὰ πάντων τῷ λόγῳ, τὸ κῶλον ὁ Ἱπποκράτης πρὸς τὸ βλαισσὸν ἀξιοῖ φέρειν ἐπέκεινα δηλονότι τῶν κατὰ φύσιν ἀκριβῶς ὄντων.

η'.

Ἶχνος δέ τι ποιέεσθαι ἢ δέρματος μὴ ἄγαν σκληροῦ μολυβδίνου.

Καὶ τοῦθ' ἕνεκα τοῦ μονίμου τῆς ἐπιδέσεως ἐπιτεχνᾶται. διὰ τοῦτο δ' οὖν καὶ προσκαταδεῖν αὐτὸ κελεύει τῇ

redirent. Conſtat autem praeceptum hoc ad id conſilium pertinere quod in curando maxime commune eſt, in quo contraria contrariorum eſſe praeſidia docuit. Quum nec refrigerata moderate calefaciamus nec calefacta moderate refrigeremus, ſed eatenus a medio in contrariam partem recedamus, quatenus in alteram morbus receſſit. Nunc quia pes varus eſt, cui vitio contrarium id eſt ſub quo valgus efficitur, idcirco Hippocrates jubet ut dum componitur in valgum convertatur ſcilicet ultra ſedem prorſus naturalem.

VIII.

Solea item conficienda eſt aut ex pelle non multum dura aut ex plumbo.

Hoc etiam ad ſtabiliendam juncturam molitur: quamobrem jubet ipſum poſtremum omnium ſuper juncturam

Ed. Chart. XII. [432. 433.] Ed. Baſ. V. (643.)

ἐπιδέσει πάντων ὕστατον, ὅπως ἐκείνην τε συνέχῃ πᾶσαν αὐτόν τε μὴ θλίβῃ τὸν χρῶτα. τοῦτο δὲ ἐδήλωσε τῇ προκειμένῃ ῥήσει γράψας ἐφεξῆς τήνδε.

θ'.

[433] Προσεπιδεῖν δὲ μὴ πρὸς τὸν χρῶτα τιθέντα, ἀλλ' ὅταν ἤδη τοῖσιν ὑστάτοισιν ὀθονίοισι μέλλῃς ἐπιδέειν. Ὅταν δὲ ἤδη ἐπιδεδεμένος ἔῃ, ἑνός τινος τῶν ὀθονίων χρὴ, οἷσιν ἐπιδέεται, τὴν ἀρχὴν προσράψαι πρὸς τὰ κάτω τοῦ ποδὸς ἐπιδέσματα κατὰ τὴν ἴξιν τοῦ μικροῦ δακτύλου, ἔπειτα ἐς τὸ ἄνω τείνοντα, ὅκως ἢν δοκέῃ μετρίως ἔχειν, περιβάλλειν ἄνωθεν τῆς γαστροκνημίης, ὡς μόνιμον ᾖ κατατεταγμένον οὕτως. ἁπλῷ δὲ λόγῳ ὥσπερ κηροπλαστέοντα χρὴ ἐς τὴν φύσιν τὴν δικαίην ἄγειν καὶ τὰ ἐκκεκλιμένα καὶ τὰ συντεταμένα τὴν φύσιν καὶ τῇσι χερσὶν οὕτω διορθοῦντα καὶ τῇ ἐπιδέσει ὡσαύτως. προσάγειν δὲ οὐ βιαίως, ἀλλὰ παρηγορικῶς.

Ἐκ τοῦ κατὰ τὸν μικρὸν δάκτυλον χωρίου, τουτέστι τῶν ἐκτὸς τοῦ ποδὸς τὴν ἄρτησιν ποιεῖται πρὸς τὴν γα-

devinciri, ut eam totam contineat et carnem ipſam non comprimat, id quod ſequentibus expreſſit, inquit enim.

IX.

Alligandaque non ut cuti inſidat, ſed quum poſtrema lintea circumdantur. Ubi jam alligaveris caput unius ex faſciis quibus vincitur e regione minimi digiti adſuendum eſt illis faſciis quae ſub pede ſunt, ut dum moderate ſe habere videatur faſcia ſurſum ducta circa poſteriorem cruris partem quae carnoſa eſt volvatur, atque ita, firmiter maneat. Sed ut uno verbo dicam quaſi ceram fingamus, debemus et manibus in naturalem ſedem compellere et vinculo ſimiliter non magna vi, ſed leniter adducere.

E regione minimi digiti, hoc eſt ab exteriori parte pedis faſciam appendit, quam attrahit ad poſteriorem par-

Ed. Chart. XII. [433.] Ed. Baſ. V. (643.)

σιροκνημίαν, ἐπειδὴ κεκνλλωμένον πόδα θεραπεύει, βεβλαισσωμένον δ' εἴπερ ἐθεράπευε, πάλιν ἂν ἐποίησε τὴν ἀνάρτησιν. ἐπὶ τἀναντία γὰρ χρὴ περιῤῥέειν τὸν πόδα τῇ διαστροφῇ ὡς τὰ μὲν εἰς τὴν ἔξω χώραν διεστραμμένα εἰς τὴν ἐντὸς ἐπιστρέψαι, τὰ δ' ἔσω τὴν μετάστασιν πεποιημένα καὶ ταῦτα πρὸς τὸν ἐναντίον ἀπάγειν τόπον.

ι'.

Προσράπτειν δὲ τὰ ὀθόνια, ὅκως ἂν ξυμφέρῃ τὰς ἀναλήψιας ποιέεσθαι. ἀλλὰ γὰρ ἄλλης τῶν χωλωμάτων δέεται ἀναλήψιος.

Ὅπερ ἀρτίως ἐγὼ προειρήκειν αὐτὸς ἐν τῷ λόγῳ διῆλθεν, ἄλλα ἄλλης τῶν χωλωμάτων δεῖσθαι λέγων ἀναλήψεως, τὰ μὲν κεκνλλωμένα δῆλον ὅτι τῆς ἔσω μὲν προσαγούσης τὸ τῆς κνήμης πέρας, ἔξω δὲ τὸν πόδα, τὰ δὲ βεβλαισσωμένα τῆς ἔξω μὲν τὴν κνήμην, ἔσω δὲ τὸν πόδα, καὶ τὰ μὲν ἐπ' ὀλίγον ἑκάτερον πεπονθότα μετρίως ἀντισπᾶν ἐπὶ τὴν

tem cruris quae carnoſa prominet, quandoquidem pedi varo medetur; quod ſi valgum curaret, ab altera parte faſciae caput affueret, quoniam inclinare pedem oportet in contrariam partem atque convertitur, ſic ut quae extra ſpectant compellantur intro, quae intro ſimiliter in contrariam regionem cogantur.

X.

Aſſuendae autem faſciae ſunt, ut quomodo opus eſt ſuſpendantur: alia enim depravatio aliam ſuſpendendi viam poſtulat.

Quod ergo nuper poſui, ipſe nunc declarat aliis depravationibus alias ſuſpendendi rationes accommodari. Conſtat autem ubi pes in interiorem partem ſpectet, ita ſuſpendendum eſſe ut extremum crus in interiorem partem compellatur, pes in exteriorem; ubi pes in exteriorem inclinatur, ita ut crus in exteriorem, pes in interiorem urgeatur; ubi in utramvis partem paullum exceſſe-

Ed. Chart. XII. [433. 434.] Ed. Baſ. V. (643.)
ἐναντίαν χώραν ποιούμενον τὴν ἀνάληψιν, τὰ δὲ ἐπὶ πλέον ἀποκεχωρηκότα σφοδρότερον ἀντιτείνοντα· διὰ τοῦτο καὶ κοινὸν ἐπὶ πασῶν τῶν διαστροφῶν ὄνομα νῦν εἶπε τὸ χώλωμα.

ια'.

Ὑποδημάτιον δὲ ποιέεσθαι μολύβδινον ἔξωθεν τῆς ἐπιδέσιος ἐπιδεδεμένον, οἷον αἱ Χῖαι κρηπῖδες ῥυθμὸν εἶχον, ἀλλ' οὐδὲν αὐτοῦ δεῖ, ἢν τις ὀρθῶς μὲν τῇσι χερσὶ διορθώσῃ, ὀρθῶς δὲ τοῖσιν ὀθονίοισιν ἐπιδέῃ, ὀρθῶς δὲ καὶ τὰς ἀναλήψιας ποιοῖτο. ἡ μὲν οὖν ἴησις αὕτη, καὶ οὔτε τομῆς οὔτε καύσιος οὐδὲν δεῖ οὐδ' ἄλλης ποικιλίης. θᾶσσον γὰρ ἐνακούει τὰ τοιαῦτα τῆς ἰητρείης ἢ ὡς ἄν τις οἴοιτο. προσνικᾷν μέντοι χρὴ τῷ χρόνῳ, ἕως ἂν αὐξηθῇ τὸ σῶμα ἐν τοῖσι δικαίοισι σχήμασιν.

[434] Ὁποῖον μὲν ῥυθμὸν εἶχον αἱ Χῖαι κρηπῖδες οὐχ οἷόν τε γνῶναι σαφές· οὐδὲ γὰρ κατ' αὐτὸν ἔτι τὸν

rit, appenſa faſcia moderate in contrariam partem cogi debet; qui longe a naturali ſitu receſſit validius repellendus eſt. Ideo depravationem quam χώλωμα dixit commune nomen omnium pravitatum accipito.

XI.

Calcei vero e plumbo inſtruantur, qui ſuper juncturam obligentur ad eam formam quam Chiae crepidae habebant: quibus opus non eſt ſi quis manibus recte componat, recte item faſciis alliget, recte ſuſpendat. Curatio igitur haec neque ſectionem, neque uſtionem, neque aliam varietatem requirit: celerius enim opinione hujusmodi vitia curationi cedunt, tempore tamen ſuperanda ſunt, dum corpus juſto habitu increſcat.

Quaenam fuerit Chiae crepidae forma non ſatis patet, quoniam neque Hippocratis ſaeculo in uſu erat; atque

Ed. Chart. XII. [434.] Ed. Baf. V. (643. 644.)

Ἱπποκράτην ἐσώζετο. διὰ τοῦτο γοῦν εἶπεν, οἷς αἱ Χῖαι κρηπῖδες ῥυθμιὸν εἶχον, δυνάμενος εἰπεῖν ἔχουσιν. εὔδηλον δ' ὅτι τὸ συνέχον μὲν ἀκριβῶς τὸν πόδα, μὴ ὀλίβον δὲ τὸν χρῶτα τοῖς διαπλασσομένοις παιδίοις ἐπιτηδειότατόν ἐστιν ὑπόδημα, ὥστε πρὸς τούτους ἀποβλέποντι τοὺς σκοποὺς καὶ νῦν ἂν δύναιντο ποιεῖν ὑπόδημα χρήσιμον ἄνευ τοῦ ζητεῖν (644) ὁποῖαί τινες ἦσαν αἱ Χῖαι κρηπῖδες.

ιβ'.

Ὅταν δὲ ἐς ὑποδήματος λόγον εἴῃ, ἀρβύλαι ἐπιτηδειόταται αἱ πηλοπατίδες καλεόμεναι.

Εἰς ὑποδήματος ἥξει λόγον τὸ θεραπευόμενον παιδίον, ὅταν τε τὸ κατορθούμενον μόριον ὑγιὲς ᾖ καὶ τηλικοῦτον ὅταν ἐν τῷ τέως αὐξηθὲν γένηται καὶ μηκέτι μαλακὴν αὐτῶν τῶν ὀστῶν τὴν οὐσίαν εἶναι. οὐδὲ γὰρ οὐδ' ἐπιτρέψαι χρὴ πρότερον αὐτὸ βαδίζειν, ἵνα μὴ πάλιν ἐπὶ τὴν ἔμπροσθεν διαστροφὴν ἐπανέλθῃ τὸ μόριον. ὅταν δ' ἀβλαβῶς

idcirco inquit, ad eam formam quam Chiae crepidae habebant; quum potuiſſet dicere habent. Conſtat autem infantibus quum diriguntur id calceamenti genus maxime idoneum eſſe, quod ad unguen pedem excipit et carnem non comprimit. Ad quam rem ſpectantes parere nunc idoneum calciamentum poterimus, quamvis cujusmodi Chiae crepidae fuerunt non requiramus.

XII.

Ubi autem ad calceos veniatur, aptiſſimi ſunt qui per loca luto plena geſtari ſolent πηλοπατίδες *nuncupantur.*

Veniunt ad calceos pueri qui curantur, quum pars quae dirigitur confirmata fuerit et aliquid increverit atque oſſa ipſa non amplius mollia ſint. Nam nec permittendum eſt ut prius inambulent, ne pars ad priorem depravationem iterum revertatur; at ubi tuto ingredi poſſunt,

Ed. Chart. XII. [434.] Ed. Baf. V. (644.)

δύναται βαδίζειν, ἀρβύλας ὑποδεῖν αὐτῷ προσήκει. κοῖλον δ' ἐστὶν ὑπόδημα τοῦτο καὶ περιεσφιγμένον ἀκριβῶς τῷ ὅλῳ ποδὶ μέχρι τῶν σφυρῶν. εὔδηλον δ' ὅτι τοιοῦτόν ἐστι κἀξ ὧν ἐπήνεγκεν αὐτὸς ὁ Ἱπποκράτης εἰπών, αὐτὰς πηλοβατίδας ὀνομάζεσθαι. τοῦτο γὰρ γέγονε τὸ ὄνομα, εἰ μὲν διὰ τοῦ π γράφοιτο πηλοπατίδας διὰ τὸ πατεῖσθαι τὸν πηλὸν ὑπ' αὐτῶν, εἰ δὲ διὰ τοῦ β πηλοβατίδας, ἐπειδὰν βαίνειν ἀσφαλῶς ἐν πηλῷ δυνατόν ἐστι τοῖς ὑποδεδεμένοις τοιοῦτον ὑπόδημα.

ιγ'.

Τοῦτο γὰρ ὑποδημάτων ἧκιστα κρατέεται ὑπὸ τοῦ ποδὸς, ἀλλὰ κρατέει μᾶλλον.

Ἄλλως ἄλλος ἄνθρωπος εἴθισταί τε καὶ πέφυκε βαδίζειν, ὁ μέν τις ὀρθῶς ἀκριβῶς ἔχων, ὁ δ' εἴσω μᾶλλον ἢ ἔξω ῥέποντα τὸν πόδα, καὶ τινὲς μὲν αὐτῷ τῷ στήθει, τι-

calceis utantur licet quos Hippocrates *ἀρβύλας* appellat. Eſt autem calceamenti genus cavum quod arcte pedem univerſum exquiſite uſque ad talos complectitur. Manifeſtum eſt autem ejusmodi eſſe, ex eo quod Hippocrates ſubjicit quum inquit, *πηλοπατίδες* nuncupantur, hoc enim nomen inventum eſt; quodſi per *π* ſcribatur *πηλοπατίδες*, ductum erit a luto quod *πηλὸς* Graece dicitur, quum ab ipſis lutum calcetur. *Calcari* enim *πατεῖσθαι* dicunt, ſi per *β πηλοβατίδες* a luto ſimiliter et a verbo ambulare, quod *βαίνειν* dicunt, quum qui iis utantur tuto in luto ambulent.

XIII.

Namque hoc calceamenti genus a pede minime coercetur, ſed magis ipſum coercet.

Et natura et uſu alius homo alio modo inambulat: alius enim pede prorſus erecto, alius in interiorem partem inclinato, alius in exteriorem; atque inſuper alius

Ed. Chart. XII. [434. 435.] Ed. Baſ. V. (644.)

νὲς δὲ τῇ πτέρνῃ βαίνουσι μᾶλλον, τινὲς δὲ ὁμαλῶς ὅλον στηρίζουσι. καὶ τοίνυν καὶ φαίνονται συνεξομοιοῦντες ἀεὶ τῷ τρόπῳ τῆς βαδίσεως οἱ ἄνθρωποι τὰ τοιαῦτα τῶν ὑποδημάτων, ὅσα μήτε βαθέα μήτ' ἀκριβῶς ἐστι περιεσφιγμένα τῷ ποδὶ, καί σοι θεασαμένῳ τι τῶν τοιούτων ὑποδημάτων ἔνεστιν ἐξ αὐτῶν λογίσασθαι, πῶς χρώμενος αὐτοῖς βαδίζει. τὸ μὲν γὰρ ὀρθὸν καὶ μηδαμόσε ῥέπον, ἀλλ' οἷον ὁ σκυτοτόμος ἐποίησε αὐτὸ, τοιοῦτον διαμένον, ὀρθὸν σημαίνει τίθεσθαι τὸν πόδα τοῦ [435] χρωμένου· τὸ δ' ἔσω νενευκὸς ἢ ἔξωθεν τὸν χρώμενον ἐνταῦθα ῥέπειν τὸν πόδα κατὰ τὴν ὁδοιπορίαν ἐνδείκνυται, καθάπερ γε καὶ τὸ πρόσω μᾶλλον ἢ ὀπίσω νενευκὸς ἢ κατὰ τὴν πτέρναν ἢ τὸ τοῦ ποδὸς στῆθος ἐκτετραμμένους ἔχοντος ἥλους ἢ ἐκ τῶν ἔξω μερῶν ἢ ἐκ τῶν ἔνδον ἐπὶ καινὰ δηλοῖ ῥέπειν ἐν τῇ βαδίσει τὸν πόδα. τὸ τοίνυν τοιοῦτον ὑπόδημα κρατεῖσθαί φησιν ὑπὸ τοῦ ποδὸς ὁ Ἱπποκράτης, ὅπερ ἐστὶ νικᾶσθαι, τὸ δ' ἐναντίον αὐτοῦ τὸ διαμένον ἀῤῥεπὲς ἔμπαλιν τούτῳ κρατεῖν αὐτὸ τὸν πόδα ἀναγκάζον ὀρθόν τε καὶ ἀῤῥεπῆ τίθεσθαι

planta jam alius calce magis ingreditur, alius aeque toti pedi inſidit; quin et calcei videntur ſemper in ambulandi modo ſimiles reddi, ubi neque alti ſint, neque exquiſite pedem comprehendant. Quorum calceorum ſi quem intuearis, conjicere licet quomodo ingrediatur qui illis utitur: calceus enim rectus et in neutram partem inclinans, ſed talis permanens qualis ſtructus eſt a ſutore hominem recto pede ingredi denunciat; ſed ſi vel intro vel extra ſpectet, inambulantis pedem converti in eam partem demonſtrat. Idem evenit ubi calceus vel in poſteriorem vel in priorem partem vergit. Non ſecus etiam clavi ubi attriti magis ſint vel ad calcem vel ad plantam vel ad exteriorem partem vel ad interiorem indicio ſunt ambulantis pedes in eas partes converti. Hunc igitur calceum Hippocrates coërceri ait a pede, hoc eſt ſuperari; ſicut a contrario qui rectus ſervatur et in neutram partem declinat, coërceri pedem cogique rectum ac ſine inclinatione

Ed. Chart. XII. [435.] Ed. Baſ. V. (644.)

κατὰ τῆς γῆς· κεφάλαιον δὲ τῆς τούτου κατασκευῆς ἐστιν ἐσφίγχθαι τε περὶ ὅλον ἀκριβῶς τὸν πόδα καὶ βάθος ἔχειν δαψιλές. ἐσφίγχθαι δ' ἀδύνατον μὴ πολυσχιδὲς γινόμενον, ὥστε καὶ οἱ κυνηγέται δι' αὐτὸ τοῦτο τοιούτοις ὑποδήμασι χρῶνται, πηδᾶν καὶ τρέχειν ἀναγκαζόμενοι δι' ἀνωμάλων χωρίων. ἐν οἷς ἐὰν μὴ συνηρμοσμένον ᾖ ἀκριβῶς τῷ χρωτὶ τὸ ὑπόδημα, στρέμματά τε καὶ τίλματα γίγνεται κατά τε τὰ σφυρὰ καὶ τοὺς πόδας.

ιδ'.

Ἐπιτήδειος δὲ καὶ ὁ Κρητικὸς τρόπος τῶν ὑποδημάτων.

Ἔτι καὶ νῦν οὗτος ἀσκεῖται κατὰ τὴν ἡμετέραν Ἀσίαν καὶ κατὰ τὴν Κρήτην οὐχ ἥκιστα μέχρι κνήμης μέσος ἀνήκων. ἔστι δ' ἱκανῶς ὑπ' αὐτοῦ πολυσχιδές τι δέρμα καθ' ἑκάτερον τὸ μέρος ἀριστερόν τε καὶ δεξιὸν ἴσον ἐντεταμένον τε καὶ ἰδίᾳ συντετρημένον ἐπὶ τοῖς πέρασιν, ὡς ἱμάντι διεκβαλλομένων τῶν τρημάτων συνάγεσθαι κατ' ἄλληλα τὰ τεταγμένα τοῦ δέρματος τμήματα. πρόδηλον οὖν ὅτι συνέ-

terrae inſidere. Caput autem hujus ſtructurae, id eſt ut calceus univerſum pedem arcte contineat et abunde altus ſit. Arcte autem complecti pedem non poteſt, niſi multis locis findatur. Quamobrem venatores hujusmodi calceis induuntur, quum per inaequalia loca et ſaltare et currere neceſſe habeant, in quibus obtorquentur convelluntur que juxta talos, niſi calcei ex toto cuti haereant.

XIV.

Idonea item eſt ratio calceamenti Cretenſis.

In Aſia noſtra et non minus in Creta nunc calceamenta in uſu ſunt quae ad medium uſque crus pertinent, in quibus fiſſa pellis eſt multis locis et ab utraque parte dextra ſcilicet et ſiniſtra aequaliter extenta; extremis partibus foramina habet, per quae trajectum lorum partes pellis inciſas inter ſe contrahat. In aperto autem eſt

Ed. Chart. XII. [435.] Ed. Baſ. V. (644.)

χει τε καὶ σφίγγει τὸν πόδα, μετὰ τῆς κατὰ φύσιν διαρθρώσεως ὅλης ἀκριβῶς τὸ τοιοῦτον ὑπόδημα. χρῶνται δὲ αὐτῷ μάλιστα παρ' ἡμῖν οἱ κυνηγέται θηρεύοντες, ἐπειδή περ ἐν τραχέσι καὶ ἀνωμάλοις χωρίοις ἀναγκάζονται πολλάκις οὐ τρέχειν μόνον, ἀλλὰ καὶ πηδᾶν· ἡ δ' αὐτὴ καὶ τοὺς Κρῆτας αἰτία τοιούτοις ὑποδήμασι χρῆσθαι ἔπεισε, διά τε τὰ μεγέθη τῶν ὀρῶν τῶν ἐν τῇ νήσῳ καὶ τὰς τραχύτητας.

ιε'.

Ὁκόσοισι δ' ἂν κνήμης ὀστέα ἐξαρθρήσαντα καὶ ἕλκος ποιήσαντα τελείως ἐξίσχῃ τὰ παρὰ τὸν πόδα ἄρθρα, εἴτε ἔσω ῥεύσαντα, εἴτε μέντοι καὶ ἔξω, τὰ τοιαῦτα μὴ ἐμβάλλειν, ἀλλ' ἐᾶν τὸν βουλόμενον τῶν ἰητρῶν ἐμβαλεῖν. σαφέως γὰρ εἰδέναι, ὅτι ἀποθανεῖται, ἐὰν ἐμβληθέντα ἐμμείνῃ καὶ ἡ ζωὴ δὲ ὀλιγήμερος τούτοισι γενήσεται· ὀλίγοι γὰρ αὐτῶν τὰς ἑπτὰ ἡμέρας ὑπερβάλλοιεν, σπασμὸς γὰρ ὁ κτείνων ἐστίν.

---

hujusmodi calceis pedem cum univerſa commiſſura quae ad talos eſt contineri atque adſtringi. His autem utuntur apud nos venatores potiſſimum, quum feras ſectantur: quandoquidem in aſperis atque inaequalibus locis non ſolum currere, ſed ſaltare etiam coguntur. Eadem cauſa Cretenſes ad talium calceorum uſum impulit ob vaſtos inſulae montes atque aſperitatem.

XV.

Ubicunque cruris oſſibus luxatis accedente vulnere articuli qui ad pedem ſunt ſive in interiorem, ſive in exteriorem partem penitus excedant reponendi non ſunt; ſed ſinendum eſt ut cui placet medico, eos reponat. Scire enim convenit, ubi repoſiti ſerventur hominem decedere paucisque diebus vitam trahere; nam pauci ſeptimum diem excedunt, quum nervorum diſtenſione abſumantur.

Ed. Chart. XII. [436.] Ed. Baſ. V. (644.)

[436] Ἐμβάλλειν μὲν ὀστᾶ λέγει τὰ τῆς περόνης καὶ τὰ τῆς ὁμωνύμως παντὶ τῷ μορίῳ ὀνομαζομένης κνήμης. ἐξίσχει δὲ ταῦτα καὶ γυμνοῦται τοῦ χρωτὸς ἐν ἑκατέρᾳ τῇ διαρθρώσει τῆς κνήμης, ἥν τε πρὸς τὸν πόδα καὶ τὸν μηρὸν ποιεῖται. περὶ πρώτης οὖν διαλέγεται τῆς πρὸς τὸν πόδα διαρθρώσεως, ἀξιῶν ὅταν ἐνταῦθα τὸ τῆς κνήμης ὀστοῦν ἐξαρθρήσῃ, γυμνωθὲν ἀφίστασθαι τῆς ἐμβολῆς διὰ τὸν ἐπιγιγνόμενον σπασμόν. εἴρηται δὲ ἤδη περὶ τούτου κἀν τῷ περὶ τῶν ἀγμῶν, ὅτι συμβαίνει κατὰ τὰς τοιαύτας διαθέσεις τὸν μέντοι διασπᾶσθαι τῶν μυῶν, τὸν δὲ συνέρχεσθαι καὶ σώζειν τὴν ἕνωσιν, ἀνασπασθέντων οὖν αὐτῶν ἐπὶ τὴν ἀρχὴν ἔλαττον γίγνεται τὸ κῶλον ὅλον ἀκολουθεῖ τε καὶ συνανασπώμενον τοῖς μυσίν. ἐὰν δή τις κατατείνας ἐμβάλῃ τὸ ἐξέχον ὀστοῦν, ἅμα μὲν ἡ κατάτασις αὕτη βλάβην οὐ σμικρὰν ἐργάσεται τοῖς μυσίν, ἅμα δὲ καὶ τὸ μῆκος τοῦ κώλου συναποτεῖνον αὐτοὺς ὀδυνήσει σφοδρῶς καὶ κατὰ τοῦτο μεγάλων μὲν ὄντων τῶν μυῶν ἐξ ἀνάγκης ἀκολουθήσει σπασμός. εἰ δὲ μικροὶ τύχοιεν ὄντες οἷοι κατὰ τοὺς

Oſſa κνήμης, id eſt cruris ſuram intelligit ac tibiam, quae κνήμη Graece dicitur et cognominis eſt cum eo toto quod inter genu et pedem eſt. Nudantur autem haec et cute excedunt ad utramque cruris commiſſuram cum pede ſcilicet et cum femore. Ante igitur tractat de commiſſura cruris cum pede imperans ut ubi tibiae os luxatum nudetur a reponendo caveamus, propterea quod nervorum diſtenſio ſuperveniat. Quod ubi incidat, dictum eſt in opere de fracturis muſculos alios convelli, alios contineri et continuatos ſervari. Ubi ergo ad ſuum initium contrahantur, univerſum membrum brevius redditur; ſequitur enim quum a muſculis attrahitur. Quare ſi quis extendens os exſtans reponat, muſculi et ipſa intenſione non mediocriter laedentur et longitudine membri ſimul diſtenti dolorem ſentient intolerabilem. Atque idcirco quum muſculi grandes ſint, nervorum diſtenſionem ſequi neceſſe erit: nam et ubi exigui eſſent, quemadmodum in digitis,

Ed. Chart. XII. [436.] Ed. Baſ. V. (644. 645.)

δακτύλους εἰσὶν, οὐδ' οὕτω μὲν ἀκίνδυνον ἔσται, σὺν ἀκριβείᾳ δὲ πολλῇ τῆς ὅλης θεραπείας οἱ πολλοὶ τῶν τοιούτων διασώζονται. τὸ μὲν οὖν εἰς τὴν θεραπείαν χρήσιμον εἴρηταί μοι. λογικὸν δέ τι ζήτημά ἐστι κατὰ τὸν τρόπον τοῦτον οὐδὲν οὔτ' ὠφελοῦν οὔτε βλάπτον τὴν θεραπείαν ἐπισκεπτομένων ἡμῶν, διὰ τί προσέθηκε τοῖς τῆς κνήμης ὀστοῖς τὰ ἐξαρθρήσαντα· τῶν γὰρ ἐμβαινόντων ταῖς κοιλότησιν οὐ περιλαμβανόντων ταῖς ἐξοχαῖς πάθος εἶναί φησι τὸ ἐξάρθρημα. καὶ γὰρ καὶ καλεῖ αὐτὸς ἄρθρα ταῦτα, καθότι δέδεικται πολλάκις ἔμπροσθεν. οὐκ οὖν δέδεικται, φασὶ, τὴν κνήμην ἐξαρ- (645) θρεῖν λέγειν, ἀλλὰ τὸν ἀστράγαλον. ῥητέον οὖν πρὸς τὰ τοιαῦτα ζητοῦντας ὧ καὶ ἔμπροσθεν ἤδη μοι λέλεκται, τοῦ σημαῖναι τὸ λεγόμενον πρᾶγμα μόνον φροντίζειν τὸν Ἱπποκράτην, καθάπερ καὶ ὁ Πλάτων ἡμᾶς τε ποιεῖν ἀξιοῖ τοῦτο καὶ πρῶτον αὐτὸς πράττει. δέδεικται δ' ἡμῖν ἑτέρωθι, ὅτι οἱ παλαιοὶ πάντες οὐκ ἄλλον ἢ τοῦτον εἶχον τὸν σκοπόν. μόνος γὰρ φαίνεται Πρόδικος ἐζηλωκέναι αὐτὴν ἐν τοῖς ὀνόμασι μικρολογίαν, ὡς

neque ſic res periculo vacaret. Multi tamen ex his ob ſummam in curatione diligentiam ſervantur. Hactenus quod curationi utile erat. Supereſt quaeſtio quaedam ad loquutionem ſpectans, quae curationi non prodeſt aut officit, ut ſi requirant aliqui cur Hippocrates de cruris oſſibus ἐξαρθρεῖν, id eſt luxari dixerit, quum id vitium eſſe eorum oſſium affirmet quae in cavis ſe inſinuant, non eorum quae proceſſus accipiunt: hos enim vocat ἄρθρα, id eſt articulos, ut ante ſaepius oſtendimus. Non debuit igitur, inquiunt, dicere ἐξαρθρεῖν de crure, ſed de talo. Iis qui haec requirunt reſpondendum eſt id quod in prioribus ſaepenumero diximus, Hippocratem eo tantum intendere ut propoſitam rem exprimat, quod ipſe Plato et praecipit et primus exſequitur. Alibi autem demonſtravimus veteres non alio quam huc ſpectaſſe: ſolus enim Prodicus ſtuduiſſe videtur tenui huic nominum inquiſitioni,

Ed. Chart. XII. [436.] Ed. Baſ. V. (645.)

εἰώθασι προσαγορεύειν οἱ τὰ Προδίκου ζηλώσαντες. ὅτι δὲ οὐδὲν ἡ σαφήνεια τῆς διηγήσεως βλάπτεται, δῆλόν ἐστιν ἐξ αὐτῆς τῆς ῥήσεως εἰπόντος τοῦ Ἱπποκράτους, οἷσι δ' ἂν κνήμης ὀστέα ἐξαρθρήσαντα τελέως ἐξίσχῃ τὰ παρὰ τὸν πόδα ἄρθρα· καὶ γὰρ ἐὰν ὀλίγον ἄρῃς τὸ ἐξαρθρήσαντα, δῆλόν ἐστι τὸ λεγόμενον, ὥστε τοῦτο τοὔνομα προσέθηκεν Ἱπποκράτης, μηδὲν ὅλως τὴν τοιαύτην μικρολογίαν, ἣν οἱ ζητοῦντες ἐπὶ τὸ πολὺ πάντες ἀδύνατοι λέγειν εἰσίν. οἱ δέ γε δύναμιν ἔχοντες ἑρμηνευτικὴν εἰς τὴν ἐνέργειαν τῆς ἑρμηνείας ἀποβλέποντες οὐδὲ παρακολουθοῦσι τοῖς κατὰ μέρος ὀνόμασιν, ἀλλ' ἐπιῤῥέουσιν αὐτοῖς χρῶνται κατὰ τὴν τῶν Ἑλλήνων συνήθειαν. ὁ γοῦν Ἱπποκράτης ἔοικε νῦν ἐννοήσας, ὅτι ἐξίσχει τῆς διαρθρώσεως τὰ τῆς κνήμης ὀστᾶ διαπείραντα τὸ δέρμα τὴν ἑρμηνείαν οὕτως ποιήσασθαι. τὸ γὰρ ἐξέχον καὶ προκύπτον ἐπὶ πολὺ τῆς διαρθρώσεως ἐξηρθρηκέναι λέγων ἄν τις ἐναργέστερον ἑρμηνεύσειε καὶ τῇ τοῦ πράγματος φαντασίᾳ προσάγοι τὸν ἀκούοντα.

---

quam qui Prodicum ſequuntur ſolent exquiſitam diligentiam nuncupare. Hippocratem vero nihil obſcurius rem expreſſiſſe, ex verbis ejus aperte conſpicitur quum inquit: ubicunque cruris oſſibus luxatis articulis qui ad pedem ſunt penitus excedunt. Nam ſi omnino dempſeris verbum luxatis, apertum eſt quod proponitur. Sed Hippocrates hoc adjecit nihil reſpiciens ad tenuem hujusmodi nominum inquiſitionem, cui qui ſtudent plerumque non ſunt eloquentes. Nam qui dicendi facultatem habent ad vim enunciationis reſpicientes verba ſingula non attendunt, ſed Graecorum more illis utuntur quorum copiam habent. Quomodo videtur nunc Hippocrates loqui volens, oſſa cruris a commiſſura recedentia cute excedere. Si quis enim id quod exſtat et extra commiſſuram valde prominet luxatum dicat, clarius rem exponet auditoremque imagine rei docebit.

Ed. Chart. XII. [437.] Ed. Baſ. V. (645.)

ισ'.

[437] Ἀτὰρ καὶ γαγγραινοῦσθαι ἱκνέεται κνήμην καὶ τὸν πόδα· ταῦτα βεβαίως εἰδέναι χρὴ οὕτως ἐσόμενα.

Καὶ τὸ τῆς γαγγραίνης πάθημα παραγίνεσθαί φησιν αὐτοῖς ἐμβληθέντων τῶν ἐξεχόντων ὀστῶν παρὰ τῷ μεγέθει δηλονότι τῆς φλεγμονῆς. ὅταν γοῦν ὑπὲρ τὰ πάθη τὰ φλεγμαίνοντα τό τ' ἐρυθρὸν τῆς φλεγμονῆς ἀπόλλυται, πελιδνῶν γιγνομένων τῶν σωμάτων, ἥ τε ὀδύνη μεμειῶσθαι δοκεῖ, διότι καὶ ἡ αἴσθησις ἐναρκώθη, καὶ ὅταν γε τελέως ἀναίσθητα γένωνται τὰ οὕτως πάσχοντα σώματα, τὸ πάθος οἰκέτι γάγγραιναν, ἀλλὰ σφάκελον ὀνομάζουσι. μεταξὺ γὰρ τούτου τοῦ σφακέλου καὶ τῆς μεγάλης φλεγμονῆς ἐστιν ἡ γάγγραινα, τοσοῦτον χεῖρον τῆς τηλικαύτης φλεγμονῆς ὅσον μετριώτερον τοῦ σφακέλου. φθορὰ γὰρ οὗτός ἐστι τῆς ὅλης οὐσίας τοῦ σφακελίσαντος μέλους, ὥστε οὐδ' ἂν ἰήσαιτό τις αὐτὸν ἤδη συνιστάμενον, ἀλλ' ἔτ' ἀρχόμενον, ὅπερ οὐδὲ σφάκελός ἐστιν ὄντως, ἀλλὰ γάγγραινα μεγάλη πλησίον ἥκουσα σφα-

XVI.

Pedem inſuper et crus gangraena prehendit, quae ſic futura eſſe certum ſcire convenit.

Gangraenam quoque his ſupervenire ait ob inflammationis ſcilicet magnitudinem, ubi excedentia oſſa recondita fuerint. Inflammatae ergo partes, quum rubor inflammationis recedit, lividae evadunt minuique dolor videtur, eo quod ſenſus torpeat; ſed ubi quae ſic affectae ſunt ex toto ſentiendi facultate carent, Graece id vitium non amplius gangraena, ſed ſphacelus vocatur. Inter hunc autem et magnam inflammationem media gangraena eſt, quae tanto gravior ejusmodi inflammatione eſt, quanto levior ſphacelo: ſub hoc enim natura membri univerſa corrumpitur, idemque ubi jam haeret curationem non admittit, ſed ſolum a principio, quum nondum ſphacelus eſt, ſed magna gangraena ſphacelo vicina. Verum abuti-

Ed. Chart. XII. [437.] Ed. Baſ. V. (645.)

κέλου. καταχρώμεθα δ' οὖν ἐνίοτε τοῖς τῶν παρακειμένων παθῶν ὀνόμασι ἐπὶ τῶν ἀφικνουμένων μὲν εἰς αὐτὰ, μηδέπω δὲ ἐχόντων τὴν ἐκείνων ἰδέαν τε καὶ φύσιν. οὕτως οὖν καὶ τὴν μεγίστην φλεγμονὴν, ὅταν μήτε τὴν εὔχροιαν διασώζῃ τὴν ἑαυτῆς μήτε τὴν ὀδύνην, ἐνίοτε γάγγραιναν ὀνομάζομεν, μηδέπω μὲν οὖσαν ἀκριβῶς γάγγραιναν, εἰ δ' ἀμεληθείη, μικρὸν ὕστερον ἐσομένην.

ιζ'.

Καὶ οὐκ ἄν μοι δοκέῃ οὔτ' ἐλλέβορος ὠφελήσειν αὐθήμερόν τε δοθεὶς καὶ αὖθις πινόμενος, ἄγχιστα δὲ εἴπερ τι τοιοῦτον, οὐ μέντοι οὐδὲ τοῦτο δοκέω· ἢν δὲ μὴ ἐμβληθῇ, μηδὲ ἀπ' ἀρχῆς, μηδὲ εἰσπειρηθῇ ἐμβάλλειν, περιγίνονται οἱ πλεῖστοι αὐτῶν.

Περὶ τῆς τοῦ ἐλλεβόρου χρήσεως ἐπὶ τῶν τοιούτων παθῶν εἴρηταί μοι διὰ τῶν εἰς τὸ περὶ ἀγμῶν ὑπομνημάτων.

---

mur interdum vicinorum affectuum nominibus ad eos ſignificandos qui ad hos accedunt, quamquam nondum ex toto ipſorum ſpeciem et naturam habent. Sic igitur et ingentem inflammationem, quum non amplius ſuum colorem tuetur dolorique eſt, interdum nominare gangraenam conſuevimus, quae quamvis gangraena nondum penitus ſit, futura tamen eſt paullo poſt, ſi negligatur.

XVII.

Nec mihi etiam videtur idoneum eſſe veratrum, eodem die datum et rurſus epotum, ſed ut quodvis tale ad idoneum proxime accedere, cui tamen confido. Quodſi neque ab initio reponantur, neque tentet aliquis ea reponere, plerosque ſe explicare manifeſtum eſt.

Tractavimus de uſu veratri ad ejusmodi vitia in commentariis in librum de fracturis.

Ed. Chart. XII. [437. 438.] Ed. Baf. V. (645.)

ιη'.

Χρὴ δὲ ἡρμόσθαι μὲν τὴν κνήμην καὶ τὸν πόδα οὕτως, ὡς αὐτὸς ἐθέλει.

Ἡρμόσθαι μὲν τὴν κνήμην καὶ τὸν πόδα τὸ ἀσφαλῶς ἐστιν ἐστηρίχθαι. τούτου δὲ στοχαζόμενόν σε κελεύει τὸ ἀνωδυνώτατον αἱρεῖσθαι σχῆμα τῷ κάμνοντι· τὸ γὰρ, ὡς αὐτὸς ἐθέλει ὁ κάμνων, τοῦτον ἔχει τὸν σκοπόν.

ιθ'.

[438] *Μοῦνον δὲ μὴ ἀπαιωρευμένα, μηδὲ κεκινευμένα ἔστω.*

Τὸ μὲν μὴ κεκινευμένα δυνάμει προείρητο κἂν τῷ ἡρμόσθαι· τοῦτο γάρ ἐστιν αὐτὸ τὸ ἡρμόσθαι τὸ ἐστηρίχθαι οὕτω κατὰ πᾶν μέλος τὸ κῶλον, ὡς μηδαμόθι δύνασθαι κινεῖσθαι. τὸ δὲ μὴ ἀπαιωρευμένα καλῶς προσέθηκεν. εἰρηκὼς γὰρ ὅτι περ ἂν εὐφορώτατον ᾖ τῷ κάμνοντι σχῆμα, τοῦθ' ἡμᾶς αἱρεῖσθαι, τῶν σχημάτων δ' ἔν τι τὸ κατάρ-

XVIII.

Fulcire autem crus et pedem oportet eo modo quo ipſe velit.

Fulcire crus et pedem ἡρμόσθαι dixit, hoc eſt ſtabiliter collocare. Quo ſpectans imperat, ut membrum figuremus, quemadmodum maxime cubantem juvat. Nam, quod ait, eo modo quo ipſe aeger velit, huc evadit.

XIX.

Tantum ne dependeant, neve moveantur.

Ejus quod nunc ait, neve moveantur, vim ante propoſuit, quum fulcire praecepit, quod ſignificavit verbo ἡρμόσθαι. Neque enim aliud eſt fulcire membrum, quam ab omni parte ſtabiliter collocare, ſic ut nullo pacto moveri poſſit. Recte autem adjecit ne dependeant. Praefatus enim continendum a nobis membrum, quemadmodum cubantem juvat, non ignorans contineri membrum poſſe

Ed. Chart. XII. [438.] Ed. Baſ. V. (645.)

ῥοπον ἐπιστάμενος ἀξιοῖ τοῦτο φυλάττεσθαι, διότι ῥευματίζεσθαι τὰ πεπονθότα φλεγμονῆς αἴτιον γίγνεται. μεμνήμεθα δήπου κατὰ τὴν ἔμπροσθεν διδασκαλίαν εἰρημένου ὑπ' αὐτοῦ κατὰ τὸ σκέλος σχήματος, ὡς ἄκρον τὸν πόδα βραχεῖ τινι τῆς ἀκριβεστάτης εὐθύτητος ὑψηλότερον εἶναι προσήκει. νῦν οὖν ἔοικε συγχωρεῖν τοῖς κάμνουσι χρῆσθαι τῷ κατ' εὐθεῖαν. ὄντων γὰρ τριῶν τῶν πάντων, τοῦ τε καταῤῥόπου τε καὶ τοῦ ἰσορῥόπου καὶ τρίτου ἀναῤῥόπου συγχωρῶν ὡς ἂν ὁ κάμνων ἐθέλῃ σχηματίζεσθαι τὸ σκέλος, ἄνευ τοῦ καταῤῥόπου προστίθησιν. ἔμπροσθεν δ' ἐκέλευε μόνῳ χρῆσθαι τῷ ἀνθρώπῳ τῷ κατ' εὐθυωρίαν. εὔδηλον οὖν ἐστιν, ὅτι μάλιστα φροντίζει κατὰ τὰς τοιαύτας διαθέσεις ἀνωδυνίας φόβῳ σπασμοῦ. τοῦτον γὰρ ἐν τοῖς νευρώδεσι μορίοις, αἱ ὀδύναι μάλιστα ἐργάζονται, ὥστ' εἴγε μήτε ψύχοιτο τὰ οὕτω πεπονθότα μήτ' ὀδυνῷτο, σπασμὸν αὐτοῖς ἐπιγενέσθαι ἀδύνατόν ἐστι.

---

etiam dependens, edicit ut ejusmodi habitum vitemus, quum ad affectum locum materiam concitet, quae cauſa inflammationis eſt. Meminiſtis quidem ejus quod narravit in ſuperiori opere de crure figurando, ubi extenſum pedem collocari voluit paullo ſublimiorem quam ut exquiſite rectus ſervaretur; nunc vero permittere aegris videtur, ut ipſum rectum habeant. Nam quum tribus modis figurari poſſit, dependens, rectus ac tertio in ſuperiorem partem ſpectans, permittit aegrotanti, ut quo pacto velit, crus figuret, modo non dependeat; ſed antea praeceperat ut ſublimiorem dumtaxat contineret. Perſpicuum itaque eſt Hippocratem in hujusmodi affectibus eo potiſſimum incumbere, ut dolor vitetur veritus, ne ſequatur nervorum diſtenſio, quam in nervoſis partibus dolor maxime infert. Quamobrem ſi quae hoc modo vitiata ſunt, neque refrigerentur, neque dolore tententur, nervorum diſtenſione prehendi minime poſſunt.

Ed. Chart. XII. [438.] Ed. Baf. V. (645.)

κ'.

Καὶ ἰητρεύειν δὲ πισσηρῇ καὶ σπλήνεσιν οἰνηροῖσιν ὀλίγοισι μὴ ἄγαν ψυχροῖσι. ψῦχος γὰρ ἐν τοῖσι τοιούτοισι σπασμὸν ἐπικαλέεται.

Καὶ περὶ τῶν τοιούτων ἤδη μοι λέλεκται, θεραπευούσης μὲν τῆς πισσηρᾶς κηρωτῆς τὰ ἕλκη, τοῦ δ' οἴνου καὶ μάλιστα, ὡς αὐτὸς ἐδίδαξε, μέλανός τε ὄντος καὶ αὐστηροῦ διαφυλάττοντος ἀφλέγμαντα τὰ πεπονθότα μέρη. περὶ δὲ τοῦ φεύγειν χρῆναι τὸ ψῦχος, ὡς σπασμῶδες, ἴσως μὲν ἐπὶ τῶν σαρκωδῶν μερῶν ἔδει τινὸς ἐξηγήσεως, ἐπὶ δὲ τῶν νεύρων ἄντικρυς δῆλον· ἀμφότερον γὰρ αὐτοῖς ὑπάρχει καὶ τὸ ψύχεσθαι ῥᾳδίως, ἅτε φύσει ψυχροῖς οὖσι καὶ ἀναίμοις καὶ τὸ παθοῦσιν εἰς σπασμὸν ἥκειν. οὐδὲ γὰρ οὐδ' ἄλλο τι δύναται σπασθῆναι μέρος ἄνευ τοῦ συμπαθῆσαι τὰ νεῦρα· καὶ μὴν δὴ καὶ ὅτι νευρώδεις τε τῶν ἄλλων μερῶν εἰσιν αἱ διαρθρώσεις πρόδηλον. οἱ γάρ τοι μύες ἐν αὐτοῖς εἰς τένοντα τελευτῶσιν ἀποτιθέμενοι τὰς σάρκας, ὃς ἐν τοῖς ἄλ-

XX.

Mederique cerato quod picem habeat, paucis pannis ex vino madentibus non valde frigidis, quandoquidem frigus in his nervorum diſtenſionem concitat.

De his quoque jam loquuti ſumus. Nam ceratum quod picem habeat ulceribus accommodatur; vinum, praeſertimque, ut ipſe docuit, nigrum et auſterum affectas partes inflammari non patitur. Quod autem inquit fugiendum eſſe frigus quum nervorum diſtenſionem efficiat, in carnoſis partibus forte aliqua expoſitione indiget. In nervis evidentiſſimum eſt quibus utrumque ineſt: nam et facile refrigerantur, ut qui natura frigidi ſint atque exſangues; et quum laeduntur, in diſtenſionem incidunt; quum neque in alia parte diſtenſio incidere poſſit, niſi nervi afficiantur. Commiſſuras vero inter alias partes maxime nervoſas eſſe manifeſtum eſt, in quibus muſculi poſita carne quam in aliis ſuis partibus habebant in chor-

Ed. Chart. XII. [438. 439.] Ed. Baſ. V. (645. 646.)

λοις ἑαυτῶν μέρεσιν εἶχον, (646) ὥστε μᾶλλον ζητητέον ἐστὶ, διὰ τί χρῆ- [439] ται ψυχρῷ μετρίως τῷ οἴνῳ· χρῆναι γὰρ οὐδὲ μετρίως ψυχρὸν προσφέρειν, ἀλλὰ θερμόν. ἔστι δὲ καὶ ὁ περὶ τούτου λόγος τοιόσδε· τῶν ἠλκωμένων μορίων ὁ μέντοι σκοπὸς τῆς ἰατρικῆς ἐστιν ἐν τῷ μὴ φλεγμῆναι. τοῦτο δὲ ἔσται μηδεμιᾶς ὑγρότητος ἐπιῤῥεούσης μορίῳ τῷ πεπονθότι, οὐκ ἐπιῤῥυήσεται δὲ ψυχόντων ἡμῶν αὐτό· τὰ γὰρ θερμαίνοντα καὶ ὑγραίνοντα εἰ τῷ σώματι προσφέρεται, παραχρῆμα μὲν ἐρυθρότερον ἐργάζεται τοῦτο. μικρὸν ὕστερον δὲ καὶ εἰς ὄγκον ἐξαίρει, καίτοι καὶ ἄλλην παραπλησίαν φλεγμονὴν καὶ περὶ αὐτὸ διάθεσιν ἐργάζεται. τὰ δὲ ψύχοντα τοὐναντίον ἅπαντα οὐ μόνον οὐδεμίαν ἐπικαλεῖται τοῖς ψυχομένοις μέρεσιν ἐκ τῶν ἄνωθεν ὑγρότητα περιττὴν, ἀλλὰ καὶ τὰς περιεχομένας ἐν αὐτοῖς ἐκθλίβει τε καὶ ὠθεῖ πρὸς τὰ πλησιάζοντα μόρια· διττὰ δ' ἐστὶ τὰ ψύχοντα· τὰ μὲν τῇ πρὸς τὴν ἁφὴν ποιότητι προσφάτῳ, τὰ δὲ τῇ συμφύτῳ δυνάμει, τὰ δὲ τὰ στύφοντά ἐστι ψυχρὰ, καθάπερ ἐδείξαμεν ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων

das degenerant. Quare magis inquirendum eſt, cur utatur modice frigido, quum non mediocriter frigidum, ſed calidum adhibendum videatur, cujus ratio ſic habet. In curantis partibus exulceratis propoſitum eſt ut ab inflammatione defendantur. Defendentur autem, ſi nullus humor ad eas concurret, quam rem eas refrigerando conſequemur. Nam ſi admoveantur quae calidum et humidum corpus efficiunt, ſtatim rubicundius, paullo poſt tumidius ipſum exhibebunt et in alium affectum inflammationi ſimilem compellent. Contraria omnia praeſtant quae refrigerant, quum non modo nihil humoris a ſuperioribus partibus ad refrigeratum locum concitent, ſed quod in eo ſubſiſtit exprimant et ad proximas partes depellant. Eſt autem refrigerantium duplex genus, quaedam adventitia qualitate tactu frigida ſentiuntur, quaedam innatam refrigerandi facultatem habent. Adſtringentia quidem frigida ſunt, ſicut in opere de ſimplicium medicamentorum facul-

Ed. Chart. XII. [439.] Ed. Baſ. V. (646.)

πραγματείᾳ· καὶ τὸ λοιπὸν γένος τῶν ψυχόντων ἀπὸ τούτων διώρισται, μήκωνος ὑπός καὶ μανδραγόρου χυλὸς καὶ κώνειον, ὅσα τ' ἄλλα τὴν ψῦξιν ἔχει σὺν ὑγρότητι. αὐστηρὰ γὰρ πάντα γεώδη τὴν ψῦξιν ἔχειν ἐδείκνυτο. λέλεκται δὲ οὐκ ὀλίγα περὶ τῆς τῶν τοιούτων φαρμάκων χρήσεως κἀν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν, ὥσπερ γε κἀν τοῖς περὶ τῶν ἑλκῶν Ἱπποκράτους ὑπομνήμασι. πρὸς δὲ τὸν ἐνεστῶτα λόγον ἀρκεῖ γιγνώσκειν τοσοῦτον, ὡς ἡ μὲν τῶν ὑγρῶν καὶ ψυχρῶν φαρμάκων δύναμις εἰς τὸ βάθος ὅλον ἐνδύεται τῶν σωμάτων, οἷς ἂν πλησιάζῃ καὶ διὰ ταχέων αὐτὰ καταψύχει πλέον ἢ δεῖται ναρκοῦντα τὴν διοικοῦσαν τὰ σώματα δύναμιν. ὅσα δὲ γεώδη τὴν ψῦξιν ἔχει, ταῦτ' ἐπιτηδειότατα, δι' ὧν εἴρηκα πραγμάτων, ἐδείχθη πρὸς ἀπόκρισιν ἐπιῤῥεόντων χυμῶν. κατὰ τοῦτο τοιγαροῦν αὐτὰ προσφέρομεν, ἐπεὶ καὶ τὸ θερμὸν ἐπισπᾶται πρὸς ἑαυτὸ τοὺς χυμούς. διὰ τοῦτο καὶ τῇ προσφάτῳ ποιότητι ψυχρὰ προσφέρομεν, μὴ ὅτι θερμαινόντων αὐτά. νῦν οὖν ὁ Ἱπποκρά-

tate demonſtravimus, ubi reliquum genus refrigerantium ab his deducitur; ad hoc ſpectat papaveris lacryma, mandragorae ſuccus, cicuta et cetera quae madefaciunt ſimul et refrigerant. Namque auſtera omnia terrenam naturam habent cum facultate refrigerandi. De uſu autem horum medicamentorum non pauca ſcripſimus in eo volumine, quod eſt de ratione curandi nec non in commentariis in librum Hippocratis de ulceribus. Sed quod ad hunc locum pertinet, id noviſſe abunde eſt quod madefacientium et refrigerantium medicamentorum vis penetrat omnino ad altiores partes eorum corporum, quibus admovetur citoque ipſas ultra debitum refrigerat, torporemque affert potentiae corpora adminiſtranti. Quae vero cum refrigerandi vi terrenam naturam habent, ut oſtenſum eſt in libris quos commemoravi, ad confluentes ſuccos depellendos maxime aptantur, atque hac de cauſa illis utimur. Sed quia calor ad ſe humores concitat, ideo adventitia qualitate frigida admovemus, neque illa calefacimus. Nunc

Ed. Chart. XII. [439.] Ed. Baf. V. (646.)

της ὅσον μὲν ἐπὶ τῇ διαθέσει τῶν ἡλκωμένων μορίων ἐχρῆτο ἂν αὐτοῖς τοῖς ψυχροῖς, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων τραυμάτων· ὅσον δ' ἐπὶ τῷ φοβεῖσθαι τὸν διὰ τὴν ψῦξιν εἰωθότα γίγνεσθαι σπασμὸν, οὐ τολμᾷ τελέως ἐψυγμένου χρῆσθαι καὶ διὰ τοῦτο προσέθηκε τῷ περὶ αὐτῶν λόγῳ τὸ μὴ ἄγαν ψυχροῖσιν.

κα'.

Ἐπιτήδεια δὲ καὶ φύλλα τευτλων ἢ βηχίου ἢ ἄλλου τινὸς τῶν τοιούτων ἐν οἴνῳ μέλανι αὐστηρῷ ἡμίεφθα ἐπιτεθέντα ἰητρεύειν ἐπί τε τὸ ἕλκος ἐπί τε τὰ περιέχοντα.

Ποία τίς ἐστι καὶ τὸ βήχιον ἐπιτηδεία πρὸς τὰ παρόντα διὰ τὸ ξηραίνειν μετρίως, οὗ χρήζειν ἐδείχθη τὰ ἕλκη πάντα. περὶ δὲ τοῦ μέλανος οἴνου καὶ αὐστηροῦ λέλεκταί μοι κἀν τοῖς περὶ ἀγμῶν ὑπομνήμασιν, ὅτι τὸ μὲν ἀποκρούεσθαι τοῖς ἄλλοις οἴνοις ὁμοίως ἔχει. παχυμερέ-

vero quod ſpectat ad exulceratarum partium affectum, Hippocrates frigidis uteretur, quemadmodum et in aliis vulneribus; ſed quatenus nervorum diſtenſionem timet quam afferre frigus ſolet, veretur ex toto frigida imponere atque idcirco adjecit, quum de his loquitur non valde frigidis.

XXI.

Recte etiam folia betae vel tuſſilaginis vel cujuspiam alterius talis in vino nigro auſtero ſemicocta, ulceri atque adjectis partibus imponuntur.

Tuſſilago herba quaedam eſt propoſito affectui ſalutaris, quum modice ſiccet id quod in omnibus ulceribus requiri demonſtravimus. De vino autem nigro atque auſtero loquuti ſumus in commentariis in librum de fracturis. Hoc repellendi facultatem habet ſimiliter ut alia vina

Ed. Chart. XII. [439. 440.] Ed. Baſ. V. (646.)

στερος δὲ ὑπάρχων αὐτῶν [440] *οὐ δάκνει τὰ ἡλκωμένα μόρια καὶ κατὰ τοῦτ' ἔστιν αἱρετώτερος ἐκείνων.*

κβ'.

Κηρωτῇ δὲ χλιερῇ ἐπιχρίειν αὐτὸ τὸ ἕλκος.

Οὐχ ὡς ἕλκει συμφέρουσαν ἐπιδέδεικταί μοι αἱρεῖσθαι νῦν τὴν κηρωτὴν τὸ περὶ τῶν ἑλκῶν ἐξηγουμένῳ, φεύγων τὰ τοιαῦτα φάρμακα κωλύοντα τὴν κόλλησιν αὐτῶν, ἀλλ' ὅτι νῦν οὐχ ἁπλῶς ὡς ἕλκος ἰᾶται τὸ ἕλκος, ὅτι μήτε κολλᾷν αὐτῷ πρόκειται, καθάπερ ἄλλα τὰ νεότρωτα. τὸν πρῶτον δ' ἔχει σκοπὸν ἐν τῇ θεραπείᾳ μὴ σπασθῆναι τὸν ἄνθρωπον, δι' ὧν οὐδ' ἐμβάλλειν αἱρεῖται τὸ ἄρθρον, ἀλλὰ μᾶλλον ἐᾶσαι χωλὸν αἰσχρῶς ἀποδειχθῆναι τὸ ἕλκος, οὔτ' οὖν ἁπλῶς προσφέρει τὰ μαλθακώδη φάρμακα· καλεῖ γὰρ οὕτως αὐτὸς ἐν τῷ περὶ ἑλκῶν αὐτά, καίτοι παρηγορικὰ τῶν φλεγμαινόντων ὄντα. κατ' ἀρχὴν γὰρ οὕτω γεγονυίας φλε-

et quum craſſiorum partium ſit, quam ipſa exulceratas partes non mordet, ea de cauſa praeſtantius eſt.

XXII.

Tepido item cerato ulcus inungitur.

Admovet nunc ceratum, non ut ulceri medeatur. Oſtendimus enim in expoſitione libri de ulceribus, vitari ab Hippocrate hujusmodi medicamenta quae ulcerum glutinationem prohibent; ſed quoniam nunc ulceri, quatenus ulcus eſt non ſuccurrit, quum neque id glutinare propoſitum ſit, ſicut alia recentia vulnera. Primum autem curationis conſilium eo ſpectat, ne homo nervorum diſtenſione prehendatur. Quocirca neque reponendum articulum cenſet, ſed magis permittendum, ut crus ex ulcere turpiter claudicet. Non tamen ſimpliciter adhibet lenia medicamenta, quae vocat in libro de ulceribus *μαλθακώδη*, quamvis poſſint inflammatas partes lenire. Primo enim

Ed. Chart. XII. [440.] Ed. Baſ. V. (646.)

γμωνῆς αὐτοῦ τοῦ μὴ γενέσθαι πρὸς τὴν ἀρχὴν αὐτὴν φροντίζει καὶ διὰ τοῦτο χρῆται τοῖς ἀποκρουστικοῖς. οὔτ' αὖ μόνοις τούτοις χρῆται, καθάπερ ἐπὶ τῶν ἄλλων διὰ τὸ σπασμοῦ δεδιὼς, ἀλλ' ἔστιν αὐτῷ μικτὸς ὁ τρόπος τῆς θεραπείας ἐπιπεπλεγμένων ἀλλήλοις τῶν ἐναντίων ταῖς δυνάμεσι φαρμάκων ἐν μέτρῳ προσήκοντι. φανεῖται δέ γε καὶ διὰ τῶν ἐφεξῆς γεγραμμένων τούτου στοχαζόμενος, οἷς ἤδη πρόσεχε τὸν νοῦν.

κγ'.

Ἦν δὲ ἡ ὥρη χειμερινὴ ἔῃ καὶ ἔρια ῥυπαρὰ ἐν οἴνῳ καὶ ἐλαίῳ καταῤῥαίνοντα χλιεροῖσι ἄνωθεν ἐπιτέγγειν.

Οὔτε χλιαροῖς ἐχρῆτο τοῖς φαρμάκοις, οὔθ' ὅλως ἐμίγνυεν ἔλαιον, εἴπερ ὡς ἠλκωμένον ἁπλῶς ἐθεράπευε τὸ μύριον, ἀλλ' ὅπερ ἔμπροσθεν ἔφην, ἐπειδὴ φοβεῖται τὸν σπασμὸν, ἔλαιόν τε μίγνυσι καὶ χλιαρὰ προσφέρει πάντα, μήθ' ὡς πρὸς σπασμὸν ἱστάμενος μόνον· ἀποκεχώρηκε γὰρ ἂν

eo incumbit, ut inflammatio minime oriatur, atque idcirco repellentibus utitur; neque his rurſus per ſe, quemadmodum in aliis caſibus, timet enim nervorum diſtenſionem; ſed compoſitam curationis rationem indicat per medicamenta contrariae facultatis juſto modo inter ſe mixta, quo maxime tendere in ſequentibus videtur. Ad quae jam animum adjungito.

XXIII.

Quodſi hibernum tempus fuerit, lana quoque ſuccida madens ex vino atque oleo tepido imponenda eſt; et perfuſione inſuper utendum.

Neque medicamenta tepida adhiberet, neque oleum prorſus adjiceret, ſi loco ſubveniret quaſi ſimpliciter ulcerato, ſed, quod ſupra retuli, veretur nervorum diſtenſionem; atque ob eam rem oleum admiſcet et tepida cuncta ſuperimponit nec, ut qui tantum pugnet contra nervorum di-

Ed. Chart. XII. [440. 441.] Ed. Baſ. V. (646.)

οὕτω τῆς κατὰ τὸ ἕλκος ἰάσεως· ἀλλὰ μηδὲ πρὸς ἐκεῖνο μόνον ἀποβλέπων. ἐν γὰρ τοῖς ἐπιπεπλεγμένοις πάθεσι ἐπιπλέκεσθαι δεῖ καὶ τὴν θεραπείαν, διὰ τοῦτο δὲ καὶ τὰ ἔρια προσφέρειν κελεύει ὑυπαρὰ, τουτέστιν οἰσυπηρά. καλοῦσι γὰρ οὕτως αὐτὰ διὰ τὸν οἶσυπον, ἐπειδὴ καὶ τοῦτο τὸ φάρμακον οὐχ ἁπλῆς ἐστι δυνάμεως, ὡς ἐδείκνυμεν ἐν τοῖς περὶ φαρμάκων, ἀλλὰ μικτῆς ἐξ ἐναντίων ποιοτήτων τε καὶ δυνάμεων τῆς τε σιυφούσης καὶ τῆς θερμαινούσης χλιαρῶς. ἐπιτέγγειν δὲ, τουιέστιν ἐπιβρέχειν κελεύει τὰς τοιαύτας διαθέσεις οὐκ ἐν χειμῶνι μόνον, ἀλλὰ καὶ τῷ θέρει δηλονότι. κοινὸν γὰρ τοῦτο κατὰ πάσης τῆς θεραπείας, ἧς εἶπεν, ἐπὶ τῇ τελευτῇ προσέθηκεν, οὐχ ὡς ἐν τῷ χειμῶνι μόνον δεομένων [441] τῶν τοιούτων διαθέσεων ὑγρότητος διηνεκοῦς, ἀλλὰ καὶ τῷ θέρει μᾶλλον ἢ ἐκείνῳ. διότι καὶ μᾶλλόν γ' ἐν αὐτῷ ξηραίνεται τὰ περιβαλλόμενα τοῖς οὕτως ἔχουσιν ἔρια. καταντλεῖν μὲν οἶν ἀεὶ συνεχῶς ἅπαντα τὰ τοιαῦτα κελεύει. τὸ καταντλούμενον δ' εἶναι χρὴ τοιοῦτον, οἷον ἐκέλευσε κατὰ τὴν πρώτην εὐθέως θεραπείαν προσφέρειν

ſtenſionem, ulceris curationem relinquit; ſed neque ad ulcus ſpectat dumtaxat: mixti enim morbi mixta quoque praeſidia exigunt. Quocirca praecipit ut lana ſuccida inducatur, quam *οἰσυπηρὰν* dicunt, propterea quod oeſypum habeat. Quandoquidem, ut in libro de ſimplicium medicamentorum facultate oſtendimus, hujus medicinae proprietas ſimplex non eſt, ſed mixta ex contrariis qualitatibus ac viribus adſtringendi ſcilicet et modice calefaciendi. Perfundi autem voluit hos affectus non hieme tantum, ſed aeſtate etiam. Hoc ſiquidem quod in fine ſubdit commune eſt totius propoſitae curationis, quoniam hujusmodi affectus non hieme dumtaxat aſſiduam perfuſionem requirunt, quum aeſtate quoque magis eam poſtulent, quam hieme, quo tunc his lana impoſita magis ficceſcat. Imperat igitur ut haec omnia aſſidue perfundantur. Id vero quo perfundimus tale eſſe debet, quale in principio protinus orationis admoveri juſſit, nempe vinum aeſtate per

Ed. Chart. XII. [441.] Ed. Baf. V. (646. 647.)

ἢ οἶνον μόνον, ὅταν ᾖ θέρους ἢ μετ' ἐλαίου κατὰ χειμῶνα δηλονότι καὶ μέντοι καὶ τὸ ποσὸν τῆς θερμότητος ἐκ τῆς τοῦ περιέχοντος ἡμᾶς ἀέρος εὑρήσεις κράσεως. ἡνίκα μὲν γὰρ ἱκανῶς ἐστι ψυχρὸς, αὐξήσεις τὴν θερμότητα τῶν ἐπαντλουμένων ὑγρῶν, ἡνίκα δὲ θερμὸς, ἐκλύσεις. οὐ γὰρ ὅλως ἦκεν ἐπὶ τὸ χρῆσθαι τῷ θερμῷ, διὰ τοῦτο καὶ τὴν ποσότητα τῆς θερμασίας ὑπαλλάξεις συνεπιτείνων τε καὶ συνεκλύων τῇ τοῦ περιέχοντος ἡμᾶς ἀέρος κράσει. μεμνῆσθαι δ' ἐπὶ τῶν τοιούτων ἁπάντων χρὴ τῶν εἰρημέ- (647) νων ὑπ' αὐτοῦ καθόλου καὶ μὴ πάντα ἐπὶ πᾶσιν ἀκούειν ἐθέλειν. τίνα δὲ ταῦτά ἐστιν; ἃ καὶ διὰ τῶν εἰς τοὺς ἀφορισμοὺς ὑπομνημάτων ἠξίωσα μεμνῆσθαι καὶ δι' ἄλλων πολλῶν· καὶ ἐπειδάν ἔν τι ῥηθῇ καὶ τῶν ἄλλων ἁπάντων ὅσα τὴν αὐτὴν ἔχει δύναμιν ἀναμιμνήσκεσθαι προσήκει καὶ νομίζειν ἐπὶ πάντων ἀκηκοέναι τὸν λόγον ὡς ἂν καὶ πάντων ὄντα κοινόν. οὕτω γοῦν καὶ νῦν αὐτὸς μὲν ὥρας χειμερινῆς ἐμνημόνευσε, σὺ δὲ καὶ χώρας καὶ ἡλικίας καὶ ἐθῶν τε καὶ φυσικῆς κράσεως σωμάτων ἀναμνησθήσῃ, χώρας μὲν

ſe, hieme cum oleo. Caloris autem modum conjicies ex temperamento aëris in quo vivimus; ubi enim valde frigidum fuerit, humoris qui perſunditur calorem augebis; ubi calidum, remittes. Ad calidi enim uſum nunquam venit, quocirca caloris modum augens atque remittens pro ambientis coeli temperamento variabis. In quibus omnibus meminiſſe debes eorum, quae in univerſum dixit nec omnia ubique velle percipere. At quaenam haec ſunt? nimirum ea quae in commentariis in eas ſententias Hippocratis, quae aphoriſmi inſcribuntur, et in aliis compluribus recenſenda duximus. Quorum ubi unum aliquid poſitum fuerit, omnium quae eandem vim habent meminiſſe oportet exiſtimareque ſermonem in omnibus accipiendum eſſe, quaſi omnium communis ſit. Sic igitur et nunc Hippocrates hiberni temporis meminit; tu vero regionem, aetatem, uſum, corporis naturam revocare in memoriam debes, nempe regionem frigidam, aetatem ſenilem, uſum

Ed. Chart. XII. [441.] Ed. Baf. V. (647.)

ψυχρᾶς, ἡλικίας δὲ πρεσβυτικῆς, ἐθῶν δὲ τῶν καταψυχόντων τὸ σῶμα καὶ φυσικῆς κράσεως τῆς ψυχροτέρας. ἅπαντα γὰρ ἐνδείκνυται ταῦτα τὴν αὐτὴν ἔνδειξιν τῇ πρὸς Ἱπποκράτους ὥρᾳ γεγραμμένῃ. ἀλλὰ καὶ ὥσπερ ἐν χειμῶνι πρὸς τὸ θερμότερον ὑπαλλάττει τὴν θεραπείαν, οὕτως ἐν θέρει κατὰ τοὐναντίον ἐπὶ τὸ ψυχρότερον ὑπαλλάξεις. ἀνάλογον δὲ τῷ θέρει κατὰ τὰς θερμὰς ἡλικίας τε καὶ χώρας ἔθη τε καὶ κράσεις σωμάτων. πάντων μὲν οὖν θερμαίνειν ἐνδεικνυμένων αὔξήσεις ἐπὶ τὸ θερμὸν ἅπασαν τὴν θεραπείαν, ἁπάντων δὲ ψύχειν ἐπὶ τὸ ψυχρόν· εἰ δὲ τὰ μὲν ἐπὶ τὸ θερμαίνειν γε, τὰ δὲ ἐπὶ τὸ ψύχειν προτρέπει, πρός τε τὸν ἀριθμὸν αὐτῶν ἀποβλέπων καὶ τὴν δύναμιν, οὕτως ἂν μάλιστα στοχάσαι τοῦ πρυσήκοντος μετρίως καιὰ τὸ θερμαίνειν τε καὶ ψύχειν.

κδ'.

Καταδεῖν δὲ μηδὲν μηδενὶ, μηδὲ περιπλάσσειν. εὖ γὰρ εἰδέναι χρὴ, ὅτι πίεξις καὶ ἀχθοφορίη πᾶν κακὸν τοῖσι τοιούτοισίν ἐστιν.

---

eorum quae corpus refrigerant, corporis naturam frigidiorem. Siquidem haec omnia idem hortantur ac tempus, cujus Hippocrates meminit. Sed quemadmodum hieme curationem calidiorem adhibet, ſic aeſtate contra tu frigidiorem admovebis; et ſicut in aeſtivo tempore, ita in aetate, regione, conſuetudine et natura corporis calida. Quodſi omnia calefaciendum eſſe denuncient, calidioribus praeſidiis uteris; ſi refrigerandum, frigidioribus; ſin alia ad calefaciendum, alia ad refrigerandum hortentur, ipſorum numerum ac vim ſpectabis. Sic enim maxime convenientem calefaciendi et refrigerandi modum conjicies.

XXIV.

Neque ulla re quidpiam devincies, neque aliquid impones. Scire enim licet hujusmodi vitiis omnibus modis alienum eſſe preſſum et onus.

Ed. Chart. XII. [441. 442.] Ed. Baſ. V. (647.)

Οὐ μόνον ἀφεῖλε τὴν διὰ τῶν ὑποδεσμίδων ἐπίθεσιν ἐπὶ τούτων, ἣ διὰ παντὸς ἐχρῆτο κατά τε τὰ κατάγματα καὶ τὰς ἐξαρθρήσεις, ἀλλὰ καὶ τὰς ἔξωθεν ἐπὶ τοῖς ἑρίοις γινομένας περιβολὰς τῶν ἐπιδέσμων· καὶ τὴν αἰτίαν εἶπεν αὐτὸς, ὅτι πίεξις καὶ ἀχθοφορίη πᾶν κακὸν τοῖς τοιούτοις ἐστίν. ἀρκεῖ τοιγαροῦν αὐτοῖς μόνα τὰ ἔργα μήτε πίεσιν ἐργάσασθαι μήτ' ἀχθοφορίαν δυνάμενα διὰ μαλακότητά τε καὶ κουφότητα. ταῦτα δὲ πάλιν οὐχ ὡς ἕλκος ἰώμενος δέδιεν, ἀλλὰ καὶ τὸν ἐκ τῶν γεγυμνωμένων τε καὶ τεθλασμένων τενόντων καὶ νεύρων φυλαττόμενος σπασμόν.

κε'.

[442] *Ἐπιτήδεια δὲ πρὸς τὰ τοιαῦτα καὶ τῶν ἐναίμων μετεξέτερα, ὅσοισιν αὐτῶν ξυμφέρει. ἔρια δὲ ἐπιτιθέντα οἴνῳ ἐπιτέγγοντα πολὺν χρόνον ἐᾷν· τὰ δὲ ὀλιγημερώτατα τῶν ἐναίμων καὶ ὅσα ῥητίνῃ προκαταλαμβάνεται, οὐχ ὁμοίως ἐπιτήδεια ἐκείνοισίν ἐστι. χρονίη γὰρ ἡ κάθαρσις τῶν ἑλκέων γίνεται τούτων, πολὺν γὰρ χρόνον πλα-*

Subtrahit in hoc caſu non modo eas faſcias quae primae injiciuntur, quos ubique ad comminuta et ad luxata oſſa adhibuit, ſed et eas quae ſuper lanam volvuntur. Cujus rei cauſam ipſe reddit quum inquit: hujusmodi vitiis omnibus modis alienum eſſe preſſum et onus. Sufficit autem ipſis tantummodo opera et lanam imponere, quae quum mollis ſit et levis, oneri eſſe non poteſt. Hoc autem timet non ut qui ulceri medeatur, ſed ut qui nudatis attritisque chordis ac nervis caveat, ne diſtendantur.

XXV.

Ad haec autem pertinent nonnulla ex iis medicamentis, quae cruentis vulneribus injiciuntur, ea ſcilicet quae idonea ſunt, quibus impoſita lana vino perfuſa longiorem moram trahat. Quaecunque autem ex iis medicamentis, quae cruentis vulneribus protinus injiciuntur, paucorum dierum ſunt vel picem accipiunt non aeque atque

Ed. Chart. XII. [442.] Ed. Baſ. V. (647.)

δαρὴ γίνεται, τινὰς δὲ τούτων ἀγαθὸν ἐπιδέειν. εἰδέναι μὲν δή που σάφα χρὴ, ὅτι ἀνάγκη τὸν ἄνθρωπον χωλὸν αἰσχρῶς γενέσθαι. ὁ γὰρ ὁ πούς ἐπὶ τὸ ἄνω ἀνέσπασται τῶν τοιούτων καὶ τὰ ὀστέα τὰ διολισθήσαντα ἔξω ἐξέχοντα φαίνεται. οὔτε γὰρ ψιλοῦται τῶν τοιούτων ὀστέων οὐδὲν ὡς ἐπὶ τὸ πολὺ, εἰ μὴ κατὰ βραχύ τι, οὔτε ἀφίσταται, ἀλλὰ περιωτειλοῦται λεπτῇσιν ὠτειλῇσι καὶ ἀσθενέσι καὶ ταῦτα ἢν ἀτρεμίζωσι πουλὺν χρόνον· ἢν δὲ μὴ, ἑλκύδριον ἐγκαταλειφθῆναι κίνδυνος ἀναλθές. ὅμως δὲ περὶ οὗ λόγος οὕτω μὲν οἱ ἰητρευόμενοι σώζονται, ἐμβληθέντος δὲ τοῦ ἄρθρου καὶ ἐμμείναντος ἀποθνήσκουσιν.

Ἔναιμα καλεῖ φάρμακα κἀν τούτοις τοῖς βιβλίοις καὶ τῷ περὶ ἑλκῶν, ὅσα παραχρῆμα τοῖς τραύμασι προσφέρεται. τούτων οὖν, φησὶν, ὅσα διὰ πλείονος χρόνου λυόμενα δύναται μεταξὺ τῶν λύσεων ἐπιτέγγεσθαι, παραληπτέον ἐσὶ μάλιστα. βούλεται γὰρ ὥσπερ τἆλλα πάντα τῆς θεραπείας

illa proficiunt, quandoquidem ulcerum purgatio porrigitur in longius tempus, diutius enim madent; horum tamen nonnulla utiliter deligantur. Scire autem aperte convenit neceſſe eſſe hominem turpiter claudicare, quum verſus partem ſuperiorem pes trahatur et oſſa luxata ab exteriori parte promineant. Fere enim nullum ex iis oſſibus nudatur, niſi paullulum quid neque recedit, ſed cicatrix inducitur tenuis atque infirma, eaque nonniſi multum temporis conquieſcant; alioquin periculum eſt ne remaneat ulcuſculum, quod curationem non admittat. Sed quod ad propoſitum malum attinet, ſi hac ratione curentur, ſervantur; ſi articulus reponatur maneatque, in exitium praecipitantur.

Medicamenta, quae vulneribus ſtatim injiciuntur et in his libris et in eo qui de ulceribus eſt, ἔναιμα appellat. Inter haec quae longiori tempore reſolvuntur et interimi dum ſolvantur perfundi poſſunt, admoveri potiſſimum debent: ſiquidem conſtituit, quemadmodum in tota

Ed. Chart. XII. [442.] Ed. Baſ. V. (647.)

αὐτῶν πρὸς τὸ παρηγορικώτατον εἶδος ἔχειν τὴν ἀναφοράν, οὕτω καὶ τὸ μὴ ἐπιδεῖν τὸν κάμνοντα καὶ τὸ μὴ συνεχῶς ἐπιλύειν. διὰ πλέονος δὲ χρόνου λύεσθαι δύναται τῶν ἐναίμων φαρμάκων τὰ ξηραντικώτερα, φυλαττομένων ἡμῶν ἐν αὐτοῖς τὸ διὰ σφοδρότητα ξυντατικόν. παραδείγματος δ' ἕνεκεν, ὧν ἴστε δυοῖν φαρμάκων μνημονεύσω γεγραμμένων ἐν ἁπάσαις βίβλοις, ὅσαι συνθέσεως τῶν φαρμάκων ἔχουσι συμμετρίας, ὁποῖαι αἱ τοῦ Ἀνδρομάχου δύο καὶ ἡ τοῦ Ἥρα μία καὶ ἄλλων εἰσὶ πάμπολλαι, δι' ἀσφάλτου μὲν ἄλλα φάρμακα συντίθενται. καλεῖται δὲ τὸ μὲν ἕτερον αὐτῶν Βάρβαρος, τὸ δ' ἕτερον Κυζικηνὴ πλέον ἢ τὰ ἔναιμα ξηραίνουσα βλάπτει μᾶλλον ἢ ὠφελεῖ, συντείνουσα τὰ μέλη καὶ ὀδυνῶσα. τὸ δ' ἕτερον φάρμακον ἐπιτήδειον, ὅταν γε καὶ αὐτὸ συμμέτρως ᾖ κεκραμένον. ἔνια γὰρ καὶ τούτων ἀμειρότερόν τε ξηραίνει καὶ σκληρὰ κατὰ τὴν σύστασίν ἐστιν. ἀλλὰ περὶ μὲν τῆς τῶν τοιούτων φαρμάκων διαφορᾶς, ἐν τοῖς περὶ τῆς συνθέσεως αὐτῶν ἐπὶ πλέον

relinqua curatione, eo ſpectandum eſſe ut leniendi vim habeat. Hac enim de cauſa neque vinculum imponit, neque frequenter ſolvit. Ex medicamentis autem quae cruentis vulneribus protinus injiciuntur, ea longiori temporis intervallo ſolvere licet, quae validiorem ſiccandi facultatem habent, ea tamen cautione ne ob vehementem vim contrahendo laedant. Duo autem medicamenta quae tota nobis ſunt gratia exempli commemorabo; leguntur enim in omnibus libris de medicamentorum compoſitione, quales ſunt duo Andromachi et unus Herae et aliorum permulti. Componuntur medicamenta haec ex bitumine: alterum barbarum, Cyzicenum alterum nominatur. Hoc quum magis ſiccet quam opus ſit, medicamentis quae cruentis vulneribus injiciuntur obeſt magis quam proſit, quum membra contrahat et dolorem afferat; alterum vero medicamentum idoneum eſt, ſi moderata mixtura fuerit, ex iis ſiquidem nonnulla plus juſto exſiccant et dura ſunt. Verum de hujusmodi medicamentorum diſcrimine in opere de compoſitione ipſorum fuſius tractavimus. Quae poſt

Ed. Chart. XII. [442. 443.] Ed. Baſ. V. (647.)

λέγεται. τῶν δ' ὑφ' Ἱπποκράτους ἐφεξῆς εἰρημένων τὰ πλεῖστά ἐστι σαφῆ τοῖς μεμνημένοις, ὧν ἔμπροσθεν εἶπον ἐξηγούμενος, αὐτό τε τοῦτο τὸ περὶ ἄρθρων βιβλίον καὶ πρὸς αὐτὸ τὸ περὶ ἀγμῶν. τὰ δὲ ὀλιγημερώτατα τῶν ἐναίμων καὶ ὅσα ῥητίνῃ προσκαταλαμβάνεται, οὐχ ὁμοίως ἐπιτήδεια ἐκείνοις ἐστί. χρονίη γὰρ ἡ κάθαρσις τῶν ἑλκῶν τούτων γίνεται, πολὺν γὰρ χρόνον πλαδαρή. τίνα μὲν ὀλιγημερώτατα λέγει τῶν ἐναίμων, οὐ χαλεπῶς ἐξευρήσεις, εἴ γε μέμνησαι τῶν ἐν τῇ πρὸ ταύτης ῥήσει κατὰ τὴν ἐξήγησιν εἰρημένων, [443] δῆλον γὰρ ὅτι τὰ δι' ὀλίγων ἡμερῶν λυόμενα κέκληκεν οὕτως. δι' ὀλίγων δ' ἡμερῶν δεῖται λύεσθαι τῶν προειρημένων ἀσθενέστερα· συγχωρεῖ γὰρ ἀθροίζεσθαι περὶ τοῖς ἕλκεσιν ἐχῶρα πλείονα διὰ τὸ μὴ ξηραίνειν αὐτάρκως. ἔνιοι δ' αὐτῶν τῶν παλαιῶν ῥητίνῃ προσκατελάμβανον ἔξωθεν οὐκ οἶδα τίνι λογισμῷ χρώμενοι. πολλὰ γὰρ εἰπεῖν ἐγχωρεῖ, φυλαττομένου δ' Ἱπποκράτους ἅπαντα τὰ τοιαῦτα φάρμακα περιττὸν τὸ μηκύνειν· ἐν γὰρ ταῖς περὶ τῶν φαρμάκων πραγματείαις, ὅσα χρὴ περὶ τούτων ἐπίστασθαι διώρισται πάντα. νυνὶ δὲ περί τε τῶν

haec ab Hippocrate ſcribuntur magna ex parte plana ſunt, ſi quae ſupra et in commentariis in librum hunc de articulis et ante in eum qui de fracturis eſt prodidimus, in memoria habeantur. Quaenam ex iis medicamentis quae cruentis vulneribus protinus injiciuntur paucorum dierum vocet, non magno negotio invenies, ſi in memoria habeas, quae in explanatione proxime poſitae ovationis tradidimus. Patet enim eum ſic appellare quae ex paucorum dierum intervallo ſolvuntur. Ex intervallo autem paucorum dierum ſolvere convenit quaecunque ex propoſitis infirmiora ſunt. Patiuntur enim in ulceribus multum colligi ſaniei, eo quod non ſatis exſiccent. Haec a nonnullis ex veteribus reſina extrinſecus excipiebantur, quorſum neſcio. Multa enim dici poſſunt, ſed quum Hippocrates ab omnibus his medicamentis abſtineat, longius labi operae pretium non eſt. In opere enim de medicamentis quae de his ſcire convenit omnia exſequuti ſumus; nunc

Ed. Chart. XII. [443.] Ed. Baſ. V. (647. 648.)

προκειμένων αὐτάρκως λέλεκται καὶ τὰ τούτων ἐφεξῆς εἰρημένα ἅπαντα ὑπερβήσομαι τοῖς μεμνημένοις τῶν προεξηγουμένων ταῦτα σαφῆ.

κσ΄.

(648) Ὁ αὐτὸς δὲ λόγος οὗτος, ἢν καὶ τὰ τοῦ πήχεος ὀστέα τὰ παρὰ τὸν καρπὸν τῆς χειρὸς ἕλκος ποιήσαντα ἐξίσχῃ, ἢν τε εἰς τὸ εἴσω μέρος τῆς χειρὸς, ἢν τε εἰς τὸ ἔξω. σάφα γὰρ ἐπίστασθαι χρὴ, ὅτε ἀποθανεῖται ἐν ὀλίγῃσιν ἡμέρῃσι τοιούτῳ θανάτῳ, οἵπερ πρόσθεν εἴρηται, ὅτῳ ἂν ἐμβληθέντα τὰ ὀστέα ἐμμείνῃ· οἷσι δ' ἂν μὴ ἐμβληθῇ, μηδὲ πειρηθῇ ἐμβάλλεσθαι, οὗτοι πολὺ πλείονες περιγίνονται. ἰητρείη δὲ τοιαύτη τοῖσι τοιούτοισιν ἐπιτηδείη οἵηπερ εἴρηται. τὸ δὲ σχῆμα αἰσχρὸν τοῦ χωλώματος ἀνάγκη εἶναι καὶ τοὺς δακτύλους τῆς χειρὸς ἀσθενέας καὶ ἀχρήϊους.

Ὥσπερ ὅλον τὸ μεταξὺ γόνατος καὶ ἀστραγάλου κνήμην ὀνομάζει συγκείμενον ἐκ δυοῖν ὀστῶν, οὕτω καὶ τὸ

autem quod attinet ad propoſita, ſatis haec ſunt. Quae ſequuntur omnia praeteribimus, quum manifeſta ſint iis qui eorum meminerint quae ante explanavimus.

XXVI.

Eadem ratio eſt, ſi brachii oſſa ad manum adjecto ulcere ſive in interiorem partem, ſive in exteriorem excedant. Certum enim ſcire convenit hominem paucis diebus interiturum tali genere mortis, quale ſupra poſuimus, ſi repoſita oſſa fuerint contineanturque; ſed ſi nemo haec vel repoſuerit vel reponere tentarit, longe ſaepius liberatur. Cui malo mederi eadem ratione expedit qua ſupra diximus: depravationem vero deformem reddi ac digitos manus infirmos atque inutiles fieri neceſſe eſt.

Quemadmodum in crure totum id quod inter talum et genu eſt, duobus oſſibus contentum κνήμην appellant,

Ed. Chart. XII. [443.] Ed. Baſ. V. (648.)

μεταξὺ βραχίονος καὶ καρποῦ πῆχυν, οὐδὲ τοῦθ' ἓν ἁπλῶς ὑπάρχον, ἀλλ' ἐκ δυοῖν σύνθετον. ὀνομάζεται δὲ τὸ μὲν ἕτερον αὐτῶν κερκὶς, τὸ δὲ ἕτερον ἰδίως πῆχυς, ὥσπερ γε καὶ τῆς κνήμης· τὸ δὲ κατ' ἀγκῶνα, τῷ κατὰ γόνυ. χαλεπώτερα δὲ ἀεὶ τὰ πάθη τῶν μειζόνων ἐστὶ μορίων, ἐάν τε καταγῇ τι τῶν ἐν αὐτοῖς, ἐάν τε ἐξαρθρήσῃ. τοῦτ' οὖν ἐάν τις ᾖ μεμνημένος ὀλίγης τῆς ἐξηγήσεως εἰς τὰ μέλλοντα ῥηθήσεσθαι δεηθήσεται.

κζ'.

Ἢν μὲν γὰρ ἐς τὸ ἔσω μέρος ὀλισθῇ τὰ ὀστέα, κάμπτειν οὐ δύναιαι τοὺς δακτύλους, ἢν δὲ ἐς τὸ ἔξω μέρος, ἐκτανύειν οὐ δύναται.

Τῷ μὲν ὀλισθῇ ῥήματι διὰ τί χρῆται, δεδήλωται κατὰ τὸν ἔμπροσθεν λόγον, ἡνίκα τὰ τῆς κνήμης ὀστᾶ παρὰ τὸν πόδα μεθ' ἕλκους ἐξαρθρεῖν ἔφη. νυνὶ δὲ τὴν αἰτίαν εἰ-

ſic brachium quod inter manum et cubitum eſt πῆχυν, quod ſimiliter non ex uno oſſe, ſed ex binis conſtat, quorum alterum κερκὶς, id eſt radius, alterum Graece πῆχυς proprie nominatur, id eſt cubitus, quod ſimiliter evenit κἀπὶ τῆς κνήμης, hoc eſt in crure. Commiſſura igitur quae ad manum eſt commiſſurae ali reſpondet, quae ad cubitum, illi quae ad genu. Majorum tamen partium mala ſeu fractae ſeu prolapſae ſint ſemper graviora ſunt. Quam rem ſi animadvertas, exigua expoſitione ad ſequentia indigebis.

XXVII.

Nam digiti ubi oſſa in interiorem partem luxentur, curvari non poſſunt; ubi in exteriorem, extendi.

Cur luxari dicat in ſuperioribus oſtendimus, ubi cruris oſſa adjecto ulcere dixit ad pedem luxari; nunc reddere cauſam volo, quamobrem quum brachium accedente

Ed. Chart. XII. [443. 444.] Ed. Baſ. V. (648.)

πεῖν βούλομαι, δι' ἣν, ὅταν εἰς τὴν ἔξω χώραν ὁ πῆχυς ἐκστῇ μεθ' ἕλκους, οὐ δύνανται κάμπτειν. ἐν δὲ τῷ τοιούτῳ πάθει συμβαίνει τὰ τοῦ πήχεος ὀστᾶ, κατὰ μὲν τὴν ἔνδον χώραν ἐπικεῖσθαι τοῖς τοῦ καρποῦ διὰ τῶν εἰς αὐτὸ καθηκόντων ἔξωθεν τενόντων ἐς τὸν ἄνω τόπον, [444] ὡς ἐπὶ τὸν βραχίονα. τούτου δὲ συμβαίνοντος ἀναγκαῖόν ἐστι τοὺς δακτύλους ἀνατείνεσθαι πρὸς τὴν ἐκτὸς χώραν, ὅπερ ἐστὶν αὐτοῖς ἐκτετάσθαι. διὰ τοῦτ' οὖν οὐδὲ καμφθῆναι δύναται τελέως, ἀντιβαινόντων τοῖς κάμπτουσιν αὐτοὺς μυσὶ τοῖς ἔξωθεν τῶν μυῶν καὶ τῶν τενόντων. εἴρηται γὰρ πολλάκις ὡς εἰ μὴ συνακολουθοῖεν οἱ ἀντιτεταμένοι τοῖς ἐνεργεῖν ἐπιχειροῦσι μυσὶν, ἀδύνατόν ἐστιν αὐτοῖς συμπληρῶσαι τὴν ἐνέργειαν. ὁ δ' αὐτὸς λόγος ἐστὶ καὶ περὶ τοῦ μὴ δύνασθαι τοὺς δακτύλους ἐκτανύειν, ὅταν εἰς τὴν ἔξω χώραν ἀνάσχῃ τὰ τοῦ πήχεος ὀστᾶ. ταθέντων γὰρ σφοδρῶς τῶν ἔνδον μυῶν καὶ τενόντων, καὶ διὰ τοῦτο ἐπακολουθεῖν τῶν ἔξω μὴ δυναμένων, ἀπόλλυσθαι καὶ τὴν ἐκείνων ἐνέργειαν ἀναγκαῖόν ἐστι. καὶ μέντοι καὶ ἡ τῶν ὀστῶν σύνθεσις ἑκα-

ulcere in interiorem partem prorumpit digiti curvari nequeant. In hoc caſu ſane accidit ut brachii oſſa ab interiori regione oſſibus quae in prima palmae parte ſunt ſuperinſidant ab exteriori ſubjiciantur, quum prima palmae pars tendatur a chordis quae ab exteriori parte ad ipſam perveniunt ſurſumque ad humerum tendunt. Quod quum evenit neceſſe eſt digitos verſus exteriorem regionem trahi, quo fit ut extendantur. Idcirco neque flecti ex toto poſſunt, quum exteriores muſculi et chordae flectentibus renitantur. Saepius enim diximus perfici actionem non poſſe, niſi oppoſiti muſculi iis pareant qui agere nituntur. Hinc etiam fit ut digiti minime extendantur, quum brachii oſſa in exteriorem partem moventur. Interiores enim muſculi et chordae vehementer intenduntur, atque idcirco quum cedere exterioribus nequeant, neceſſe eſt exteriorum actio intereat. Sed et ipſorum oſſium poſitus, quum brachium in interiorem partem

Ed. Chart. XII. [444.] Ed. Baſ. V. (648.)

νῶς ἐμποδίζει τὴν καμπὴν, ὅταν ὁ πῆχυς ἐκ τῶν ἔνδον μερῶν ἐπιβαίνῃ τῷ καρπῷ· τὴν ἔκτασιν, ὅταν ἐκ τῶν ἔξωθεν.

κη'.

Ὅσοισι δ' ἂν κνήμης ὀστέον ἕλκος ποιησάμενον παρὰ τὸ γόνυ ἔξω ἐξίσχῃ, ἤν τε ἐς τὸ ἔξω μέρος, ἤν τε ἐς τὸ ἔσω, τούτοισιν ἢν μέν τις ἐμβάλῃ, ἔτι ἑτοιμότερος ὁ θάνατός ἐστιν ἢπερ τοῖσιν ἑτέροισι, καίπερ κἀκείνοισιν ἕτοιμος ἐών. ἢν δὲ μὴ ἐμβαλὼν ἰητρεύῃς, ἐλπίδες μὲν σωτηρίης οὕτω μόνως εἰσί. κινδυνωδέστερα δὲ ταῦτα τῶν ὀστέων γίνεται, ὅσῳ ἂν ἀνωτέρω καὶ ὅσῳ ἂν ἰσχυρότερα ἔῃ καὶ ἀπὸ ἰσχυροτέρων ὠλισθήκῃ. ἢν δὲ τὸ ὀστέον τὸ τοῦ μηροῦ τὸ πρὸς τοῦ γόνατος ἕλκος ποιησάμενον ἐξολισθῇ, ἐμβληθὲν μὲν καὶ ἐμμεῖναν ἔτι βιαιότερον θᾶσσον τὸν θάνατον ποιήσει τῶν πρόσθεν εἰρημένων· μὴ ἐμβληθὲν δὲ πολὺ ἀκινδυνωδέστερον ἢ τὰ πρόσθεν, ὅμως δὲ μούνη ἐλπὶς αὕτη σωτηρίης.

elapſum primae palmae parti inſidet, prohibere flexum poteſt, quum in exteriorem promovetur porrectionem.

XXVIII.

Ubicunque autem cruris os ad genu, cute ſive in interiorem ſive in exteriorem partem excedit, quibus reconditur maturius intereunt quam alii, quamvis illis quoque vitae periculum inſtet; ſed ſi curationem adhibeas reponere minimum tentans, hac via tantum ſpes ſalutis ſupereſt. Haec autem oſſa eo magis periculoſa ſunt quam cetera, quo ſuperiora ſunt et robuſtiora et a robuſtioribus prolabuntur. Quodſi femoris os ad genu luxetur ubi ponatur maneatque majori vi et citius adhuc homo abſumitur quam ſuperioribus caſibus; ſi non reponatur, res longe periculoſior eſt quam in ſuperioribus: haec una tamen ſalutis ſpes ſupereſt.

Ed. Chart. XII. [444.] Ed. Baſ. V. (648.)

Μαρτύριον οὐ σμικρὸν ἔσει καὶ τοῦτο καὶ τὸ κατὰ τὴν ἐξῆς ῥῆσιν ὑπ' αὐτοῦ γεγραμμένον, ὧν ὀλίγον ἔμπροσθεν εἶπον, ἐπὶ τῶν ἐξισχόντων ὀστῶν ἐπί τε τῆς κατὰ τὰ σφυρὰ καὶ τῆς κατὰ τὸν καρπὸν διαρθρώσεως. οὔτε γὰρ ὁ ἀστράγαλος καὶ ἡ κνήμη κατὰ τὴν πρὸς τὸν πόδα διάρθρωσιν ἐξίσχει τοῦ δέρματος, οὔθ' ὁ καρπὸς ἐν τῇ πρὸς τὸν πῆχυν, ἀλλ' ἡ κνήμη μὲν ἐπὶ τοῦ σκέλους, ὁ πῆχυς δὲ ἐπὶ τῆς χειρός. εἰκότως οὖν ἔξαρθρεῖν ταῦτα καὶ ὀλισθαίνειν εἶπεν, ὡς ἂν ἔξω τῶν διαρθρώσεων γιγνόμενα. νῦν γοῦν τὴν κνήμην ἐν τῇ πρὸς τῶν σφυρῶν διαρθρώσει φησὶν ἐξίσχειν ἐνίοτε, ποτὲ μὲν ἔξω τῆς διαρθρώσεως, ποτὲ δ' εἴσω, καίτοι κατὰ τὴν ἐξῆς ῥῆσιν οὐ την κνήμην, ἀλλὰ τὸν μηρὸν ἐξίσχειν λέγων εἰκότως, ἐν μὲν τῇ κατὰ γόνυ διαρθρώσει ποτὲ μὲν ἡ κνήμη φαίνεται, ποτὲ δὲ ὁ μηρὸς ἐξίσχειν. ἐν δὲ τῇ κατὰ τὸν πόδα διὰ παντὸς ἡ κνήμη, ὥσπερ γε κἀν τῇ κατὰ τὸν καρπὸν ὁ πῆχυς. τὰ δ' ἄλλα τῆς ῥήσεως δῆλα τοῖς μεμνημένοις τῶν ἔμπροσθεν εἰρημένων.

Hoc etiam et id quod proxime ſubdit non parum comprobat, quae paullo ſupra indicavimus de oſſibus et ad talum et ad manum cute excedentibus. Neque enim talus in commiſſura cruris quae ad pedem eſt nudatur; neque prima palmae pars in commiſſura cubiti cum manu, ſed in crure oſſa cruris et in brachio ſimiliter oſſa brachii. Jure igitur excedere haec et luxari dixit, ut quae extra commiſſuram excedant. Nunc itaque crus interdum excidere inquit ad tali commiſſuram ac modo ab exteriori parte, modo ab interiori; quamquam ſubdit non crus, ſed femur luxari, idque non immerito. Nam in commiſſura genu modo crus, modo femur excidit, ad pedem vero crus dumtaxat, ſicut ad manum brachium. Cetera quae in hac oratione ſunt iis patent qui in memoria teneant quae ſuperius dicta ſunt.

Ed. Chart. XII. [444. 445.] Ed. Baf. V. (648. 649.)

κθ'.

Ὁ δὲ αὐτὸς λόγος καὶ περὶ τῶν κατὰ τὸν ἀγκῶνα ἄρθρων καὶ περὶ τῶν τοῦ πήχεος καὶ βραχίονος. ἃ γὰρ ἂν τούτων ἐξαρθρήσαντα ἐξίσχῃ, ἕλκος ποιησάμενα πάντα, ἢν ἐμβληθῇ, θάναιον φέρει, μὴ ἐμβληθέντα δὲ ἐλπίδα σωτηρίης. χώλωσις δὲ τοῖσι περιγενομένοισι. θανατωδέστερα δὲ τοῖσιν ἐμβαλλομένοισίν ἐστι τὰ ἀνωτέρω [445] τῶν ἄρθρων· ἀτὰρ καὶ τοῖσιν ἐμβαλλομένοισι κινδυνωδέστερα αὐτὰ ταῦτα. εἰ δέ τινι τὰ ἀνωτέρω ἄρθρα (649) ἐξαρθρήσαντα ἕλκος ποιήσαντα ἐξίσχοι, ταῦτα δέ τι καὶ ἐμβαλλόμενα ταχυθαναιώτατα ἔῃ καὶ μὴ ἐμβαλλόμενα κινδυνωδέσιερα. ἰητρείη δὲ ἤδη εἴρηται, οἵη τις ἐμοὶ δοκέει ἐπιτηδειοτάτη εἶναι· ὅσοισι δὲ ἄρθρα δακτύλων ἢ ποδὸς ἢ χειρὸς ἐξαρθρήσαντα ἕλκος ποιήσαντα ἐξέσχε, μὴ κατεηγότος τοῦ ὀστέου, ἀλλὰ κατ' αὐτὴν τὴν ξύμφυσιν ἀποσπασθέντος, τούτοισιν εἰ ἐμβληθέντα ἐμμένει, ἕνι μέντοι κίνδυνος σπασμοῦ, ἢν μὴ χρηστῶς ἰητρεύωνται, ὅμως δέ τι ἄξιον ἐμβάλλειν, προειπόντα ὅτι φυλακῆς

XXIX.

Eadem ratio eſt articulorum qui ad cubiti commiſſuram ſunt, nempe cubiti et humeri. Quicunque enim ex his quum luxantur cute excedunt, ſi reſtituantur, omnes mortiferi ſunt; ſin minus, res non omnino deſperationem habet, ſed iis qui liberantur membrum remanet depravatum, magis autem mortiferi ſunt, ſi recondantur articuli ſuperiores; ſed et iidem ſi non recondantur, aliis ſimiliter ſunt periculoſiores. Si cui ergo ſuperiores articuli luxati cum ulcere cute excedant, ubi reſtituantur celerrime in exitium praecipitant; ubi non reſtituantur, ceteris periculoſiores ſunt. Curatio autem quae mihi commodiſſima videtur jam expoſita eſt. At quibus digitorum pedis vel manus articuli luxati adjecto ulcere cute exceſſerunt, oſſe quidem non fracto, ſed ab ipſa commiſſura recedente, ſi repoſiti maneant, nervorum diſtenſionis periculum impendet, niſi recte attendantur. Expedit tamen, ubi praedixeris ſumma cura

Ed. Chart. XII. [445.] Ed. Baſ. V. (649.)

πολλῆς καὶ μελέτης δέεται· ἐμβάλλειν μέντοι ῥᾴϊστον καὶ δυνατώτατον καὶ τεχνικώτατόν ἐστι τῷ μοχλίσκῳ, ὥσπερ καὶ πρόσθεν εἴρηται ἐν τοῖσι κατεαγνυμένοισι καὶ ἐξίσχουσιν ὀστέοισιν, ἔπειτα ἀτρεμέειν ὡς μάλιστα χρὴ καὶ κατακεῖσθαι καὶ ὀλιγοσιτέειν. ἄμεινον δὲ καὶ φαρμακεῦσαι ἄνω κούφῳ τινὶ φαρμάκῳ.

Εἰκότως εἶπεν ἄρθρων ἐνταῦθα κατὰ πλῆθος, ὥσπερ ἐπὶ τῶν κατὰ τὸ γόνυ. περὶ μέντοι τοῦ περὶ τὸν καρπόν τε καὶ τὸ σφυρὸν διερχόμενος, οὐκ εἶπεν ἄρθρα πληθυντικῶς. ὅτι δὲ ἄρθρα πλείω κατὰ τοῦτο τὸ χωρίον εἰσὶν, ὑπὲρ οὗ νῦν ὁ λόγος αὐτῷ πρόκειται, διὰ τοῦ τρίτου τῶν εἰς τὸ περὶ ἀγμῶν ὑπομνημάτων ἐδήλωσε. τὸν αὐτὸν λόγον εἶναί φησι τὸν νῦν ἐνεστῶτα τῷ προειρημένῳ περὶ τῆς κατὰ γόνυ διαρθρώσεως· ὥσπερ γὰρ ἐκεῖ ποτὲ μὲν ἡ κνήμη, ποτὲ δὲ ὁ μηρὸς ἐξίσχειν ἐλέχθη, κατὰ τὸν αὐτὸν τρόπον καὶ νῦν ἐνίοτε μὲν ὁ πῆχυς, ἐνίοτε δὲ ὁ βραχίων εἰς τὴν τοιαύτην

et diligentia opus eſſe eos reponere. Facillime autem et maxime prompte magnoque cum artificio reponuntur, ſi adigatur paxillus, quemadmodum ſupra diximus in oſſibus fractis luxatisque: quo facto quieſcere homo debet cubareque et modico cibo uti; ſatiusque eſt levi aliquo medicamento quo vomitum citet ipſum purgare.

Merito hic articulos dixit multitudinis numero, quemadmodum in genu; ubi vero de commiſſura quae ad talum et de ea quae ad manum loquitur, non poſuit articulos multitudinis numero. Propoſitam vero nunc partem non uno tantum articulo contineri in tertio commentario in librum de fracturis oſtendimus. Eandem inquit rationem eſſe hujus commiſſurae et ejus quae ad genu, de qua prius tractavit: nam quemadmodum ibi modo tibiam, modo femur excidere dictum eſt, ita nunc

Ed. Chart. XII. [445.] Ed. Baf. V. (649.)

ἔρχεται διάθεσιν. ἃ δ' ἐφεξῆς λέγει τούτοις, ἅπαντά ἐστιν εὔθηλα.

λ'.

Τὸ δὲ ἕλκος ἰητρεύειν ἢ ἐναίμοισι τοῖσιν ἐπιτέγκτοισιν ἢ πολυοφθάλμοισιν ἢ οἷσιν ἐν κεφαλῇ ὀστέα κατεηγότα ἰητρεύεται, κατάψυχρον δὲ κάρτα μηδὲν προσφέρειν. ἥκιστα μὲν οὖν τὰ πρῶτα ἄρθρα κινδυνώδεά ἐστι, τὰ δὲ ἔτι ἄνω κινδυνωδέστερα. ἐμβάλλειν δὲ χρὴ αὐθημερὸν ἢ τῇ ὑστεραίῃ, τριταίῳ δὲ ἢ τεταρταίῳ ἥκιστα. τεταρταῖα γὰρ ἐόντα ἐπισημαίνει τῇσι παλιγκοτίῃσι μάλιστα. οἷσιν ἂν οὖν μὴ αὐτίκα γένηται ἐμβάλλειν, ὑπερβαίνειν χρὴ ταύτας τὰς εἰρημένας ἡμέρας· ὅ τι γὰρ ἂν εἴσω δέκα ἡμερέων ἐμβάλλῃ, πᾶν καταληπτόν. ἢν δ' ἄρα ἐμβεβλημένῳ σπασμὸς ἐπιγένηται, ἐμβάλλειν τὸ ἄρθρον δεῖ ταχὺ καὶ θερμῷ τέγγειν ὡς πλειστάκις.

modo cubitus, modo humerus in idem malum compellitur. Quae ſequuntur omnia plana ſunt.

XXX.

Auxilium autem adverſus ulcera in medicamentis eſt quae cruentis vulneribus protinus injiciuntur: in illis ſcilicet quae perfuſioni accommodantur aut in buphthalmo herba aut in iis quae fractis calvariae oſſibus ſuccurrunt; nihil autem induci debet valde frigidum. Ac primi quidem articuli minime periculoſi ſunt, ſuperiores magis periculoſe laeduntur. Eodem autem die reſtituendi ſunt vel certe poſteriori, tertio aut quarto minime: ſiquidem quarto die malum recrudeſcere maxime videmus. Ubi ergo non protinus recondantur, his diebus ſuperſedendem eſt; contineri enim ſolet, quod intra decem dies conditur. Quodſi repoſito articulo nervorum diſtenſio ſupernaſcatur, cito expelli debet et ſubinde calido humore perfundi.

Ed. Chart. XII. [445. 446.] Ed. Baf. V. (649.)

Τίνα μέν ἐσιν ἔναιμα ἐπίτεγκτα πρόσθεν εἴρηται. τῆς βοτάνης δὲ τῆς πολυοφθάλμου καλουμένης, ἥτις καὶ βοὸς ὀφθαλμὸς ὀνομάζεται, τῷ φύλλῳ χρῆσθαι κελεύει παραπλησίως, ὡς ἔμπροσθεν ἐχρῆτο τῷ τοῦ βηχίου, τὴν αὐτὴν ἔχοντι καὶ τούτῳ δύναμιν. μέμνηται δὲ ταύτης τῆς βοτάνης καὶ Διοκλῆς ἐν τῷ περὶ λαχάνων. τὸ μέντοι κεφάλαιον ὅλης τῆς θεραπείας φησὶ χρῆναι ποιεῖσθαι τοιοῦτον, οἷον καὶπὶ τῶν τῆς κεφαλῆς καταγμάτων ἐδήλωσεν. ἐν ἐκείνῳ τῷ [446] *βιβλίῳ καὶ ἡμῖν ἐδείχθη ξηραντικώτερος ὁ τρόπος εἶναι τῆς θεραπείας ἐκείνης, ἧς κατὰ τὸ περὶ ἑλκῶν βιβλίον ἐποιήσαιο καὶ μάλιστα τῆς κατὰ ἄρθρα.*

λα'.

Κεκάμφθαι δὲ μᾶλλον ἢ ἐκτετάσθαι πᾶν τὸ σῶμα χρή. προσδέχεσθαι μέντοι κατὰ τοὺς δακτύλους τὰ ἄρθρα τὰ ἐμβαλλόμενα ἀποστατικὰ ἔσεσθαι· τὰ γὰρ πλεῖστα οὕτω γίνεται, ἢν καὶ ὁτιοῦν φλεγμονῆς ὑπογένηται, ὡς εἰ μὴ δι' ἀμαθίην τῶν δημοτέων ἐν αἰτίῃ ἔμελλεν ὁ ἰητρὸς ἔσε-

Quaenam ex medicamentis quae cruentis vulneribus protinus injiciuntur idonea ſint quae perfundantur, antea declaravimus. Praecipit autem ut herbae buphthalmi, quam *πολυόφθαλμον* appellat, non ſecus atque ante tuſſilaginis, quae eandem vim habet, folia imponantur. Hujus quoque herbae meminit Diocles in libro de oleribus. Totius autem curationis caput ait id eſſe debere quod in libro de vulneribus capitis demonſtravit, in quo oſtenſum a nobis eſt, curationem requiri ſicciorem, quam quae in vulneribus circa articulos praeſertim.

XXXI.

Convenit item univerſum corpus magis curvatum eſſe, quam extenſum. Exſpectandum tamen eſt fore ut repoſiti digitorum articuli abscedant: plerumque enim ita accidit, ſi quaevis inflammatio ſuperveniat. Quare niſi vereretur medicus, ne vulgo imperitus haberetur, nihil

Ed. Chart. XII. [446.] Ed. Baſ. V. (649.)

σθαι, οὐδὲν ἂν πάντως οὐδ' ἐμβάλλειν ἔδει. τὰ μὲν οὖν κατὰ τὰ ἄρθρα ὀστέα ἐξίσχοντα ἐμβαλλόμενα οὕτω κινδυνώδεά ἐστιν ὡς εἴρηται.

Οὐ ταὐτόν ἐστιν ἐκτετάσθαι τε λέγειν καὶ ἐκτείνεσθαι, καθάπερ οὐδὲ κεκάμφθαι καὶ κάμπτεσθαι· ἐκτετάσθαι μὲν γάρ τις εἰπὼν τὸ κῶλον ἓν αὐτοῦ σχῆμα μόνον δηλοῖ τὸ κατ' εὐθυωρίαν οὐκ ἔχον τε τὸ μᾶλλον καὶ τὸ ἧττον· κεκάμφθαι δὲ εἰπὼν πάντα τὰ μετὰ τὴν ἔκτασιν σχήματα σημαίνει μᾶλλον καὶ ἧττον ἀλλήλων διαφέροντα μέχρι τῆς ἐσχάτης καμπῆς· τὸ δέ γε ἐκτείνεσθαι καὶ κάμπτεσθαι τῶν κινήσεων αὐτῶν ἐστι δηλωτικὸν ἐν τοῖς μετασχηματιζομένοις κώλοις γιγνόμενον. τὸ μὲν ἐκτείνεσθαι κατὰ τοῦ μεταξὺ τῆς τε ἐσχάτης καμπῆς καὶ τῆς ἀκριβοῦς ἐκτάσιως. τὸ κάμπτεσθαι δ' ἔμπαλιν ἄχρι τῆς ἄκρας ἐκτάσεως, ἄχρι τῆς τελευταίας καμπῆς. νῦν οὖν ὁ Ἱπποκράτης εἰπὼν κεκάμφθαι μᾶλλον ἢ ἄχρι τῆς τελευταίας καμπῆς, τὸ κατ' εὐθυωρίαν μόνον παραιτεῖται· διὰ δὲ τοῦ κεκάμφθαι

reponere prorſus deberet. Oſſa igitur quae ad commiſſuras ſunt, ſi cute excedant, ubi recondantur, ſicut oſtenſum eſt, periculoſa ſunt.

Extenſum eſſe non idem ſignificat atque extendi, ſicut neque curvari et curvatum eſſe. Si quis enim membrum extenſum dicat, unum tantum exprimit ejus habitum, rectum videlicet, qui neque plus neque minus admittit; ſi curvatum omnes ejus habitus qui poſt extenſionem ſunt, notat uſque ad ultimum flexum, qui quatenus majores minoresque ſunt inter ſe differunt. Si quis extendi et curvari dicat, motum qui accidit ubi mutatur habitus membrorum ſignificabit, nempe quum extendi ait, eum qui evenit in mutatione, quae fit a ſummo flexu ad ſummam extenſionem; quum curvari, eum qui a ſumma extenſione rurſus ad ſummum flexum. Nunc ergo Hippocrates curvatum inquit, corpus eſſe magis convenit quam extenſum, verbo extenſum rectum habitum notans, quem

Ed. Chart. XII. [446.] Ed. Baſ. V. (649. 650.)

πάντα τὰ μεταξὺ ταύτης τε καὶ τῆς ἐσχάτης καμπῆς, ἐν οἷς ἀεὶ τὸ προσφορώτερον αἱρεῖσθαι προσήκει, ποτὲ μὲν ἐλάχιστον ἀποχωροῦντα τῆς ἄκρας ἐκτάσεώς πως, ἔστιν ὅτε καὶ πλέον. ὁπόταν δὲ χρῇ τούτων ἑκάτερον πράττειν, ἐκ τῶν προειρημένων δυνήσῃ στοχάζεσθαι.

λβ'.

Ὅσα δὲ κατὰ τὰ ἄρθρα τὰ κατὰ τοὺς δακτύλους ἀποκόπτεται τελείως, ταῦτα ἀσινέα τὰ πλεῖστά ἐστιν, ἢν μή τις ἐν αὐτῇ τῇ τρώσει λειποθυμήσας βλαβείη.

Περὶ τῶν ἀποκοπτομένων ὀστῶν ἐντεῦθεν ἄρχεται διδάσκειν σαφῶς ἅπαντα διεξιών, ὡς μὴ δεῖσθαι τῆς παρ' ἡμῶν ἐξηγήσεως, ἀλλ' ἀρκεῖ τοσοῦτόν μοι προειπεῖν, ὡς ἀκολουθήσεις σχεδὸν ἅπασιν οἷς λέγει, σκοπὸν ἔχων ὅπερ κἀπὶ (650) τῶν ἐξισχάντων ἄρθρων, ἃ καλεῖν ἔθος ἐστὶ τοῖς νεωτέροις ἰατροῖς ἐκβυρσώματα. κατὰ γὰρ τὸ [447]

ſolum vitandum cenſet; ſed quum ait curvatum, habitus medios inter hunc et extremum flexum ſignificat, inter quos ille eligendus eſt qui maxime accommodatur, modo qui parum, modo qui longius ab extremo flexu abeſt. Quo tempore uterque accipiendus ſit, licebit et ex ſuperioribus conjicere.

XXXII.

Quaecumque circa digitorum articulos ex toto abſcinduntur, plerumque detrimentum non afferunt, niſi dum ſecantur homo animi defectione laedatur.

Nunc tractare incipit de oſſibus praecidendis. Aperte autem ſic omnia narrat, ut una explanatione opus non ſit. Illud dumtaxat me praefari abunde eſt quod fere quaecunque ab ipſo traduntur intelliges, ſi id ſpectes quod oſtenſum eſt in articulis cute excedentibus, juniores medici ἐκβυρσώματα dicunt, dimetiendum, ſcilicet eſſe

Ed. Chart. XII. [447.] Ed. Baſ. V. (650.)

μέγεθος τῶν ἄρθρων καὶ τὸ τοῦ κινδύνου μέγεθος, ὥσπερ ἐπ' ἐκείνων τονῦν, οὕτως ἐπὶ τῶν ἀποκοπτομένων ὀστῶν εἴωθε γίγνεσθαι. προσθήσω δὲ κἀγὼ τῶν ἀσαφές τι δοκούντων ἔχειν ἐξήγησιν.

λγ'.

Καὶ ἰητρείη φαύλη ἀρκέσει τῶν τοιούτων ἑλκέων· ἀτὰρ καὶ ὅσα μὴ κατὰ τὰ ἄρθρα, ἀλλὰ κατ' ἄλλην τινὰ ἴξιν τῶν ὀστέων ἀποκόπτεται, καὶ ταῦτα ἀσινέα ἐστὶ καὶ ἔτι εὐαλθέστερα τῶν ἑτέρων, καὶ ὅσα κατὰ τοὺς δακτύλους ὀστέα κατεαγότα ἐξίσχει μὴ κατὰ τὸ ἄρθρον, καὶ ταῦτα ἀσινέα ἐστὶν ἐμβαλλόμενα. ἀποκόψιες δὲ τέλειαι ὀστέων καὶ κατὰ τὰ ἄρθρα καὶ ἐν ποδὶ καὶ ἐν χειρὶ καὶ ἐν κνήμῃ τοῖσι παρὰ τὰ σφυρὰ καὶ ἐν πήχεϊ τοῖσι κατὰ τοὺς καρποὺς, τοῖσι πλείστοισιν ἀποκοπτομένοισιν ἀσινέα γίνεται, ὅσα ἂν μὴ αὐτίκα λειποθυμίη ἀνατρέψῃ ἢ τεταρταίοισιν ἐοῦσι πυρετὸς ξυνεχὴς ἐπιγένηται. ἀποσφακελίσιες μέντοι σαρκῶν καὶ ἐν τρώμασιν αἱμορῥόοισι γενομένοι-

periculi magnitudinem pro magnitudine articulorum. Quod ſicut in illis evenit, ſic et nunc in oſſibus quae praeciduntur evenire ſolet. Adjiciemus tamen eorum quae obſcura videbuntur expoſitionem.

XXXIII.

His autem ulceribus quaevis curatio idonea eſt. Sed et quaecunque oſſa non ad articulos, verum ad aliquam aliam regionem praeciduntur ſimiliter ſine noxa ſunt et aliis promptius adhuc curationem recipiunt; ſimiliter quaecunque oſſa fracta in digitis cute excedunt, non ad articulos haec quoque innocenter reponuntur. Ex toto autem oſſa ad articulos in manu, in pede et in crure, nonnullis ad talum, atque in brachio, nonnullis ad primam palmae partem plerumque citra noxam praeciduntur, niſi protinus anima deficiat vel quarto die continens febris ſuperveniat. Caro tamen corrupta et in vulneribus ſanguinem fundentibus et in iis quae valen-

Ed. Chart. XII. [447.] Ed. Baf. V. (650.)

σιν ἢ ἀποσφίγξεσιν ἰσχυραῖς καὶ ἐν ὀστέων κατήγμασι γενομένοισι, πιεχθεῖσι μᾶλλον τοῦ καιροῦ, καὶ ἐν ἄλλοισι δεσμοῖσι βιαίοισι ἀπολῃφθέντα ἀποπίπτει πολλοῖσι, καὶ οἱ πολλοὶ περιγίνονται τῶν τοιούτων καὶ οἷσι μηροῦ μέρος τι ἀποπίπτει καὶ τῶν σαρκῶν καὶ τοῦ ὀστέου καὶ οἷσι βραχίονος. ἧσσον δὲ πήχεός τε καὶ κνήμης ἀποπεσούσης καὶ ἔτι εὐφόρως περιγίνονται. οἷσι μὲν οὖν κατεαγέντων ὀστέων ἀποσφαγελίσιες αὐτίκα ἐγένοντο καὶ μελασμοὶ, τούτοισι μὲν ταχεῖαι περιῤῥήξιες γίνονται τοῦ σώματος καὶ τὰ ὑποπίπτοντα ταχέως ἀποπίπτει ἤδη τῶν ὀστέων προενδεδωκότων· οἷσι δὲ ὑγιέων ἐόντων τῶν ὀστέων οἱ μελασμοὶ γίνονται αἱ μὲν σάρκες ταχέως θνήσκουσι καὶ τούτοισι. τὰ δὲ ὀστέα βραδέως ἀφίστανται, ἢ ἂν τὰ ὅρια τοῦ μελασμοῦ γένηται καὶ ἡ ψίλωσις τοῦ ὀστέου.

Λέλεκται δὲ πολλάκις ἤδη φαύλην ὀνομάζειν ἰατρείαν τὴν ἀντικειμένην τῇ ἀκριβεῖ.

---

tius adſtringuntur tum in oſſium fracturis plus juſto compreſſis; in iis item quaecunque vinculis violenter comprehenſa fuerint compluribus decidit, quorum plerique liberantur. Liberantur et illi quibus in femore pars aliqua carnis et oſſis decidat et quibus in humero; ſed citius adhuc et facilius ad ſanitatem perducuntur, quibus aliquid in brachio et crure decidat. Quibus vero fractis oſſibus aliquid protinus alienatur et nigreſcit, his cito abrumpitur; et quibus caſurum eſt, cito cadit, quum oſſa jam ceſſerint; at quibus oſſe inviolato nigrities accidit, his celeriter caro emoritur, os vero tarde abſcedit et qua nigrities terminatur et qua medatum os eſt.

Curationem quamvis *φαύλην* dicit. Quo vocabulo jam ſaepius oſtendimus Hippocratem nuncupare eam quae exquiſitae contraria eſt.

Ed. Chart. XII. [447. 448.] Ed. Baſ. V. (650.)

λδ'.

Χρὴ δὲ ὅσα ἂν κατωτέρω τοῦ σώματος τῶν ὁρίων τοῦ μελασμοῦ ἔῃ, ταῦτα ὅταν ἤδη πάμπαν τεθνήκῃ καὶ ἀνάλγεα ᾖ, ἀφαιρέειν κατὰ τὸ ἄρθρον προμυθεόμενον ὅκως μὴ τετρώσῃς· ἢν γὰρ ὀδυνηθῇ ἀποταμνόμενος καὶ μήπω κηρήσῃ τὸ σῶμα τεθνεὸς ταύτῃ ᾖ ἀποτέμνεται, κάρτα κίνδυνος ὑπὸ τῆς ὀδύνης λειποθυμῆσαι. αἱ δὲ τοιαῦται λειποθυμίαι πολλοὺς παραχρῆμα ἤδη ἀπώλεσαν. μηροῦ μὲν οὖν ὀστέον ψιλωθὲν ἐκ τοιούτου τρόπου ὀγδοηκοσταῖον εἶδον ἀποστάν. ἡ μέντοι κνήμη τούτῳ τῷ ἀνθρώπῳ κατὰ τὸ γόνυ ἀφῃρέθη εἰκοστιαίη, ἐδόκεε δέ μοι καὶ ἐγγυτέρω. οὐ γὰρ ἅμα, ἀλλ' ἐπὶ τὸ προμηθέστερον ἔδοξέ μοί τι ποιέειν· κνήμης δὲ ὀστέα ἐκ τοιούτου μελασμοῦ μάλα κατὰ μέσην τὴν κνήμην ἐόντα, ἑξηκοσταῖά μοι ἀπέπεσεν, ὅσα ἐψιλώθη αὐτῶν. διενέγκοι μὲν γὰρ ἄν τι καὶ ἰητρείη ἰητρείης ἐς τὸ θᾶσσόν τε καὶ βραδύτερον τὰ ὀστέα ψιλούμενα ἀποπίπτειν. διενέγκοι δ' ἄν τι καὶ πίεξις πιέξιος καὶ ἐπὶ τὸ ἰσχυρότερόν τε καὶ ἀσθενέστε- [448] *ρον καὶ ἐς τὸ θᾶσσόν τε καὶ βραδύτερον*

XXXIV.

Ceterum partes quae citra finem nigritiei fuerint; ubi jam prorſus emoriantur et dolorem non ſentiant, juxta articulos excidendae ſunt ea animadverſione ne quid violetur: nam ubi qui ſecatur dolet, quum nondum qua ſecatur emortuum corpus fuerit, maximum periculum eſt ne ſub dolore anima deficiat; ejusmodi autem animae defectio plurimos repente jam ſuſtulit. At femoris os hoc modo nudatum vidi octogeſimo die abſcedere; crus tamen huic homini ad genu vigeſimo exciſum eſt. Mihi vero proprius etiam videbatur, quum non eodem tempore, ſed ante providendum exiſtimarem. Cruris vero oſſa quaecunque nudata fuerunt circa medium omnino ex hujusmodi nigritie ſexageſimo die deciderunt. Curatio enim a curatione diſtat quantum ad id pertinet, ut nudata oſſa maturius vel ſerius decidant; preſſus item a preſſu diſtat, quatenus unus altero validior eſt

Ed. Chart. XII. [448.] Ed. Baſ. V. (650.)

ἀπομελανθέντα ἀποθανεῖν τὰ νεῦρα καὶ τὰς σάρκας καὶ τὰς ἀρτηρίας καὶ τὰς φλέβας. ἐπεὶ ὅσα μὴ ἰσχυρῶς ἀπολιφθέντα θνήσκει, ἔνια τῶν τοιουτέων οὐκ ἀφικνέεται ἐς ὀστέων ψιλώματα, ἀλλ᾽ ἐπιπολαιότερα ἐκπίπτει, ἔνια δὲ οὐδὲ ἐς νεύρων ψιλώματα ἀφικνεῖται, ἀλλ᾽ ἐπιπολαιότερα ἐκπίπτει, διά γ᾽ οὖν ταύτας τὰς προφάσιας οὐκ ἔστιν ἓν ὄνομα ἀριθμοῦ τῷ χρόνῳ θέσθαι, ἐν ὁκόσῳ ἕκαστα τούτων κρίνεται.

Προειρηκὼς ὅτι μελαινομένων καὶ φθειρομένων τῶν περικειμένων τοῖς ὀστοῖς σαρκῶν ἀναγκαῖόν ἐστι καὶ τοῖς γυμνωθεῖσιν αὐτῶν ὀστοῖς τῷ χρόνῳ ταὐτὸν συμβῆναι καὶ διὰ τοῦτο κελεύσας ἀποκόπτειν αὐτά, νῦν συμβουλεύει τὴν ἀφαίρεσιν ποιεῖσθαι, μὴ ψαύοντα τῶν ὑγιῶν, ὅπως μὴ διὰ τὴν ὀδύνην ὁ κάμνων λειποθυμήσας ἰσχυρῶς δυσανακόμιστος γένηται. κατ᾽ ἄρθρον δὲ μᾶλλον, εἰ οἷόν τε, ποιεῖσθαι κελεύει τὴν ἀφαίρεσιν ἕνεκα τοῦ τάχους. ἐν μέσοις γὰρ τοῖς κώλοις χρόνος τρίβεται τῶν ὀστέων ἐκκοπτομένων, ἐπὶ δὲ τῶν ἄρθρων ἄνευ τοῦ ψαῦσαι τῶν ὀστῶν, ἀποκόπτεται τὸ πεπονθὸς μέρος τοῦ κώλου.

---

aut imbecillior ad efficiendum, ut nervi, caro, venae citius aut tardius emoriantur: nam quae emoriuntur, quamvis non fuerint adſtricta, non omnia ex altis oſſium partibus decidunt, ſed quaedam ex ſummis. Quocirca tempus intra quod ſingula haec ſolvuntur certum definire non licet.

Quum dixerit neceſſarium eſſe, ubi nigreſcat et corrumpatur caro quae ſita eſt circa oſſa, ut oſſibus tempore idem eveniat, atque ea de cauſa imperaverit ut praeciderentur. Nunc praecipit ut excidantur, ea cautione ne integrae partes violentur, ne prae dolore anima admodum deficiente homo aegerrime reſiciatur. Ad articulum autem, ſi fieri poteſt, praecidi membrum voluit ad celeritatem ſpectans: namque ubi medium praecidatur, multum temporis abſumitur, quum oſſa ſecantur, ſed juxta articulum affecta membri pars intacto oſſe abſcinditur.

Ed. Chart. XII. [448.] Ed. Baſ. V. (650. 651.)

λε'.

Προσδέχεσθαι δὲ μάλα χρὴ τοιαῦτα ἰήματα. ἐπιδέειν γὰρ φοβερώτερά ἐστιν ἢ τινι ἰητρείῃ πραείῃ ἀρκέει πᾶσι τοιούτοισι· αὐτὰ γὰρ ἑωυτὰ κρίνει μόνον· τῆς τε διαίτης ἐπιμελέεσθαι χρὴ ὡς κατὰ δύναμιν ἀπύρετος ἔῃ.

---

(651) *Οὐ μόνον τῶν καμνόντων ἀεὶ φαίνεται κηδόμενος ὁ Ἱπποκράτης, ἀλλὰ καὶ τῶν ἰατρῶν ὡς ἀνέγκλητοι μὲν ἀεὶ παρὰ τοῖς κάμνουσιν ὦσιν, εὐδοκιμῶσι δὲ τὰ πλεῖστα. διὰ τοῦτ' οὖν ἐπισημαίνεταί τε καὶ διορίζεται τὰ κατὰ φαντασίαν μεγάλα πάθη τῶν κατὰ δύναμιν. ἐπὶ μὲν οὖν τῶν κατὰ δύναμιν ἰσχυρῶν, οὐ μὴν φαινομένων γε τοιούτων, ἀποδιδράσκειν κιλεύει. προΐεσθαι δὲ τὰ κατὰ φαντασίαν μεγάλα, καθάπερ καὶ ταυτὶ τὰ νῦν περὶ ὧν ὁ λόγος. ὅταν γὰρ ἀκριβῶς τι νεκρωθῇ μέρος, οὐκέτι συμπάθειαν ἰσχυρὰν ἄγει τὰ πλησιάζοντα. ταῦτ' οὖν ἐὰν ἀποκόψῃς, τὸν ἐν*

XXXV.

Accipiendae prorſus ejusmodi ſanationes ſunt: magis enim terrent, dum accipiuntur, quam dum adhibentur; atque haec omnia lenem medicinam requirunt; ipſa enim per ipſa ſolvuntur. Eſt autem victus expeditiſſimus ille qui febri adverſatur.

Hippocrates conſilium dirigit non ſolum ad aegrotantes, ſed etiam ad medicos, ut apud aegrotantes a culpa ſemper vacui ſint et laudem plerumque inveniant. Quamobrem mala quae gravia videntur monſtrat diſcernitque ab iis quae vere talia ſunt. In iis enim quae vere gravia ſunt, non tamen talia ſe oſtendunt, monet ut medicus ſe ſubducat, illis manum injiciat quae gravia videntur, quemadmodum et haec quae nunc proponuntur. Ubi enim pars aliqua ex toto emortua ſit, non amplius graviter afficit quae vicina ſunt. Hanc ſi praecidas cavens,

Ed. Chart. XII. [448. 449.] Ed. Baſ. V. (651.)

τῇ χειρουργίᾳ τῆς λειποθυμίας φυλαξάμενος κίνδυνον οὐκέτι οὐδὲν ἀκολουθήσει δυσχερές.

λστ'.

Καὶ ἐν σχήμασι δικαίοισιν εὐθετίζειν τὸ σῶμα. δίκαια δὲ καὶ ταῦτα μηδὲ μετεωροποιέειν, μηδὲ ἐς τὸ κάτω ῥέπειν. ἀλλὰ μᾶλλον ἐς τὸ ἄνω ποτὶ καὶ ἔστ' ἂν τελείως περιῤῥαγῇ· αἱμορραγιέων γὰρ ἐν τούτῳ τῷ χρόνῳ κίνδυνος· διὰ τοῦτο χρὴ οὖν οὐ χρὴ κατάῤῥοπα ποιέειν τὰ τραύματα, ἀλλὰ τἀναντία.

[449] Πολλάκις ἤδη μοι λέλεκται τὸ δίκαιον ἐπὶ τοῦ κατὰ δύναμιν ἴσου λέγειν ὁ Ἱπποκράτης. ἔστι δὲ τοῦτο ταὐτὸ τῷ κατὰ τὴν ἀξίαν ἑκάστου. τοιοῦτο δέ τι καὶ τὴν δικαιοσύνην ἴσμεν οὖσαν. ὅσον μὲν οὖν ἐπὶ τοῖς μυσὶ δίκαιον σχῆμά ἐστιν, ἐν ᾧ μηδετέρως τείνονται, μήθ' οἱ κάμπτοντες μήθ' οἱ ἐκτείνοντες τὸ κῶλον· ὅσον δ' ἐπὶ τὸ κάτοντες ἢ ἄνανιες ἀποθέσθαι τὸ μόριον, ἴσον μὲν ἄν τῳ

ne dum manus curatio adhibetur animae defectio ſequatur malum aliud non afferes ullum.

XXXVI.

Ad haec juſto habitu figurare corpus oportet. Juſtus habitus eſt ubi nihil ſaſpenſum eſt, nihil deorſum ſpectat, ſed ſurſum magis, praecipue donec ex toto reſolutum fuerit; periculum enim eſt, ne interim ſanguis erumpat. Quamobrem vulnera inclinari in inferiorem partem non debent, ſed ſuperiora haberi.

Oſtendimus jam ſaepe juſtum apud Hippocratem vocari id quod potentia aequale eſt. Hoc autem illud eſt quod unicuique convenit, quandoquidem et juſtitiam hujusmodi quid eſſe manifeſtum eſt. Quod quidem ad muſculos attinet, ille juſtus habitus eſt ſub quo tam qui membrum flectunt, quam qui extendunt in neutram partem trahuntur; quod vero ad collocandum membrum in inſe-

Ed. Chart. XII. [449.] Ed. Baſ. V. (651.)

δόξειε τὸ μέσον ἀναῤῥόπου τε καὶ καταῤῥόπου, τουτέστι τὸ κατ' εὐθεῖαν γραμμὴν ἐκτεταμένον ἀκριβῶς εἶναι δίκαιον. καὶ ὅταν γε μηδεὶς ᾖ κίνδυνος αἱμορῥαγίας, ἐὰν εὐφορώτερον ᾖ τοῦτο τῷ κάμνοντι, προαιρετέον αὐτό· καὶ λέλεκταί γε περὶ τούτου μικρὸν ἔμπροσθεν, ἡνίκα περὶ τῶν ἐκβυρσωμένων ὁ λόγος ἦν. νυνὶ δ' ἐπὶ τῶν ἀποκοπτομένων ὀστῶν, ὥσπερ ἐπὶ τῇ χειρουργίᾳ κίνδυνος, ὡς ἂν ἀλγήσαντα σφοδρῶς τὸν κάμνοντα λειποθυμῆσαι. οὕτως μετὰ τὴν χειρουργίαν ἕτερος εἷς κίνδυνός ἐστιν ὁ τῆς αἱμορῥαγίας, ὅταν ἀποπέσῃ τὰ σεσηπότα μόρια τοῦ σώματος εἰωθὼς γίνεσθαι. πρόδηλον δ' ὅτι τὸ κατάῤῥοπον σχῆμα πρὸς αἱμορῥαγίας ἐστὶν ἑτοιμότατον καὶ ὅσον ἐπὶ τὸ φυγεῖν ἀκριβῶς τε ἅμα καὶ ἀσφαλῶς τὸν ἐκ τῆς αἱμορῥαγίας κίνδυνον, ἐχρῆν ἀνάῤῥοπον ἀποσχηματίζειν τὸ ἀποκεκομμένον κῶλον, ἀλλ' ἐπὶ τοῦτ' ἐπώδυνον τὸ σχῆμα, διὰ τοῦτ' ἀνάῤῥοπον αὐτὸ μετρίως σχηματίζομεν. εὔδηλον δ' ὅτι καὶ κατ' αὐτὴν τὴν ῥῆσιν αὐξῆσαι βουλόμενος τὸν λόγον ἐχρήσατο τῇ ποτὶ φωνῇ, ὡς

riorem vel ſuperiorem partem ſpectat, juſtus habitus videri poterit qui medius erit inter eum, qui deorſum ſpectat, hoc eſt qui ad rectam lineam prorſus extenſus eſt. Hic autem ubi nullum periculum ſit ne ſanguis erumpat et facillime ab aegrotante feratur eligendus eſt, de quo etiam paullo ſupra tractavimus, ubi oſſa cute excedentia perſequuti ſumus. At nunc in oſſibus abſcindendis, ſicut dum manus adhibetur, unum periculum eſt, ne prae dolore intolerabili anima deficiat, ita poſtquam adhibita eſt unum aliud circumſtat, ne videlicet ſanguis erumpat, id quod evenire ſolet ubi putrefcentes corporis partes reſolvuntur. Conſtat autem habitum, ſub quo membrum dependet eruptioni ſanguinis eſſe opportuniſſimum. Quantum ergo ſpectat ad ſanguinis eruptionis periculum penitus tutoque evitandum, praeciſum membrum ſuperius omnino habendum eſſet; ſed quia ſtatus hic dolori eſt, idcirco moderate in ſuperiorem partem convertitur. Manifeſtum item eſt, quum in iis verbis augere vellet quod proponitur, adjeciſſe vocabulum *praecipue*, quod ποτὶ dixit

Ed. Chart. XII. [449.] Ed. Baſ. V. (651.)

εἰ καὶ οὕτως εἶπε, μηδὲν μετέωρον ποιεῖν μηδὲ ἐς τὸ κάτω ῥέπον, ἀλλὰ μᾶλλον ἄνω καὶ μάλισθ' ὅταν τελέως περιῤῥαγῇ τὰ σεσηπότα. τῶν γὰρ αἱμορῥαγιῶν ἐν τούτῳ τῷ χρόνῳ κίνδυνος.

λξ'.

Ἐπεὶ ὅταν γε ὁ χρόνος ἐγγένηται πλείων καὶ καθαρὰ τὰ ἕλκεα γένηται, οὐκέτι ταῦτα τὰ σχήματα ἐπιτήδεια ἐστιν, ἀλλ' ἡ εὐθεῖα θέσις καὶ ἐνίοτε ἐπὶ τὸ κατάῤῥοπον ῥέποντα· ἀνὰ χρόνον γὰρ ἐνίοισι τούτων ἀποστάσιες ὀστέου γίνονται καὶ ὑποδεσμίδων δέονται.

Ὥσπερ ὁπόταν τὰς αἱμορῥαγίας ἐφυλάττετο τὴν εὐθεῖαν θέσιν τοῦ κώλου, καίτοι μέσην τε καὶ δικαίαν οὖσαν, ἐπὶ τὸ ἀνάῤῥοπον ἦγεν εἰς τοσοῦτον ἄχρι τοῦ χωρὶς ὀδύνης τοῦ κάμνοντος ἀναταθῆναι τὸ κῶλον, οὕτως νῦν ἐνίοτε μετρίως κατάῤῥοπον ἀξιοῖ σχηματίζεσθαι τὸ κῶλον ἕνεκα τῆς ἐκκρίσεως τῶν ἰχώρων. ὅπου γὰρ οὔθ' αἱμορῥαγίας ἐστὶ

quaſi ita ſcripſerit: ubi nihil ſuſpenſum eſt nihil deorſum ſpectat, ſed ſurſum magis, potiſſimum, ubi ex toto reſoluta fuerint, periculum eſt ne interim ſanguis erumpat.

XXXVII.

Namque ubi tempus proceſſerit et ulcera jam pura ſint, non amplius accommodatur hujusmodi ſtatus, ſed ille qui rectus eſt et interdum ille qui verſus inferiorem partem inclinatur; tempore enim nonnullis oſſa abſcedunt et illae faſciae neceſſariae ſunt quae primae injiciuntur.

Non ſecus atque ubi ſanguinis eruptionem cavebat, rectum membri ſtatum quamvis medius et juſtus eſſet, eatenus in eum qui ſurſum ſpectaret convertebat, quatenus membrum ſine dolore excitabatur, nunc quoque praecipit ut membrum moderate in inferiorem partem inclinetur ut ſanies effluat; quandoquidem, ubi nullum periculum eſt ne vel ſanguis erumpat vel propter conſortium

Ed. Chart. XII. [449. 450.] Ed. Baf. V. (651.)

κίνδυνος οὔτε συμπαθείας οὔτε φλεγμονῆς, ἤδη ὄντα καθαρὰ τὰ ἕλκη μόνης ἐπουλώσεως χρήζει, περὶ παντός ἐστι ποιητέον, ὡς μήτε πῦον ὑφίσταται τότε μήτε ἰχὼρ τις λεπτὸς, ἀλλ' ἀπορρέει πάντα. κολπωθέντος μέντοι τινὸς αὐτόθι μέρους, εἴωθε γὰρ ἐνίοτε καὶ τοῦτο γίγνεσθαι, τῶν ἰχώρων ἀναβιβρωσκόντων ἐκεῖνα τὰ μόρια, ἃ κατ' ἐκεῖνον τὸν χρόνον ἐν ᾧ διὰ τὸν φόβον τῆς [450] αἱμορραγίας ἀνάρροπον ἡγούμεθα σχῆμα, χρείας ἕξομεν ὑποδεσμίδων αἷς προστελοῦμεν τὸν κόλπον. ἡ δ' ἐπίδεσις ἐν τῷ τοιούτῳ καιρῷ κατὰ τὸν ἐναντίον γίνεται τρόπον ἁπάσαις ταῖς ἔμπροσθεν εἰρημέναις. ἐπ' ἐκείνων μὲν γὰρ ἐκ τῶν κάτω μερῶν ἀρχόμενοι τελευτῶμεν ἄνω. κατὰ δὲ τὰς νῦν προκειμένας διαθέσεις, ἐφ' ὧν ἐκκρίνεσθαι βουλόμεθα τὸ πῦον ἄνωθεν, ἀρχομένους ἐπὶ τὰ κάτω χρὴ νέμεσθαι πανομένους ἀνωτέρω βραχεῖ τοῦ κατὰ τὸν κόλπον στόματος, ἵν' ἐκ μὲν τοῦ πυθμένος αὐτοῦ πᾶν ἐκθλίβηται διὰ τῆς εἰρημένης ἐπιδέσεως, ἀνεῳγμένου δὲ τοῦ στόματος εὐθέως ἐκρέῃ.

---

aliqua pars afficiatur vel inflammatio ſuperveniat atque ulcera jam pura tantummodo ad cicatricem perducenda ſunt, danda in primis opera eſt ut nec pus nec ſanies aliqua tenuis tunc ſubſidat, ſed omnia exitum habeant. At ſi qua ibi pars ſinuetur, hoc enim accidit ſub ſanie quae illas partes erodit, dum nos caventes ne ſanguis erumperet membrum ſublime habuimus, ad faſcias veniendum erit quae primae injiciendae ſint, quibus ſinus coerceatur. Vinciendi autem ratio in eo caſu contraria eſt illis omnibus quae ſupra dictae ſunt, in quibus faſciae ab inferiori parte ortae in ſuperiori terminantur; ſed in propoſitis affectibus, ubi eo conſilium tendit ut pus excernatur, a ſuperiori parte incipiunt et deorſum verſus intendentes paullo ſupra os ipſius ſinus finiuntur, ut quidquid in imo ſinu reſidet ſub hac vinciendi ratione exprimatur et ore aperto protinus evadat.

Ed. Chart. XII. [450.] Ed. Baf. V. (651.)

λη'.

Προσδέχεσθαι δὲ χρὴ τοὺς τοιούτους ἀνὰ χρόνον ὑπὸ δυσεντερίης πιέζεσθαι· καὶ γὰρ ἐπὶ τοῖς μελαινομένοισι τοῖσι πλείστοισι ἐπιγίνεται δυσεντερίη καὶ ἐπὶ τῇσιν αἱμορῥαγίῃσιν ἐξ ἑλκέων. ἐπιγίνεται δὲ ὡς ἐπὶ τὸ πολὺ κεκριμένων ἤδη καὶ τῶν μελασμῶν καὶ τῆς αἱμορῥαγίης.

Τὴν τῆς δυσεντερίας προσηγορίαν ἔοικεν ὁ Ἱπποκράτης οὐ κατὰ τῆς τῶν ἐντέρων ἑλκώσεως ἐπιφέρειν, ὡς οἱ πολλοὶ τῶν ἰατρῶν, ἀλλὰ κατὰ τῆς αἱματώδους ἐκκρίσεως διὰ τῶν ἐντέρων γιγνομένης, ὥστε καὶ ὅταν ἀῤῥωστίᾳ τοῦ ἥπατος αἱματώδη διαχωρῆται καὶ τότε ὀνομάζεσθαι δυσεντερίαν τὸ πάθος, ὅπερ καὶ φαίνεται γιγνόμενόν τε καὶ λεγόμενον ὑπὸ τῶν ἰατρῶν. καὶ πολλοὺς ἴστε τῶν οὕτω πεπονθότων ἀπολλυμένους ἀγνοίᾳ τῶν θεραπευόντων. ἐπεὶ δ' ἐνίοτε διὰ τὴν τῶν ἐξιόντων δριμύτητα συνεκκρίνηταί τις ἅμα τοῖς διαχωρήμασι κατ' ἀρχὰς, ἀμελῇ δὲ τοῦ χρόνου προϊόντος ἤδη καὶ τῶν ἐντέρων αὐτῶν ξύσματα διὰ τοῦ

XXXVIII.

In his autem procedente tempore exſpectandae ſunt dejectiones cruentae, quum plerisque et ex nigritie et ex ſanguine ab ulceribus fuſo cruentae dejectiones ſuperveniant. Fiunt autem plerumque, ubi nigrities et ſanguinis eruptiones ſolutae ſunt.

Cruentam dejectionem Hippocrates *δυσεντερίην* vocavit. Quo nomine uſus videtur non ut exulcerationem inteſtinorum, quemadmodum plerique medici, ſed ut cruentas inteſtinorum dejectiones ſignificaret; ſicut ubi propter jecoris imbecillitatem cruentum deſcendat, id quoque vitium *δυσεντερίη* appelletur, quod a medicis uſurpari ac dici novimus, ſaepiusque homines ita affectos medentium inſcitia periiſſe nos non latet. Interdum enim quum propter dejectiones acres principio quidem pinguedo, proceſſu temporis quaedam ſtrigmenta quae ab inteſtinis deradun-

Ed. Chart. XII. [450.] Ed. Baſ. V. (651. 652.)

θεραπεύειν ὡς ἕλκωσιν ἐντέρων μόνην, οἱ πολλοὶ τῶν ἰατρῶν ἀμελοῦντες τοῦ ἤπατος αἴτιοι θανάτου τοῖς κάμνουσιν ἐγένοντο. νόσημα μὲν οὖν ἐστιν ἥ τε τοῦ ἤπατος ἀῤῥωστία καὶ ἡ τῶν ἐντέρων ἕλκωσις. κοινὸν δὲ σύμπτωμά ἐστιν ἡ διὰ τῆς ἕδρας ἔκκρισις αἱματώδης οὐ κατὰ τὰς εἰρημένας αἰτίας γιγνομένη· καὶ γὰρ διὰ πλῆθος αἵματος ἀναστομουμένων εἰς ἔντερα φλεβῶν αἱματώδη διαχωροῦσιν, ὡς εἶναι τὸ πάθημα παραπλήσιον αἱμορῥοΐσι, μόνῳ διαφέρον τῷ κατὰ μὲν τὴν ἕδραν ἐκείνας γίγνεσθαι, κατὰ δὲ τὰς τῶν ἐντέρων ἕλικας ἀναστομοῦσθαι τὰς φλέβας ἐπὶ τούτων ἢ καὶ κατὰ τὸ ἀπευθυσμένον μὲν αὐτὸ, πόῤῥω μέντοι τῆς ἕδρας ἄνω κατὰ τὴν (652) ἀρχὴν αὐτοῦ καὶ πολλοὺς εἴδομεν τοῦτο πάσχοντας ὧν ἀπεκόπη τι κῶλον, ἀλλὰ καὶ ὅσοι κατέλυσαν ἀθρόως ἰσχυρὰ γυμνάσια κατὰ τὸν ἔμπροσθεν χρόνον εἰθισμένα, τινὲς μὲν ἀθλήσαντες, ἔνιοι δὲ σκάπτοντες ἢ τοιοῦτόν τι φιλοπόνως ἐργαζόμενοι· ἐὰν γὰρ μὴ συγκαταλύσωσι τοῖς γυμνασίοις καὶ τὸ πλῆθος τῆς ἐδωδῆς, ἣν ὅτ' ἐπόνουν ἐποιοῦντο, τινὲς μὲν ἐν τάχει πληθωρικοῖς ἁλίσκονται νο-

tur una excernantur, plerique medici neglecto jecore ulceri dumtaxat inteſtinorum medentur atque idcirco aegrotantes praecipitant. Eſt ergo morbus et jecoris imbecillitas et ulcus inteſtinorum; cruenta vero alvus communiter ſupervenit non proprie cauſis propoſitis, quum inteſtinorum venis prae ſanguinis copia adapertis cruentum dejiciatur, ſic ut ſimilis affectus ſit, atque ubi ora venarum non in ano, ſed in inteſtinorum anfractibus aut ad initium recti inteſtini longe ab ano aperiuntur. Permultos autem videmus experiri hoc malum, quibus membrum exciſum fuerit; quive repente vehementes exercitationes omiſerint, quibus ante aſſueverant, quum nonnulli certarent, alii foderent vel quid hujusmodi laborioſum vitae genus ſequerentur: nam niſi quemadmodum exercitationis, ita aliquid dempſerint cibi aut potionis abundantiae, qua utebantur dum exercerentur, nonnullos celeriter invadunt ea mala quae a multitudine fiunt; aliis qui minus adverſa fortuna utuntur alvus cruenta dejicit,

Ed. Chart. XII. [450. 451.] Ed. Baſ. V. (652.)

σήμασιν, ἐνίοις δὲ εὐτυχέστερον πράξαντες τῷ ὑφ' Ἱπποκράτους εἰρημένῳ συμπτώματι δυσεντερίας· οὕτω γὰρ ὠνόμασεν, ὡς ἔφην, τὴν διαχώρησιν τοῦ αἵματος. ἐνίους δὲ ἤδη οἶδα τῇ διὰ ῥινῶν αἱμορραγίᾳ σωζομένους, ἄλλους δὲ ἁλισκομένους χολέρᾳ, καὶ γίνεται πᾶσιν αἷμα ἐκ περιόδου τοῦ πάμπαν, ἴσως ὡς ἔγγιστα τῷ χρόνῳ τὰ τοιαῦτα συμπτώματα. κακωθέντες γὰρ ἐπὶ ταῖς ἀθρόαις κενώσεσι καὶ [451] καταψυχθέντες οὐ προσέχουσι τῇ μετὰ ταῦτα διαίτῃ. πάλιν δ' ἀφυλάκτως διαιτώμενοι πάλιν πλῆθος ἀθροίζουσιν ἴσον τῷ πρόσθεν ἐν ἴσῳ χρόνῳ. κοινὴν οὖν αἰτίαν ἁπάντων τῶν οὕτω πασχόντων ἐροῦμεν εἶναι πληθώραν ἐκκενουμένην διὰ φλεβῶν ἀναστομώσεως ἢ κατὰ ῥῖνας ἢ καθ' ἕδραν ἢ κατ' ἔντερα γινομένης. αὐτὴν δὲ τὴν πληθώραν ἀθροίζεσθαι τοῖς ἐσθίουσι μέν, ὡς ἔμπροσθεν ἤσθιον δαψιλῶς, μὴ δαπανοῦσι δὲ τὸ ἐκ τῆς τροφῆς ἀθροιζόμενον αἷμα. τούτῳ τῷ λόγῳ κοινῷ πάντων ὄντι τῶν οὕτω πασχόντων ὑποπέπτωκε καὶ τὰ ὑφ' Ἱπποκράτους εἰρημένα. οἷς γὰρ ἀπεκόπη τι κῶλον ἢ πρότερον εἰς αὐτὸ παραγενομένη τροφὴ κατὰ

quam rem Hippocrates propoſuit *δυσεντερίας* vocabulum uſurpans, quo, ut retuli, cruentam dejectionem ſignificat. Quosdam ego jam vidi quos ſanguinis per nares eruptio liberavit, alios quos tentavit cholera; his autem omnibus aequali fere temporis circuitu ſanguis effunditur. Languentes enim repente exhauſti refrigeratique in poſterum victus ratione curioſa non utuntur, ſed rurſus inordinate vivunt, rurſus multitudinem colligunt priori aequalem et aequali tempore. Horum ergo affectuum communem cauſam in multitudinem referemus, quae adapertis venis vel in naribus vel in ano aut inteſtinis ejicitur. Colligitur autem multitudo in illis qui liberaliter ut ſoliti erant cibum ſumunt, ſed ſanguinem quem ex aſſumpto alimento contraxerunt minime abſumunt. Ad communem horum affectuum rationem ſpectat, quod ab Hippocrate proponitur. Quibus enim aliquod membrum abſciſſum fuerit, alimentum quod ante transferri ad ipſum ſolebat, in venis coit

Ed. Chart. XII. [451.] Ed. Baſ. V. (652)

τὰς φλέβας ἀθροιζομένη πλῆθος αἵματος ἐργάζεται. συμβουλεύειν δὲ χρὴ τοῖς τοιούτοις ἅπασιν ἐλάττω τ' ἐσθίειν ἢ πρόσθεν, ὀλιγότροφά τε ταῦτα εἶναι καὶ συνεχῶς ὑπάγειν γαστέρα, γυμνάζεσθαί τε καθόσον ἂν δύναιντο καὶ τρίβεσθαι πλείω καὶ μὴ λούεσθαι μετὰ τροφὴν, ἀλλὰ πρὸ τροφῆς πολλάκις. εἰ δὲ καὶ διαφορητικοῖς ὕδασιν ἔχοιεν χρῆσθαι, κάλλιστα οὕτω πράττοιεν. ταῦτα μὲν οὖν εἴρηταί μοι κατὰ τὸ πάρεργον οὐκ ὄντα πάρεργα. διὰ τί δὲ καὶ τῶν αἱμορῥαγησάντων ἰσχυρῶς ἐνίοις ἐπιγίγνεται μετά τινα χρόνον ἡ τοιαύτη δυσεντερία, προσθεῖναι χρὴ τῷ λόγῳ· συμβαίνει δὴ καὶ τούτοις τοιοῦτον, ἐπὶ ταῖς σαφοδραῖς αἱμορῥαγίαις καταψύχεται τὸ σῶμα καὶ διὰ τοῦθ' ἧττον ἢ πρόσθεν ἐκκενοῦται διὰ τοῦ δέρματος. ὑπομένον δὲ ἐν τῷ σώματι τὸ μὴ κενούμενον αὐξάνει τὸ πλῆθος τοῦ αἵματος, ἐφ' ᾧ κυθότι δέδεικται πρόσθεν αἵ τε χολέραι καὶ αἱ διὰ ῥινῶν αἱμορῥαγίαι καὶ αἱματώδεις δυσεντερίαι γίγνονται· καὶ γὰρ οὕτως αὐτὰς ὀνομάζω ἕνεκα σαφοῦς διδασκαλίας. ἔπονται δ', ὡς ἔφην, αἵματος πλήθει διὰ ῥώμην μᾶλλον οὐκ ἀῤῥω-

et ſanguinis multitudinem producit. Hos itaque omnes monere oportet, ut minus cibi capiant quam ante, isque infirmior ſit; ſubinde alvum ducant et quantum poſſunt exerceantur, multam frictionem adhibeant, a cibo non laventur, ſed ante ſaepius; recte autem conſulent, ſi digerente aqua utantur ubi ejus copia fuerit. Haec praeter propoſitam rem adjeci, quum tamen ab re non ſit. Cur autem nonnullis quibus copioſe ſanguis effunditur aliquo interpoſito tempore cruenta dejectio ſuperveniat, adjicere ſermoni oportet. Fit ergo in his, ut ob vehementem ſanguinis profuſionem corpus refrigeretur, atque idcirco minus quam ante per cutem exhauriatur; quod vero non exinanitur in corpore ſubſiſtens, ſanguinis multitudinem auget. Quae, ut ſupra oſtenſum eſt, efficit, ut vel cholera ſuperveniat vel ſanguis per nares erumpat vel *αἱματώδης δυσεντερία* ſequatur, ita enim appello clarioris doctrinae gratia, hoc eſt cruentum dejiciatur. Proficiſcitur autem hujusmodi dejectio ex multitudine ſanguinis quem natura

Ed. Chart. XII. [451.] Ed. Baſ. V. (652.)

στίαν ἐπὶ τὴν ἔκκρισιν αὐτοῦ τῆς φύσεως ὁρμώσης ἔμπαλιν ἢ ἐπὶ τῶν ἡπατικῶν ἔχει διαθέσεων. ἐν ἐκείναις γὰρ ἀῤῥωστία τοῦ ἥπατος αἱματώδη δι' ἐντέρων ὑπέρχεται. ἐὰν μὲν ἤτοι δι' αἱμοῤῥοΐδων ἢ διὰ τῶν εἰς ἔντερα καθηκουσῶν φλεβῶν ἢ διὰ τῶν εἰς τὰς ῥῖνας ἡ φύσις ἰσχύσῃ τὸ περιττὸν ἐκκρῖναι, σὺν εὐτυχίᾳ τοῦ πληθωριῶντος ἡ κένωσις ἐγένετο· μὴ δεξαμένων δὲ τῶν ἐνταῦθα χωρίων τὸ πλῆθος, ἀλλ' ἐπὶ θώρακα καὶ πνεύμονα ῥυέντος αὐτοῦ, χαλεπὸν ἤδη τὸ πάθημα. δυοῖν γὰρ θάτερον περιπλευμονίαις τε καὶ πλευρίτισιν ἢ ἀναγωγαῖς αἵματος οἱ τοιοῦτοι περιπίπτουσι.

λθ'.

Καὶ ὁρμᾶται μὲν λαύρως καὶ ἰσχυρῶς, ἀτὰρ οὔτε πολυήμερος γίνεται οὔτε θανατώδης, οὔτε γὰρ μάλα ἀπόσιτοι γίνονται οἱ τοιοῦτοι οὔτε ἄλλως ξυμφέρει κενεαγγεῖν.

---

tentat magis ob virium robur, quam ob infirmitatem expellere. Quae res contrario modo ſe habet, quam in jecoris affectibus in quibus ſanguis per inteſtina ob viſceris imbecillitatem deſcendit. Quodſi per ora venarum quae ad anum, inteſtina aut nares pertinent, natura quod ſuperat exinaniret, bene ageretur cum eo cui hac via multitudo detraheretur; ubi multitudo non recipitur his locis, ſed ad thoracem vel pulmonem confluit, malum jam grave eſt: alterutrum enim vel pulmonis inflammationem et lateris dolorem vel ſanguinis ſputum ſupervenire neceſſe eſt.

XXXIX.

Magno autem impetu concitantur, ſed nec diuturnae ſunt nec mortiferae; nam neque homo valde propter cibi faſtidium abſtinet, neque alioquin exhauriendus eſt.

Ed. Chart. XII. [451. 452.] Ed. Baſ. V. (652.)

Οὐχ ὡς ἱστορίαν γράφων τῶν συμβαινόντων τοῖς οὕτω κάμνουσιν, ὥσπερ ὁ Θουκυδίδης, ἡνίκα διηγεῖται τὸν λοιμὸν, ἀλλ' ἕνεκα διορισμοῦ τῶν ἐφ' ἑτέραις αἰτίαις γιγνομένων δυσεντεριῶν, ταῦτα προσέθηκεν ὁ Ἱπποκράτης, ὥστ' εἰ μὴ καὶ τῆς προκειμένης πραγματείας ἴδιός ἐστιν ὁ λόγος, οὐδὲν χεῖρον αὐτὸν ἐξεργάσασθαι παμπόλλων ἰατρῶν ἀδυνατούντων διακρῖναι τὰς διαθέσεις, ἐφ' αἷς ἐκκρίσεις αἵματος γίγνονται. νομίζουσι γοῦν ἔνιοι πάσας [452] *αὐτὰς ἑλκώσεσιν ἐντέρων ἕπεσθαι, μεγάλως σφαλλόμενοι. ἡ μὲν οὖν ἀπὸ τῶν αἱμορροϊδων ἔκκρισις οὐδ' αὐτοὺς τοὺς κάμνοντας λανθάνει. τῶν δ' ἄνωθεν ἐπὶ τὴν ἕδραν ἀφικνουμένων αἱματωδῶν ἔνια μὲν εὐθὺς ἐξ ἀρχῆς ἧκει, τινὰ δὲ προηγήσατό τι τοιοῦτον, εἰ ἐξαίφνης διαχωρήσειεν αἷμα πολὺ, γιγνώσκειν ἀναστόμωσιν ἀγγείου γεγονέναι τῆς φύσεως τὸ βαρῦνον αὐτὴν ἀποκρινούσης. ἐκ τούτου τοῦ γένους ἐστὶ καὶ ἡ νῦν ὑφ' Ἱπποκράτους εἰρημένη δυσεντερία λάβρως ὁρμᾶται καὶ ταχέως παύεται, μετὰ τοῦ μηδ' ἀνορέκτους τοὺς*

Adjungit haec Hippocrates non ut hiſtoriam conſcribat eorum quae ſic affectis evenerunt, quemadmodum Thucydides, ubi peſtilentiam illam recenſet, ſed ut cruentas has dejectiones diſtinguat a torminibus quae aliis de cauſis accidunt. Quare haec quamvis ad propoſitum opus proprie non pertineant, exponere tamen alienum non fuerit, quum medici complures morbos, ſub quibus ſanguis dejicitur, diſcernere non poſſint: nonnulli enim exiſtimant ubique cruentam dejectionem ex inteſtinorum ulcere provenire, quos magnopere animus fallit. Sanguis itaque quum ab ore venarum quae in ano ſunt funditur, neque laborantes ipſos latet; ſed ubi cruenta dejectio a ſuperiori parte ad anum feratur, quaedam protinus a principio deſcendit, quaedam praecedente aliquo tali. Quodſi repente cruor multus dejiciatur, ſcire convenit adapertum eſſe os venae natura id quod pondere moleſtum eſt depellente, cujus generis eſt quam nunc Hippocrates proponit, cruenta dejectio quae magno impetu concitatur et cito quieſcit,

Ed. Chart. XII. [452.] Ed. Baſ. V. (652.)

κάμνοντας ἰσχυρῶς γίγνεσθαι, καθάπερ ὅταν ἥπατος ἀῤῥωστοῦντος ἐκκρίσεις ἔπονται τοιαῦται. σπανιώτερον μὲν οὖν ἡπατικὴ διάθεσις ἀπὸ τοιαύτης ἄρχεται κενώσεως. ὡς τὸ πολὺ γὰρ οἷον κρεῶν πλύμα ἰχῶρες αἵματος λεπτὸν ἐκκρίνονται κατ' ἀρχὰς αὐτοῖς. ἄρχεται μὲν οὖν ἐνίοτε καὶ σὺν ἀθρόᾳ κενώσει τοῦ αἵματος, ὅταν ποτὲ συνέλθῃ πληθωρικὴ διάθεσις ἀῤῥωστίᾳ τοῦ σπλάγχνου. μετὰ δὲ τὴν ἀρχὴν ὁποτέρως ἂν γενομένη ἅμα τῷ καὶ ἀνορεκτεῖν ἐσχάτως αὐτοὺς ἐκκρίνεται, ποτὲ μὲν αἷμα καθαρὸν οὐ πολύ, ποτὲ δὲ καὶ μετὰ χολῆς ξανθῆς ἅμα ταῖς τῶν ἐντέρων ἀποξυομέναις πιμελαῖς, εἶτά που καὶ μετὰ ταῦτα καὶ οἷον τρὺξ αἵματος, ἡνίκα δὴ κακῶς ἔχει τὸ σπλάγχνον, παχύς. ἐπὶ δὲ ταῖς τοιαύταις ἐκκρίσεσι καὶ μάλισθ' ὅταν ἔχωσί τι καὶ χολῆς αὐτῶν τῶν ἐντέρων συνεκκρίνεται τὰ μόρια τὰ καλούμενα ξύσματα ἐπιπολῆς αὐτῶν ἀποξυούσης τῆς δριμύτητος τῶν ἐντέρων διαχωρουμένων· ἐπὶ μὲν οὖν τῶν τοιούτων λεπτοτάτης διαίτης ἐσὶ χρεία, τοῖς δὲ τὸ πλεονάζον ἐκκρίνουσιν

praeterquam quod homo ob cibi ſaſtidium non admodum abſtinet, ſicut quando ob jecoris imbecillitatem alvus cruenta eſt: quamquam raro initio quum jecur afficitur, hujusmodi alvus ſe oſtendit. Plerumque enim a principio tenuis ſanies cruenta dejicitur aquae ſimilis, in qua lota caro ſit; interdum tamen incipit jecoris affectus cum ſubita ſanguinis dejectione, ubi videlicet viſceris imbecillitati ſanguinis multitudo acceſſerit; poſt principium vero utrovis modo res acceſſerit et aeger maxime cibum faſtidit et ſanguis modo purus et non multus, modo flavae bili immixtus ſimul cum deraſa inteſtinorum pinguedine dejicitur, poſtea quae faex ſanguinis deſcendit, ubi jecur jam peſſime habet. Sub hujusmodi ergo dejectionibus, praeſertim ubi aliquid bilis admixtum fuerit, quaedam ipſius inteſtini partes excernuntur, quae quum deradantur ξύσματα vocant. Nam quae per inteſtina deſcendunt eo quod acria ſint, ſummam ipſorum partem eradunt: in quo caſu quanta maxime poteſt abſtinentia imperanda

Ed. Chart. XII. [452.] Ed. Baſ. V. (652.)

αἷμα, βέλτιόν ἐστι διδόναι τροφὴν σύμμειρον ἐρρωμένου τοῦ ἥπατος καὶ κρατεῖν αὐτῆς δυναμένου.

μ΄.

Μηροῦ δὲ ὀλίσθημα κατ' ἰσχίον ὧδε χρὴ ἐμβάλλειν, ἢν ἐς τὸ εἴσω μέρος ὠλισθήκῃ.

Κατεγνώκασιν Ἱπποκράτους ἐπεμβαλεῖν τὸ κατ' ἰσχίον ἄρθρον, ὡς ἂν ἐκπίπτον αὐτίκα πρῶτος μὲν Κτησίας ὁ Κνίδιος συγγενὴς αὐτοῦ· καὶ γὰρ αὐτὸς ἦν Ἀσκληπιάδης τὸ γένος, ἐφεξῆς δὲ Κτησίου καὶ ἄλλοι τινές. διττῆς οὖν οὔσης κρίσεως ἁπάντων τῶν τοιούτων πραγμάτων τῆς μὲν ἑτέρας, ὅταν αὐτόπτης τις γένηται τοῦ ζητουμένου, τῆς δ' ἑτέρας ὅταν ἐκ τῆς φύσεως αὐτοῦ μὴ περιμένων μακρὰν πεῖραν ἐνδεικτικῶς ἀποφαίνηταί τι, καὶ ἡμεῖς ἀμφοτέρας ποιησόμεθα. τὸ μὲν οὖν τῆς φύσεως τοῦ πράγματος ἐστὶ τοιόνδε. κατὰ τὴν διάρθρωσιν ταύτην ἰσχυρότατός ἐστι σύνδεσμος,

eſt; ſed iis qui ſuperantem ſanguinem dejiciunt, convenienti modo cibus dari debet, quum jecur valeat et poſſit ipſum conficere.

XL.

Ubi femur a coxa elabatur, ſi in interiorem partem venerit, hac via reſtituendum eſt.

Reprehendunt Hippocratem, quod ponere tentet femur a coxa prolapſum, quum iterum protinus elabatur; primo quidem Cteſias Cnidius, ejus cognatus, nam ipſe quoque ex familia fuit Aſclepiadarum, poſt Cteſiam vero alii nonnulli. Sed quum haec omnia duplici via judicentur, altera quum ipſis oculis comprehenditur quod requiritur; altera quum non exſpectato longo uſu aliquid demonſtramus judicio ex ipſius natura ſumpto, nos quoque utraque via judicabimus. Natura igitur rei ſic habet. In hac ipſa commiſſura ligamentum rotundum validiſſimum

Ed. Chart. XII. [452. 453.] Ed. Baſ. V. (652. 653.)

στρογγύλος, ἐγκατακεκρυμμένος αὐτῇ, συνάπτων τὴν κορυφὴν τῆς κεφαλῆς τοῦ μηροῦ τῷ βαθυτάτῳ τε καὶ κοιλοτάτῳ μέρει τῆς κοτύλης, ὥστε καὶ [453] μὴ τεθέαταί τις τὸν κίνδυνον, ἀλλ' ἐκ ταύτης γε τῆς διηγήσεως ἀκόλουθον αὐτὸ (653) νοῆσαι βραχὺν εἶναι κατὰ μῆκος αὐτὸν, ὅπου ὁ μηρὸς ἐνστρέφεται ἀεὶ, καθάπερ ὁ Ἱπποκράτης εἶπεν·

Ἰσχίῳ ἐνστρέφεται.

μηδέποτ' ἐκτὸς ὑπερβαίνων τὴν ὀφρὺν τῆς κοτύλης ἀναγκαῖον ἐλάχιστον εἶναι τῷ μήκει τὸν σύνδεσμον. οὗτος οὖν αὐτός ἐστιν ὁ κωλύων ἐκπίπτειν τὸν μηρὸν, ἄχρι περ ἂν ἔχῃ κατὰ φύσιν. ἐγχωρεῖ δ' αὐτὸν οὐκ ἀποῤῥαγένια μόνον, ἀλλὰ καὶ δι' ὑγρότητα πολλὴν ἀθροισθεῖσαν ἐν τῇ κοιλότητι παρὰ φύσιν ἔκτασιν τοσαύτην σχεῖν, ὡς ἐπιτρέψαι ποτὲ ἐκπεσεῖν τῆς κατὰ φύσιν ἕδρας τὸν μηρόν. εἰ μὲν οὖν ἀποῤῥαγέντος τοῦ συνδέσμου τὸν μηρὸν ἐκπεσεῖν συμβαίνει, κἂν ἐμβληθῇ, παραχρῆμα εἶναι κατὰ χώραν οὐ δυνήσεται. καταντοῦς γὰρ οὔσης τῆς κοτύλης καὶ μεγάλου βάρους αὐ-

incluſum eſt, quo ſummum femoris caput altiſſimis atque intimis cavi partibus innectitur, ita ut quis licet ligamentum ipſum non viderit, poſſit ex hac narratione intelligere id breve eſſe: nam quum femur ſemper convertatur, quod Hippocrates retulit, quum ait:

In coxa convertitur:

nec unquam cavi oris excedat, neceſſe eſt ligamentum breviſſimum eſſe. Hoc ipſum igitur, dum naturaliter habet, excidere femur non patitur. Poteſt autem non abrumpi ſolum, ſed et ob humoris copiam in cavo collectam praeter naturam adeo extendi, ut ſinat femur ſua ſede moveri: quod ubi accidat, quamvis ſtatim poſitum fuerit, non poterit ſuo loco manere. Nam quum cavum devexum ſit, onus vero totius cruris quod appenditur grave levi momento rurſus ſuo loco excedet, ſi quis in ingreſſu tentet paullo celerius moveri vel aliquid transgredi, quod

Ed. Chart. XII. [453.] Ed. Baſ. V. (653.)

τῆς ἐκκεκραμένου τοῦ παντὸς σκέλους, ἑτοίμως αὖθις ὁ μηρὸς ἐκστήσεται τῆς ἰδίας χώρας, ἥτις ἐν τῷ βαδίζειν ἐγχειρῆσαι βραχὺ θᾶττον ἢ ὑπερβῆναί τι τῶν ἐν ποσὶν, ὡς εἴ γέ τις ὀλίγην αὐτοῦ ποιοῖτο κίνησιν ἐφ' ὁμαλοῦ ἐδάφους, ἀεί ποτε δύναιτ' ἂν οὕτω μόνος φυλάξαι τὴν κατὰ φύσιν θέσιν· ἀλλ' ἔοικεν ἀδύνατον τοῦτο. καὶ γὰρ εἰ μηδὲν ἄλλο δυνάμενός γε πάντως ἐπαίρειν ἀναγκασθήσεται, ὡς ἐν ταῖς εἰς πτύελον ἐμβάσεσιν. οὕτως μὲν οὖν ἡ φύσις τοῦ πράγματος ἡμᾶς διδάσκει, μὴ δύνασθαι μεῖναι κατὰ χώραν τὸν μηρὸν ἐμβληθέντα τοῦ συνδέσμου διασπασθέντος· καὶ γὰρ αὖ κἀκεῖνο προσθεὶς ἄν τις ἀληθεύοι, τῇ μὲν κατὰ τὸ γόνυ διαρθρώσει σύνδεσμοί τινές εἰσιν ἔξωθεν νευρώδεις, τῷ μηρῷ δὲ μόνῳ εἷς οὗτος οὐδενὸς ἔξωθεν ἄλλου τοιούτου σφίγγοντος τὴν διάρθρωσιν, οὔτε τῶν μυῶν· οὐδὲ γὰρ οὐδὲ παρὰ τούτων ὀλίγη τίς ἐστι βοήθεια πρὸς τὸ μὴ ῥᾳδίως ἐκπίπτειν τὰ ἄρθρα καὶ μάλισθ' ὅταν ὦσιν εὐτραφεῖς τε καὶ σύντονοι, καθάπερ οὔτε τοῖς γυμναστικοῖς καὶ τοῖς σφοδροτάτας ἴσχουσι κατὰ τὰ παλαίσματα πληγάς τε καὶ πτώσεις καὶ τάσεις καὶ περιστροφὰς τῶν ἄρθρων οὐκ ἐκπίπτει τὰ κῶλα,

ob pedes ſit, ita ut ſi quis aequali ſolo paullum moveatur, hoc modo fortaſſe tueri naturalem poſitum aſſidue poterit; ſed videtur id fieri minime poſſe; nam ſi non ad alium uſum, certe quum lavatur, cogetur homo pedem magis attollere, ut ingredi in labrum poſſit. Hoc igitur pacto rei natura monemur, ubi ligamentum abrumpatur, femur repoſitum in ſua ſede contineri non poſſe. Sed et illud fere adjiceretur, quod commiſſura genu ab exteriori parte nervoſis quibusdam ligamentis continetur, femur vero hoc uno. Neque ullum aliud habet tale, quo commiſſura ab exteriori parte illigetur, ſed nec muſculos etiam qui non parum quoque conferunt ad continendos articulos ne procidant, praeſertim ubi boni habitus fuerint ac validi. Quamobrem athletis quamvis in palaeſtra vehementiores ictus patiantur, cadant, diſtendantur contorqueanturque ad articulos, nihilominus membra non luxantur, eo quod

Ed. Chart. XII. [453.] Ed. Baſ. V. (653.)

διὰ τὸ πάντοθεν ἰσχυροῖς καὶ μεγάλοις σφίγγεσθαι μυσίν. εἶπε δὲ καὶ αὐτὸς ὁ Ἱπποκράτης κατ' ἀρχὰς τοῦδε τοῦ βιβλίου καὶ τοῖς βουσὶ μάλιστα ἐκπίπτειν τὸ κατ' ἰσχίον ἄρθρον, ὅταν ὦσι γέροντές τε καὶ λεπτοὶ διαῤῥαγέντος τοῦ κατὰ τὸν μηρὸν συνδέσμου, μένειν οὐχ οἷόν τε τῷ ἄρθρῳ κατὰ χώραν, κἂν ἐμβληθῇ καὶ μάλιστα ἐπὶ τῶν ἰσχνῶν. ἐφεξῆς οὖν ἔδωμεν, εἰ δι' ὑγρότητα δαψιλῆ χαλασθεὶς ὁ σύνδεσμος ἐπιτρέψοιεν ἐκπεσεῖν τῷ μηρῷ, κἄπειτα ἐμβληθείη, τί συμβαίνειν εἰκός. ἐμοὶ μὲν δοκεῖ κἀνταῦθα πρόδηλον εἶναι, μενούσης μὲν αὐτῆς τῆς ὑγρότητος αὖθις ὡς αὐτὸς ἐκπέσῃ, ξηρανθείσης δὲ τὴν κατὰ φύσιν ἀσφάλειαν ἀπολήψεσθαι. ὅτι δὲ δι' ὑγρότητα συμβαίνει τὸν μηρὸν ἔξαρθρον γίγνεσθαι καὶ παρ' αὐτοῦ τοῦ Ἱπποκράτους μαθήσῃ γράφοντος ἐν ἀφορισμοῖς ὧδε· ὅσοις ὑπὸ ἰσχιάδος ἐνοχλουμένοις ἐξίσταται τὸ ἰσχίον καὶ πάλιν ἐμπίπτει, τούτοισι μύξα ἐπιγίγνεται. μύξης οὖν ἀθροιζομένης ἐν τῇ διαρθρώσει, τουτέστιν ὑγρῷ γλίσχρῳ διαβρεχόμενος ὁ σύνδεσμος χαλᾶται. διαφέρει δ' οὐδὲν εἴτε σύνδεσμον ὀνομάζειν αὐτὸν, εἴτε νεῦ-

validis et grandioribus muſculis undique circumdentur. Scripſit etiam Hippocrates inter initia hujus libri, bobus potiſſimum coxae articulum luxari, ubi ſenes ſunt et graciles. Femur igitur abrupto ligamento, quo continebatur, etiamſi in ſuam ſedem collocetur, manere non poteſt, iis praeſertim qui graciliores fuerint. Spectemus deinceps, ſi ligamentum humoris copia relaxatum excidere femur ſinat, idque reponatur quid futurum eſſe credibile ſit. Mihi quidem ut in hoc caſu res manifeſtiſſima videtur: namque ubi idem humor maneat, ſimiliter erumpet; ſed ſi inareſcat, ad naturalem firmitatem reducetur; femur vero ob humorem excidere et ipſe Hippocrates docet, qui in ſententiis illis quae aphoriſmi inſcribuntur ſic inquit: quoscunque coxae dolor exercet, his ſi coxae articulus excidat et rurſus recondatur muci ſuperveniunt; mucis autem in commiſſura collectis, hoc eſt glutinoſo humore madefit ligamentum ac relaxatur. Nihil autem intereſt, ſeu liga-

Ed. Chart. XII. [453. 454.] Ed. Baf. V. (652.)

ρον συνδετικόν. ὅσοι γὰρ τῶν συνδέσμων εἰσὶ στρογγύλοι κατὰ νεύρων ἰδέαν, ἔθος ἐστὶ τοῖς ἀνατομικοῖς νεῦρα συνδετικὰ προσαγορεύειν αὐτούς· καὶ ἡμεῖς ἰασάμεθα δὶς ἤδη τοιαύτην ἔκπτωσιν μηροῦ καὶ οὐκέτι ἐξέπεσε τοῦ λοιποῦ χρόνου. προσήκει δὲ μέχρι πολλοῦ ξηραίνουσι φαρμάκοις περιλαμβάνειν τὴν διάρθρωσιν ἄχρις ἂν αὐτάρκως ξηρανθῆναι τὸ συνδετικὸν νεῦρον, ὡς μηκέτι συνεπεκτείνεσθαι [454] τῷ μηρῷ τὴν ὀφρὺν τῆς κοτύλης ὑπερβαίνοντι, κατέχειν δὲ ἔνδον αὐτὸν ἐν τῇ κατὰ φύσιν θέσει. ὅτι δ' ἐνίοτε μένει βληθεὶς μάρτυς ἀξιοπιστότατος ὁ Ταραντῖνος Ἡρακλείδης ἀνὴρ οὔθ' ἕνεκα δόγματος κατασκευῆς ψευσάμενος, ὡς ἂν οἱ πολλοὶ τῶν δογματικῶν ἐποίησαν, οὔτ' ἀγύμναστος περὶ τὴν τέχνην, ἀλλ' εἴπερ τις καὶ ἄλλος ἱκανῶς τρίβων τῶν ἔργων τῆς ἰατρικῆς. ἀκούσωμεν δ' αὐτοῦ τῆς ῥήσεως, ἣν ἔγραψεν ἐν τῷ τετάρτῳ τῶν ἐκτὸς θεραπευτικῶν, αὐτοῖς ὀνόμασιν οὕτως ἐχούσης. ὅσοι δὲ οἴονται μὴ μένειν μηρὸν ἐμβληθέντα διὰ τὸ μὴ διασπᾶσθαι τὸ συνέχον νεῦρον πρὸς τὴν κοτύλην τοῦ ἰσχίου τὸν μηρὸν, ἀγνοοῦσιν ἐν τῷ καθόλου

mentum ſeu nervus illigans vocetur: quaecunque enim ligamenta nervorum exemplo rotunda ſunt, ab iis qui in incidendis corporibus verſantur vocari ſolent nervi illigantes. Sed et nos quoque femur hac de cauſa luxatum bis jam reſtituimus, neque amplius poſtea procidit. Diu autem oportet ſiccantibus medicamentis commiſſuram circumdare, dum nervus illigans abunde ſiccetur, ne amplius ita extendatur ut femur oris cavi poſſit excidere, ſed intus in naturali ſitu ipſum contineat. Manere autem interdum femur, ubi repoſitum fuerit, idoneus teſtis eſt Heraclides Tarentinus, homo qui nec ut ſectam comprobet mentitur, ſicut ſoliti ſunt rationalium plerique nec medicinae uſus eſt expers, ſed optime ut quivis alius in medendo exercitatus. Audiamus ergo quae ab ipſo traduntur in quarto libro de ratione curandi ea quae ſunt extrinſecus. Sic autem ad verbum habent. Errant qui cenſent femur repoſitum non manere, quod abruptus ſit nervus qui ad coxam ipſum alligabat, quum in univerſum rem ne-

Ed. Chart. XII. [454.] Ed. Baſ. V. (653.)

τρόπῳ τὴν ἀπόφασιν ποιούμενοι. οὐ γὰρ ἂν Ἱπποκράτης καὶ Διοκλῆς ἀνέγραψαν ἐμβολὰς, ἔτι δὲ Φιλότιμος, Εὐήνωρ, Νηλεὺς, Μόλπις, Νυμφόδωρος, ἄλλοι δέ τινες. ἡμεῖς δ' ἐπὶ δύο παιδίων ἐκρατήσαμεν τῆς προθέσεως. πολλάκις τοί γε καὶ μᾶλλον ἐπὶ τῶν τελείων ὀλισθαίνει πάλιν τὸ ἄρθρον. οὐκ ἐκ λόγου δὲ δεῖ τὸ πρᾶγμα κρίνειν, ἀλλ' ἐπειδή ποτε καὶ μένει, διαλαμβάνειν μὴ διὰ παντὸς ἀποσπασμὸν γίνεσθαι τοῦ νεύρου, ἀλλὰ καὶ ἀποχαλᾶσθαι καὶ συστρέφεσθαι πάλιν, ἐπειδὰν τοῦ ζητεῖν ἐστι χρήσιμον, ἀλλ' οὐ παντελῶς κοινόν. ἐπὶ τῷ τέλει τῆς ῥήσεως ὁ Ταραντῖνος τοῦτο προσέγραψε φυλάττων τὴν ἑαυτοῦ προαίρεσιν ἐμπειρικὴν οὖσαν. ἔστι δ' αὐτῶν ἡ προαίρεσις ὅσα φανερῶς ὠφέλιμα καὶ τὸ χρήσιμον ἤδη πρὸς τὴν τέχνην ἔχομεν ἐξ αὐτῶν εἰπεῖν, ἄχρηστον ἐπὶ τούτων εἶναι τὴν τῆς αἰτίας ζήτησιν, ἀλλὰ καὶ μετὰ τὸν Ἡρακλείδην ἄλλοι πολλοὶ τῶν νεωτέρων γεγράφασιν ἐμβληθέντα μηρὸν ὑπ' αὐτῶν ἄχρι παντὸς μεμενηκέναι.

---

gent. Neque enim Hippocrates, Diocles, Philotimus, Evenor, Nileus, Molpis, Nymphodorus et alii nonnulli de reſtituendi ratione tractaſſent; ſed et nos quoque id conſequuti ſumus, ut duos pueros ſanaremus quibus ſaepius et magis quam iis qui aetate jam robuſta ſunt excidere articulus ſolet. Rem igitur ratione judicare non oportet, ſed quum interdum maneat exiſtimare non ſemper nervum abrumpi, ſed relaxari et iterum contrahi: quoniam expedit hoc requirere, quamquam non omnino commune eſt. Adjecit hoc Tarentinus in fine orationis, ut quam profitebatur empiricorum ſectam tueretur, quorum ea ſententia eſt, ut in iis quae ita manifeſte apparent ut inde proferre utilitatem ad artem jam poſſimus, inutile ſit cauſam quaerere. Sed et poſt Heraclidem multi alii ex junioribus reſtitutum a ſe ſemur perpetuo ſervatum eſſe in ſua ſede teſtantur.

Ed. Chart. XII. [454.] Ed. Baſ. V. (653.)

μα'.

Ἀγαθὴ μὲν ἥδε καὶ δικαίη καὶ κατὰ φύσιν ἡ ἐμβολὴ καὶ δή τι καὶ ὀγωνιστικὸν ἔχουσα ὅστις γε τοῖσι τοιούτοισιν ἥδεται κομψευόμενος. κρεμάσαι χρὴ τὸν ἄνθρωπον τῶν ποδῶν πρὸς μεσόδμην δεσμῷ δυνατῷ, μαλθακῷ δὲ καὶ πλάτος ἔχοντι, τοὺς δὲ πόδας ἔχειν χρὴ, ὅσον τέσσαρας δακτύλους ἀπ' ἀλλήλων ἢ καὶ ἔλασσον· χρὴ δὲ καὶ ἐπάνωθεν τῶν ἐπιγουνίδων προσπεριβεβλῆσθαι πλατεῖ ἱμάντι καὶ μαλθακῷ ἀνατείνοντι ἐς τὴν μεσόδμην.

Τὸ χαριέντως τι πανουργεῖν εἰώθασιν οἱ Ἀττικοὶ κομψεύεσθαι λέγειν, ὅπερ καὶ νῦν σημαίνει παρὰ τῷ Ἱπποκράτει τὸ κομψευόμενος. καὶ γὰρ καὶ πρόσθεν εἶπεν ἐπὶ τῶν τῆς κλίμακος κατακλίσεων, ὡς ἐκχαυνοῦν τὸν πολὺν ὄχλον ἐπιτηδεύοντές τινες ἐπ' αὐτὴν ἥκουσιν, ἀλλ' ὅμως κἀκείνην ἔγραψεν, ἐπεὶ καὶ καλῶς αὐτῇ χρωμένους ἑώρα τοὺς καθ' ἑαυτὸν ἰατρούς. οὕτως οὖν καὶ νῦν ὡς ἄν τις κάλλιστα διὰ κλίμακος κατατείνας ἐμβάλλοι μηρὸν ἐβουλήθη διδάξαι.

XLI.

Haec quidem reſtituendi ratio bona, juſta et ſecundum naturam eſt, per quam ſubito fere ad finem pervenitur, ſi quis oſtentationi ſtudeat. Homo per pedes ab eo ligno grandiori, quod transverſum ab uno pariete domus ad alterum pervenit, vinculo ſuſpendatur firmo, molli latoque; pedes autem habeat quatuor digitos aut minus etiam inter ſe diſtantes; vinciatur item ſuper genua loro lato ac molli, quod ad propoſitum lignum adducatur.

Qui cum oſtentatione aliquid efficiunt ab Atticis κομψεύεσθαι dicuntur, quemadmodum nunc ab Hippocrate qui oſtentationem exprimere volens uſus eſt verbo κομψευόμενος. Nam et antea ubi hominem ſuper ſcalam reſupinavit, ad id praeſidium eos venire dixit qui vulgo videri volunt magnum aliquid moliri. Id tamen ſcripſit, quia viderat multos ſui ſaeculi medicos qui eo minus recte uterentur, ita etiam nunc oſtendere voluit, qua via crure

Ed. Chart. XII. [454. 455.] Ed. Baſ. V. (653. 654.)

ἴσως δ' ἄν ποτε καὶ χρησαίμεθα αὐτῇ μὴ παρόντος τοῦ βάθρου, περὶ οὗ μετὰ ταῦτα ἐρεῖ. κελεύει τοιγαροῦν ἐπὶ κλίμακος τὸν θεραπευόμενον δήσαντας ἱμᾶσιν κρεμάσαι τὴν κλίμακα πρὸς μεσόδμην ἀνατείναντας. οὕτως δὲ ὀνομάζεται τὸ μέγα ξύλον ἀπὸ τοῦ ἑτέρου [455] *τοίχου πρὸς τὸν ἕτερον διῆκον, ἔν τε τοῖς τῶν πανδοχείων οἴκοις τοῖς μεγάλοις* (654) *ἐν οἷς ἱστᾶσι τὰ κτήνη καὶ κατ' ἀγρὸν ὁμοίως ἐν τοῖς γεωργικοῖς οἴκοις. βούλεται δὲ τοὺς μὲν πόδας ἄνω πρὸς τὴν μεσόδμην ἐστράφθαι, τοῦ κατατεινομένου δὲ τὴν κεφαλὴν οὐ πολὺ τῆς γῆς ἀπέχειν, ἄλλως τε δυνηθῆναι τὸν ἐμβάλλοντα τὸ ἄρθρον ὀρθὸν παρεστῶτα ταῖς ἑαυτοῦ χερσὶ χρῆσθαι πρὸς τὴν ἐμβολήν, ὡς ἐφεξῆς διδάσκει.*

μβ'.

Τὸ δὲ σκέλος τὸ σιναρὸν τετάσθαι χρὴ, ὡς δύο δακτύλοισι μᾶλλον τοῦ ἑτέρου. ἀπὸ δὲ τῆς γῆς τὴν κεφαλὴν ἀπεχέτω, ὡς δύο πήχεας ἢ ὀλίγῳ πλέον ἢ ἔλασσον. τὰς δὲ χεῖρας παρατεταμένας παρὰ τὰς πλευρὰς προσδεδεμένος

per ſcalam optime extento femur reponatur, qua uti fortaſſe non erit ab re, ubi non ſit ſcamnum de quo poſtea tractabit. Praecipit igitur ut ſcala ſuper qua homo loris alligatus fuerit ſuſpendatur a ligno grandiori, quod transverſum ab uno pariete domus ad alterum pertinet *μεσόδμην* vocat. Videre licet in magnis diverſoriis, ubi jumenta habentur et ruri ſimiliter in aedibus ruſticorum. Vult ergo pedes ad tignum ſurſum ſpectare, caput vero deorſum verſus non multum recedere a terra, ita ut ille qui articulum reponit ſtans ad reponendum ſuis uti manibus poſſit, quomodo in ſequentibus docebit.

XLII.

Sed affectum crus duobus digitis magis quam alterum extendatur, caput vero recedat duos cubitos a terra vel paullo plus aut minus; brachia deligata ſint ad latera molli aliqua re, quae omnia paranda ſunt homine re-

Ed. Chart. XII. [455.] Ed. Baf. V. (654.)

ἔστω μαλθακῷ τινι. πάντα δὲ ταῦτα ὑπτίῳ κατακειμένῳ κατασκευασθήτω ὡς ὅτε ἐλάχιστον χρόνον κρεμάσηται· ὅταν δὲ κρεμασθῇ ἄνδρα, χρὴ εὐπαίδευτον καὶ μὴ ἀσθενέα ἐνείραντα τὸν πῆχυν μεσηγὺ τῶν μηρῶν.

Τοὺς μὲν δεσμοὺς ὅπως προσήκει περιβαλεῖν οἷς εἶπε μέρεσι τοῦ σώματος, ἐδήλωσε σαφῶς. ἰσχυροτέρους μέντοι κελεύει καὶ μαλθακοὺς ἀνατείνοντας εἶναι τοὺς κατὰ τὸ πεπονθὸς σκέλος εἰκότως. ὕλη γὰρ ἡ κατάτασις ἕνεκα τῆς ἐκείνου θεραπείας γίγνεται κατὰ τὸν κοινὸν ἁπάντων τῶν ἐμβαλλομένων λόγον. ἐπειδὴ γὰρ ἡ κεφαλὴ τοῦ μηροῦ τῆς κοτύλης ἐκπεσοῦσα πρὸς τὴν ἐκτὸς χώραν ἦκεν ὑπὸ τῶν ἐνταῦθα μυῶν ἀνασπασθεῖσα. προσήκει δήπου πρότερον εἰς τὸ κάτω μέρος αὐτὴν ἀγαγεῖν ἅμα τῷ μηρῷ διλονότι, κἄπειθ' οὕτως ἀπῶσαι πρὸς τὴν ἐκτὸς χώραν, εἶτα ἐπειδὰν κατ' εὐθὺ γένηται τῆς κοτύλης ἤτοι τοῖς μυσὶν ἐπιτρέψαι μόνοις τοὐντεῦθεν ἢ καὶ συνεπωθεῖν αὐτόν. εἴρηται δὲ ἤδη πολλάκις ὡς οἱ μύες ἅπαντες ἐπὶ τὰς ἑαυτῶν κεφαλὰς

ſupinato ut quam minimo tempore ſuſpenſus maneat. Homine jam ſuſpenſo peritus aliquis et non imbecillus trajicere manum debet inter femora ejus qui curatur.

Partibus quas commemoravit, quomodo injicienda vincula ſint aperte expoſuit. Illa igitur quibus affectum crus appenditur robuſtiora eſſe voluit et mollia, idque non injuria, quum tota intenſio ad ipſius curationem adhibeatur, ea ratione quae communiter requiritur in uxatis omnibus reponendis. Igitur femoris caput quum cavo excidens in interiorem partem eruperit, a muſculis qui ibi ſunt attractum primo in inferiorem partem attrahendum eſt, una ſcilicet cum femore, deinde in exteriorem impellendum; quumque e regione ſui cavi collocatum fuerit, tunc vel ſolis muſculis committendum eſt vel ſimul etiam adurgendum. Saepius autem diximus muſculos naturalem vim habere qua ad ſua principia contrahuntur.

Ed. Chart. XII. [455.] Ed. Baſ. V. (654.)

ἀνασπᾶσθαι πεφύκασι. συνανασπῶσιν οὖν δηλονότι καὶ τὸν μηρὸν ἑαυτοῖς, ἀνασπώμενος δ' ἐμβήσεται τῇ κοτύλῃ τοῦ ἰσχίου κατὰ τὴν κεφαλὴν αὐτοῦ.

μγ'.

Εἶτα θέσθαι τὸν πῆχυν μεσηγὺ τοῦ περιναίου καὶ τῆς κεφαλῆς τοῦ μηροῦ ἐξεστηκυίης, ἔπειτα συνάψαντα τὴν ἑτέρην χεῖρα πρὸς τὴν διῃρημένην παρασιάντα ὀρθὸν παρὰ τὸ σῶμα τοῦ κρεμαμένου ἐξαπίνης ἐκκρεμασθέντα, μετέωρον αἰωρηθῆναι ὡς ἰσορρόπωτατον. αὔτη δὲ ἡ ἐμβολὴ παρέχεται πάντα ὅσα χρὴ κατὰ φύσιν. αὐτό τε γὰρ τὸ σῶμα κρεμάμενον τῷ ἑωυτοῦ βάρει κατάτασιν ποιέεται, ὅ τε ἐκκρεμασθεὶς ἅμα μὲν τῇ καταιάσει ἀναγκάζει ὑπεραιωρεῖσθαι τὴν κεφαλὴν τοῦ μηροῦ ὑπὲρ τῆς κοτύλης, ἅμα δὲ τῷ ὀστέῳ τοῦ πήχεος ἀπομοχλεύειν καὶ ἀναγκάζειν εἰς τὴν ἀρχαίην φύσιν ὀλισθαίνειν. χρὴ δὲ παγκάλως μὲν τοῖσι δεσμοῖσιν ἐσκευάσθαι, φρονέοντα δὲ ὡς ἰσχυρότατον τὸν ἐξαιωρούμενον εἶναι. ὡς μὲν οὖν καὶ

Attrahunt igitur ſimul et femur, quod attractum ſuo capite in cavum coxae conjicietur.

XLIII.

Dein collocare brachium inter caput femoris luxati et eam regionem quae inter anum et naturale media eſt; tum trajectam manum altera prehendere et rectus aſſiſtens repente corpori ſuſpenſo appendi, ita ut ſublimis maxime aequaliter ſuſpendatur. In hac reponendi ratione omnia ſecundum naturam ſunt; nam corpus ipſum ſuſpenſum ſuo pondere deorſum verſus extenditur, is qui appenditur in inferiorem partem extendit et femoris caput excitari cogit e regione ſui cavi ſimulque oſſe brachii ipſum urget truditque, ſic ut in priſtinam ſedem revertatur. Neceſſe autem eſt aptiſſime vincula injicere, ea autem adverſione, ut is qui appenditur validiſſimus ſit. At, quemadmodum ſupra narravimus,

Ed. Chart. XII. [455. 456.] Ed. Baf. V. (654.)

πρόσθεν εἴρηται, μέγα τὸ διαφέρον ἐστὶ τῶν φυσίων τοῖσιν ἀνθρώποισιν ἐς τὸ εὐέμβλητα εἶναι καὶ δυσέμβλητα καὶ διότι μέγα διαφέρει, εἴρηται πρόσθεν ἐν τοῖς περὶ ὤμου.

---

[456] Πλιχάδα μὲν ὀνομάζειν εἴωθεν ἅπαν τὸ μεταξὺ τῶν βουβώνων ἑκατέρου σκέλους. ἐν ταύτῃ δὲ τῇ πλιχάδι τὸ μέσον προσαγορεύει περίναιον, ὅπερ ἀπὸ τῆς ἐκφύσεως αἰδοίου καθήκει πρὸς τὴν ἕδραν. ἐν αὐτῷ δὲ καὶ τῆς κύστεως ὁ τράχηλος τέτακται· μεταξὺ δὲ τούτου γε κατὰ τὸ μῆκος ἐν τῇ πλιχάδι μέσῃ καὶ τῆς τοῦ μηροῦ κεφαλῆς ἀξιοῖ θέντα τὸν πῆχυν ἐπισυζεύξαντά τε τὴν ἑτέραν χεῖρα, καθότι σαφῶς αὐτὸς ἔγραψεν ἐκκρεμασθῆναι τὸν εἰς τὸ κάτω μέλλοντα τὴν κεφαλὴν ἐπισπάσαι τοῦ μηροῦ. γενήσεται δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ μοχλεία πρὸς τὴν εἰς τὸ ἔξω μετάστασιν τοῦ ἄρθρου, χάριν τοῦ καὶ εὐθὺ γειτόσθαι τῆς κοτύλης τοῦ ἰσχίου τὴν κεφαλὴν τοῦ μηροῦ.

---

homines plurimum natura inter se differunt, quantum ad articulos attinet, facile vel vix reſtituendos. Quamobrem plurimum differant, diximus qua de humeri capite.

Solet Hippocrates eam regionem quae eſt inter inguen utriusque cruris nuncupare πλιχάδα, cujus medium περίναιον vocat, quae ab initio naturalis ad anum pertinet qua cervix veſicae ſita eſt. Inter hanc itaque regionem, quam πλιχάδα nominat, in medio ejus in longitudinem et caput femoris, jubet ut qui trahit femoris caput manum demittat cum qua alteram conjungat, ſicut ipſe aperte declaravit, atque ita ſuſpendatur. Quo fiet ut femoris caput non ſolum trahatur, ſed in exteriorem commiſſurae partem impellatur, ut e regione cavi quod in coxa eſt collocetur.

Ed. Chart. XII. [456.] Ed. Baf. V. (654.)

μδ'.

Ἐνίοισι γὰρ ὁ μηρὸς ἐμπίπτει ἀπ' οὐδεμιῆς παρασκευῆς, ἀλλ' ὀλίγης μὲν κατατάσιος, ὅσον τῇσι χερσὶ κατιθῦναι, βραχείης δὲ κιγκλίσιος.

Ὥσπερ ἐν τοῖς ἔμπροσθεν ἀρρένικῶς εἶπε κιγκλισμόν, οὕτω νῦν κίγκλισιν θηλυκῶς τὴν ἐπὶ βραχὺ γιγνομένην διακίνησιν. αὐτὸς γὰρ τὸ διακινῆσαι ῥῆμα κατὰ τῆς βραχείας κινήσεως, ἥσπερ μέμνηκε γράφων ἐμβολὴν ἐξηρθρηκυίας γένυος.

με'.

Πολλοῖσι δὲ συγκάμψασι τὸ σκέλος κατὰ τὸ ἄρθρον ἐνέπεσεν ἤδη ἀμφίσφαλσιν ποιησάμενον· ἀλλὰ γὰρ τὰ πολὺ πλείω οὐκ ἐνακούει τῆς τυχούσης παρασκευῆς. διὰ τοῦτο ἐπίστασθαι μὲν χρὴ τὰ κράτιστα περὶ ἑκάστου ἐν πάσῃ τῇ τέχνῃ, χρέεσθαι δὲ οἷσιν ἂν δόξῃ ἑκάστοτε. εἴρηνται μὲν οὖν τρόποι κατατασίων καὶ ἐν τοῖσιν ἔμπροσθεν γε-

XLIV.

Nam femur quibusdam absque ulla praeparatione revertitur, ſiquidem levi adhibita intenſione et exiguo motu manibus in ſuam ſedem compellitur.

Ante κιγκλισμὸν maſculino genere dixit, nunc feminino κίγκλισιν, quod vocabulum διακίνησιν, id eſt exiguum motum ſignificat, quoniam verbum διακινῆσαι mutuatur ad id ſignificandum quod leviter dimovetur, cujus meminit, quum tradidit qua ratione luxata maxilla reponeretur.

XLV.

Compluribus etiam quum crus ad commiſſuram hanc flecterent, circumactus jam articulus reverſus eſt, ſed plerumque non paret cuivis praeparationi: quamobrem quae ad ſingula efficaciſſima ſunt in unaquaque arte ſcire convenit et ea ubique adhibere quae accommodata videbuntur. Supra extendendi modos diximus, ut qui-

Ed. Chart. XII. [456.] Ed. Baf. V. (654. 655.)

γραμμένοισιν, ὥστε χρέεσθαι τούτων ὅστις ἂν παρατύχῃ. δεῖ γὰρ ἀντικατατετάσθαι ἰσχυρῶς ἐπὶ θάτερα μὲν τοῦ σκέλεος, ἐπὶ θάτερα δὲ τοῖ σώματος. ἢν γὰρ εὖ καταταθῇ, ὑπεραιωρηθήσεται ἡ κεφαλὴ τοῦ μηροῦ ὑπὲρ τῆς ἀρχαίης ἕδρης· καὶ ἢν μὲν ὑπεραιωρηθῇ οὕτως, οὐδὲ κωλῦσαι ἔτι ῥηϊδιον ἴζεσθαι αὐτὴν ἐς τὴν ἑωυτῆς ἕδρην, ὥστε ἤδη πᾶσα ἀρκέει μόχλευσίς τε καὶ καιόρθωσις. ἀλλὰ γὰρ ἐλλείπουσιν ἐν τῇ κατατάσει, διὰ τοῦτο ὄχλον (655) πλείω παρέχει ἡ ἐμβολή.

Ἐν τῷ κάμπτειν τὸ σκέλος κατὰ βουβῶνα μετέωρος ὅλος ὁ μηρὸς γίνεται. κατὰ τὴν τοιαύτην γοῦν ἐνέργειαν ἡ ἐκπεπτωκυῖα κεφαλὴ τοῦ μηροῦ διακινηθεῖσα τὰ κατὰ περίσφαλσιν εἴωθεν ἐκπίπτειν ἔστιν ὅτε. τὸ δὲ κατὰ περίσφαλσιν ἔστιν ὅτε ποῖόν τι δηλοῖ καὶ ἐπὶ τοῦ κατ' ὦμον ἄρθρου καὶ τὸ κατ' ἰσχίον ἐκπιπτόντων τε καὶ ἐκβαλλομένων γίνεται, διὰ τῶν ἔμπροσθεν αὐτὸς ἐδίδαξεν ἡνίκα διδάσκει ἐπὶ τούτων τῶν διαρθρώσεων μὴ δύνασθαι γενέσθαι

libet eo utatur cujus copia ſit. Oportet enim praeſtanter ab una parte crus extendere, ab altera corpus; nam ſi bene extendamus, femoris caput e regione ſui cavi excitabitur, quod ubi ſic excitatum fuerit, non facile prohiberi poterit, quominus in ſuam ſedem revertatur, ita ut jam quovis modo impellere ac dirigere abunde ſit. Sed minus extendunt quam par ſit, idcirco majori negotio reponunt.

Ubi crus ad inguen curvatur, femur univerſum ſuſpenditur. In qua actione prolapſum femoris caput dimovetur, circumactumque reſtitui nonnunquam ſolet. Quid ſit circumagere, quod accidit ubi prolapſus articulus vel qui in latum ſcapularum os inſeritur vel qui in coxam reſtituitur, ipſe in ſuperioribus declaravit ubi docuit, non poſſe articulum in his commiſſuris ſuo loco paullulum

Ed. Chart. XII. [456. 457.] Ed. Baf. V. (655.)

παράρθρημα, [457] καθάπερ ἐπ' ἀγκῶνος καὶ καρποῦ καὶ γόνατος καὶ σφυροῦ· διὰ γὰρ τὰς σφαιροειδεῖς μὲν εἶναι τὰς κεφαλὰς τῶν μηρῶν ὀστῶν, κυκλοτερῆ δὲ τὴν ὀφρὺν τῶν πρὸς αὐτὰς διαρθρουμένων κοιλοτήτων, οὐκ ἐνδέχεται μέρος μέν τι τῶν κεφαλῶν ἐν ταῖς κοιλότησιν εἶναι· μέρος δὲ οὐκ εἶναι, καθάπερ οὐδ' ἐπὶ τῆς ὀφρύος ὀχεῖσθαι τῆς κοτύλης. ἀλλ' εὐθέως ἀποκυλιομένας αὐτὰς ἢ εἴσω χωρεῖν ἢ ἔξω τῆς διαρθρώσεως. ἐπεὶ τοίνυν ἐλαχίστη ῥοπὴ τὴν ἐφ' ἑκάτερα φορὰν τῆς κεφαλῆς οἰακίζει περίσφαλσιν ὠνόμασε τὸ γιγνόμενον.

μσ'.

Χρὴ οὖν οὐ μόνον παρὰ τὸν πόδα τὰ δεσμὰ ἐξηρτῆσθαι, ἀλλὰ καὶ ἄνωθεν τοῦ γούνατος, ὅπως μὴ κατὰ τὸ τοῦ γούνατος ἄρθρον ἐν τῇ τανύσει ἡ ἐπίδεσις ἔῃ μᾶλλον ἢ κατὰ τὸ τοῦ ἰσχίου ἄρθρον. οὕτω μὲν οὖν χρὴ τὴν κατάτασιν τὴν πρὸς τὸ τοῦ ποδὸς μέρος ἐσκευάσθαι· ἀτὰρ καὶ τὴν ἐπὶ θάτερα κατάτασιν μὴ μόνον ἐκ τῆς περὶ τὸ στῆθος καὶ τὰς μασχάλας περιβολῆς ἀντιτείνεσθαι, ἀλλὰ

excedere, ut ad cubitum, ad manum, ad genu, ad talos. Nam quum et femoris caput rotundum ſit et orae cavi, in quo recipitur in orbem, nullo pacto fieri poteſt ut caput partim in cavo ſit, partim extra vel orae cavi haereat, quoniam ubi primum volvetur vel intro revertetur vel excidet. Igitur quia parvo momento in utramvis partem caput compellitur, hoc quod ſit circumagendo fieri afferit.

XLVI.

Non ſolum autem pedibus injicienda vincula ſunt, ſed etiam ſupra genu, ne hoc magis quam coxae articulus vinculo intendatur: ſic itaque extendere a pedibus convenit. Verum ubi altera parte vis adhibetur, non ſolum circa pectus et alam injecto laqueo in contrariam partem attrahere debemus, ſed lorum longum, duplex,

Ed. Charl. XII. [457.] Ed. Baſ. V. (655.)

καὶ ἱμάντι μακρῷ, διπτύχῳ, ἰσχυρῷ, προσηνεῖ, παρὰ τὸν περίναιον βεβλημένῳ παρατεταμένῳ ἐπὶ μὲν τὰ ὄπισθεν παρὰ τὴν ῥάχιν, ἐπὶ δὲ τὰ ἔμπροσθεν παρὰ τὴν κληῖδα προσηρτημένῳ τὴν ἀρχὴν τὴν ἀντικατατείνουσαν οὕτω διαναγκάζεσθαι, τοῖσι μὲν ἔνθα διατεινομένοισι, τοῖσι δὲ ἔνθα. ὅκως δὲ ὁ ἱμὰς ὁ παρὰ τὸν περίναιον μὴ ἐπὶ τῇ κεφαλῇ τοῦ μηροῦ παρατεταμένος ἔσται. ἀλλὰ μεσηγὺ τῆς κεφαλῆς ἐπὶ τοῦ περιναίου. ἐν δὲ τῇ κατατάσει κατὰ μὲν τὴν κεφαλὴν τοῦ μηροῦ ἐρείσας τὴν πυγμὴν ἐς τὸ ἔξω ὠθείτω. ἢν δὲ μετεωρίζηται ἑλκόμενος, διέρσας τὴν χεῖρα καὶ ἐπισυνάξας τῇ ἑτέρῃ χειρὶ ἅμα μὲν συγκατατεινέτω, ἅμα δὲ ἐς τὸ ἔξω συναναγκαζέτω· ἄλλος δέ τις τὸ παρὰ τὸ γόνυ τοῦ μηροῦ ἡσύχως ἐς τὸ ἔσω μέρος κατορθούτω.

Ἐκ τῶν ποδῶν κρεμαμένου τοῦ ἀνθρώπου καὶ τὴν κεφαλὴν ἔχοντος κάτω, πᾶσι τοῖς ἄρθροις διατείνεσθαι συμβαίνει, βουλόμεθα δὲ ἡμεῖς ἓν μόνον ἄρθρον τὸ κατὰ τοὺς

validum, molle, inter anum et naturale demittere a poſteriori parte ad ſpinam, a priori juxta jugulum adducere et religare; atque ita in diverſa contendere, aliis ab una parte, aliis ab altera ducentibus. Animadvertendum autem ne lorum quod inter anum et naturale demittitur ſuper femoris caput extendatur, ſed inter femoris caput et eam regionem, quae inter anum et naturale media eſt. Dum intenſio adhibetur femoris caput in exteriorem partem propellendum pugno ipſi inhaerente, ubi qui extendit ſuſpenditur, una manu trajecta et alteri juncta ſimul et extendere debet et in exteriorem partem urgere, ſed alius ad genu femur in interiorem partem leviter dirigat.

Ubi homo per pedes appendatur capite deorſum ſpectante, omnes articuli extenduntur. At propoſitum eſt, eum ſolum extendere qui ad inguen eſt. Jure igitur ſu-

Ed. Chart. XII. [457.] Ed. Baf. V. (655.)

βουβῶνας τοῦτο πάσχειν. εἰκότως οὖν τοῦ γόνατος ἐπιβάλλειν κελεύει δεσμὰ τῶν μηρῶν τὴν τάσιν ἄνω ποιούμενα· μόνοις γὰρ τοῖς κατὰ τὴν κνήμην, ἐὰν ἐπιτρέψωμεν ἀνέλκειν τὸ σκέλος οὐδὲν ἧττον, ἀλλὰ καὶ μᾶλλον τῆς κατ' ἰσχίον διαρθρώσεως ἔκτασιν εἶναι συμβήσεται τὴν κατὰ γόνυ τοῖς τείνουσι δεσμοῖς οὖσαν ἐγγυτέρω.

μζ'.

Εἴρηται δὲ καὶ πρόσθεν ὅτι ἐπάξιον ὅστις ἐν πόλει πολυανθρώπῳ ἰητρεύει ξύλον κεκτῆσθαι τετράγωνον, ὡς ἑξάπηχυ ἢ ὀλίγῳ μεῖζον, εὖρος δὲ ὡς δίπηχυ, πάχος δὲ ἀρκέει σπιθαμιαῖον.

Ἐν τῷ περὶ ἀγμῶν εἰρήκει περὶ τοῦδε τοῦ μηχανήματος, ὥστε κἀνιεῦθεν ἐφέλκονται μαρτύριον ὧν λέγουσιν ἔνιοι περὶ τοῦ γεγράφθαι μὲν ὑφ' Ἱπποκράτους ἓν βιβλίον ἐξ ἀρχῆς ἐπιγεγραμμένον κατ' ἰητρεῖον, ὕστερον δὲ εἰς δύο τμηθῆναι διὰ τὸ μέγεθος ἐπιγραφῆναί τε ἕτερον μὲν πρό-

per genu vinculum injicit quod femur ſurſum extendat. Nam ſi permittamus attrahi crus ſolum a vinculis quae infra genu ſunt, fiet ut genu non minus, imo magis quam coxae articulus extendatur, quum propius ſit vinculis ſub ſe extendentibus.

XLVII.

Supra etiam diximus expeditiſſimum eſſe iis qui in frequenti civitate medentur, lignum habere quadratum ſex cubitorum aut paullo longius, latum cubitos duos, cujus craſſitudo, ſi dodrantem impleat, abunde eſt.

In opere de fracturis hujus machinamenti meminit, ita ut huic quoque teſtimonio innitantur, qui ajunt compoſitum fuiſſe principio ab Hippocrate librum unum inſcriptumque de officina medici, deinde in duos diviſum ob magnitudinem ejusque priorem partem inſcriptam de

Ed. Chart. XII. [457. 458.] Ed. Baſ. V. (655.)
τερον αὐτοῦ μέρος περὶ ἀγμῶν, τὸ δὲ δεύτερον περὶ ἄρθρων. ὁποῖον δέ τι [458] βούλεται τὸ μηχάνημα τοῦτ' εἶναι δῆλόν ἐστι τοῖς τεθεαμένοις τὸ καλούμενον Ἱπποκράτειον βάθρον· οὕτω γὰρ ἐκ πολλοῦ σύνηθες ὀνομάζειν αὐτὸ τοῖς ἰατροῖς ἐστιν. ἔχουσι δὲ καὶ μιμήματα ταὐτοῦ μικρὰ οἱ πολλοὶ καὶ χρῶνται τῷ πλείῳ πάνυ πολὺ καὶ μόνον ἐστὶν αὔταρκες εἰς ἐμβολὰς ἄρθρων. εἰ δ' ἄρα τις θέλει καὶ ἄλλοις χρῆσθαι, πρὸς μὲν τὰς ὁδοιπορίας τὸ πολύσπαστον καλούμενον ἐπιτήδειον, Ἀρχιμήδους δ' αὐτό φασιν εὕρημα εἶναι, πρὸς δὲ τὰς ἐν πόλει χρείας στάσιμον μὲν ἄξιον λόγου τὸ τοῦ τέκτονος καλούμενόν ἐστιν ἢ τὸ τοῦ Ἀνδρέου, ἐφεδράνον δὲ τουτὶ τὸ Ἱπποκράτους βάθρον, ὅ τινες τῶν νεωτέρων ἰατρῶν, ἐπειδὴ ἐσκευάκασι ποικιλώτερον, ὥσπερ καὶ τὴν μηχανικὴν ἄμβην. ἐφεξῆς οὖν αὐτῷ γράφοντι τὴν κατασκευὴν τοῦ ὀργάνου προσέχετε τὸν νοῦν ἐφαρμόζοντες ἃ λέγει τοῖς τεθεαμένοις, ἐφ' ὃ τεθέασθε βάθρον. μόνη γὰρ δεῖξις σαφηνίζει τὰ τοιαῦτα, καθάπερ εἴρηται καὶ πρό-

fracturis, alteram vero de articulis. Quale autem ſtrui velit machinamentum hoc, manifeſtum eſt iis qui id viderint quod ſcamnum Hippocratis nuncupatur: ſic enim ex multo jam tempore a medicis appellari conſuevit. Plerique autem formulas parvas habent ad ejus exemplum fabricatas. Saepiſſime vero adhibetur articulisque reſtituendis per ſe abunde eſt. Si quis autem velit aliis quoque uti, eſt πολύσπαστον ita appellatum, quod multis orbiculorum circuitibus facilitatem praeſtet, quod iterum facientibus maxime idoneum eſt. Refertur autem ad Archimedem auctorem. In urbibus vero non alienum eſt Fabri vel Andreae organum, ubi erecto opus eſt; ubi plano, ſcamnum hoc Hippocratis praecipue aptatur, quod a nonnullis ex recentioribus medicis varie jam ſtruitur, ſicut machinatio ſpathae quae in ſummo capitulum habet rotundum ac leniter cavum. Deinceps igitur ad organi ſtructuram quae ab ipſo traditur animum advertite, ea quae Hippocrates ſcribit iis quae in ſcamno inſpexiſtis accommodantes: haec enim ſicut antea quoque dictum eſt

Ed. Chart. XII. [458.] Ed. Baſ. V. (655.)

σθεν. ἐπὶ μὲν οὖν τῶν ἀναγιγνωσκόντων παρ' ἐμοὶ τὸ βιβλίον ἑτοίμως ποιοῦμαι παρακειμένου τοῦ ὀργάνου πολλάκις μὲν αὐτοῦ τοῦ μεγάλου, πολλάκις δὲ καὶ τῶν μιμημάτων αὐτοῦ τινος ἃ διὰ ταύτην μόνην τὴν χρείαν κατασκευάζομεν, ἵνα ἔχωμεν δεικνύναι τοῖς ἀναγιγνώσκουσιν. οὐ γὰρ δὴ δι' αὐτῶν ἐστιν ἐμβαλεῖν ἄρθρον, ἀλλὰ νῦν γε τοῦτο μὲν ἀδύνατόν ἐστι πρᾶξαι. τὸ δ' ἐξηγήσασθαί τι τῶν κατὰ τὴν λέξιν ἀσαφῶν δυνατὸν, ὅπερ ἔν τε τοῖς ἔμπροσθεν ἐποίησα, καὶ νῦν ἐν τοῖς ἐφεξῆς πράξω.

μη'.

Ἔπειτα κατὰ μῆκος μὲν ἔνθεν καὶ ἔνθεν τομὴν ἔχειν χρὴ ὡς μὴ ὑψηλοτέρη τοῦ καιροῦ ἡ μηχάνησις εἴη.

Τὸ μὲν ἔνθεν καὶ ἔνθεν ἐξ ἀριστερῶν καὶ ἐκ δεξιῶν λέγει. δῆλον δὲ ἐκ τοῦ προσθεῖναι κατὰ μῆκος, ἀλλὰ καὶ τὸ παραμήκεα ταυτὶ ἐστι. τὴν γὰρ ἄνωθεν τῆς κεφαλῆς καὶ κάτωθεν τῶν ποδῶν τομὴν ἐγκαρσίαν ἂν εἰρήκει μᾶλ-

ſola monſtratione aperiuntur. Equidem iis qui apud me librum legunt rem facile demonſtro, organo juxta collocato ſaepe ipſo magno, ſaepe parvo aliquo ad magni exemplum fabricato, cujusmodi ad hunc tantum uſum paramus, ut oſtendere legentibus poſſimus, quum per tales formulas nequeant articuli in ſuam ſedem urgeri. Nunc autem monſtrari haec minime poſſunt, ſed exponere licet, ſi quid ex verbis Hippocratis obſcurum ſit, quod et in ſuperioribus feci et nunc etiam faciam.

XLVIII.

Excavetur praeterea hinc in longitudinem, ne machinamentum juſto ſublimius ſit.

Hinc atque hinc dixit ἔνθεν καὶ ἔνθεν, quod accipit pro a dextra parte et ſiniſtra. Id vel eo patet quod adjicit, in longitudinem, quod idem ſignificat atque longum. Nam ſi excavari voluiſſet ſupra a capite vel infra a pedi-

Ed. Chart. XII. [458. 459.] Ed. Baf. V. (655. 656.)

λον οὐ παραμήκη. ὃ δὲ σύμπασα φράσις ἑρμηνεύει τοιόνδ' ἐστίν· οὐδὲν γὰρ χεῖρον αὐτὴν παραφράσαι σαφηνείας ἕνεκεν. ἔπειτα (656) κατὰ μῆκος μὲν ἔνθεν καὶ ἔνθεν ἐντομὴν εἶναι χρὴ παραμήκη τοῦ ξύλου βάθος ἔχουσαν σύμμετρον, ὡς πρὸς μοχλείαν, ὅπως μὴ ὑψηλοτέρα τοῦ προσήκοντος ἡ μηχάνησις εἴη. τὸ γὰρ τοῦ καιροῦ λέγουσιν οἱ Ἕλληνες ἐνίοτε καὶ τοῦ προσήκοντος, ὅπερ καὶ δέον ὀνομάζουσιν. ἔστω τοιγαροῦν ἡ τομὴ τηλικαύτη τοῦ βάθρου, ὡς ἐν αὐτῇ στηρίζεσθαι μοχλὸν ἁρμόττοντα τῇ μελλούσῃ γενήσεσθαι μοχλείᾳ.

μθ'.

Ἔπειτα φλιὰς βραχείας, ἰσχυράς, ἐνηρμοσμένας, ὀνίσκους ἔχειν ἑκατέρωθεν.

[459] Ὀνίσκους μὲν τοὺς ἄξονας ὀνομάζει, φλιὰς δὲ τὰ διαλαμβάνοντα τοὺς ἄξονας στηρίγματα. ταῦτα δὲ

bus, transverſum potius dixiſſet, non in longitudinem. Mens autem totius orationis hujusmodi eſt, quam non abs re eſt perſpicuitatis cauſa, non longe a verbis recedentem exponere. Excavetur praeterea hinc atque hinc in longitudinem ligni, idque cavum eam altitudinem habeat quae ad impellendum accommodatur, ne machinatio juſto ſublimior ſit. Verbum *juſto* ipſe ſcribit τοῦ καιροῦ: Graeci enim ita dicunt et interdum etiam τοῦ προσήκοντος, quod debito ſignificat. Ergo altitudo cavi tanta eſſe debet, ut vectis qui ad impellendum aptatur illis inhaerere atque objici poſſit.

XLIX.

Poſtes item ab utraque parte adjiciantur, breves, robuſti, qui axes contineant.

Nominat axes ὀνίσκους, poſtes vero, quae ſunt ligna quibus axis ſuſtinetur φλιάς. Haec magno ligno adjici vo-

Ed. Chart. XII. [459.] Ed. Baſ. V. (656.)

βούλεται κατὰ τὸ μέγα ξύλον ἑκατέρωθεν ἐνηρμόσθαι, τὸ μὲν γὰρ ἐκ τῶν ἄνωθεν μερῶν τοῦ βάθρου, τὸ δὲ ἐκ τῶν κάτω. πρὸς γὰρ τοὺς ἄξονας τούτους τὰ πέρατα τῶν περιβαλλομένων τῷ κάμνοντι βρόχων ἐνανάπτει κατὰ τὸν καιρὸν τῆς ἀντιτάσεως.

ν'.

Ἔπειτα ἀρκέει μὲν ἐν τῷ ἡμίσει τοῦ ξύλου, οὐδὲν δὲ κωλύει καὶ διὰ παντὸς ἐντετμῆσθαι ὡς καπέτους μακρὰς πέντε ἢ ἓξ διαλειπούσας ἀπ' ἀλλήλων τέσσαρας δακτύλους. αὐτὰς δὲ ἀρκέει εὖρος τριδακτύλους εἶναι καὶ βάθος οὕτως.

Καπέτους μὲν οὐκ ὀλίγοι τῶν παλαιῶν εἰρήκασι τὰς τάφρους. ὁ δὲ Ἱπποκράτης νῦν ἐκ μεταφορᾶς κέχρηται τῇ προσηγορίᾳ τὰς ἐκτετμημένας τῷ βάθρῳ κοιλότητας ἑρμηνεῦσαι βουλόμενος, ἕνεκα τοῦ σηρίζεσθαι κατ' αὐτὰς τοὺς μοχλούς, ἅς τινας κοιλότητας ἀξιοῖ μάλιστα μὲν ἐν τῷ ἡμίσει τοῦ ξύλου, τουτέστι τῷ κάτω διαγλύψαι. κωλύειν δὲ

luit ab utraque parte, a ſuperiori ſcilicet et inferiori. Eligantur autem ad axes extrema loqueorum, qui quo tempore convenit in diverſa diducere laboranti injiciuntur.

L.

Satis autem eſt in dimidio ligno, nihil etiam prohibet in toto parvas quaſi foſſas quinque aut ſex excavare quae palmam inter ſe diſtent et trium digitorum latitudinem atque altitudinem aequent.

Foſſas dixit καπέτους, quod verbum non pauci ex veteribus Graecis in eandem ſignificationem acceperunt. Id mutuatur nunc Hippocrates translatione uſus ad ea cava ſignificanda quae in ſcamno ea de cauſa fiunt, ut illis objici vectes poſſint. Quae cava praecipit ut in altera ligni parte magis, hoc eſt in inferiori exſculpantur; nihil

Ed. Chart. XII. [459.] Ed. Baſ. V. (656.)

οὐδὲν ἐκ περιουσίας φησὶν, εἰ καὶ κατὰ τὸ ἄνω μέρος εἶεν· οὐ μόνον γὰρ τὸ κατ' ἰσχίον ἄρθρον ἐμβάλλουσιν ἡμῖν ἐστι χρήσιμον τὸ νῦν ἑρμηνευόμενον ὄργανον, ἀλλὰ καὶ τὰ κατὰ τοὺς σφονδύλους πάντα καὶ τὸν ὦμον. εἶναι δὲ χρὴ πλείους ταύτας, ἐπειδὴ καὶ ταῖς ἡλικίαις καὶ τοῖς μεγέθεσιν, ὅλῃ τῇ σχέσει τοῦ σώματος ἀλλήλων διαφέρουσιν οἱ θεραπευόμενοι. τὸ μέγεθος δ' αὐτῶν ὁπηλίκον εἶναι κελεύει καὶ τὴν διάστασιν, ἣν ἀλλήλων ἀπέχουσιν, αὐτὸς ἔγραψε σαφῶς.

να'.

Ἔχειν δὲ κατὰ μέσον τὸ ξύλον καὶ καταγλυφὴν χρὴ βαθυτέρην ἐπὶ τετράγωνον ὡς τριῶν δακτύλων καὶ ἐς μὲν τὴν καταγλυφὴν ταύτην, ὅταν δοκέῃ προσδεῖν ξύλον, ἐμπηγνύναι ἐναρμόζον τῇ καταγλυφῇ, τὸ δὲ ἄνω στρογγύλον, ἐμπηγνύναι δὲ ἐπὴν ποτε δοκέει ξυμφέρειν, μεσηγὺ τοῦ περιναίου καὶ τῆς κεφαλῆς τοῦ μηροῦ. τοῦτο τὸ ξύλον ἑστεὸς κωλύει τὴν ἐπίδεσιν ἐπιδιδόναι τὸ σῶμα τοῖσι

etiam inquit, prohibet quin in ſuperiore quoque parte ſint, quamquam non neceſſe eſt: hoc ſiquidem machinamentum quod nunc exponimus non ſolum ad coxae articulum pertinet, ſed et ad vertebras quocunque modo luxatas et ad humeri caput reponendum. Complura autem ſint cava haec oportet, quandoquidem qui curantur aetate, magnitudine et univerſo corporis habitu inter ſe differunt; quam magna eſſe debeant et quantum inter ſe diſtare, ipſe evidenter expoſuit.

LI.

Medium inſuper lignum alte in quadratam figuram trium digitorum excavetnr, in quod cavum ubi opus eſſe videatur defigatur lignum, quod cavo conveniat et ſuperius teres ſit. Figatur autem quum ad rem pertinere videbitur medium inter femoris caput et eam regionem quae inter anum et naturale media eſt; quod lignum exſtans corpus ſequi non permittit, quum a pedibus

Ed. Chart. XII. [459. 460.] Ed. Baſ. V. (656.)

πρὸς ποδῶν ἕλκουσιν. ἐνίοτε γὰρ ἀρκέει αὐτὸ τὸ ξύλον τοῦτο ἀντὶ τῆς ἄνωθεν ἀντικαιατάσιος, ἐνίοτε δὲ καὶ κατατεινομένου τοῦ σκέλεος ἔνθεν καὶ ἔνθεν αὐτὸ τὸ ξύλον τοῦτο χαλαρὸν ἐγκείμενον ἢ τῇ ἢ τῇ ἐκμοχλεύειν ἐπιτήδειον ἂν εἴη τὴν κεφαλὴν τοῦ μηροῦ ἐς τὸ ἔξω μέρος. διὰ τοῦτο γὰρ καὶ αἱ κάπετοι ἐντέτμηνται, ὡς καθ' ὁκοίην ἂν αὐτέων ἁρμόσῃ ἐμβαλλόμενος ξύλινος μοχλὸς μοχλεύοι ἢ παρὰ τὰς κεφαλὰς τῶν ἄρθρων ἢ κατὰ τὰς κεφαλὰς τελέως ἐρειδόμενος ἅμα τῇ κατατάσει, ἤν τε ἐς τὸ ἔξω μέρος συμφέρῃ ἐκμοχλεύεσθαι, ἤν τε ἐς τὸ εἴσω.

---

[460] Ἐντετμῆσθαι βούλεταί τινα τοῦ βάθρου κοιλότητα πρὸς ὑποδοχὴν ἐπιτηδείαν τοῦ μέλλοντος ἵσιασθαι κατ' αὐτὸ ξύλον μεταξὺ τοῦ περιναίου καὶ τῆς ἐκπεπτωκυίας κεφαλῆς τοῦ μηροῦ. σαφῶς δὲ αὐτὸς ἐδήλωσε, τίνος ἕνεκα ἵστησιν ἐν τῷ κατατείνειν τὸ ξύλον τοῦτο, καθάπερ καὶ τἆλλα πάντα τὰ ἐφεξῆς ἃ λέγει. διὰ δὲ τοὺς νωθροτέρους

trahitur: interdum enim hoc ſufficit absque intenſione, quae ut membrum in diverſa diducatur a ſuperiori quoque parte adhibetur. Interdum autem ubi crus ab utraque parte extendatur, lignum hoc verſus hanc vel illam partem laxum demittitur, ut femoris caput in exteriorem partem impellat. Hac enim de cauſa et cava exſculpta ſunt, ut cuneus vel vectis ligneus, in quod expeditius ſit demiſſus aut juxta articulorum capita aut ipſis prorſus inhaerens eodem momento impellat, quo intenſio adhibetur, ſeu in exteriorem partem ſeu in interiorem impellere opus ſit.

Excidi voluit in ſcamno quoddam cavum quo recipi id lignum poſſit, quod erectum collocandum eſt inter prolapſi femoris caput et eam regionem quae eſt inter anum et naturale. Cur autem lignum hoc dum extendimus adhibendum ſit, ſicut cetera omnia quae deinceps ſubdit ipſe aperte indicavit; ob eos tamen qui hebetioris

Ed. Chart. XII. [460.] Ed. Baſ. V. (656.)

τὴν διάνοιαν οὐκ ὀκνήσω παράφρασιν τὴν αὐτὴν εἰπεῖν. τὸ τοίνυν ξύλον τοῦτο μεταξὺ τοῦ περιναίου καὶ τῆς ἐκπεπτωκυίας τοῦ μηροῦ κεφαλῆς ὀρθὸν ἱστάμενον ἀντιστήριγμα γίνεται τῇ κάτω τάσει. λέλεκται γὰρ ἤδη πολλάκις ἔμπροσθεν, εἰ μή τις ἀντιτείνει πρὸς τὴν ἐναντίαν χώραν τοῦ κατατεινομένου κώλου, συνακολουθῶν ὁ κάμνων ἐκλύσει τὴν τάσιν. ἐργάζεται μὲν τοῦτο καὶ ἡ διὰ τῶν ἄνω βροχῶν ἀντίτασις, ἀσφαλείας δὲ ἕνεκα καὶ τούτῳ τῷ ξύλῳ χρῆται καὶ μέντοι καὶ μοχλεύει ποτ' αὐτὸ ποιήσας τηνικαῦτα χαλαρόν.

νβ'.

Καὶ ἦν τε στρογγύλον τὸν μοχλὸν ξυμφέρῃ εἶναι, ἦν τε πλάτος ἔχοντα, ἄλλος γὰρ ἄλλῳ τῶν ἄρθρων ἁρμόζει. εὔχρηστος δέ ἐστιν ἐπὶ πάντων τῶν ἄρθρων ἐμβολῆς τῶν κατὰ τὰ σκέλεα αὕτη ἡ μόχλευσις σὺν κατασείσει, περὶ οὗ νῦν ὁ λόγος ἐστί· στρογγύλος ἁρμόζει ὁ μοχλὸς εἶναι ἀπὸ τουτέων τῶν μηχανέων καὶ ἀναγκαῖον οὐδὲν ἄρθρον

ſunt ingenii verba haec aperire aliquantulum non gravabor. Hoc igitur lignum quod erectum collocatur inter caput femoris prolapſi et eam regionem quae media eſt inter anum et naturale renixus cauſa objicitur, quum ab inferiori parte crus extenditur. Saepius enim oſtendimus, ubi membrum extenditur, niſi a contraria parte tendatur, ſequente aegro intenſionem reſolvi. Tenditur autem et per laqueos ſuperioribus partibus injectos, ſed firmitatis cauſa lignum hoc adhibet, quo nonnunquam minus firmiter haerente ad impellendum utitur.

LII.

Ac ſeu teres vectis eſſe debeat, ſeu latus; alius enim alii articulo convenit hujusmodi impulſus, ſi intenſio quoque accedat, ad omnes crurum articulos reponendos efficaciſſimus eſt; propoſito autem articulo vectis teres accommodatur. Quodſi per hoc machinamentum vis adhibea-

Ed. Chart. XII. [460.] Ed. Baſ. V. (656.)

μοὶ δοκέει οἷόν τε εἶναι, ἀπορηθῆναι τοῦ ἐμπεσεῖν. εὕροι δ' ἄν τις καὶ ἄλλους τρόπους τούτου τοῦ ἄρθρου ἐμβολῆς.

Αὐτὸς ἐφεξῆς ἐρεῖ στρογγύλῳ μὲν χρῆσθαι μοχλῷ μοχλεύοντας ἔξω τὸν μηρὸν, ὅπερ αὐτῷ νῦν πρόκειται τὴν ἔσωθεν μετάστασιν ἐμβάλλοντι κεφαλήν. ἐπὶ δὲ τῆς ἔξωθεν μεθεστηκυίας τῷ πλατεῖ χρῆται μοχλῷ· νῦν μὲν γὰρ βούλεται πορευθῆναι μεταξὺ τοῦ περιναίου καὶ τῆς ἐκπεπτωκυίας κεφαλῆς αὐτὸν ἄνωθέν πως μᾶλλον πειρωμένης τῆς κεφαλῆς τιθέναι· κατὰ δὲ τὴν ἔξω μετάστασιν εὐρυχωρίας οὔσης ἱκανῆς ἀσφαλεστέραν ἕξει περίβασιν ὁ πλατὺς μοχλὸς, ὡς καὶ μετ' ὀλίγον αὖθις εἰρήσεται κατὰ τὸν ἴδιον αὐτοῦ λόγον.

νγ'.

Εἰ γὰρ τὸ ξύλον τοῦτο τὸ μέγα ἔχει κατὰ μέσον καὶ ἐκ πλαγίων φλιὰς δύο ποδιαίας, ὕψος δὲ ὅκως δοκέει ξυμ-

tur, fieri non poſſe exiſtimo, ut aliquis ſit articulus qui non reponatur. Reperiet quis et alios reponendi hujus articuli modos.

Ipſe deinceps oſtendet tereti vecte tunc utendum eſſe quum femur in interiorem partem impellitur, quod nunc inſtituit quum femoris caput in interiorem partem prolapſum reponat: nam ſi in exteriorem luxatum ſit, latum rectem admoveri jubet. Nunc quidem praecipit ut medium inter caput femoris prolapſi et eam regionem quae eſt inter anum et naturale inferamus, conemurque ſublimius paullo quam femoris caput demittere; ſed quum in exteriorem regionem articulus veniet, ubi ſatis ſpatii eſt, latus vectis firmius objicietur, quod ipſe paullo infra oſtendet ubi aget de ipſo ſeparatim.

LIII.

Nam ſi magnum hoc lignum medium duos poſtes habeat pedales, ejus altitudinis quae idonea videatur, ab utro-

Ed. Chart. XII. [406. 461.] Ed. Baſ. V. (656. 657.)

φέρειν τὴν μὲν ἔνθεν, τὴν δὲ ἔνθεν, ἔπειτα ξύλον πλάγιον ἐνείη ἐν τῇσι φλιῇσιν ὡς κλιμακτὴρ, ἔπειτα διέρσαι τὸ ὑγιὲς σκέλος μεσηγὺ τῶν φλιέων, (657) τὸ δὲ σιναρὸν ἄνωθεν τοῦ κλιμακτῆρος ἔχοι ἐναρμόσον. ἀτάρ τι πρὸς τὸ ὕψος καὶ πρὸς τὸ ἄρθρον ἢ ἐκπέπτωκε, ῥηΐδιον χρὴ ἁρμόζειν. τὸν γὰρ κλιμακτῆρα ὑψηλότερον χρὴ ποιέειν τοῦ μετρίου καὶ ἱμάτιον πολύπτυχον, ὡς ἂν ἁρμόσῃ ὑποτείνειν ὑπὸ τὸ σῶμα.

---

[461] Ὅτι μὴ μόνα τὰ τῶν ἀξόνων στηρίγματα φλιὰς ὀνομάζει, δῆλον ἐκ τῆσδε τῆς ῥήσεως ἐποίησε. τῇ γὰρ κατὰ τὸ μῆκος ὅλου τοῦ βάθρου μέσῃ χώρᾳ τέταταί τι ξύλον ἐγκάρσιον, οἷον κλιμακτῆρα διατείνας ἀπὸ δεξιῶν ἐπὶ ἀριστερὰ διῆκον, ὑπὲρ αὐτὸ καιατείνειν τὸ ἔξαρθρον σκέλος οὐχ ἁπλῶς, ἀλλὰ μετὰ τοῦ ξύλου αὐτῷ προσῆχθαι κατὰ μῆκος ἄνωθεν κάτω διῆκον, ὥστε μετ' ἐκείνου τοῦ ξύλου τὸ σκέλος ὑπὲρ τὸν κλιμακτῆρα καταναγκάζεσθαι. πρόδηλον δ' ὅτι τὸ ὑγιὲς σκέλος ὑποκάτω τοῦ κλιμακτῆρος ἔχειν προσή-

que latere unum; tum ſuper hos duos poſtes transverſum lignum in ſpeciem gradus ſtatuatur; deinde integrum crus inter poſtes trajiciatur quod laeſum eſt, ſuper gradum commode collocatur ſuperque aptatur qua articulus exceſſit. Gradum vero juſto ſublimiorem ſtabilire oportet et multiplicem veſtem, prouli convenire videbitur corpori ſubjicere.

Poſtes nominari ab Hippocrate non ea ligna tantum, quibus axis ſuſtinetur, aperte ex hac oratione colligitur. In media enim regione longitudinis totius ſcamni ſitum eſt lignum transverſum quaſi gradus, quod a dextra parte ad ſiniſtram pertinet, ſuper quod crus quod luxatum eſt extenditur non ſimpliciter, ſed cum altero ligno alligato quod in longitudinem a ſuperiori parte cruris ad inferiorem porrigitur, ita ut ſuper gradum cum eo ligno cogatur. Conſtat autem integrum hominis crus ſuper gradum

Ed. Chart. XII. [461.] Ed. Baſ. V. (657.)

καὶ τὸν θεραπευόμενον ἐν τῇ μεταξὺ χώρᾳ τῶν φλιῶν· οὕτως γὰρ ὠνόμασε τὰ στηρίγματα τοῦ κλιμακτῆρος ἓν ἑκατέρωθεν ἐναρμόσας αὐτῷ τῷ βάθρῳ. δῆλον οὖν ὡς κατὰ μεταφορὰν ἀπὸ τῶν καὶ τὰς θύρας φλιῶν ὠνόμασε καὶ τὰς καὶ τὸ βάθρον ὡσαύτως.

νδ'.

Ἔπειτα χρὴ ξύλον ἔχοντα πλάτος μέτριον καὶ μῆκος ἄχρι τοῦ σφυροῦ ὑποτεταμένον ὑπὸ τὸ σκέλος εἶναι ἱκνεόμενον ἐπέκεινα τῆς κεφαλῆς τοῦ μηροῦ ὡς οἷόν τε. προσκαταδεδέσθαι δὲ χρὴ πρὸς τὸ σκέλος ὁκοσαχῶς ἦν μετρίως ἔχῃ.

Οἶσι τὸ ξύλον προσκαταδεῖ τὸ σκέλος ὅλον, εἴρηταί μοι καὶ πρόσθεν, ἀλλὰ νῦν γε τοῦ ξύλου τὴν ἄνωθεν ἀρχὴν ὑψηλοτέραν ἀξιοῖ ποιεῖσθαι τῆς κεφαλῆς τοῦ μηροῦ προσθεὶς τῷ λόγῳ, τὸ οἷόν τε. πάνυ γάρ ἐστι χαλεπὸν ὃ λέγει ποιῆσαι, πλὴν εἰ τὸ μὲν εἰς τὸν βουβῶνα τοῦ μακροῦ ξύλου στηριζόμενον εἰργάσαιτό τις ταπεινότερον, ὑψηλότερον δὲ τὸ

habendum eſſe inter *φλιάς:* ſic enim vocavit poſtes, ligna intelligens, quae gradum ſuſtinent, quorum utrimque unum ſtruit in ipſo ſcamno. Hippocratem vero uſum translatione a portarum poſtibus ita nominare ligna quae in ſcamno ſunt, perſpicuum eſt.

LIV.

Poſt haec lignum quod convenientem latitudinem habeat et longitudine uſque ad talum perveniat, cruri ſubjiciendum, ſic ut ultra caput femoris quantum poteſt feratur, crurique alligandum, quot locis opus eſſe videbitur.

Lignum alligandum eſſe ad totum crus, ſupra etiam oſtendimus, ſed nunc ſuperiorem ligni extremitatem, ſuperiorem capite femoris collocandam exiſtimat adjiciens orationi, quantum poteſt. Siquidem quod nunc fieri jubet difficillimum eſt, niſi ea pars longi hujus ligni quae inguini haeret humilior ſtruatur; quae ſpectat in exteriorem

Ed. Chart. XII. [461.] Ed. Baf. V. (657.)

ἔξω πέρας ὁμαλόν τε καὶ ἰσόϋψον ἂν εἴη πάνυ χαλεπόν ἐστιν, ἅμα μὲν στηρίζειν αὐτοῦ τὴν ἀρχὴν ἐν τῷ βουβῶνι, ἅμα δὲ ὑπερέχουσαν ποιεῖν τῆς κεφαλῆς τοῦ μηροῦ κατὰ τὴν νῦν προκειμένην ἔκπτωσιν ὑψηλοτέραν οὖσαν τοῦ βουβῶνος.

νε'.

Κἄπειτα κατατεινομένου τοῦ σκέλεος εἴτε ξύλῳ ὑπεροειδεῖ, εἴτε τουτέων τινὶ τῶν κατατασίων, ὁμοῦ χρὴ καταναγκάζεσθαι τὸ σκέλος περὶ τὸν κλιμακτῆρα ἐς τὸ κάτω μέρος ξὺν τῷ ξύλῳ τῷ προσδεδεμένῳ. τὸν δέ τινα κατέχειν τὸν ἄνθρωπον ἀνωτέρω τοῦ ἄρθρου κατὰ τὸ ἰσχίον· καὶ γὰρ οὕτως ἅμα μὲν ἡ κατάτασις ὑπεξαίροιτο τὴν κεφαλὴν τοῦ μηροῦ ὑπὲρ τῆς κοτύλης, ἅμα δὲ ἡ μόχλευσις ἀπωθέοι τὴν κεφαλὴν τοῦ μηροῦ εἰς τὴν ἀρχαίην φύσιν. αὗται πᾶσαι αἱ εἰρημέναι ἀνάγκαι ἰσχυραὶ καὶ πᾶσαι κρείσσους τῆς ξυμφορῆς, ἤν τις ὀρθῶς καὶ καλῶς σκευάζοι. ὥσπερ δὲ καὶ πρόσθεν εἴρηται, πουλύ τι ἀπὸ ἀσθενεστέρων κατατασίων καὶ φαυλοτέρης κατασκευῆς τοῖσι πλείοσιν ἐμπίπτει.

partem, ſublimior: nam ſi aequale ſit paremque altitudinem habeat, difficile admodum fuerit ipſius ſummitatem ſimul in inguine ſtabilire et ſuperiorem femoris capite demittere.

LV.

Quo facto dum crus intenditur vel per lignum quale piſtillum eſt vel per aliud ex iis quae idonea ad extendendum ſunt ſimul oportet crus cum alligato ligno ſuper gradum deorſum compellere et ad coxam ab aliquo homine contineri. Hac enim via femoris caput intenſionis vi e regione ſui cavi ſuperius collocabitur et ſimul ob impulſum in ſuam ſedem trudetur. Quae cogendi rationes validae ſunt; et ſi recte admoveantur, vitium ſuperant; ſed quemadmodum ante dictum eſt, articulus hic imbecilliori et plerumque quavis praeparatione in ſuum locum revertitur.

Ed. Chart. XII. [462.] Ed. Baf. V. (657.)

[462] Ἀναταθέντος τοῦ μηροῦ περὶ τὸν κλιμακτῆρα ταπεινότερον γίγνεται τὸ ἐκπεπτωκὸς ἄρθρον. ἐπιτήδειον δὲ τοῦτο πρὸς τὴν ἐμβολήν ἐστιν, ἐπειδὴ ταπεινότερος νῦν ἡ ὀφρὺς τῆς κοτύλης γέγονε τῆς κεφαλῆς τοῦ μηροῦ· καὶ νῦν εἰ χωρὶς μὲν τῆς κοτύλης τὴν ὀφρὺν ὑπερβῆναι τὸ ἐκπεπτωκὸς ἄρθρον οὐχ οἷόν τέ ἐστιν αὐτὸ πάλιν ἐμπεσεῖν, ἀπεχώρισε δὲ ἀνωτέρω τῆς ὀφρύος, ἄριστον ἂν εἴη ταπεινὸν αὐτὸ ποιήσαντα κατατείνειν. ἐξαρτῆσαι δὲ δηλονότι δεῖ τοὺς κατατείνοντας αὐτῷ βρόχους ἤτοι ξύλου τινὸς ὑπεροειδοῦς ἀντιστηριζομένου τῷ κάτω πέρατι πρὸς ἑδραῖόν τι κατὰ τοὔδαφος κείμενον· εἰ δὲ μὴ διὰ τοῦ τοιούτου ξύλου βούλοιτο τὴν κατανάγκασιν ποιεῖσθαι, τῷ πρὸς τῶν ποδῶν ἄξονι τοῦ βάθρου περιβαλεῖν τὰ πέρατα τῶν κατατεινόντων ἱμαντίων. τοῦτο γὰρ ἐδήλωσεν ἐν τῷ φάναι εἴτε τούτων τινὶ, εἴτε τῶν κατατασίων, λέγων τούτων δηλονότι τῶν προειρημένων πρὸς διαστολὴν τοῦ ὑπεροειδοῦς ξύλου. τὰ δ' ἐφεξῆς τῆς ῥήσεως τῆσδε δῆλα.

Femore ſuper gradum extento prolapſus articulus humilior redditur. Quae res ad reſtituendum aptiſſima eſt; nam ſic ora cavi humilior femoris capite continetur. Sed quum elapſus articulus, niſi cavi ora ſuperior ſit, reponi nequeat; ubi ſublimior fuerit, optimum erit humiliorem collocare atque ita extendere. Ceterum laquei quibus crus extenditur religandi ſunt vel ad lignum quale piſtillum eſt, cujus ima pars firmiter in pavimento oppoſitae morae objiciatur, vel ſi hujusmodi ligno uti ad intendendum nolis, lori capita ad axem qui in ſcamno a pedibus eſt vincienda. Id enim ſibi voluit quum ait: vel per aliud ex iis quae ad extendendum ſunt, ex iis intelligens quae propoſita ſunt diverſa a ligno, quale piſtillum eſt. Quae ſubjicit in hac oratione manifeſta ſunt.

Ed. Chart. XII. [462.] Ed. Baf. V. (657.)

νστ'.

Ἤν δὲ ἐς τὸ ἔξω ἡ κεφαλὴ τοῦ μηροῦ ὀλισθῇ, τὰς μὲν κατατάσιας ἔνθα καὶ ἔνθα χρὴ ποιέεσθαι, ὥσπερ εἴρηται τοιουτοτρόπως. τὴν δὲ μόχλευσιν πλάτος ἔχοντι μοχλῷ μοχλεύειν χρὴ ἅμα τῇ κατατάσει ἐκ τοῦ ἔξω μέρους ἐς τὸ εἴσω ἀναγκάζοντα, κατά τε αὐτὸν ἤδη τὸν γλουτὸν τιθέμενον τὸν μοχλὸν καὶ ὀλίγῳ ἀνωτέρω. ἐπὶ δὲ τὸ ὑγιὲς ἰσχίον κατὰ τὸν γλουιὸν ἀντιστηριζέτω τις τῇσι χερσὶν, ὡς μὴ ὑπείκῃ τὸ σῶμα ἢ ἑτέρῳ τινὶ τοιούτῳ μοχλῷ ὑπερβάλλων καὶ ἐρείσας ἐκ τῶν καπέτων τὴν ἁρμόζουσαν ἀντικατασχέτω. τοῦ δὲ μηροῦ τοῦ ἐξηρθρηκότος τὸ παρὰ τὸ γόνυ εἴσωθεν ἔξω παραγέτω ἡσύχως. ἡ δὲ κρέμασις οὐχ ἁρμόσει τούτῳ τῷ τρόπῳ τῆς ὀλισθήσιος τοῦ ἄρθρου· ὁ γὰρ πῆχυς τοῦ ἐκκρεμαμένου ἀπωθέοι ἂν τὴν κεφαλὴν τοῦ μηροῦ ἀπὸ τῆς κοτύλης. τὴν μέντοι ξὺν τῷ ὑποκειμένῳ ξύλῳ μόχλευσιν μηχανήσαιτ' ἄν τις, ὥστε ἁρμόζειν καὶ τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος ἔξωθεν προσαρτέον. ἀλλὰ τί καὶ δεῖ πλείω λέγειν; ἢν γὰρ ὀρ-

LVI.

At ubi in exteriorem partem femoris caput exciderit ab utraque parte, quomodo ante diximus, extendendum eſt, ſed impellendum per latum vectem, ſimulque dum intenſio adhibetur ab exteriori parte in interiorem urgendum, vecte ad clunem ac paullo ſupra accommodato et ne corpus cedat, aliquo integram partis clunem repellente vel manibus vel alio hujusmodi vecte ſuperimpoſito, qui cavo illi quod magis in rem erit objiciatur; femoris item luxati, quod ad genu eſt ab interiori parte leviter in exteriorem cogendum. Suſpendere tamen ubi articulus in hanc partem erumpat, alienum eſt, quandoquidem cubitus illius qui appenditur articulum a ſuo cavo reducevet. Impulſus autem per ſubjectum lignum videbitur alicui ad hoc genus luxati pertinere, in quo caſu ab exteriori parte accommodandum eſt. Quid plura?

Ed. Chart. XII. [462.] Ed. Baſ. V. (657. 658.)

θῶς μὲν καὶ εὖ κατατείνηται, ὀρθῶς δὲ μοχλεύηται, τί οὐκ ἂν ἐμπέσοι ἄρθρον οὕτως ἐκπεπτωκός;

---

(658) *Ἐὰν κατατείνῃ τις ἰσχυρῶς τὸ σκέλος οὐδὲ τῆς διὰ τοῦ ξύλου μοχλείας ἐστὶ χρεία. καὶ γὰρ αἱ χεῖρες ἡμῶν ἱκαναὶ περιλαβοῦσαι κατὰ τὸν γλουτὸν ἔξωθεν ὅλον τὸ πέρας τοῦ μηροῦ πρὸς τὴν ἔσω χώραν ἀπῶσαι, μέχρις ἂν κατ᾽ εὐθὺ γένηται τῆς κοτύλης. εὔδηλον δὲ ὅτι στρογγύλος μοχλὸς ἀνεπιτήδειός ἐστιν εἰς τὴν τοιαύτην μοχλείαν, ὅπου γε καὶ ὁ πλατὺς ἐνδεὴς ἐστιν, εἰ μὴ τοιοῦτος εἴη καθ᾽ ἃ περιλαμβάνει τὸν γλουτὸν, ὁποίαν ἐκέλευσε ποιεῖν ἡμᾶς τὴν καλουμένην ἄμβην. αὐτὸς γοῦν εἴρηκε κατὰ λέξιν, ὡς κατ᾽ αὐτόν γε τὸν γλουτὸν τιθέμενον τὸν μοχλὸν καὶ ὀλίγον ἀνωτέρω, οὕτως ἐπιχειρεῖν χρὴ τῇ μοχλείᾳ. τοῦτο δὲ τὸ ὀλίγον ἀνωτέρω σιμοτέρου δεῖται τοῦ περιλαμβάνοντος οὐκ εὐθέως ἀκριβῶς. τὰ δ᾽ ἐφεξῆς πάντα δῆλα καὶ τῆσδε τῆς ῥήσεως.*

ſi commode recteque extendamus, recte item impellamus, quis articulus ita luxatus non revertetur?

Si crus valenter extendatur, non neceſſe erit per lignum impellere; manibus enim prehendentes femoris caput totum juxta clunem cogere ab exteriori parte in interiorem poterimus, donec e regione ſui cavi collocetur. Patet autem teretem vectem ad hujusmodi impulſum inutilem eſſe, quum et latus etiam non ſufficiat, niſi qua clunem attingit, talis ſtruatur quale ſtrui voluit capitulum rotundum ac leniter cavum ſuper eam ſpatham, quae ad reponendum humeri caput aptatur *ἄμβη* dicitur. Ipſe autem ad verbum ſcripſit urgendum vecte ad clunem ac paullo ſupra accommodato, reſimum autem hunc eſſe neceſſe eſt qua clunem complectitur, non ex toto rectum. Quae ſequuntur in hac oratione omnia clara ſunt.

Ed. Chart. XII. [463.] Ed. Baſ. V. (658.)

νζ.

[463] Ἢν δὲ ἐς τοὔπισθεν μέρος ἐκπεπτώκῃ ὁ μηρὸς, τὰς μὲν κατατάσιας καὶ ἀντιτάσιας, οὕτω δεῖ ποιέεσθαι καθάπερ εἴρηται. ἐπιστορέσαντα δὲ ἐπὶ τὸ ξύλον ἱμάτιον πολύπτυχον, ὡς μαλακώτατον ἔῃ, πρηνέα κατακλίναντα τὸν ἄνθρωπον οὕτω κατατείνειν, ἅμα δὲ τῇ κατατάσει χρὴ τῇ σανίδι καταναγκάζειν τὸν αὐτὸν τρόπον, ὡς τὰ ὑβώματα κατ' ἴξιν τοῦ πυγαίου ποιησάμενον τὴν σανίδα καὶ μᾶλλον ἐς τὸ κάτω μέρος ἢ ἐς τὸ ἄνω τῶν ἰσχίων· καὶ ἡ ἐντομὴ ἐν τῷ τοίχῳ τῇ σανίδι μὴ εὐθεῖα ἔστω, ἀλλ' ὀλίγον καταφερὴς πρὸς τὸ τῶν ποδῶν μέρος· αὕτη ἡ ἐμβολὴ κατὰ φύσιν μάλιστα τῷ τρόπῳ τούτῳ τοῦ ὀλισθήματός ἐστι καὶ ἅμα ἰσχυροτάτη. ἀρκέσειε δ' ἂν ἴσως ἀντὶ τῆς σανίδος καὶ ἐφεζόμενόν τινα ἢ τῇσι χερσὶν ἐρεισάμενον ἢ ἐπιβάντα ἐξαπίνης ὁμοίως ἐπαιωρηθῆναι ἅμα τῇ κατατάσει. ἄλλη δὲ οὐδεμίη ἐμβολὴ τῶν προειρημένων κατὰ φύσιν ἐστὶ τῷ τρόπῳ τούτῳ τοῦ ὀλισθήματος.

LVII.

At ſi in poſteriorem partem femur exciderit, extendere oportet et in diverſa diducere eo modo quo diximus, imponereque ſuper lignum veſtem multiplicem, ut molle admodum ſit et homine prono extendere. Eodem autem momento quo extenditur per aſſerem cogendum, non ſecus atque ubi ſpina gibba eſt, ita ut aſſer e regione clunis ſeu ſupra ſeu infra coxam magis collocetur. Cavum in pariete e regione aſſeris non ſit, ſed magis deorſum ſpectet ad pedes. Haec reponendi ratio articulo in poſteriorem partem luxato maxime ſecundum naturam eſt, ac ſimul etiam valentiſſima. Satis fortaſſe fuerit aliquem pro aſſere inſidere vel manibus urgere, pedibus repente conſiſtere attollique, quo tempore intenſio adhibetur. Nulla autem alia reſtituendi ratio femori ita luxato ſecundum naturam eſt.

Ed. Chart. XII. [463.] Ed. Baſ. V. (658.)

Καὶ τὰ περὶ τοῦ τρόπου τούτου τῆς ἐκπτώσεως εἰρημένα πάντ' ἐστὶ σαφῆ τοῖς μεμνημένοις τῶν προειρημένων. ἀξιοῖ γὰρ οὐχ ὡς τοὺς προτέρους, οὕτω καὶ τοῦτον ὕπτιον κατακλίνειν, ἀλλ' ἐπὶ τὴν γαστέρα· τοῦτο γὰρ δηλονότι τὸ πρηνές ἐστι σχῆμα. κατατείναντα δὲ ἰσχυρῶς ἐκ τῶν ὀπίσω μερῶν εἰς τὸ πρόσω χρὴ τὸ ἄρθρον ὠθεῖν. ἐν δὲ τῇ νῦν κατακλίσει τὸ μὲν ὀπίσω μέρος ἄνωθεν γίνεται, τὸ πρόσω δὲ ὑποκάτω τούτου. διὸ προσήκει τὸν ἐμβάλλοντα καταναγκάζειν εἰς τὸ κάτω τὴν κεφαλὴν τοῦ μηροῦ καὶ τοῦθ' ἱκανώτατον μὲν ἡ διὰ τῆς σανίδος σήπωσις ἐργάζεται. δύναιτο δ' ἄν τις αὐτὸ καλῶς πρᾶξαι κατ' αὐτὴν τὴν ἐξοχὴν ἐπικαθίσας μετὰ τοῦ προσεμβληθῆναι βιαίως· ἀλλ' ἐὰν τὸ τῆς ἰδίας πυγῆς ἐξέχον, ἐρείσει κατὰ τῆς ἐξηρθρηκυίας κεφαλῆς, οὐδὲν ὀνήσει τὸν κάμνοντα. δεῖται τοίνυν τοῦτο τὸ ἔργον ἀνδρὸς ἐπιμελοῦς τε καὶ συνετοῦ.

νη'.

Ἦν δὲ ἐς τὸ ἔμπροσθεν ὀλισθῇ, τῶν μὲν κατατασίων ὁ αὐτὸς τρόπος ποιητέος. ἄνδρα δὲ χρὴ ὡς ἰσχυρότατον ἀπὸ

Haec etiam quae de femore ſic luxato tradit, iis qui eorum quae propoſita ſunt meminerint in aperto omnia ſunt. Edicit enim ne hos ut priores reſupinemus, ſed in ventrem convertamus: hic ſiquidem eſt habitus pronus. Valenti ergo intenſione adhibita a poſteriori parte in priorem compellere articulum oportet. Nam quum homo ita jacet, ut praecepit, poſterior pars ſublimior collocatur, prior ſubjicitur. Quocirca neceſſe eſt ut qui reſtituit femoris caput deorſum compellat, quod commodiſſime praeſtat impulſus qui per afferem adhibetur. Idem efficeret, qui qua prominet femoris caput inſidens magna vi cogeret, ſed niſi clunis eminentia luxato capiti haereat, nihil hominem juvabit. Haec igitur curatio virum ſummae diligentiae ac prudentiae poſtulat.

LVIII.

Si in priorem partem venerit, idem convenit extendendi modus, ſed aliquis manu admodum ſtrenua et maxime

Ed. Chart. XII. [463. 464.] Ed. Baf. V. (658.)

χειρῶν καὶ ὡς εὐπαιδευτότατον ἐρεῖσαντα τὸ θέναρ τῆς χειρὸς ἑτέρης παρὰ τὸν βουβῶνα καὶ τῇ ἑτέρᾳ χειρὶ τὴν ἑωυτοῦ χεῖρα προσκαταλαβόντα, ἅμα μὲν ἐς τὸ κάτω ὠθέειν τὸ ὀλίσθημα, ἅμα δὲ ἐς τὸ ἔμπροσθεν τοῦ γούνατος μέρος. οὗτος γὰρ ὁ τρόπος τῆς ἐμβολῆς μάλιστα κατὰ φύσιν τούτῳ τῷ ὀλισθήματί ἐστιν· ἀτὰρ καὶ ὁ κρεμασμὸς ἐγγύς τι τοῦ κατὰ φύσιν. δεῖ μέντοι τὸν ἐκκρεμάμενον ἔμπειρον εἶναι, ὡς μὴ ἐκμοχλεύοι τῷ πήχεϊ τὸ ἄρθρον, ἀλλὰ περὶ μέσον τὸν περίναιον καὶ κατὰ τὸ ἱερὸν ὀστέον τὴν ἐκκρέμασιν ποιέεται.

Ἐπὶ τὴν τετάρτην διαφορὰν τῆς ἐκπτώσεως τοῦ κατ' ἰσχίον ἄρθρου μεταβὰς, σαφέστατα πάντα τὰ περὶ αὐτοῦ εἶπε καὶ μάλιστα τῶν μεμνημένων τῶν ἔμπροσθεν ὥστε οὐδὲν ἡμᾶς τῶν ἐνταῦθα δεῖ παραφλυαρεῖν.

νθ'.

[464] Εὐδοκιμέει δὲ καὶ ὁ πειραθεὶς ἀσκῷ τοῦτο τὸ ἄρθρον ἐμβαλέσθαι. καὶ ἤδη μέν τινας εἶδον, οἵτινες ὑπὸ

peritus ſublimiori unius palmae parte inguen adurgeat eandemque manum altera comprehendat, ſimulque quod exceſſit in inferiorem partem trudat et verſus priorem genu ſubigat. Hic extendendi modus, ubi femur ſic luxatur maxime naturae convenit, ſed et ille qui hominem ſuſpendit prope etiam naturae aptatur, in quo neceſſe eſt ut is qui appenditur non ignarus ſit, ne brachio articulum impellat, ſed inter partes naturales et anum juxta os quod ſacrum dicitur appendatur.

Ad quartum genus luxati femoris aggreſſus eſt; de quo evidentiſſime omnia prodidit iis praeſertim, qui in memoria habeant, quae antea dicta ſunt. Quare nihil eſt, quod nugas hic agamus.

LIX.

Invenias etiam laudem, ſi ſine utre articulum hunc reſtituas; ſed quosdam novi qui eum prae inſcitia et ubi in

Ed. Chart. XII. [464.] Ed. Baf. V. (658. 659.)

φαυλότητος καὶ τὰ ἔξω ἐγκεκλιμένα καὶ τὰ ὄπισθεν ἀσκῷ ἐπειρῶντο ἐμβαλεῖν, οὐ γινώσκοντες ὅτι ἐξέβαλλον αὐτὸ μᾶλλον ἢ ἐνέβαλλον. ὁ μέντοι πρῶτος ἐπινοήσας δῆλον ὅτι πρὸς τὰ εἴσω ὠλισθηκότα ἀσκῷ ἐμβάλλειν ἐπειρήσατο. ἐπίστασθαι μὲν οὖν χρὴ, ὅτι ἕτερα πολλὰ ἀσκοῦ κρείσσω ἐστί. χρὴ δὲ τὸν μὲν ἀσκὸν κατατιθέναι ἐς τοὺς μηροὺς ἀφύσητον ἐόντα, ὡς ἂν δύναιτο ἀνωτάτω πρὸς τὸν περίναιον ἀνάγοντα. ἀπὸ δὲ τῶν ἐπιγουνίδων ἀρξάμενον ταινίῃ πρὸς ἀλλήλους τοὺς μηροὺς καταδῆσαι, ἄχρι τοῦ ἡμίσεος τῶν μηρῶν, ἔπειτα ἐς ἕνα τῶν πολλῶν τὸν λελυμένον ἐνθέντα αὐλὸν ἐκ χαλκείου φυσᾶν καὶ ἐσαναγκάζειν ἐς τὸν ἀσκὸν, τὸν δὲ ἄνθρωπον πλάγιον κατακέεσθαι τὸ σιναρὸν σκέλος ἐπιπολῆς ἔχοντα. ἡ μὲν οὖν παρασκευὴ αὕτη ἐστί· σκευάζονται δὲ κάκιον οἱ πλεῖστοι ἢ ὡς ἐγὼ εἴρηκα· οὐ γὰρ καταδέουσι τοὺς μηροὺς ἐπὶ συχνὸν, ἀλλὰ μοῦνον τὰ γούνατα καὶ οὐ προσκατατείνουσι. χρὴ δὲ καὶ προσκα- (659) ταteίνειν, ὅμως δὲ ἤδη τινὲς ἐνέβαλον, ῥηϊδίου

exteriorem et ubi in poſteriorem partem erumperet reponere per utrem tentarent, neque intelligerent hac via expelli magis quam in ſuam ſedem reſtitui. Primum vero autorem conſtat utrem adhibuiſſe ubi articulus in interiorem partem elaberetur; ſcire tamen licet alia multa ex uſu magis eſſe, quam utrem. Datur ergo inter femora uter non inflatus, ſic ut quantum maxime poteſt ſublimis inter anum et naturale collocetur; tum femora inter ſe vinciuntur habena quae a patella ordiatur et uſque ad dimidiam femorum partem intendat; poſt haec inflatur uter diſtenditurque demiſſa aenea fiſtula in unum ex pedibus qui ſolutus ſit et aeger in latus cubat vitiato crure ſurſum ſpectante. Praeparatio igitur hujusmodi eſt, ſed plerique hanc adhibent deteriorem, quam ego dixerim, quum non alligent bonam femoris partem, ut propoſui, ſed genua dumtaxat; adde quod intenſionem quae maxime neceſſaria eſt omittunt. Nonnulli tamen luxatum jam reſtituerunt, ut qui

Ed. Chart. XII. [464.] Ed. Baf. V. (659.)

πράγματος ἐπιτυχόντες. εὐφόρως δὲ οὐ πάνυ ἔχει διαναγκάζεσθαι οὕτως. ὅ τε γὰρ ἀσκὸς ἐμφυσώμενος οὐ τὰ ὀγκηρότατα αὐτοῦ ἔχει πρὸς τῷ ἄρθρῳ τῆς κεφαλῆς, ἣν δεῖ μάλιστα ἐκμοχλεύσασθαι, ἀλλὰ κατὰ τὸν ἑαυτόν, αὐτὸς μέσος καὶ τῶν μερῶν ἴσως ἢ κατὰ τὸ μέσον ἢ ἔτι κατωτέρω. οἵ τε αὖ μηροὶ γαυσοὶ πεφύκασιν· ἄνωθεν γὰρ σαρκώδεές τε καὶ ξύμμηροι, ἐς δὲ τὸ κάτω ὑπόξηροι, ὥστε καὶ ἡ τῶν μηρῶν φύσις ἐπαναγκάζει τὸν ἀσκὸν ἀπὸ τοῦ ἐπικαιροτάτου χωρίου· εἴτε οὖν τις μικρὸν ἐνθήσει τὸν ἀσκὸν, μικρὴ ἡ ἰσχὺς ἐοῦσα ἀδύνατόν ἐστιν ἀναγκάζειν τὸ ἄρθρον. εἰ δὲ δεῖ ἀσκῷ χρέεσθαι ἐπὶ πολὺ οἱ μηροὶ ξυνδετέοι πρὸς ἀλλήλους καὶ ἅμα τῇ κατατάσει τοῦ σώματος ὁ ἀσκὸς φυσητέος. τὰ δὲ σκέλεα ἀμφότερα ὁμοῦ καταδεῖν ἐν τούτῳ τῷ τρόπῳ τῆς ἐμβολῆς ἐπὶ τὴν τελευτήν.

Καὶ τὸν διὰ τοῦ ἀσκοῦ τρόπον τῆς ἐμβολῆς οὐκ ἐπαινῶν, ὅμως ὡς ἄν τις ἄριστα καὶ τούτῳ χρήσαιτο διδάσκει, σαφῶς ἅπαντα διερχόμενος.

---

rem facilem nacti fuerint. Sed hujusmodi impulſus non magnopere tolerabilis eſt: ſiquidem inflatus uter qua maxime tumet eam regionem non attingit, in qua prolapſum femoris caput jacet, qua potiſſimum impellendum eſt; ſed infra illud, ut qui in medio femorum vel interius etiam contineatur; ad haec femora naturaliter ſunt curva, a ſuperiori enim parte carnoſa ſunt et prope inter ſe junguntur, ab inferiori tenuantur. Quare et femorum natura utrem expellit ab ea parte, quae praecipue admovendus eſſet, ita ut ſi parvus uter inferatur, quum vim exiguam habeat, nullo modo urgere articulum poſſit. Oportet ergo ſi utendum utre ſit, femora ad magnam partem inter ſe devincire et utrem inflare eodem momento quo corpus extenditur cruraque extrema parte inter ſe colligare, ubi hac ratione articulus reponitur.

Docet qua ratione quis utatur modo reſtituendi per utrem, quamvis eum non probet. Cuncta autem plane explicat.

ξ.

Χρὴ δὲ περὶ πλείστου μὲν ποιέεσθαι ἐν πάσῃ τῇ τέχνῃ, ὅκως ὑγιὲς μὲν ποιήσῃς τὸ νοσέον. εἰ δὲ πολλοῖσι τρόποισιν οἷόν τε εἴη ὑγιέας ποιέειν τὸν ἀοχλότατον χρὴ αἱρέεσθαι· καὶ γὰρ ἀνδραγαθικώτερον τοῦτο καὶ τεχνικώτερον, ὕστις μὴ ἐπιθυμέει δημοειδέος κιβδηλίης, περὶ οὗ νῦν ὁ λόγος ἐστί. τοιοίδε τ' ἂν τινες κατοικίδιοι καταιάσιες εἶεν τοῦ σώματος, ὥστε ἐκ τῶν παρεόντων τὸ εὔπορον εὑρίσκειν.

---

[465] *Οὗτος ὕστατος αὐτῷ λόγος ἐστὶ παρακελευομένῳ τὴν εὐπορίαν ἀσκεῖν τῶν ἐπιτηδείων πρὸς τὴν θεραπείαν, ὥστε κἂν μήτε τὸ βάθρον παρῇ, μήτε ἄλλο τι τῶν προειρημένων ἐπινοεῖν αὐτὸν ὅμοιόν τι, περὶ ὧν ἐφεξῆς σαφέστατα διῆλθεν, ὡς μηδὲν αὐτῶν δεῖσθαι μηδὲ βραχυτάτης ἐξηγήσεως. ἅπαντα γάρ ἐστι σαφέστατα τοῖς γε μεμνημένοις*

LX.

In tota arte medicinali id in primis dare operam oportet, ut quod male habet ad ſanitatem perducatur. Quod ubi contingere poſſit pluribus modis, ille eligendus eſt qui omnium minimo negotio comparatur: hoc ſiquidem magis officium eſt probi viri et plus habet artificii, niſi quis in popularem auram incumbat. Sed quod ad hunc locum attinet quidam modi extendendi corporis per ea quae domi habentur parari poſſunt, ſic ut ex iis quae praeſentia ſunt invenire liceat, per quae prompte curatio adhibeatur.

Oratio haec poſtrema eſt, in qua jubet ut in iis exerceamur, quae prompte ad curationem accommodantur, ita ut quamvis ſcamni copia ſit, neque alterius ex iis, quae propoſita ſunt excogitare per te aliquid ſimile poſſis. Sed de his evidentiſſime in ſequentibus tractavit, ut neque breviſſima expoſitione opus ſit. Omnia enim perſpi-

Ed. Chart. XII. [465.] Ed. Baſ. V. (659.)

τῶν προειρημένων, ὃ δέ μοι δοκεῖ ἀσαφέστερον εἶναι τοῦτο προσγράψω.

ξα'.

Τοῦτο μὲν ἦν τὰ δεσμὰ τὰ ἱμάντινα μὴ παρείη τὰ μαλθακὰ καὶ προσηνέα, ἀλλ' ἢ σιδήρεα ἢ ὅπλα ἢ σχοινία ταινίῃσι χρὴ ἢ ἐρρήγμασι τρυχίων ἐρινεῶν περιελίσσειν ταύτῃ μάλιστα, εἰ μέλλοι τὰ δεσμὰ καθέξειν καὶ ἔτι ἐπὶ πλέον ἔπειτα οὕτω δεῖν τοῖσι δεσμοῖσι.

Τὰ κατὰ τὴν ναῦν σχοινία καλοῦσιν ὅπλα, δηλοῖ δὲ τοῦτο καὶ ὁ ποιητὴς εἰπών·

Κεῖτο δ' ὑπ' αἰθούσῃ ὅπλον νεὸς ἀμφιελίσσης.

Δῆλον οὖν ὅτι νῦν ὁ Ἱπποκράτης εἴρηκεν ὅπλα μὲν ἰδίως τὰ ἐν τῇ νηῒ σχοινία. τὰ δὲ ἔξω τῆς νηὸς ἐν ταῖς πόλεσι καὶ κατ' ἀγρὸν διὰ τῆς κοινῆς προσηγορίας ἐδήλωσε τῆς σχοινία.

cua ſunt iis qui meminerint quae propoſita ſunt; explicabo tamen ſi quid mihi obſcurius eſſe videatur.

LXI.

Quodſi vincula ex loris non ſint mollibus et quae facile tractentur, ſed tantum vel catenae vel rudentes vel funes, neceſſe eſt ante faſciis vel panniculis a lana eam partem involvere, qua potiſſimum injici vinculum debet et ulteriorem quoque poſtea devincire.

Navium rudentes Graeci vocant *ὅπλα*, quod poeta indicat eo carmine:

Κεῖτο δ' ὑπ' αἰθούσῃ ὅπλον νεὸς ἀμφιελίσσης.

Conſtat etiam Hippocratem, quum rudentes *ὅπλα* dixit, eos funes intellexiſſe, qui in navibus habentur; nam eos qui in urbibus et qui in agro, communi finium vocabulo appellavit *σχοινία*.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΕΠΙΔΕΣΜΩΝ ΒΙΒΛΙΟΝ.

Ed. Chart. XII. [469. 470.]

[469] *Κεφ. α'. Οὐκ ἀσκόπως μοὶ δοκεῖ ὁ παλαιὸς Ἱπποκράτης ἐπιβλέψας τὰς ἄλλας τέχνας ἀρχόμενος τῆς ἐν τῷ πράττειν καθαριότητος ἐκπεφωνηκέναι. ἐμοὶ δὲ ἀνδάνει μὲν πάσῃ τῇ τέχνῃ προσέχειν τὸν νόον· καὶ γὰρ ὁκόσα ἔργα καλῶς ἢ ὀρθῶς διοικεῖ, καλῶς ἕκαστα χρὴ ποιεῖν καὶ* [470] *ὀρθῶς καὶ ὅσα καθαριότητος καὶ καθαρίως καὶ ὁκόσα ταχέως ἔργα, ταχέως. καὶ ὁκόσα ἀνωδύνως δεῖ διαχειρίζεσθαι ἀνωδυνώτατα ποιέειν. καὶ ἄλλα πάντα τοιοῦτον τρόπον διαφερόντως*

GALENI DE FASCIIS LIBER.

Cap. I. Non inconsulto mihi videtur priscus Hippocrates aliis artibus inspectis ab agendi munditie ducto exordio pronunciasse. Nobis sane placet omnino omni arti mentem incumbere. Etenim quaecunque opera decore ac recte ministrant, decore singula recteque efficienda sunt et quae cum munditie etiam munde et quae cum celeritate celeriter et quae citra dolorem manu facienda sunt perquam jucunde et cetera eodem modo omnia quae pro-

Ed. Chart. XII. [470.]

τῶν πέλας ἐπὶ τὸ βέλτιον χρὴ ποιέειν. καὶ γὰρ, ὡς ἔοικεν ἔν τισιν ἔργοις, οὐκ ἄλλῳ τινὶ τῶν ἀπείρων διαφέρουσιν οἱ ἔμπειροι τεχνῖται τῶν ἀτέχνων ἢ τάχει καὶ εὐρυθμίᾳ· διὸ πολλάκις προσήκει παντὸς ἄλλου τεχνίτου τὸν ἰατρὸν ἐν πᾶσιν ἐστοχάσθαι τοῦ καλῶς πράττειν τι, καθ' ὃ καὶ τὴν ὕλην ἔχει διάφορον· καὶ γὰρ τέμνοντα καὶ καίοντα καὶ δὴ καὶ ἐπιδέοντα καὶ εἴ τι ἄλλο χειρουργοῦντα μετὰ τοῦ συμφερόντως πράττειν καὶ τοῦ καθαρίως καὶ εὐρύθμως πεφροντικέναι δεῖ, ὡς καὶ αὐτὸς πάλιν πού φησιν· ἐπιδέσιος δὲ δύο εἴδεα ἐργαζόμενόν τε καὶ εἰργασμένον. ἐργαζόμενον μὲν ταχέως, ἀπόνως, εὐπόρως, εὐρύθμως, ταχέως μὲν ἀνύειν τὰ ἔργα, ἀπόνως δὲ ῥηϊδίως δρῆν, εὐπόρως δὲ εἰς πάντα ἑτοίμως· εὐρύθμως δὲ ὑρῆσθαι ἡδέως. ἀπαιτεῖ μὲν γὰρ γενόμενα πάθη περί τισι τοῦ σώματος μέρεσι τὴν ἁρμόζουσαν ἐπίδεσιν· ἀπαιτοῦσι δ' οἱ ἄνθρωποι καὶ κατ' ἰδέαν πολλάκις τὸ κατὰ τὰς ἐπιδέσεις εὔρυθμον, ὡς ἐπί τι μοναχῶν καὶ τῶν ἄλλων εἰς δῆμον παρασκευαζομένων ἁπάντων χάριν, ἀναγκαῖον εἰδέναι

ximis artis profeſſoribus multo praeclarius agenda ſunt. Etenim, ut nonnullis in operibus videre licet, uſu periti non alia re imperitis et artifices artium expertibus, quam celeritate et concinnitate praeſtant. Quapropter ſaepenumero prae alio quocunque artifice decet medicum in omnibus animo contendere, quo probe ſuo ſungatur munere, quod praecellentem materiam ſortiatur. Etenim ſive ſecet, ſive urat, ſive etiam deliget, ſeu quid aliud manu moliatur, non modo cum utilitate agere, ſed munditiei et concinnitati ſtudeat oportet, quemadmodum et ipſe rurſum alibi pronuntiat. Deligationis duae ſunt ſpecies et quae fit et quae facta eſt. Quae fit, celeriter, citra dolorem, prompte, concinne efficienda eſt; celeriter quidem ut abſolvatur operatio, citra vero dolorem ut facile elaboretur, prompte autem ut ad omnia praeſto ſit, concinne denique ut adſpectum oblectet. Etenim affectus quidem nonnullis corporis partibus aborti congruentem deligationem poſtulant. Poſtulant vero homines per ſe multoties deligationum concinnitatem. Quare tum ſolita-

Ed. Chart. XII. [470.]

τὰς παντὶ μέρει τοῦ σώματος ἁρμοζούσας ἐπιδέσεις ἁπλᾶς τε καὶ ποικίλας, ἐπιστάμενον ὡς τισι τῶν μερῶν ἁρμόζουσιν ἑκάτεραι, τισὶ δὲ ἡ ἑτέρα, λέγω δὲ ἡ ποικίλη εἰ καί τισιν ἄλλως δοκεῖ, ἄξιον δὲ τὴν στάσιν διευκρινῆσαι πρῶτον. ἀχρηστίαν ἔνιοι τῶν ποικίλων κατεγνώκασιν ἐπιδέσεων φάσκοντες βλαβερὰν ταύτας παρέχειν τὴν χρῆσιν, ἀποδείξει μὲν οὐδεμιᾷ γενναίᾳ χρώμενοι, παλαιῶν δὲ ἀνδρῶν μαρτυρίαις. καὶ πρῶτόν γε τὸν Ἱπποκράτην εἰσάγοντες λέγοντα· ἀτὰρ καὶ ἄλλα πολλὰ λωβέωνται οἱ χαίροντες ταῖς καλαῖς ἐπιδέσεσι, τοῦτ' ἔστι ταῖς ποικίλαις· καὶ Μαντίαν τε ἱστοροῦντες ὑπὸ φαρμακοπώλου ἐπιδεδεμένον τινὰ ποικίλῃ ἐπιδέσει τὴν κεφαλὴν καὶ τὸ πρόσωπον διὰ τῆς ἐπιδέσεως οἱ ὀφθαλμοὶ προσέπεσαν. δοκεῖ δὲ αὐτοῖς καὶ κατὰ λόγον τοῦτο γεγονέναι, διότι ἀνώμαλος ἡ τῶν ἐπιδέσμων γίνεται πρόσπτωσις διὰ τὴν ποικιλίαν δυναμένη εἰς φλεγμονὰς καὶ ἀποστάσεις ἄγειν τὰ σώματα· οὐκοῦν ἄξιον ἐγνωκέναι, διότι γένοιτ' ἂν ταῦτα ἃ λέγουσιν οὐχ ὑπὸ ποικιλίας τῶν ἐπιδέσμων, ὑπὸ δὲ

riorum, tum aliorum omnium ſeſe foro parantium gratia, idoneas ſingulis corporis partibus deligationes tum ſimplices, tum multiplices ſcire neceſſe eſt. Nec ignorandum nonnullis quidem partibus utrasque, quibusdam vero alteram, multiplicem dico, convenire, etiamſi quibusdam ſecus videatur. Sed conſentaneum eſt hanc controverſiam primum diluere. Nonnulli multiplicium deligationum inutilitatem damnant noxium ipſas uſum praeſtare profitentes, ſtabili quidem demonſtratione nulla, ſed priſcorum virorum teſtimoniis ipſi nituntur; atque in primis Hippocratem introducunt haec pronunciantem: quamobrem et alia multa mutilant ac laedunt qui decoris, hoc eſt multiplicibus deligationibus delectantur. Deinde Mantiam qui narrat, quendam virum cui pharmacopola caput et faciem multiplici deligatione deligaverat, qua deligatione oculi prociderunt; idque ipſis merito contigiſſe videtur, propterea quod inaequalis fit faſciarum occurſus, qui multiplicitate corporis partes in phlegmonas et abſceſſus poteſt adducere. Rationi conſentaneum eſt eos noſſe quae

Ed. Chart. XII. [470. 471.]

ἀφυΐας τῶν χρωμένων σφιγγόντων τὴν ἐπίδεσιν. χρὴ γὰρ ἐπιδεῖν, ὥς φησιν Ἱπποκράτης· ἐν δὲ τουτέοισι μάλιστα ἐπιδέσιος, πίεξις μὲν ὥστε τὰ ἐπικείμενα μὴ ἀφεστάναι, μηδὲ ἐρηρεῖσθαι κάρτα, ἀλλ' ἡρμόσθαι μέν, προσηναγκάσθαι δὲ μή. ἔδει δὲ αὐτοὺς τὸν Ἱπποκράτην ἐπαγομένους μάρτυρα προσαποδοῦναι τὸ λοιπόν. οὐ γὰρ ἁπλῶς ἔξενήνεκται, ἀτὰρ καὶ ἄλλα πολλὰ λωβέονται χαίροντες ταῖς καλαῖς ἐπιδέσεσιν, ἀλλὰ μετὰ τοῦ προσκεῖσθαι τὸ ἄνευ νόου. σκοπείσθωσαν δὲ καὶ ἐκ τῶν νῦν λεγομένων ὡς Ἱπποκράτης οὐκ ἐκβάλλει τὰς ποικίλας ἐπιδέσεις. αὐτὸς γοῦν ἐν τῷ κατ' ἰητρεῖον βιβλίῳ περὶ ἐπιδέσεως διαλεγόμενος καὶ εἰπών τίς ἂν εἴη ἀρετὴ ἐν τῷ ἐπιδεῖν. ἐξῆς καί τις ἐν τῷ ἐπιδεδειχέναι οὕτω λέγει ἀγαθῶς καλῶς· τὸ μὲν ἀγαθῶς ἐπὶ τοῦ συμφέροντος τιθεὶς, τὸ δὲ κα- [471] λῶς ἐπὶ τοῦ εὐπρεπῶς, εἶτα εἰς ἀνάπλωσιν τοῦ καλῶς ἐπιφέρει, καλῶς μὲν ἁπλῶς εὐκρινέως. τὸ ἁπλῶς τιθεὶς οὐκ ἐπὶ παντὸς, ἀλλ' ἐν ὑπο-

proferunt, haec non a falsiarum multiplicitate, sed ab his utentium et deligationem constringentium ineptia contigisse. Oportebat namque deligare, quemadmodum pronunciat Hippocrates. In his autem deligationis sunt compressio quidem, quo incumbentia neque abscedant, neque admodum obnitantur, sed fulciantur quidem, non tamen cogantur. Ipsas autem decebat testem Hippocratem adducentes sententiae residuum addere. Non enim simpliciter ipsam extulit, sed et alia multa oblaedunt qui decoris deligationibus delectantur; sed hoc appositio *citra mentem.* At ex iis nunc a me docendis perpendant multiplices deligationes ab Hippocrate non ablegari; nam ipse libro de medici officina, de fasciatione differens, quum quae virtus insit deligationi quae fit, ac deinceps deligationi quae jam facta est pronunciavit, sic eloquitur, recte ac decore. Illud quidem recte quod conferat posuit, hoc vero decore quod eleganter exstructa sit deligatio. Postea vero ad dictionis decore explicationem affert *decore* quidem, simpliciter distincte. Simpliciter, non pro tota

Ed. Chart. XII. [471.]

δείγματος μοίρα, οἷον ἡ ἁπλῶς ἐπίδεσις εὐκρινὴς ἔστω. σαφὲς δὲ τοῦτο ποιεῖ ἐπιφέρων· ἢ ὅμοια καὶ ἴσα ἴσως καὶ ὁμοίως ἢ ἄνισα καὶ ἀνόμοια ἀνίσως καὶ ἀνομοίως. τὰ δὲ εἴδεα ἁπλοῦς, εὔκυκλος, σκέπαρνος, σιμὸς, ὀφθαλμὸς καὶ ῥόμβος καὶ ἡμίτομον. ἁρμόζον τὸ εἶδος τῷ εἴδει καὶ τῷ πάθει τῶν ἐπιδεομένων· εἰ γάρ τις ἁπλοῦς ἐστιν, οὗτος τῷ ὄντι εὔκυκλος ὀφείλει εἶναι· εἰ δέ τις σκέπαρνος, οὗτος σιμός. οὕτω γὰρ ἔσται ὁ πάντη ἴσως ὅμοιος ἑαυτῷ, ὁ δὲ ἄνισος ἀνόμοιος, ἄρα γε πείθονται ἤδη Ἱπποκράτει ἐκκλίνειν τὰς ποικίλας ἐπιδέσεις· ὁμολογοῦντες τὸν σκέπαρνον καὶ τὸν ὀφθαλμὸν καὶ τὸν ῥόμβον καὶ τὸν ἡμίτομον ποικίλας εἶναι τὰς ἐπιδέσεις; ἢ ἔτι ὑπομιμνήσκομεν αὐτοὺς τὸν περὶ κλειδὸς κατάξιος λόγον ἐν τῷ περὶ ἄρθρων. ὡς Ἱπποκράτης γερανίδι ποικίλῃ οὔσῃ ἐπιδέσει κέχρηται· ἴστωσαν δὲ ὅτι ἐπὶ μερῶν τινῶν ὡς ἐπὶ μηροῦ προαρθρημβολημένου βραχίονός τε καὶ ἀγκῶνος καὶ ἄλλων πλειόνων οὐκ ἔστιν

ſignificatione, ſed pro ſignificationis parte poſuit, ut ſimplex deligatio diſtincta ſit. Id autem dilucidum efficit his additis aut ſimilibus et aequalibus, aequaliter et ſimiliter; aut inaequalibus et diſſimilibus, inaequaliter et diſſimiliter. Species autem ſimplex orbicularis, aſcia, ſima, oculus, rhombus, ſemiſectum. Congruat ſpecies ſpeciei et membrorum devinciendorum affectioni. Si qua namque ſimplex ſit deligatio, haec revera orbicularis debet eſſe; ſi qua vero aſcia ſit, haec ſima exiſtit. Sic enim quae prorſus aequalis eſt ſibi ipſi erit ſimilis, quae vero inaequalis diſſimilis. Utrum ſibi perſuadent jam Hippocratem multiplices deligationes averſari et ejicere conjicientes, aſciam et oculum et rhombum et ſemiſectum multiplices eſſe deligationes? An praeterea ipſis commemoremus hiſtoriam de claviculae fractura in libro de articulis ſcriptam, qua patet Hippocratem grue varia deligatione uſum fuiſſe? Sciant autem quod quibusdam in partibus, ut in femore priſtinum in articulum repoſito et brachio et cubito et ceteris pluribus, non alia quam mul-

Ed. Chart. XII. [471.]

ἄλλῃ χρῆσθαι ἐπιδέσει ἢ ποικίλῃ, ἀλλὰ πρὸς μὲν τούτων ἱκανὰ τὰ εἰρημένα.

Κεφ. β'. Ἐπανάγωμεν δὲ τὸν λόγον ἐπὶ τὴν τῶν ἐπιδέσμων τε καὶ ἐπιδέσεως τεχνολογίαν· καὶ δὴ ἐν τρόποις ἴδωμεν τίνι διαφέρουσιν ἀλλήλων οἱ ἐπίδεσμοι, ὕλῃ, σχέσει, μήκει, πλάτει κατασκευῇ· ὕλῃ μὲν ἐπεὶ οἱ μὲν αὐτῶν εἰσιν ἐρεοῖ, οἱ δὲ λινοῖ, οἱ δὲ δερμάτινοι, τῆς χρήσεως αὐτῶν οὐ μιᾶς οὐδὲ τῆς ὁμοίας οὔσης, ἀλλὰ διαφόρου. πειρώμεθα γὰρ ἁρμοζόντως τῷ πάθει τὴν ἐκλογὴν ἐν τῇ χρήσει ποιεῖσθαι· ὅσα γοῦν σφίγξεως, δεῖται λινοῖς ἐπ' αὐτῶν χρώμεθα, ὅσα δὲ οὐ σφίγξεως διὰ τὸ ἐναντιοῦσθαί τισι φλεγμοναῖς, συνεχείας δὲ δεῖται μόνης ἡ σκέπης ἐρεοῖς. δερματίνοις δὲ, ὡς Ἱπποκράτης ἐπὶ ῥινὸς καὶ γέννυος καταγείσης ἐχρήσατο κατακολλῶντες τὸ ἄκρον τῷ δεομένῳ τῆς ἐπιδέσεως, σχέσει δὲ ἐπεὶ οἱ μέν εἰσιν εἱλητοὶ, οἱ δὲ σχιστοὶ, ἄλλοι δὲ σύρραπτοι. εἱλητοὶ μὲν οὖν εἰσιν οἱ ἐκ ταινίας ἐπὶ μήκους ἀσυμβλήτου γεγονότος οἷοί εἰσιν οἱ κατὰ τὰ κατάγματα τῶν

tiplici deligatione uti non detur. Verum hactenus dicta ſufficiant.

Cap. II. Ad artificem vero tum faſciarum, tum deligationis doctrinam orationem reducamus; certoque ſciamus in primis qua in re diſcrepent faſciae inter ſe materia, figura, longitudine, latitudine et ſtructura. Materia, quoniam ipſarum nonnullae ſunt laneae, quaedam lineae, aliae membraneae, quum ipſarum uſus non unus neque ſimilis, ſed diverſus exiſtat. Propterea conemur in operum functione congruenter affectui delectum facere. Quae itaque adſtrictione opus habent, lineas in ipſis uſurpemus; quae vero adſtrictionem non deſiderant, quod haec quibusdam inflammationibus adverſetur et continentiam ſolam nixumve aut tegumentum poſtulent, in his laneas. Membraneis denique utemur, quemadmodum in naſi et maxillae fractura agglutinato parti devinciendae faſciae extremo uſus eſt Hippocrates. Figura, quo hae convolutae, illae ſciſſae, aliae conſutae ſint: convolutae ſunt quae ex habena in inſignem longitudinem factae ſunt,

Ed. Chart. XII. [471. 472.]

κώλων παραλαμβανόμενοι. σχιστοὶ δὲ οἱ ἐκ ῥάκους ἑνὸς κατὰ τὰ πέρατα ἢ καὶ ἄλλο τι μέρος ἐπερῴωγότος, οἷοί εἰσιν οἱ ἐπὶ κεφαλῆς ἀνατετριμμένης παραλαμβανόμενοι, καρκίνοι δὲ καλούμενοι, τετρασκελεῖς ἢ ἑξασκελεῖς ἢ ὀκτασκελεῖς. σύῤῥαπτοι δὲ οἱ ἐκ τελαμώνων πλειόνων συντιθέμενοι ἀνομοιοσχημόνα τὴν ἐπιβολὴν ἔχοντες οἷοί εἰσιν οἱ καλούμενοι ἀναλκαπρίδες ἢ ἀναζῶστραι ἢ μασόδεσμοι ἢ ἐπὶ μαστῶν καὶ τὸν περὶ ἕδραν τόπον ἁρμόζοντες· μήκει δ' ἐπεὶ οἱ μέν εἰσιν ἐπιμηκέστεροι, οἱ δὲ βραχύτεροι. ὁμοίως δὲ καὶ ἐπὶ πλάτους ἔχει τοῖς ἐπιδεομένοις μέρεσι προσαρμοζομένου καὶ τοῦ μήκους καὶ τοῦ πλάτους ἀναλόγως. κατασκευῇ δὲ διαφέρουσιν ἀλλήλων, ἐπεὶ οἱ μὲν ὑφαντοί, οἱ δὲ πλωτοί, οἱ δὲ [472] πλεκτοί εἰσι. καὶ τῶν ὑφαντῶν οἱ μὲν εἰς τοῦτο γεγόνασιν, οἱ δὲ πρὸς ἄλλην χρείαν γεγονότων ὑφασμάτων, σχιζομένων δὲ γίνονται. οἷς ἐπὶ τῶν τραυμάτων ὡς ἐπὶ πᾶν χρώμεθα, τοῖς δὲ εἰς τοῦτο ὑφασμένοις ὡς ἐπὶ τῶν κυνηγῶν φυλακῆς τῶν σκελῶν χάριν ἐπιδεομέ-

quales exiſtunt quae in membrorum fracturis uſurpantur. Sciſſae quae uno conſtant linteo, extremis aut aliis etiam quibusdam partibus diſciſſae, quales capiti perforato admoventur, quae cancri vocantur, quadricrures, ſex crures aut octicrures. Conſutae, quae ex pluribus habenis compoſitae ſolis figuris diſſimilibus propugnaculum habent, quales ſunt ſuſpendentes, accingentes aut mammiſaſciae aut quae mammis et loco ſedem ambienti congruunt. Longitudine, quod aliae ſint oblongiores, aliae breviores. Latitudine, quod aliae ſint anguſtiores, aliae latiores. At ut faſciarum longitudo, ſic et latitudo partibus devinciendis pro longitudinis et latitudinis proportione apparanda eſt. Structura denique inter ſe faſciae differunt, quod aliae textae ſint, aliae coactae, aliae nexae. Textarum nonnullae ad hoc opus conſtructae ſunt, nonnullae vero ex tela parantur quae ad alium uſum contexta ſcinditur. Haſce in vulneribus devinciendis plerumque uſurpamus, illis ad hoc contextis venatores ad crurum devinciendo-

Ed. Chart. XII. [472.]

νοις καὶ τοῖς καρποδέσμοις καλουμένοις. τοῖς δὲ πλεκτοῖς ὡς ἐφ' ἡνιοχῶν συνοχῆς τῶν πλευρῶν ἕνεκεν.

Κεφ. γ'. Ἔστω δὲ κοινὸν μὲν ἐπὶ πάντων παραγγελμάτων ἐπιδεομένων τὸ εὐπόριστον εἶναι καὶ τοῖς παροῦσιν ὡς ἀρίστοις δύνασθαι χρῆσθαι. ἐκλογῆς δέ τινος οὔσης τὸ αἱρεῖσθαι τοὺς ἐπιδέσμους, ὡς εἶπεν ὁ Ἱπποκράτης· φησὶ γὰρ ἔστω ἐπιδέσματα καλὰ, καθαρὰ, λεπτὰ, κοῦφα, μαλακὰ, ὑγιέα, ὥστε τάνυσιν φέρειν καὶ ὀλίγῳ κρέσσω μὴ ἔχοντα ξυῤῥαφὰς, μηδὲ ἐξαστίας· καθαρὰ μὲν γὰρ εἶναι δεῖ, διότι ἀπρεπὲς τὸ ῥυπαρὸν καὶ μηδὲ ἐπιδεχόμενον τὰ ἐπιβρέγματα καὶ παρέχοντά τινα βλάβην ἐν τῇ πρὸς τὰ ἐπιβρέγματα μίξει. ἔστω δὲ καὶ ἴδιον χρῶμα ὡς μὴ ἀπὸ πορφύρας ἤ τινος ἄλλου βάμματος τὸ αὐτὸ γένηται ἢ καὶ φαντασίαν ἡμῖν προβάλλῃ αἵματος ῥέοντος ἢ τοῦ χρώματος ὁμοιότητα, λεπτὰ δὲ ὡς μὴ ὄγκον πλείονα ταῖς ἐπινεμήσεσι παρέχῃ. μαλακὰ δὲ ὡς μὴ θλίβῃ διὰ τὴν σκληρότητα, κοῦφα δὲ εἰς τὸ μὴ ἐκ τοῦ προσόντος αὐτοῖς βάρους φορτικὴν τὴν ἐπί-

rum tutelam, ut et vocatis manicis utuntur. Coactas autem ut et aurigae ad laterum continentiam uſurpamus.

Cap. III. Ex omnibus praeceptis illud ſit publicum. Devincientibus medicis faſciarum copiam ſuppetendam eſſe, quo proſtantibus quam plurimis uti queant. Quum autem delectus quidam adeſt, faſciae eligendae ſunt, quemadmodum praecipit Hippocrates; ſic enim pronunciat: ſunto faſciae decorae, mundae, tenues, leves, molles, integrae, tenſionem ferentes, paullo valentiores, neque ſuturas, neque exſtantias habentes. Enimvero mundas eſſe faſcias oportet, quod ſordidae foedae ſint, perfuſiones non admittant et aliquam in perfuſionum cinno laeſionem invehant. Sed proprius ſit color, ne a purpura aut alia quadam tinctura idem noxae oboriatur, neve etiam nobis fluentis ſanguinis imaginatio promoveatur aut coloris ſimilitudo. Tenues, ne majorem diſtributionibus molem conſtituant. Molles, ne ob duritiem contuſio concitetur. Leves ad hoc, ne ob incumbens ipſis grave pondus oneroſa deli-

Ed. Chart. XII. [472. 473.]

δεσιν γίγνεσθαι. μὴ ἐχέτω δὲ μηδὲ ξυῤῥαφὰς ἀνωμάλως, διὰ τοῦτο ποιήσοντα τὴν θλίψιν, ἀλλὰ μηδὲ ἐξαστίαν ὅ ἐστι, μήτε πάρωον, μήτε παρασιροφὴν, μήτε ὥσπερ ἴνας ἐξεχούσας· τὸ μὲν γὰρ ἀνώμαλον τὴν ἐπίδεσιν ποιεῖ. τὰ δὲ ἐξέχοντα τὴν ἐπινέμησιν οὐκ ἐᾷ γίνεσθαι ῥᾳδίως, σχίζοντα δὲ τοὺς ἐπιδέσμους οὐ κατὰ τὸ ἐπικάρσιον τμῆμα τῇ ὥᾳ δεῖ σχίζειν, ἀλλὰ κατ' εὐθὺ ὥσπερ ἐξυφαίνεται ὡς τῷ στήμονι ἀνευθύνεσθαι στοχαζόμενον· ἐπὶ τούτῳ γὰρ εὔσχιστα τὰ ῥάκη, ἐπὶ δὲ τὴν κροκὴν τὸ ἀνάπαλιν, ἄλλως τε καὶ κατὰ τὴν πρὸς τὸν στήμονα ἀκολουθίαν σχιζόμενα εὐτονώτερα πρὸς τὴν θέσιν τῶν ἐπιδεομένων ἐστί.

Κεφ. δ'. Τῶν δὲ ἐπιδέσεων αἱ μὲν, ὡς ἔμπροσθεν εἶπον, εἰσὶν ἁπλαῖ, αἱ δὲ ποικίλαι· καὶ τούτων αἱ μὲν ἀπὸ τῶν ἐπιδεομένων μερῶν ἔτυχον τῆς προσηγορίας, αἱ δὲ ἀπὸ τοῦ συμβεβηκότος, ἄλλαι δὲ κατὰ μεταφορὰν τῆς πρὸς τὰ ζῶα [473] ἐμφερείας. ἀπὸ μὲν οὖν τύπων ἐπιδεομένων ὀφθαλμὸς, ῥὶς, βουβωνίσκος καὶ αἱ ταύταις παραπλήσιαι·

gatio contingat. Neque vero faſciae futuras ſortiantur inaequales, ea re contuſionem allaturae; imo neque exſtantias, hoc eſt neque fimbrias, neque inſtitas aut orarum obverſiones fibrarum modo eminentes. Quae namque exſtant inaequalem deligationem reddunt, quae vero eminent diſtributionem fieri facile non ferunt. At ſcindenti faſcias non transverſaria villo, ſed directe ſectione, prout tela contexitur, ſcindendum eſt, ut ſtamine dirigatur collimanti. Hoc enim modo lintea facile ſcinduntur, ſecus autem ad tramam. Praeterea et quae ducta ad ſtamen ſerie ſcinduntur, ad partium devinciendarum poſituram continendam robuſtiora ſunt.

Cap. IV. At vero deligationum, ut antea protulimus, quaedam ſunt ſimplices, quaedam vero multiplices. Harum etiamnum aliae a partibus devinciendis, aliae ab eventis, aliae per effigiei ad animalia translationem appellationem ſortitae ſunt. A partibus itaque devinciendis oculus, naſus, inguen atque his conſimiles. Ab animali-

Ed. Chart. XII. [473]

ἀπὸ δὲ ζώων καρκίνος, ἱέραξ, κριὸς, λαγωὸς, χελώνη· ἀπὸ δὲ τῶν συμβεβηκότων ὡς χάραξ ἥ τε ἐζευγμένη καὶ ἀπεζευγμένη, σκεπασιραὶ, σειραὶ καὶ αἱ ταύταις ὅμοιαι. τῶν δὲ ἐπιδέσεων τούτων αἱ μὲν αὐτὸ τοῦτο ἐπιδέσεις εἰσὶν, ὡς θόλος, βασιλικὸς, σκάφιον, διάκρισις. αἱ δὲ εἰσιν ἐπιδέσεις ἅμα καὶ βρόχοι ὡς λαγωὸς μετ' ὤτων καὶ βουκολίσκος καὶ οἱ τούτοις ὅμοιοι· ἔτι τῶν ἐπιδέσεων αἱ μὲν ἀπὸ μιᾶς ἀρχῆς ἐπιδέονται, αἱ δὲ ἀπὸ δυοῖν, αἱ δὲ ἀπὸ μιᾶς καὶ δυοῖν ἀρχῶν· ἔτι τῶν ἐπιδέσεων αἱ μὲν μερῶν τινῶν εἰσιν ἴδιαι ἐπ' ἄλλων μὴ ἁρμόζουσαι, αἱ δὲ κοιναὶ καὶ πρὸς ἄλλα μέρη· ἔτι τῶν ἐπιδέσμων οἱ μὲν προσθοφανεῖς εἰσι μόνα τὰ ἐμπρόσθια τοῦ ἀνθρώπου ἐπιδεδεμένα δεικνύοντες, οἱ δὲ ὀπισθοφανεῖς, ἄλλοι ὁμοιοφανεῖς ἐπίσης καὶ τὰ ἐμπρόσθια καὶ τὰ ὀπίσθια δεικνύοντες καὶ ταῦτα ὅτι μὲν ὁμογενῆ, ὅτι δὲ ἑτεροφανῆ· σαφῆ δ' ἔσται ταῦτα ἐν τῷ τὰς κατὰ μέρος ἐπιδέσεις δεικνύεσθαι.

bus cancer, accipiter, aries, lepus, teſtudo. Ab eventis, ut vallum tum conjunctum, tum diſjunctum, opercula, habenae atque his ſimiles. At hujusmodi deligationum quaedam hoc ipſo deligationes ſunt, ut tholus, baſilicus, ſcaphula, diſcrimen; quaedam vero deligationes ſunt et laquei, ut lepus auritus, paſtoralis et his ſimiles. Praeterea deligationum nonnullae ab uno capite, nonnullae a duobus, quaedam ab uno et duobus capitibus devincientes ordiuntur. Deligationum etiamnum aliae quibusdam partibus propriae ceteris minime congruunt, aliae et aliis partibus ſunt communes. Rurfus faſciarum aliae ſunt anterius prominentes, quae ſolas anteriores hominis partes devinctas demonſtrant, aliae poſterius conſpicuae, quae deligatas partes poſticas ſubjiciunt oculis; aliae pleraeque apparentes, quae tum anteriora, tum poſteriora aequaliter devinci produnt. Et haec interdum genere ſimilia, interdum facie diſſimilia conſpiciuntur, quae in particularium deligationum demonſtratione dilucide declarabuntur.

Ed. Chart. XII. [473.]

Κεφ. ε'. Ἄξιον ἐπισκέψασθαι πρότερον ὡς ἔτυχε τὴν πρώτην τῶν ἐπιδέσμων καταβολὴν ποιεῖσθαι χρὴ καὶ περὶ τούτου ζητητέον ἐστίν· οἱ μὲν γὰρ πρὸ ἡμῶν πάντες τόπους τινὰς ἀφώρισαν τοῦ σώματος, ἐφ' ὧν δεῖ τὴν θέσιν τῶν ἀρχῶν ποιεῖσθαι, οἷον ἐπὶ κεφαλῆς ἐπιδεομένης. δι' ὃ δή ποτ' οὖν τὴν ἀρχὴν κατ' ἰνίου τάσσουσι κακεῖθεν τὰς ἐπινεμήσεις ἄγοντες συντελοῦσι τὰς ἐπιδέσεις οὐδέν τι ἐστοχασμένοι τοῦ πάθους δι' ὃ ἐπιδέουσι εἴτε ἁρμοζόντως αὐτὸ τοῦτο πράττουσιν, εἴτε καὶ μή· καὶ ἐπὶ τῶν ἄλλων δὲ μερῶν ἀφωρίσαντό πως ἢ ὑπὸ ἀμαθίας ἢ ἀγνοίας, ὡς εἰκὸς τοῦτο πράττοντες. δεῖ γὰρ τὸν ὀρθῶς ἐπιδέοντα πειρᾶσθαι μὴ μόνον, ὡς φησιν Ἱπποκράτης, ἁρμόζον τὸ εἶδος τῷ εἴδει ποιεῖν, ἀλλὰ καὶ τῷ πάθει τοῦ ἐπιδεομένου. διὸ καὶ ἡμεῖς οὐχ ὅπη ἔτυχεν, ἀλλ' ὅπη δεῖ τάσσομεν τὰς ἀρχὰς καὶ τὰ πέρατα δὲ τῶν ἐπιδέσεων τιθέναι δεῖ, ὡς φησιν ὁ παλαιός. τὰ δὲ κινούμενα οἷον ἄρθρα, ὅπη μὲν ξυγκάμπτεται ὡς ἥκιστα καὶ εὐσταλέστατα περιβάλλειν, οἷον ἰγνύην, ὅπη δὲ

Cap. V. Rationi conſentaneum eſt prius inſpicere, an ut fors tulerit prima faſciarum injectio efficienda ſit et ea de re perquirendum eſt. Qui namque nos praeceſſerunt omnes quosdam corporis locos definierunt, in quibus capitum faſciae poſitura ſtabilienda eſt. Exempli gratia in capite cui quamcunque ob cauſam deligatio debetur faſciae caput ſupra occipitium collocant, ac inde diſtributionem ducentes deligationem conficiunt, ſpectato nequaquam affectu ob quem faſciam admovent, an congruenter, nec ne, ipſam operationem moliantur. In ceteris quoque partibus aut imperitia aut ignoratione ut creditur hoc opus obeuntes ſedes quodammodo circumſcripſerunt. Oportet enim recte devincientem operam dare, quo non ſolum Hippocratis edicto ſpeciei ſpeciem, verum etiam partis devinciendae morbo congruentem deligationem moliatur. Nos itaque non quo fors tulerit, ſed ubi deceat faſciarum capita collocamus; extrema vero prout ſenex imperat imponenda ſunt. Quae moventur ut articuli, qua inflectun-

Ed. Chart. XII. [473. 474.]
περιτείνεται ἁπλᾶ τε καὶ πλατέα, οἷον ἡ μύλη. προσπεριβάλλειν δὲ καταλήψιος μὲν τῶν περὶ ταῦτα εἵνεκα. ἀναλήψιος δὲ τοῦ ξύμπαντος ἐπιδέσμου ἐν τοῖσιν ἀτρεμέουσι καὶ λαπαρωτέροισι τοῦ σώματος, οἷον τὸ ἄνω καὶ τὸ κάτω τοῦ γόνατος. ὁμολογέει δὲ ὤμου μὲν ἡ περὶ τὴν ἑτέραν μασχάλην περιβολή, βουβῶνος δὲ ἡ περὶ τὸν ἕτερον κενεῶνα καὶ κνήμης ἡ ὑπὲρ τὴν γαστροκνημίην. ὁκόσοισι μὲν ἄνω ἡ φυγὴ κάτωθεν ἡ ἀντίληψις, οἷσι δὲ κάτω τὸ ἐναντίον, οἷσι δὲ μή ἐστιν, οἷον ἡ κεφαλή, τουτέων ἐν τῷ ὁμαλωτάτῳ τὰς καταλήψιας ποιέεσθαι [474] καὶ ἥκιστα λοξῷ τῷ ἐπιδέσμῳ χρέεσθαι, ὡς τὸ μονιμώτατον ὕστατον περιβληθὲν τὰ πλανωδέστατα κατέχειν ἐπιδεῖν εὖ προσήκει στοχαζόμενον καὶ τῶν κατὰ τὴν ἐνέργειαν ἀριθμῶν. δύο γὰρ ὄντων ἐνεργειῶν εἰδέων, ὥς φησιν Ἱπποκράτης· μιᾶς μὲν καθ' ἣν συντελοῦμεν, ἑτέρας δὲ καθ' ἣν συντελεύσαμεν, ἐν ἀμφοτέροις φροντίδα πεποιεῖσθαι δεῖ τοῦ ἐν μὲν τῷ ἐπιδεῖν ἐργάζεσθαι

tur quam minimis ac maxime contractis faſciis, veluti poples; qua vero extenduntur, tum ſimplicibus et expaſſis, tum latis, veluti rotula, obvolvenda ſunt. Obvolvere inſuper oportet comprehenſionis rerum his incumbentium gratia ſuſpenſionis quoque univerſae faſciae in conquieſcentibus ac ſubſidentioribus corporis partibus, qualis regio tum ſupra, tum infra genu poſita eſt. At idonea eſt capitis quidem humeri ad alteram axillam, inguinis vero ad alterum ilium et tibiae ſupra ſuram faſciae circumductio. Quibuscunque ſurſum quidem faſciae fuga ſit, inferne ſit ſuſpenſio; quibus deorſum, verſa vice. At quibus non datur ut in capite, in his quam maxime aequali parte comprehenſiones faciendae ſunt, minimeque obliqua faſcia utendum, quo ſtabiliſſime poſtremo obvoluta erroneos circuitus contineat. Eum quoque appoſite deligare decet qui ad operationum numeros reſpicit. Quum enim operationum duae ſint ſpecies, ut pronunciat Hippocrates: una quidem qua deligationem perficimus, altera vero qua perfecimus. In utraque cura ſuſpicienda eſt, ut in deligatione obeunda cito, citra dolorem, prompte et

Ed. Chart. XII. [474.]
ταχέως, ἀπόνως, εὐπόρως, εὐρύθμως. ταχέως μὲν σκοπὸν ἔχοντα ἀνύειν τὰ ἔργα, ἀπόνως δὲ ῥηϊδίως δρᾶν, εὐπόρως δὲ ἐς πᾶν ἑτοίμως, εὐρύθμως δὲ δρᾶσθαι ἡδέως. ἐπιδεδεκότα δὲ ἔχειν πάσας τὰς ἔμπροσθεν εἰρημένας ἀρετὰς ἀγαθῶς καὶ καλῶς καὶ τὰ λοιπά.

Κεφ. στ'. Περὶ δὲ εὐχρησίας τῶν ἐπιδιομένων τάδε χρὴ εἰδέναι· ὡς τῶν ἐπιδέσεων αἱ μὲν ἰωμένοις τισὶν ὑπηρετοῦσι συνοχῆς χάριν παραλαμβανόμεναι, αἱ δὲ οὐκ εἰς τοῦτο, εἰς δὲ τὸ αὐτουργῆσαι παραλαμβάνονται, αὗται τὴν ἴασιν πεπιστευμέναι, ἐφ' ὧν μάλιστα ἠκριβωκέναι δεῖ, ὅπη ποτὲ τακτέον τὴν ἀρχὴν καὶ ὅθεν τὰς ἐπινεμήσεις ποιητέον, καί που τελευτητέον· ὧν ἕκαστα διὰ γραφῆς μὲν τἀκριβὲς παραδοῦναι οὐχ οἷόν τε. ἀφορμὰς δὲ παρασχεῖν, δι' ὧν εὖ ἐπιλόγιστος ἐν τοῖς ἐπὶ μέρους ἔσται ὁ ἰατρὸς ἐπιστάμενος φύσιν τε ἑκάστου τῶν μερῶν ὡς ἔχει εὐφόρως πρός τε ἐπίδεσιν καὶ ἀνάληψιν καὶ ὕθεσιν. ἐπιστάμενος δὲ καὶ τι δύναται ἐπίδεσις δύναται τοίνυν ἐπίδεσις τὰ μὲν ἀφεστῶτα

concinne operemur. Cito quidem habita operum peragendorum ratione, citra dolorem quo ipſa facile praeſtemus, prompte in omnibus parate, concinne ut adſpectum oblectent. Quae vero deligationem peregerunt, omnes ſuperiores virtutes enarratas ſortiuntur, recte, decore et ceteras.

Cap. VI. De faſciarum devincientium uſu haec noſſe oportet. Deligationum alias quibusdam topicis medentibus ſubſervire continendi gratia ſuſceptas; alias non ad hoc, ſed ad operationem per ſe obeundam uſurpatas, in quibus accuratiſſime didiciſſe oportet, ubi partium faſciationis exordium ſtatuendum ſit, qua diſtributiones ducendae et quo finis ferendus. Quae ſingula deſcriptione quidem plane tradi nequeunt, ſubſidia tamen praeſtare poſſunt, quibus qui medicus in particularibus verſatus erit, facile ratiocinatione colliget, ſe tum ſingularum partium naturam prout deligationi, ſuſpenſioni et poſiturae ferendae ſit idonea, tum etiam quid valeat deligatio noſſe. At

Ed. Chart. XII. [474.]

προστεῖλαι, τὰ δὲ ἐκτετραμμένα συστεῖλαι, τὰ δὲ διεστραμμένα διορθῶσαι καὶ τὰ ἐναντία πάντων χρῆσθαι, ἐπιδεῖν δὲ μὲν ἀφεστῶτα, ὥσιε τὰ μετέωρα. δεῖ δὲ τῆς ἕδρας ψαύειν, τοῦτ' ἔστι τῶν ἑδραίων ἀφ' ὧν ἀπέστη καὶ εἰ μετεωρισθῇ· μὴ πιέζειν δὲ καὶ μὴ ἧρχθαι μὲν ἐκ τοῦ ὑγιέος, τελευτῆσαι δ' εἰς τὸ ἕλκος ὡς τὸ μὲν ὑπεὸν ἐξάγηται, ὅπερ ἐστὶν ἐκθλίβηται, ἕτερον δὲ μὴ ἐπισυλλέγηται· ἐφ' ὧν δ' ἂν ἀποστήσασθαι βουληθῶμεν πάντα τἀναντία χρὴ ποιεῖν τοῖς συναγομένοις, ἐφ' ὧν δὲ ἐκπεπετασμένα ὅπερ ἐστὶν ἐκτετραμμένα, ἐκ πολλοῦ δὲ βουλόμεθα συναγαγεῖν τὰ μὲν ἄλλα τὰ αὐτὰ ποιητέον. ἐκ πολλοῦ δέ τινος τὴν συναγωγὴν καὶ ἐκ προσαγωγῆς τὴν πίεσιν ποιεῖσθαι τὸ πρῶτον ἤκιστα, ἔξῆς ἔτι μᾶλλον ὅρον τοῦ μᾶλλον τοῦ συμψαύειν καὶ ἡρμόσθαι, μὴ ἐρηρεῖσθαι δέ. ὑφ' ὧν δὲ δεῖ συνηγμένα διαστῆσαι ἐν φλεγμονῇ ἐλήνεειν, ἄνευ δὲ φλεγμονῆς παρασκευῇ μὲν τῇ αὐτῇ, ἐπιδέσει δὲ ἐναντίῃ διεστραμμένα διορ-

potest deligatio eas quae abscessérunt partes conjungere, eversas coërcere, distortas dirigere atque omnibus contraria praestare. At eas quae abscessérunt partes ita devincire oportet, ut sublimia sedem, hoc est stabilem unde abscessérunt locum contingant, etsi multum sublata sunt, non tamen premant. A sana vero ac integra parte deligatio ordienda est et ad ulcus finienda, ut quod subest educatur, hoc est excludatur, neque alterum colligatur. Quibus autem in partibus abscessus et materiam colligi voluerimus, his in unum cogendis omnia contraria efficienda sunt. Quibus autem extensas, quod est eversas partes e longinquo in unum adducere volumus, cetera eodem modo facienda. E longinquo vero quodam coactio et ex accessu compressio primum minima, deinde major facienda. Majoris terminus sit partium contactus et peracta conjunctio, non tamen fulcimentum. Quibus autem conjuncta diducenda sunt, in inflammatione supersedenda est deligatio citra inflammationem eodem apparatu, sed contraria deligatione utendum; distorta dirigenda sunt et ejus-

Ed. Chart. XII. [474. 475.]

θῶσαι τὰ μὲν ἄλλα ταῦτα. δεῖ δὲ τὰ μὲν ἀπελθόντα ἐπάγειν, τὰ δὲ ἐναντία ἐναντίως· ἅπαντα δὲ ταῦτα ὥσπερ νόμους ἐπιστάμενόν τε καὶ διαφυλάττοντα ἑκάστῳ πάθει τὸ κατάλληλον αὐτῶν αἱρεῖσθαι, μὴ προσέχοντα εἰς τόπους τινάς. ἡμεῖς ἀφορίζομεν τὰ νῦν ἐπιδείοντες, ἀφ' ὧν δεῖ τῆς ἐπινεμήσεως ἄρχεσθαι· διὰ γραφῆς γὰρ καθ' ἓν ἐξηργασμένον [475] οὐ ῥᾳδίως ἦν εἰπεῖν· εὐδήλου δὲ διδασκαλίας χάριν ἡμεῖς ἐν τῇ παραδόσει τῶν ἐπιδέσμων τόπους ἀφορίζομεν, ἀφ' ὧν ἄρχεσθαι δεῖ, αὐτῶν δ' ἐπὶ τῶν ἔργων τὸ κατάλληλον αἱρεῖσθαι προσήκει.

Κεφ. ζ'. Σύμμετρον ῥάκος λαβόντες ἐπισχίζομεν εἰς σκέλη ἔξ τὸ μέσον συνεχὲς ἐῶντες, ὃ καὶ ἐπιβάλλομεν τῇ κορυφῇ, τῶν δὲ σκελῶν καὶ τῶν παρειμένων λαβόμενοι τῶν μέσων ἐπιῤῥήγνυμεν τὸ κατὰ τὴν ἕξιν τῶν ὤτων μέρος ὑπό τε τῷ ἀνθερεῶνι προσθέντες τὰς ἀρχὰς ἀμματίζομεν. ἑτέρου δὲ στενοῦ τελαμῶνος τὸ μέσον τῷ ἰνίῳ προσθέντες καὶ τὰ ἄκρα παράγοντες τοῦ μετώπου ἐκ πλαγίων τῆς κε-

modi cetera. Quae receſſerunt adducenda ſunt, contraria vero contra. Haec omnia medicum tanquam legum tum peritum, tum aſſertorem decet pro ſingulis affectibus idoneam ipſis deligationem eligere, minimeque ad certos locos conſilium dirigere. Nos autem nunc partium deligationem obeuntes, a quibus faſciae diſtributio ordienda ſit definimus. Quod enim in unaquaque operatione factum eſt, id deſcriptione prodere facile non fuit. Nos tamen dilucidae doctrinae gratia in faſciarum tractatu locos ſtatuemus, a quibus deligationem ordiri deceat et quod ipſis operationibus obeundis conſentaneum eſt eligi conveniat.

Cap. VII. Commenſum linteum acceptum in crura ſex proſcindimus, medium integrum ac continuum ſinentes, quod vertici injicimus. Atque e cruribus demiſſis media aſſumimus, partem ad aurium aequabilitatem findimus et mento appoſita capita nectimus. Alterius vero anguſtae faſciolae medium occipiti admoventes et ad frontis ſumma adducentes a capitis lateribus nodo vincimus.

Ed. Chart. XII. [475.]

φαλῆς ἀμματίζομεν· οὕτω τε τὰς λειπομένας τέσσαρας ἀρχὰς ἄγοντες ἐφάπτομεν τὰς μὲν ὀπισθίους πλησίον τοῦ κατὰ τὸν στενὸν τελαμῶνα ἄμματος, τὰς δὲ ἐμπροσθίους παρὰ τὸ ἰνίον. δυνατὸν δὲ καὶ χωρὶς ἀμμάτων τὰς μὲν ὑποβάλλειν, τὰς δὲ ἐμβάλλειν τὴν ὑστάτην ἀγκτηρίζοντα.

Κεφ. η'. Διαιροῦμεν τὸ ῥάκος εἰς σκέλη τέσσαρα τὸ μέσον συνεχὲς ἐῶντες, ὃ καὶ ἐπιβάλλομεν τῷ μετώπῳ, τὰς ἀρχὰς δὲ τὰς ἐμπροσθίους ἀπάγομεν ἐπὶ ἰνίον κατὰ τῶν ὀπισθίων ἀρχῶν κατὰ τῶν παρειμένων κἀκεῖ ἀμματίζομεν, ἐπὶ τὰς ἑτέρας δύο ἀρχὰς ἀνακλάσαντες ἄγομεν ἐπὶ κορυφὴν, ὑπ' αὐτὴν δὲ ἀμματίζομεν. δυνατὸν δὲ τὰς ἐπὶ κορυφῆς ἀγομένας ὑπὸ τὸ γένειον ἀγαγόντας ἀμματίζειν, τούτῳ καὶ ἐπὶ ἰνίῳ χρώμεθα τὰς ἀρχὰς ἐκ πλαγίων τῆς κεφαλῆς ἀμματίζοντες.

Κεφ. θ'. Διελόντες τὸ ῥάκος εἰς σκέλη ὀκτὼ τοῦ μέσου ἀσχίστου καταλειπομένου μεγέθει ὡς ὅλην τὴν κεφαλὴν σκεπάσαι ἐπιβάλλοντες ὕλῃ τῇ κεφαλῇ καὶ τῶν σκελῶν πορειμένων δύο ἄγομεν ἐπὶ τὸν ἀνθερεῶνα διελόντες αὐτῶν

Sicque reliqua quatuor capita ducentes poſteriora quidem prope anguſtae faſciolae nodum, anteriora vero ſupra occiput colligamus. Poſſumus etiam abſque nodis, aliis quidem ſuppoſitis, aliis vero incumbentibus poſtremo fibulas imponere.

Cap. VIII. Linteum in quatuor crura dividimus medio continuo relicto, quod etiam fronti apponimus. Capita vero anteriora poſterioribus capitibus demiſſis ad occiput deducimus, ibique nodo ligamus, deinde alia duo capita ſurſum converſa ad verticem ducimus, ad quem ligamus. At quae ad verticem feruntur, ea ſub mentum adducta connectere poſſumus. Hoc ſchiſto ad occiput quoque utimur capitibus a capitis lateribus nexu revictis.

Cap. IX. Linteum octo in crura diviſum medio minime ſciſſo relicto, quo caput univerſum tegat amplitudine toti capiti obvolventes, tum e cruribus demiſſis ad mentum duo adducimus eorumque ſciſſa ſecundum au-

Ed. Chart. XII. [475. 476.]

τὴν κατὰ τὰ ὦτα συνέχειαν κἀκεῖ ἀμματίζομεν. λοιπῶν δὲ ὄντων τεσσάρων ὄπισθεν, δύο δ' ἔμπροσθεν τὰ ὕστατα τῶν ὄπισθεν ὑπὲρ τὰ ἄλλα ἀνάγομεν ἐπὶ τὸ μέτωπον, καὶ τὸ μὲν ἐπὶ πέρας ὑποστέλλομεν, τὸ δὲ δὴ ἕτερον ἐπιβάλλομεν εἰς κατάληψιν τοῦ ὑποκειμένου· ἔπειτα οὕτω τὰ ἐμπρόσθια σκέλη ἄγομεν ἐπὶ τὸ ἰνίον. ὁμοίως τὰς δὲ πρώτας ἀρχὰς ταῦτα καταλαβόμενοι τούτων τε τὴν ἑτέραν ὑποστέλλοντες εἰς ἑτέραν καὶ τὰς ἄλλας δὲ δύο τὰς ὀπισθίας ἄγομεν ἐπὶ τὸ μέτωπον· ἣν μὲν ὑποστέλλοντες, ἣν δὲ ἐπάγοντες, ἣν δὲ τελευταίαν οὖσαν καὶ τὰ πλάγια τῆς κεφαλῆς ἀγκτηριζόμενοι· τῷ χωρὶς ἀμμάτων τὴν κεφαλὴν ἐπιδεομένῳ σχιστῷ φυλασσόμενοι τὴν ἐκ τῶν ἀμμάτων θλῖψιν.

[476] Κεφ. ι'. Ἡ μεσότης τῆς καθ' ὅλης κεφαλῆς τῶν ἀρχῶν· αἱ μὲν τέσσαρες κατὰ μετώπου ὑπ' εὐθείας κρεμάσθωσαν, αἱ δὲ ἄλλαι τέσσαρες κατὰ ἰνίου. τῶν δὲ κατὰ μετώπου δύο αἱ ἔξωθεν σχισθεῖσαι ἐπὶ ἰνίον ἀπαγέσθωσαν, κἀκεῖ ἀμματιζέσθωσαν καὶ ἀπὸ ἰνίου δὲ αὖται ταῖς κατὰ τοῦ μετώπου ἀγέσθωσαν καὶ παρὰ μέρος ἀμματιζέ-

res continuitate, illic nexu ligamus. Quum autem reliqua crura poſteriora quatuor ſint, duo anteriora, poſteriorum ultima ſuper alia frontem verſus adducimus: alterum quidem ad extremum ſubjicimus, alterum vero ad ſubjecti comprehenſionem injicimus. Jam vero eodem modo anteriora crura ad occiput ducimus. Simili quoque ratione prima capita eodem in loco deligamus eorumque alterum ad alterum contrahimus; alia vero duo poſteriora ad frontem adducimus, hoc quidem ſubjicimus, illud vero attollimus; iſtud denique poſtremum ad capitis latera fibula deligamus. Hoc ſchiſto citra nodos caput devinciente, eam quae nodis fit adſtrictionem vitamus.

Cap. X. Meditullium faſciae univerſum caput operiat interpoſitum capitibus, quorum quatuor quidem a fronte recta propendeant; alia vero quatuor ab occipite. Quae a fronte propendent, eorum duo interiora ſciſſa ad occiput deferantur illicque nectantur. Quae vero ab occipite cum pendulis ad frontem adducantur, ac prope par-

Ed. Chart. XII. [476.]

σθωσαν· εἶτα ἑξῆς αἱ λοιπαὶ δύο κατὰ τοῦ μετώπου σχισθεῖσαι ἐπὶ ἰνίον ἀγέσθωσαν, αἱ δὲ ἀπὸ ἰνίου ἐπὶ μετώπου.

Κεφ. ια'. Ἁρμόζει μὲν ἐφ' ὧν ὅλην κεφαλὴν σκεπάσαι θέλομεν παρασκεπάστρα ἐκλήθη. ὁ δὲ κάτοχός ἐστι ταινία ὑπερμήκης ὑπὲρ τὴν σκεπάστραν κατὰ μῆκος κύκλῳ τῷ προσώπῳ καὶ τῇ κεφαλῇ περιτιθεμένη εἰς τὴν κατάληψιν τῆς σκεπάστρας, ὁ δὲ καθολκεὺς ἐκ ταινίας γίνεται ἐπιμήκους. παραλαμβάνεται δὲ χάριν τοῦ καθιλκεῖν τὸν ἐπίδεσμον εἰς τὸ μὴ ἀπολισθαίνειν, ἐπιτελεῖται δ' οὕτω. ῥάκος λαμβανέσθω πλάτει μὲν τηλικοῦτον, ὥσιε σκέπειν ὅλην τὴν κεφαλὴν, μήκει δὲ ὡς πλεῖστον ἢ διπλοῦν δύνασθαι τοῦτο ποιῆσαι. τούτου ἡ μὲν ἑτέρα ἀρχὴ κατ' ἰνίου τασσέσθω, ἡ δὲ ἑτέρα κατὰ προσώπου παρείσθω, στενοῦ τε δὲ τελαμῶνος ἡ μεσότης ὑπὸ τὸ γένειον τασσέσθω, αἱ δὲ ἀρχαὶ κατὰ παρειῶν καὶ κατὰ βρέγματος ἀγέσθωσαν ὅπου κεχιέσθαι ἐπὶ γόνει ἐπαγέσθωσαν. ἑτέρου δὲ στενοῦ τελαμῶνος ἡ μεσότης κατὰ μετώπου, αἱ δὲ ἀρχαὶ κυκλοτερῶς

tem nectantur. Eadem ſerie reliqua duo ſciſſa a fronte pendula ad occiput, quae denique ab occipite ad frontem deducantur.

Cap. XI. Quae faſcia congruit quibus univerſum caput tegere volumus paraſcepaſtra vocata eſt, catochos vero praelonga faſcia eſt, quae ſupra ſcepaſtram ſecundum longitudinem in orbem fronti et capiti ad ſcepaſtrae comprehenſionem obvolvitur. Catholceus vero ex faſcia ſit oblonga. Suſcipitur autem faſciae deorſum contrahendae gratia, ne elabatur; ita vero perficitur. Linteum ſumatur, latitudine tam amplum ut univerſum tegat caput, longitudine vero duplo ampliſſimum, ut id efficere queat. Hujus faſciae caput quidem alterum ſuper occipitium locetur, alterum vero a facie demittatur, tum anguſtae faſciae medium ſub mentum injiciatur; capita vero per genas ac per ſinciput ducantur. Quae ubi chiaſmum fecerint, ad mentum adducantur. Alterius autem anguſtae faſciae medium prope frontem, ſed capita in orbem ad

Ed. Chart. XII. [476. 477.]

ἐπὶ ἰνίον, ἐνταῦθά τε πρὸς ἑαυτὰς καὶ πρὸς τὰς τοῦ καθολκέως ἀρχὰς ἀμματιζέσθωσαν. τὸ δὲ κατὰ προσώπου παρειμένον εἰς δύο σκέλη ἐπ' εὐθείας διαιρείσθω μέχρι μεσοφρύου καὶ ἰσχιασθέντα κατὰ μετώπου κυκλοτερῶς ἐπὶ ἰνίον ἀπαγέσθω κἀκεῖ ἀμματιζέσθω. δυνατὸν δὲ καὶ τὸν κατοχὸν καὶ τὸν κάθολκον ἐξ ἑνὸς ποιῆσαι ταινιδίου ἐπιμηκεστέρου τὸν τρόπον τοῦτον. μεσόιης κατὰ βρέγματος, αἱ δ' ἀρχαὶ ἐπ' εὐθείας κατὰ παρειῶν ὑπὸ γένειον· εἶτα ὑπὸ λοβοὺς ὤτων ἐπὶ ἰνίον. κἀκεῖ χιαζέσθωσαν ἀπὸ ἰνίου ἐπὶ μέτωπον, τὸ δὲ ἄμμα ἐκ πλαγίων τῆς κεφαλῆς. ἁπλοῖ ἐπίδεσμοι.

Κεφ. ιβ'. Οὕτως λοιπὸν δ' ἂν εἴη καὶ περὶ τῶν ποικίλων εἰπεῖν, πρότερον ἐμφανίσαντα ὡς τῶν ἐπινεμήσεων ἡ μέν τις λέγεται εὐθεῖα, ἡ δὲ πλαγία, ἡ δὲ λοξὴ, ὡς τὰ ὀνόματα σημαίνει· ἄλλη δὲ στεφανιαία, ἡ δὲ μετωπιαία, ἡ δὲ παρείας, ἡ δὲ γενειὰς, ἡ δὲ εὔκυκλος, ἡ δὲ κυκλικὴ ἐπίδεσις, ἄλλη δὲ σκέπαρνος. στεφανιαία μὲν οὖν ἐστιν ἡ κατὰ τοῦ βρέγμα- [477] τος ἀγομένη ὁμοίως τοῖς στέφεσι,

occiput volvantur illicque inter ſe et cum catholceos capitibus annectantur. A facie vero pendulum in duo crura aduſque interciſium directe dividatur, quae decuſſata a fronte in orbem ad occiput ferantur illicque nectantur. Poſſunt autem et catochos et catholceus ex una faſciola oblongiori hoc modo conſtitui. Medio ſincipiti admoto capita recta per malas ſub mentum, deinde ſub aurium libras ad occiput ferantur, illicque ab occipite ad frontem decuſſentur atque a capitis latere nodo nectentur. Hactenus ſimplices faſciae.

Cap. XII. Reliquum autem fuerit de variis quoque ſive multiplicibus faſciis diſſerere, ſi prius diſtributionum aliam rectam, aliam transverſam et aliam obliquam nominari declaraverimus, quales ipſa nomina ſignificat; alia coronaria, alia frontalis, alia maxillaris, alia mentina, alia rotunda, alia circularis deligatio, alia denique aſcia. Coronaria quidem eſt quae coronarum inſtar ſuper ſinci-

Ed. Chart. XII. [477.]

μετωπιαία δὲ ἡ ἐπὶ τοῦ μετώπου κατακυκλουμένη, γενειὰς δὲ ἡ κατὰ γενείου. ὁμοίως δὲ καὶ παρειὰς ἀπὸ τοῦ μέρους, σκέπαρνος δὲ ἥτις καθ' ἓν μέρος κοίλη ἐστὶν ὑπό τι μονοειδὲς οὖσα. κατὰ δὲ τὸ ἕτερον περίκυρτος. τῶν οὖν καταβαλῶν ταῦτα τὰ ὀνόματα.

Κεφ. ιγ'. Αὕτη ἡ ἐπίδεσις ἁρμόζει κατὰ μέν τινας ἐπὶ τῶν κατὰ τὰς ῥοφὰς διαστάσεων, κατὰ δέ τινας ἐφ' ὧν τραύματος ὄντος τὰ παρακείμενα ἀφέστηκεν εἰς τὴν ἐκείνων μὲν κόλλησιν, τῶν δὲ ὑγρῶν διὰ τὸ ἐστεγνῶσθαι τὸ ἕλκος ἔκκρισιν. συντελεῖται δὲ οὕτως· ἡ τοῦ τελαμῶνος ἀρχὴ διάκειται ἐκ πλαγίων τῆς κεφαλῆς, εἶτα ἄγεται λοξὴ ἐπὶ κορυφὴν καὶ τὸν ἕνα κροταφόν. ἐκεῖθεν δὲ παρειὰς συντελεῖται· καὶ ἑτέρα παρειὰς λοξῇ τῇ πρώτῃ ἀντικειμένη ὡς χίασμα γίγνεσθαι ἐπὶ ἰνίον, ἀπὸ ἰνίου λοξὴ, διεστῶσα τῶν πρώτων· εἶτα παρειάδες δύο καὶ πάλιν λοξὴ, ἵνα γένηται ῥόμβος ἐν μέσῳ, ποιοῦνται, εἶτα μετωπιαῖαι ἐπινομαὶ κατὰ τῶν αὐτῶν πρὸς τὴν τῶν γυμνῶν σκέπην.

put defertur. Frontalis vero quae frontem circumcludit. Mentina quae ſuper mentum injicitur. Atque ſimiliter maxillaris a parte gena cui imponitur nominata. Aſcia demum quae una quidem parte concava ut luna falcata, altera vero convexa exiſtit. Haec ſunt itaque circuituum faſciarumve diſtrubuendarum vocabula.

Cap. XIII. Haec deligatio nonnullorum quidem judicio ſuturarum diductionibus congruit; quorundam vero ſententia quibus vulnere accepto accumbentes partes abſceſſerunt ad ipſarum conglutinationem et ad humorum quod ulcus comprimatur excretionem. Sic autem conficitur. Faſciae caput a capitis latere conſtituitur, deinde faſcia obliqua ad verticem ac temporum alterum ducitur. Inde vero genia conſtruitur, obliqua altera genia primae oppoſita eſt, ut decuſſis ad occiput fiat. Ab occipite obliqua a primis circuitibus diſtans, deinde pareiades rurſumque obliqua, quo ſtruatur rhombus in medio formantur. Poſtea frontales circuitus prope ipſa ad nudarum partium operimentum ac tutelam injiciuntur.

Ed. Chart. XII. [477.]

Κεφ. ιδ'. Ἁρμόζει μὲν καὶ ἐφ' ὧν ὁ θόλος. συντελεῖται δὲ οὕτως· ἡ τοῦ τελαμῶνος ἀρχὴ τάσσεται ὑπὸ ἰνίον, εἶτα ἄγεται τὸ σπείραμα ὑπὸ λοβὸν ὠτὸς, εἶτ' ἐπὶ βρέγμα λοξὴ καὶ ἐπὶ ἰνίον. ἀπὸ ἰνίου λοξὴ ἐπὶ βρέγμα ἀντικειμένη τῇ πρώτῃ, εἶθ' ὑπὸ λοβὸν ὠτὸς, εἶτ' ἐπ' ἰνίον ἐκεῖθέν τε μετωπιαία συντελεῖται· ὥστε τὸ μέσον ἡμιῤῥομβιαῖον εἶναι. τὸ δὲ πέρας καὶ ἐν ταύτῃ καὶ ἐν ἁπάσαις ταῖς ἐπιδέσεσι κατὰ τὰ πλάγια τῆς κεφαλῆς ἀγκτῆρσι συνέχεσθαι ὀφείλει. ἔνεστι δὲ ἀπὸ τῆς πρώτης τὰς ἐπινεμήσεις μὴ κάτωθεν ἄνω, ἄλλα τοὐναντίον ποιεῖσθαι ἅνπερ ἁρμόζει.

Κεφ. ιε'. Ἁρμόζει μὲν ἐφ' ὧν κορυφὴν καὶ βρέγμα συνεπιδῆσαι θέλομεν. συντελεῖται δ' οὕτω· τάξαντες κατ' ἰνίου ἄγομεν τὸ σπείραμα εὐθυτενεῖ κατὰ κορυφῆς ἐπὶ τὸ μέτωπον, ἐνταῦθά τε παριστάντες τῷ λιχανῷ τῆς ἀριστερᾶς χειρὸς ἡμῶν δακτύλῳ. ἀπάγομεν πάλιν ἐπὶ ἰνίον τῷ πρώτῳ παράλληλον ἀπὸ ἰνίου τε τρίτῳ ἐπὶ μέτωπον ἄγομεν παράλληλον. ὅτε καὶ παρειλήσαντες τὴν ταινίαν τὴν ὑπὸ δακτύλου διακραιουμένην μετωπιαίαν συντελοῦμεν.

Cap. XIV. Semirhombus quibus et tholus idoneus eſt. Ita vero conficitur. Caput faſciae ſub occiput injicitur. Deinde ſpina ſubter auris fibram, mox ad ſinciput obliqua et ad occiput ducitur. Ab occipite obliqua ad ſinciput primae oppoſita mox in oris fibram, tum ad occiput, indeque frontalis conficitur, quo medium ſemirhombus ſit. Extremum vero tum in hac, tum in ceteris deligationibus ad capitis latera fibulis contineri debet. Licet autem a prima diſtributiones non inferne ſurſum, ſed contrario modo efficere.

Cap. XV. Quadrat quidem quibus verticem et ſinciput ſimul devincire volumus. Sic autem conſtruitur. Impoſita ſuper occiput faſcia ſpiram recta per verticem ad frontem ducimus, illique ſiniſtrae manus noſtro indice digito ſiſtimus, rurſum ad occiput ſpiram primae paralellam reducimus et ab occipite tertiam ad frontem paralellam deducimus, quo tempore faſciam obvolutam quae a digito retinetur frontalem conficimus.

Ed. Chart. XII. [478.]

[478] *Κεφ. ισ'. Εὐθετεῖ μὲν ἐφ' ὧν καὶ ὁ θόλος. ἔχει δέ τινα μετὰ τῆς εὐχρηστίας καὶ εὐμορφίαν. ἐπὶ συντελουμένῳ τῷ θόλῳ στενοῦ τελαμῶνος τὴν ἀρχὴν καὶ τάξαι δεῖ ὑπὸ ταῖς ἐπινεμήσεσι ταῖς κατ' ἰνίου, ἐκεῖθέν τε λοξὴν ἄγειν κορυφὴν ἐπὶ βρέγμα. μέτωπον ὑπειλήσεται τοῖς κατὰ μέτωπον τῆς πρώτης ταινίας ἀγκύλην, εἶτα ἄγειν λοξὴν ἐπὶ βρέγμα, κορυφὴν, ἰνίον. ἀπὸ ἰνίου ἐπὶ λοβὸν ὠτὸς δεξιοῦ καὶ ἐπὶ βρέγμα καὶ ἐπὶ τὸν ἀριστερὸν τοῦ ὠτὸς λοβὸν καὶ ἐπὶ ἰνίον. ταύτῃ τῇ ἐπιδέσει εἰς ἀσφάλειαν μετωπιαίαν ἡμεῖς προσαποδίδομεν.*

Κεφ. ιζ'. Ἐπὶ συντετελεσμένῳ τῷ θόλῳ δακτυλιαίου τελαμῶνος ἢ ἔτι στενοτέρου τὴν ἀρχὴν τάξαντες ἐπὶ ἰνίον ἄγομεν τὸ σπείραμα εὐθυτενεῖ ἐπὶ κορυφὴν καὶ βρέγμα μέσον καὶ μέτωπον πτύξαντές τε κατὰ μετώπου ἀνάγομεν πάλιν κατὰ τῆς αὐτῆς ἐπὶ ἰνίον. ἀπὸ ἰνίου παραλλάξαντες ἐπὶ τὸ δεξιὸν μέρος τε κεφαλῆς ἄγομεν παρὰ κορυφὴν ἐπὶ βρέγμα καὶ ἀριστερὸν κρόταφον, διπλώσαντές τε τὴν ταινίαν ἐπὶ τοῦ κροτάφου ἄγομεν τὸ σπείραμα κατὰ τῆς

Cap. XVI. Congruit quibus et camera. Verum quandam cum decenti uſu praecellentem habet formam. Supra conſtructam cameram anguſtae faſciae caput ſub occipitis circuitibus collocandum eſt, indeque obliquum per verticem ad ſinciput ducendum. Frons circuitibus primae faſciae fibula ad frontem poſitis involvetur, deinde obliqua ſpira ad ſinciput, verticem et occiput ferenda. Ab occipite ad auris dextrae fibram et ſinciput et ad ſiniſtram auris fibram et occiput deducenda. Nos autem huic deligationi frontalem faſciam ad ſecuritatem adjicimus.

Cap. XVII. Conſtructa camera, digitalis faſciolae aut etiamnum anguſtioris capite ad occiput locato circumvolutionem directo ad verticem, medium ſinciput et frontem ducimus, quam complicatam ſupra frontem, rurſum ſuper eandem ad occiput reducimus. Atque ab occipite ad dextram capitis partem reflectentes ſupra verticem in ſinciput et ſiniſtra tempora ducimus. Duplicata etiam faſcia in ſiniſtris temporibus ſpiram ſuperinjectam obli-

Ed. Chart. XII. [478.]

προσεμβεβλημένης λοξῆς ἐπὶ τὸ δεξιὸν μέρος τῆς κεφαλῆς· ἐντεῦθεν δὲ ὁμοίως ἀνακλάσαντες πάλιν ἄγομεν ἐπὶ τὸν κρόταφον καὶ τοῦτο τρὶς ποιοῦμεν, ἵνα κατὰ τοῦ κροτάφου καθ' ὑπέρβασιν ἀνακεκλασμένα ἀγκύλια τρία ὄντα κικίνων ἰδέαν παρασχῇ. μετὰ δὲ τὸ ἐκ τρίτου ἔλθῃ ἐπὶ τὸ δεξιὸν μέρος τοῦ ἰνίου, παραλλάξαι δὲ ἐπὶ ἀριστερὸν, ἵνα καὶ κατὰ τοῦ ἑτέρου κροτάφου τὸ αὐτὸ γένηται, ἐπὶ πᾶσι δὲ μετωπιαίαν συντελοῦμεν εἰς συνοχὴν τῶν ἐπινεμήσεων.

Κεφ. ιή. Ἁρμόζει μὲν ἐφ' ὧν καὶ ὁ θόλος Γλαυκίου. συντελεῖται δὲ οὕτως· μέτριόν τι τῆς ταινίας μέρος ἐάσας κατὰ τοῦ προσώπου ἀγαγὼν τὸ σπείραμα ἐπὶ βρέγμα, ἐπὶ κορυφὴν, ἰνίον ἐκεῖ τε ὑπηρέτῃ κελεύσας διακρατῆσαι παραλλάξας τὸ σπείραμα μετωπιαίαν ἀποδώσῃ, ἔπειτα οὕτω τὴν κατὰ προσώπου παρειμένην ἀρχὴν κατὰ τῆς πρώτης ἐπαγαγὼν ἐπὶ βρέγμα κορυφὴν, ἰνίον καταλαβοῦ κατ' ἰνίου.

Κεφ. ιθ'. Ἁρμόζει μὲν ἐπὶ πάντων τῶν διὰ ῥευματισμὸν ὀμμάτων χρόνιον περιεσκυθισμένων πρὸς τὴν συναγωγὴν τῶν διῃρημένων καὶ ἄλλως ἔκ τινος αἰτίας ὑπὲρ τὸ

quam in dextram capitis partem ducimus. Indeque ſimiliter reflexam rurſum ad tempora ducimus, idque ter operamur, ut ſuper temporum alterum progreſſu reflexa ancylia tria conciunorum ideam prae ſe ferant. Quum autem ſpira tertio ad dextras occipitis partes appulerit, ad ſiniſtram convertenda eſt, quo ſuper temporum alterum idem fiat. Poſtremo ad omnes circuitus continendos frontalem deligationem conſtruimus.

Cap. XVIII. Congruit quibus et Glaucii camera. Ita vero conſtruitur. Parte quadam mediocri faſciae in faciem demiſſa ſpiram ad ſinciput, verticem et occiput ducito, ibique cum miniſtro ipſam continere imperaveris, converſa ſpira frontalem deligationem exprimes. Poſtea ſic a facie demiſſum caput per primam injectam per ſinciput ad verticem ac occiput reducito et ad occiput deligato.

Cap. XIX. Haec faſciatio omnibus oculis diuturno rheumatiſmo exulceratis, diductis partibus coaleſcendis et alias ob aliquam cauſam ſupra frontem vulnus ſubeunti-

Ed. Chart. XII. [478. 479.]

μέτωπον ἐχόντων τραῦμα. [479] ἐπιτελεῖται δὲ οὕτως· τὴν ἀρχὴν τοῦ ἐπιδέσμου τάξαντες κατ' ἰνίου ἄγομεν τὸ λοιπὸν ὑπὸ λοβὸν ὠτὸς ἤτοι δεξιοῦ ἢ τοῦ ἑτέρου, ἐφ' ὧν ἂν συμφέρειν κρίνωμεν πρῶτον ἐπινέμεσθαι. ἀπὸ δὲ τοῦ ὠτὸς ἐπὶ τὸν παρακείμενον κρόταφον πλαγίως ἐπὶ βρέγμα, εἶτα ἐπὶ τὸν ἕτερον κρόταφον ὑπὸ λοβὸν ὠτὸς, εἶτ' ἐπὶ ἰνίον· ἀπὸ ἰνίου, θλίψαντες τὴν προσεμβεβλημένην ἀρχὴν, τὴν ἐπινέμησιν ποιούμεθα ἐπὶ οὓς ἐπὶ μέτωπον, ὡς εἶναι κάτω πρῶτον τὴν τῆς πρώτης κατὰ τοῦ βρέγματος ἐπινέμησιν ἀμφοτέραν εἰς τὸ ἔνδον ἐναντίως ἀλλήλαις σεσημειωμένων, αἱ δὲ ἐπινομαὶ κατὰ τῶν αὐτῶν. ἐπιτελεῖται δὲ καὶ ἄλλος ἐκ δυοῖν στεφανιαίων, ἧς μὲν ὑπὸ τὴν διαίρεσιν νεμομένης, ἧς δὲ ὑπὲρ αὐτὴν σεσημειωμένης ἑκατέρας πρὸς τὸ ἔνδον. αἱ δὲ ἐπινομαὶ τῆς μὲν κάτω πρὸς τὸ ἄνω, τῆς δὲ ἄνω πρὸς τὴν κάτω.

Κεφ. κ'. Εὐθετεῖ μὲν ἐφ' ὧν βρέγμα καὶ τὰ παρακείμενα τούτῳ συνεπιδῆσαι θέλομεν, ἐπιτελεῖται δὲ οὕτως· ἐπὶ τῷ καλουμένῳ ἡμιῤῥόμβῳ γεγονότι χωρὶς τῆς μετωπιαίας

bus idonea eſt. Sic autem ſuſcipitur. Poſito faſciae ad occiput capite reſiduum ad auris vel dextrae vel ſiniſtrae fibram ducimus, cui regioni primum diſtribui circuitum judicemus. Ab aure vero ad propinqua tempora oblique ad ſinciput, deinde ad occiput, poſtea ad alia tempora ſub auris fibram, poſtremo ad occiput ſpiram ducimus. Ab occipitio adſtricto faſciae ſuperinjecto capite circuitum ſupra aurem ad frontem ſtruimus, quo prior primi circuitus a ſincipite procedentis inferior ſit ambitus, utrisque intro ſibi mutuo oppoſitis repandis prope ipſas circumvolutiones. Efficitur vero etiam alter ex duabus coronariis, altera quidem ſub circuitum, altera vero ſuper ipſum diſtribuendis, utrisque introrſum repandis evadentibus. Hi circuitus ita procedunt, uno quidem inferne ſurſum, altero vero ſuperne deorſum ducto.

Cap. XX. Concinna quidem eſt deligatio, quibus ſinciput et huic proximas partes ſimul devincire volumus. Sic autem perficitur. Structa quae ſemirhombus vocatur

Ed. Chart. XII. [479.]

ἀπὸ τοῦ ἰνίου ἄγομεν τὴν ἐπινομὴν παρὰ κορυφὴν λοξῶς ἐπὶ μέτωπον. κλάσαντες τὴν ταινίαν κατὰ τοῦ μετώπου μηνοειδῶς, ὥστε τὸ μὲν σιμὸν αὐτῆς νεύειν ἄνω, τὸ δὲ κυρτὸν ἐπὶ μεσόφρυον βλέπειν ἐπὶ τὰ ἀντικείμενα τῆς κορυφῆς καὶ ἐπὶ ἰνίον ἄγομεν καὶ οὕτω τὴν μετωπιαίαν προσδίδομεν. αὕτη ἡ ἐπίδεσις μετὰ τῆς εὐχρηστίας ἧς παρέχει ὁ λαγωός ἐστί πως εὐπρεπεστέρα.

Κεφ. κα'. Ἁρμόζει μὲν ἐφ' ὧν καὶ ἡ σπεγκρανίς. ἐστὶ δὲ πολὺ ἀσφαλεστέρα· μετὰ γὰρ τὴν σπεγκρανίδα ὁ λαγωὸς χωρὶς ὤτων ἐπιπλέκεται, ἵνα μὴ πολυλογῶμεν.

Κεφ. κβ'. Ἁρμόζει μὲν ἐφ' ὧν καὶ ἡ ἀδέσποτος Θαὶς, λέγω δὲ ἐπὶ βρέγματος καὶ τῶν πλησίον τόπων. συντελεῖται δὲ οὕτω· σύμμετρον μέρος ἐάσας τῆς ταινίας κατὰ προσώπου παρειμένον ἕλκε τὸ σπείραμα κατὰ βρέγματος ἐπ' εὐθείας ὡς ἐπὶ ἰνίον, ἐκεῖθεν δὲ παραλλάξας ἄγε ὑπὸ λοβὸν ὠτός. ἐπὶ βρέγμα καὶ λοξῶς ἐπὶ ἰνίον, ἀπὸ ἰνίου λοξῶς ἐπὶ τὰ ἀντικείμενα μέρη καὶ ἐπὶ βρέγμα κρόταφον

deligatione citra frontalem faſciam ab occipite praeter verticem oblique ad frontem circuitum ducimus, curvata prope frontem lunae falcatae modo faſcia ut concava pars ipſius ſurſum procumbat; connexa vero intercilium ſpectans ad oppoſitas verticis partes et ad occiput ſpiram ducimus, ſicque frontalem faſciam adjicimus. Haec deligatio praeter eam quam lepus exhibet utilitatem quodammodo praeclarior eſt.

Cap. XXI. Idonea eſt et quibus calvariae deligatio, ſed multo ſecurior. Peracta igitur calvariae deligatione lepus ſine auribus ſuperinjicitur implicaturque, ne copioſe loquar.

Cap. XXII. Haec deligatio quibus et ſine autore Thais idonea eſt. Dico vero ſincipiti ac vicinis ejus locis. Sic autem conficitur. Commenſam faſciae partem ſuper faciem demiſſam ſinito ſpiramque a ſincipite directo quaſi ad occiput trahito; inde vero deflectentem ſub auris fibram in ſinciput et oblique ad occiput ducito. Ab occipite oblique ad oppoſitas partes et ad ſinciput ac

Ed. Chart. XII. [479. 480.]
ὑπὸ λοβὸν ὠτὸς, εἶτ' ἐπ' ἰνίον· ἔπειτα τὴν κατὰ προσώπου παρειμένην ἀρχὴν ἀναγαγών. πτύσσε κατὰ μετώπου τρὶς καθ' ὑπέρβασιν, ὥστε βαθμηδὸν ἀλλήλαις ἐπικεῖσθαι καὶ οὕτως ἐπ' αὐτῶν κατ' αὐτὴν ἔπαγε τὴν μετωπιαίαν.

[480] *Κεφ. κγ'.* Ἁρμόζει μὲν ἐφ' ὧν καθ' ἕν μέρος ἐπιδῆσαι θέλομεν γέννν ἤτοι τραύματος χάριν ἢ ἐξαρθρήματος ἢ τοῦ κυνικοῦ καλουμένου σπασμοῦ ἤ τινος ἄλλου. ἀρχὴ κατ' ἰνίου λοξὴ ἐπὶ κορυφὴν καὶ βρέγμα κρόταφον παρειαίς· εἶθ' ὑπὸ γένειον καὶ λοβὸν ὠτὸς ἀντικειμένου ἐπὶ ἰνίον, ἀπὸ ἰνίου ἐπὶ γένειον λοβοὺς ὤτων, μετὰ δὲ τὴν γενειάδα ἐπὶ ἰνίον, αἱ δὲ ἐπινομαὶ κατὰ τῶν αὐτῶν. οὕτως ἄνπερ ἄνωθεν κάτω συμφέρῃ ἐπιδεῖν, συντελεῖται δὲ αὕτη καὶ κάτωθεν ἄνω οὕτως· ἀρχὴ ἐπὶ ἰνίον τὸ σπείραμα ὑπὸ λοβὸν ὠτὸς ὑπὸ γένειον· εἶτα παρειὰς, εἶτα λοξὴ ἐπὶ βρέγμα ἰνίον, εἶτα γενειὰς καὶ μετωπιαία.

tempora ſub auris fibram, deinde ad occiput. Poſtea demiſſum ſuper faciem faſciae caput reducendo ſuper frontem ter in adſcenſu replicato, quo gradatim ſibi mutuo incumbant, ſicque poſtea in ipſam frontalem faſciam invehito.

Cap. XXIII. Haec deligatio iis congruit, quibus unica parte ob vulnus aut luxationem aut cynicum vocatum ſpaſmum aut aliam quandam ob cauſam maxillam devincire volumus. Faſciae caput orſum ſit ab occipite obliquum ad verticem, ſinciput ac temporum alterum maxillaris feretur; deinde ſub mentum et auris oppoſitae fibram ad occiput. Ab occipite ad mentum et aurium fibras, atque poſt mentinam in occiput. Hi in iis ſunt ita circuitus, ſi ſuperne deorſum devincire conferat. Ipſe vero deligatio perficitur etiam inferne ſurſum hoc modo. Caput faſciae ordiatur ab occipitio, ſpira ſub auris fibram, ſub mentum ducatur; deinde maxillaris, poſtea obliqua ad ſinciput et occiput, mox mentina et frontalis.

Ed. Chart. XII. [480.]

Κεφ. κδ'. Ἁρμόζουσα εὑρίσκεται αὕτη ἐφ' ὧν κατ' ἀμφότερα τὰ μέρη τῆς γέννος ἢ ἐξαρθρήματα ἤ τι ἄλλο μέρος τῆς ἐπὶ τῆς μονομεροῦς εἰρημένον ἐστίν. ἀρχὴ κατ' ἰνίου λοξὴ ἐπὶ κορυφήν, βρέγμα καὶ παρειὰς ὑπὸ γένειον, εἶτα ἐναντία κειμένη γνάθων παρειὰς καὶ ἐπὶ βρέγμα κατὰ τῆς προσεμβεβλημένης ἕως χίασμα γίγνεσθαι· εἶτα ἐπὶ ἰνίον καὶ ὑπὸ λοβὸν ὠτὸς, γένειον ἐπὶ ἰνίον καὶ μετωπιαία.

Κεφ. κε'. Ἀρχὴ ὑπὸ ἰνίῳ ὠτὸς καὶ ὑπὸ γενειάδα, εἶτα παρειὰς καὶ λοξὴ παρὰ κορυφὴν ἐπὶ ἰνίον ὑπὸ λοβὸν ὠτὸς ἀντικειμένου ὑπὸ γένειον, ἔπειτα παρειὰς, ἔπειτα λοξὴ κατὰ βρέγματος ἐπὶ ἰνίον, εἶτα μετωπιαία.

Κεφ. κσ'. Ἡ μεσότης τῷ ἰνίῳ ἐντιθέσθω τὰ εἰλήματα, ἀπὸ κορυφῆς δὲ λοξῶς ἐπὶ βρέγμα, ἵνα κατ' αὐτοὺς χίασμα γένηται, εἶτ' ἐπὶ παρειὰς ὑπὸ γένειον ὑπὸ λοβοὺς ὤτων ἐπὶ ἰνίον, ἀπὸ ἰνίου κυκλοτερῶς ἐπὶ μέτωπον καὶ ἰνίον·

Cap. XXIV. Idoneum id comperitur quibus utrarumque maxillae partium aut luxationes obtigerint aut quidam alius affectus qui in unimembri capiſtro numeratus eſt. Caput faſciae ad occiput obliqua ſpira per verticem ad ſinciput et genas ſub mentum feratur. Deinde contraria maxillis incumbens pareias etiam ad ſinciput ſuper prius injectam, quoad decuſſis fiat; poſtea ad occiput et ſub auris fibram et mentum, ad occiput denique frontalis circuitus ducatur.

Cap. XXV. Primum caput ſub auris inio orditur et ad genialem. Deinde pareias et obliqua a vertice ad occiput ſub auris oppoſitae fibram et ſub mentum. Poſtea pareias ſtruatur; mox obliqua a ſincipite ad occiput, poſtremo frontalis faſcia.

Cap. XXVI. Faſciae medium occipiti imponatur. A vertice vero oblique ad ſinciput circumvolutiones, quo his chiaſmus fiat. Deinde per malas ſub mentum ad aurium fibras ad occiput, ab occipite in orbem ad frontem et

Ed. Chart. XII. [480. 481.]
εἶτα γενειάδα καὶ μετωπιαίαν, αἱ δ' ἐπινομαὶ κατὰ τῶν αὐτῶν.

Κεφ. κζ'. Ἡ μεσότης κατὰ μετώπου τὰ σπειράματα ἐπὶ ἰνίον καὶ κατ' αὐτοὺς χίασμα· εἶτα ὑπὸ λοβοὺς [481] ὤτων ὑπ' ἀνθερεῶνα, εἶτα παρειαὶ καὶ ἐπὶ βρέγμα, λοξαὶ ἐπὶ ἰνίον, εἶτα γενειὰς καὶ μετωπιαίας.

Κεφ. κή'. Μεσότης κατ' ἰνίου. αἱ ἀρχαὶ ὑπὸ λοβοὺς ὤτων, ὑπὸ γένειον, ἔπειτα παρειὰς καὶ τὰ λοιπὰ ὁμοίως τῇ πρὸς ταύτης.

Κεφ. κθ'. Ἀρχὴ κατ' ἰνίου τὸ σπείραμα ὑπὸ λοβὸν ὠτὸς ἐπὶ κρόταφον. ἐπίβρεγμα λοξῶς ἐπὶ ἰνίον καὶ μετωπιαίαν, αἱ δ' ἐπινομαὶ κατὰ τῶν αὐτῶν ἐπὶ πλέον. ἐπιδέυιτο οὕτω κάτωθεν ἄνω ἢ ἄνωθεν. συμφέρει οὕτως ἐπιδεόμενα ἀρχὴ κατ' ἰνίου λοξὴ ἐπὶ κορυφὴν βρέγμα καὶ κρόταφον, ὑπὸ λοβὸν ὠτὸς ἐπὶ ἰνίον καὶ μετωπιαία.

Κεφ. λ'. Ἀρχὴ κατ' ἰνίου. τὸ σπείραμα ὑπὸ λοβὸν ὠτὸς ἐπὶ κρόταφον καὶ βρέγμα, λοξῶς ἐπὶ ἰνίον καὶ μετω-

occiput; poſtea tum maxillarem, tum frontalem faſciam ſtruito et ſuper ipſas circuitus.

Cap. XXVII. Medium ſuper frontem, ſpirae ad occiput et his chiaſmus. Deinde infra aurium fibras ſub mentum. Poſtea faſciae maxillares etiam ad ſinciput, ob-obliquae ad occiput. Poſtremo tum maxillaris, tum frontalis ſtruatur.

Cap. XXVIII. Medium ſupra occiput. Capita ſub aurium fibras ad mentum, deinde maxillaris et reliqua praecedenti conſimiliter ſtruantur.

Cap. XXIX. Caput faſciae ſuper occiput injiciatur. Spira ſub auris fibram ad tempora ac ſinciput ducatur, oblique ad occiput et frontalem. Circuitus autem ſuper has partes, plures. Sic deligatio ſtruenda eſt inferne ſurſum vel ſuperne deorſum. Ita deligationes conferunt ab occipite obliqua ad verticem, ſinciput atque tempora ſub auris fibram ad occiput, ſiatque frontalis.

Cap. XXX. Caput faſciae ab occipitio ordiatur. Spira ſub auris fibram ad tempora et ſinciput, oblique

Ed. Chart. XII. [481. 482.]

πιαία πρὸς τὸν ἔξω κανθὸν καὶ ἐπὶ βρέγμα. λοξὴ ἐπὶ ἰνίον, ἀπὸ ἰνίου λοξὴ ἐπὶ βρέγμα ἀντικειμένη τῇ πρὸ αὐτῆς χιάζουσα τὸ βρέγμα, εἶθ' ὑπὸ λοβὸν ὠτὸς ἐπὶ ἰνίον καὶ μετωπιαία.

Κεφ. λα'. Ἡ μεσότης καθ' ἰνίου. αἱ ἀρχαὶ ἐπὶ κορυφὴν βρέγμα χίασμα ποιοῦσαι κατ' αὐτοῦ, εἶθ' ὑπὸ λοβοὺς ὤτων ἐπὶ ἰνίον, εἶτα μετωπιαία.

Κεφ. λβ'. Ἡ μεσότης κατ' ἰνίου. αἱ ἀρχαὶ ὑπὸ λοβοὺς ὤτων ἐπὶ τοὺς ἔξωθεν κανθούς· εἶτ' ἐπὶ βρέγμα καὶ ἰνίον, εἶτα μετωπιαία· τινὲς καὶ γενειάδα προστιθέασι.

[482] *Κεφ. λγ'. Τὴν εὐθεῖαν διμερῆ φορβέαν ἐπιδήσαντες χωρὶς τῆς γενειάδος ἐπὶ τέλει ἐπὶ τὸ ὕψωμα τῆς ῥινὸς ἀπάγομεν, εἶτ' ἐπὶ ἰνίον καὶ στεφανιαίαν προσαποδίδομεν.*

Κεφ. λδ'. Ὁμοίως τῷ ἀνεζευγμένῳ ἐπιδεδεμένῳ καὶ τὴν γενειάδα προσαποδίδομεν.

ad occiput et frontalis ad externum oculi canthum atque ad ſinciput. Obliqua ad occiput; ab occipite obliqua ad ſinciput ducatur, quae praecedenti oppoſita ſinciput decuſſat; deinde ſub auris fibram ad occiput feratur, frontalisque opus perficiat.

Cap. XXXI. Medium ſuper occiput injiciatur, capita per verticem ad ſinciput ducta chiaſmum in eo faciunt; deinde ſub aurium fibras ad occiput, poſtea frontalis admoveatur.

Cap. XXXII. Medium ſupra occiput ſtruatur, capita ſub aurium fibras ad externos oculorum angulos ducantur; deinde ad ſinciput et occiput, poſtea frontalis poſita ſit faſcia, quidam quoque mentinam admovent.

Cap. XXXIII. Rectum bimembre capiſtrum devinctum citra mentinam in fine ad naſi ſummitatem reducimus, deinde ad occiput coronariamque adjicimus.

Cap. XXXIV. Simili modo conjugatae faſciationi factae mentinam addimus.

Ed. Chart. XII. [482.]

Κεφ. λε'. Αὕτη ἁρμόζει ἐπὶ τῶν κατὰ πολλὰ μέρη τῆς κεφαλῆς καὶ τῶν παρειῶν ἐχόντων τραῦμα. τῇ λοξῇ διμερεῖ φορβέαν συνεπίδησον καὶ μετὰ ταῦτα καὶ Γλαυκίου σκάφιον, εἶτα οὕτω τὰς διμερεῖς φορβέας. ἔνιοι θεατρικώτερον βουλόμενοι κέφαλον ἑτοιμάσαντες ἐπιῤῥάπτουσιν. ἡ αὐτὴ γίνεται ἄλλως καὶ ἄνευ τῆς λοξῆς φορβέας καὶ τῶν γενειάδων.

Κεφ. λστ'. Σύμμετρον μέρος τῆς ταινίας ἑάσας κατὰ προσώπου κρέμασθαι, ἕλκε τὸ σπείραμα ἐπ' εὐθείας ἐπὶ ἰνίον κἀκεῖθεν ἐπίδει τὴν εὐθεῖαν φορβέαν μέχρι τοῦ σκεπούσης ὅλης παρειὰς καὶ τῆς κεφαλῆς καὶ ἐπὶ τέλει τὴν κατὰ προσώπου παρειμένην ἀρχὴν ἀνακλάσας εὐθυντενῶς ἐπὶ κορυφὴν ἄπαγε ἐπὶ ἰνίον καὶ καταλαβοῦ ὁμοίως, ἐὰν θέλῃς ἐπιθεὶς τὸν λοβόν.

Κεφ. λζ'. Τὸ ἡμιῤῥόμβιον προσλαβὸν τὰ καλούμενα ὦτα οὕτως ὀνομάζεται. ἐπιδεῖται δ' ἤτοι εὐπρεπείας χάριν ἐν μονομαχίαις ἢ χάριν τοῦ κράτημα γίγνεσθαι τῆς κεφαλῆς ἐπὶ προσώπου τινὸς συμπτώματος μεθοδευομένου· ἀλλ'

Cap. XXXV. Haec iis congruit qui in multis capitis ac genarum partibus vulnus habent. Obliqua fascia bimembre capistrum convincito; postea quoque Glaucii scopham, ac deinceps ita bimembra capistra repetes. Nonnulli hanc deligationem spectaculo celebriorem desiderantes cephalum comparatum assuunt. Haec alio modo tum citra capistrum, tum citra mentinas conficitur.

Cap. XXXVI. Quum commoderatam fasciae partem in faciem pendere siveris, e directo ad occiput spiram diducito; indeque rectum capistrum devinciendo confice, quoad universam genam caputque contexeris. Atque tandem demissum super faciem caput recta per verticem reflectendo ad occiput reducito, eodemque modo si velis fibrae admotum deligato.

Cap. XXXII. Semirhombus vocatus aures adeptus ita nominatur. Deligatur autem aut decoris gratia in gladiatoriis duellis aut ut caput in alicujus faciei symptomatis curatione contineatur. At si decoris gratia deligatio

Ed. Chart. XII. [482. 483.]

εἰ μὲν εὐπρεπείας ἕνεκα ἐπιδέοιτο βραχέα εἶναι δεῖ ταῦτα καὶ ἐν μέσῳ τῷ μετώπῳ τετάχθαι. οὕτω γὰρ ἂν τὴν ἐμφέρειαν πρὸς τὸ ζῶον ἀποσώζοι· εἰ δὲ κρατήματος μεγάλα, ἵνα τις λαβόμενος τῶν δακτύλων ἀγκύλων κρατεῖν δύναται καὶ ἐν μέσῳ.

Κεφ. λή'. Ἐπιτελεῖται δ' οὕτως· ὁ βρόχος ὁ καλούμενος βουκολικὸς ἢ δι' ἀγκυλωμάτων, συντόμῳ ἐν τῷ περὶ βρόχων ἐκδεδώκαμεν πολλάκις, ἐξ ἑνὸς μέρους τοῦ ἐπιδέσμου ἐπὶ μετώπου τάσσεται καὶ ἐπ' αὐτῷ ἐπιτελεῖται τὸ ἡμιῤῥόμβιον ἢ πλινθίον καλούμενον.

[483] Κεφ. λθ'. Ἀρχὴ κατ' ἰνίου. τὸ σπείραμα ἐπὶ κορυφὴν, ἐπὶ βρέγμα μεσόφρυον ὀφθαλμὸν, ὥστε καλύψαι, εἶθ' ὑπὸ λοβὸν ὠτὸς καὶ ἐπὶ ἰνίον, εἶτα μετωπιαία.

Κεφ. μ'. Ἀρχὴ κατ' ἰνίου. τὸ σπείραμά γ' ἐπὶ κορυφὴν, βρέγμα, μεσόφρυον ἐπὶ ὀφθαλμὸν, εἶτα οἶμαι παρέλκειν ὑπὸ λοβὸν ὠτὸς ἐπὶ ὀφθαλμὸν, ἐπὶ βρέγμα, ἐπὶ ἰνίον, εἶτα μετωπιαία.

fiat, hae breves ſint aures oportet et ut in media fronte ejiciendae: ſic enim animalis effigiem ſervant; ſi vero capitis continendi gratia magnae, quo quis curvos digitos ſortitus, etiam in medio continere queat.

Cap. XXXVIII. Ita vero perficitur. Qui laqueus paſtoralis aut perſinus, conciſe libro de laqueis plerumque tradidimus, ex una faſciae parte in fronte locatur atque ſuper hunc perficitur ſemirhombus aut qui lacerculus vocitatur.

Cap. XXXIX. Ab occipite exordium. Spira per verticem ad ſinciput et intercilium ducatur oculum contectura; deinde ſub auris fibram ad oculum etiam ad occiput, poſtremo ad frontem.

Cap. XL. Exordium ab occipitio. Circumvolutio per verticem, ſinciput, intercilium ad oculum feratur; deinde ſub auris fibram ad oculum, ad ſinciput, ad occiput; poſtremo frontalis ſit deligatio.

Ed. Chart. XII. [483.]

Κεφ. μα'. Ἀρχὴ κατ' ἰνίου. τὸ εἴλημα κατὰ κορυφὴν, βρέγμα, μεσόφρυον ἐπὶ ὀφθαλμόν· εἶθ' ὑπὸ λοβὸν ὠτὸς ἀντικειμένου ἐπ' ὀφθαλμὸν τὸν ἕτερον, μεσόφρυον, βρέγμα καὶ ἐπὶ ἰνίον, εἶτα μετωπιαία. δυνατὸν δὲ καὶ ἀναιρέψαντα τὸν πρῶτον ἐπιδεόμενον κάτωθεν ἄνω ἐπιδῆσαι, ἄν περ τοῦτο συμφέρῃ.

Κεφ. μβ'. Μεσότης κατ' ἰνίου. ἀρχαὶ ἐπὶ κορυφὴν, ἐπὶ βρέγμα μεσόφρυον καὶ κατ' αὐτὸ τοῦτο χιάζεσθαι· εἶτα ἐπὶ ὀφθαλμοὺς καὶ ὑπὸ λοβοὺς τῶν ὤτων, ἐπὶ ἰνίον καὶ μετωπιαία.

Κεφ. μγ'· Μεσότης κατὰ μετώπου. αἱ ἀρχαὶ ἐπὶ ἰνίον, ἀπὸ ἰνίου χιασθεῖσαι καὶ ὁμοίως τῇ πρὸ ταύτης ἐπιδέσει.

Κεφ. μδ'. Ἀρχὴ κατ' ἰνίου. τὸ σπείραμα ἐπὶ κορυφὴν, βρέγμα, ὀφθαλμὸν ἐπ' εὐθείας ἐπὶ χαλινὸν ὑπὸ γένειον καὶ λοβὸν ὠτὸς, ἐπὶ ἰνίον καὶ μετωπιαία.

Cap. XLI. Caput faſciae ſuper occiput injiciatur. Circumvolutio per verticem, ſinciput ſuperciliorum inſtitium ad oculum; deinde ſub auris oppoſitae fibram ad oculum alterum, ſuperciliorum interſtitium, ſinciput et ad occiput, mox ad frontem. Deliganti licet quoque primo inverſo deligationis ordine inferne ſurſum deligationem ducere, ſi id conferat.

Cap. XLII. Medium ad occiput injiciatur. Capita ad verticem, ad ſinciput, glabellam, hoc etiam ipſo modo chiaſmum efficiunt; deinde ad oculos et ad aurium fibras, ad occiput et ad frontem abit evolutio.

Cap. XLIII. Medium faſciae ſuper frontem injiciatur, ad occipitium capita; ab occipite chiaſmus fiat, ac praecedenti hanc ſimilem deligationem effice.

Cap. XLIV. Medium faſciae ſuper occiput, ſpira ad verticem, ſinciput et oculum e directo evolvatur, per triangulum ſub mentum, auris fibram ad occiput et frontem.

Ed. Chart. XII. [484.]

[484] *Κεφ. με'. Πρὸ τῆς μετωπιαίας. ἀπὸ ἰνίου ἐπὶ ἕτερον ὀφθαλμὸν ἀντικείμενον ἕτερον ἐπάγεται καὶ κατ' εὐθείας ἐπὶ χαλινὸν ὑπὸ γένειον ἐπὶ τὸν ἕτερον ὀφθαλμὸν καὶ ἐπ' ἀντικείμενον λοβὸν ἐπὶ ἰνίον καὶ μετωπιαία.*

Κεφ. μστ'. Ἀρχὴ ὑπὸ ἰνίῳ. τὸ εἴλημα ὑπὸ λοβὸν ὠτὸς, εἶθ' ὑπὸ γένειον ἐπὶ χαλινὸν ὀφθαλμὸν ἐπὶ βρέγμα καὶ ἐπὶ ἰνίον, εἶθ' ὑπὸ λοβὸν καὶ ὑπὸ γένειον ἀντικείμενον χαλινὸν, ὀφθαλμὸν μεσόφρυον καὶ αὐτοῦ χίασμα, εἶτα ὑπὸ βρέγμα καὶ ἰνίον, εἶτα μετωπιαία.

Κεφ. μζ'. Ὁμοίως τῷ λοξῷ τῆς τιθεμένης μεσότητος κατ' ἰνίου καὶ ἢ ἄνωθεν ἢ κάτωθεν ἀγομένων τῶν ἀρχῶν, τίθεται δὲ ὑπὸ γένειον μεσότης.

Κεφ. μή'. Πλάτος ἕκασις τελαμὼν ὅσῳ σκεπάσαι τὴν ῥῖνα, μήκει δὲ ὡς διπλοῦν ἀπὸ ῥινὸς ἐπ' εὐθείας ἐπὶ ἰνίον δύνασθαι χωρίσαι. τὴν ἀρχὴν τάττομεν κατ' ἰνίου, τὸ δὲ λοιπὸν ἄγομεν εὐθείας ἐπὶ κορυφὴν βρέγματος ῥινὸς

Cap. XLV. Prae frontali ab occipitio ad alterum oculum oppoſitum ducatur faſcia directeque ad labiorum oras ſub mentum in alterum oculum et per oppoſitam auris fibram ad occipitium, ac tum frontalis fiat.

Cap. XLVI. Caput ſub occipitio locetur, circumvolutio ſub auris fibram, mox ſub mentum in labiorum oram, oculum ac ſinciput et ad occiput; deinde ſub auris fibram et ſub mentum et oppoſitum oris angulum, oculum et ſuperciliorum interſtitium ibique chiaſmus; poſtea ſub ſinciput et occiput, poſtremo frontalis condatur.

Cap. XLVII. Quum faſciae medium oculo obliquo conſimili modo ſuper occiput poſitum fuerit et aut ſurſum aut deorſum ductis capitibus ſub mentum faſciae medium ponitur.

Cap. XLVIII. Tantam latitudinem quaeque ſciſſa faſciola ſortiatur, quanta naſum queat tegere; longitudine vero tanta ſit, ut duplicata a naſo recta ad occiput procedere poſſit. Caput faſciae ſuper occiput collocamus, reſiduum vero e directo ad verticem ſincipitis et naſi

Ed. Chart. XII. [484. 485.]

ὕψωμα. τὸ δὲ λοιπὸν παρειμένον κατὰ τοῦ προσώπου, ὃ καὶ σχίζομεν ἐπ' εὐθείας εἰς σκέλη δύο ἄχρι τοῦ ἄνω χείλους ἔπειθ' οὕτως ἄλλου στενοῦ τελαμῶνος, ἐπιμηκεστέρου δὲ, τὴν μεσότητα τίθεμεν ὑπὸ σφαιρίῳ τῆς ῥινὸς καὶ ἐπὶ τῶν παρειμένων τοῦ προσώπου σκελῶν. ἄγομέν τε τὰς ἀρχὰς ὑπὸ λοβοὺς ὥτων ὑπ' ἰνίον κατὰ τῆς προεμβεβλημένης χίασμα ποιοῦντες· δόντες τε ὑπηρέτῃ ἑξῆς κατὰ τοῦ προσώπου σκέλη ἄγομεν, ἀνακλάσαντες παρ' ἑκάτερον μέρος τῆς ῥινὸς ἐπὶ μεσόφρυον κατ' αὐτοῦ χίασμα γίγνεσθαι καὶ τὰς ἀρχὰς λοξῶς ἐπὶ κορυφῆς ἐπὶ ἰνίον ἀφάψαντές τε πρὸς τὸ αὐτὸ πέρας ἐπάγομεν τὰς διακρατουμένας ὑπὸ τοῦ ὑπηρέτου· ἀρχὰς μετωπιαίας συντελοῦμεν, οὐ τὰ πέρατα πρὸς ἄλληλα ἄμματι ἢ ὡς ἀγκτῆρι ἐκ πλαγίων τῆς κεφαλῆς ἀναλαμβανομένων.

Κεφ. μθ'. Σχίζομεν τὸ ῥάκος σκέλη τέσσαρα τὸ μέσον συνεχὲς ἐῶντες ὃ καὶ ὑπὸ τὸ σφαίριον τάξαντες τὰς ὑπερκειμένας κάτω παρίεμεν, τὰς δὲ ὑποκειμένας πρώτην ἄγομεν [485] ἐπὶ τὰ μῆλα καὶ τοὺς ἔξω κανθοὺς ἐπὶ βρέ-

ſummitatem ducimus. Reliquum autem demiſſum in faciem quod etiam recta linea in duo crura ſcindimus aduſque ſuperius labrum, deinde alterius anguſtae faſciolae ob longioris meditullium ſub naſi orbiculo et in demiſſis in faciem cruribus ponimus. Atque capita ſub aurium fibras, ſub occiput, ſuper faciem prius injectam chiaſmo figurato ducimus. Quibus autem miniſtro commiſſis ordine ſuper faciem crura ducimus, his ab utraque naſi parte ad glabellam reflexis ſuper ipſum decuſſis fiet et oblique capitibus ſupra verticem occiput verſus, ad ipſum etiam extremum alligatis capita a miniſtro contenta reducimus, quibus frontales faſcias conficimus, ut extrema inter ſe nodo aut fibula e capitis latere revocentur.

Cap. XLIX. Linteum in crura quatuor ſcindimus medium continuum ſinentes, quo ſub orbiculo collocato ſuperpoſita capita deorſum demittimus, ſuppoſita vero primumque ad genas et externos ad ſinciput oculorum an-

Ed. Chart. XII. [485.]

γμα, καὶ χιάσαντες συνέχειν ὑπηρέτῃ κελεύομεν. τὰς δ' ἄλλας δύο ἀρχὰς ὑπὸ λοβοὺς ἐπὶ ἰνίον χιάσαντες ἐγκυκλίους ἐπὶ μέτωπον καὶ ἐπὶ μέρος τῆς κεφαλῆς ἀναλαμβανόμενοι καὶ τὰς διακρατουμένας ἐπὶ ἰνίον ἄγοντες καταλαμβάνομεν.

Κεφ. ν'. Μία ἡ μεσότης ὑπὸ σφαίριον. αἱ δ' ἀρχαὶ ἐπὶ τοὺς ἔξω κανθοὺς ἐπὶ βρέγμα καὶ χιασθεῖσαι διακρατείσθωσαν, ἄλλη δὲ μεσότης ὑπὸ τὸ σφαίριον τῆς ῥινός. αἱ δ' ἀρχαὶ καὶ ὑπὸ λοβοὺς καὶ ἐπὶ ἰνίον ἀμματίζονται, τρίτη μεσότης κατὰ μετώπου, αἱ δ' ἀρχαὶ ἐγκύκλιοι πρὸς κεφαλὴν καὶ τὸ ἄμμα παρὰ μέρος τῆς κεφαλῆς.

Κεφ. να'. Μία μεσότης ὑπὸ σφαιρίῳ, αἱ δ' ἀρχαὶ ἐπὶ τοὺς ἔξω κανθοὺς ἐπὶ βρέγμα καὶ χιασθεῖσαι ὁμοίως διακρατείσθωσαν, ἑτέρα ἡ μεσότης ὑπὲρ τὸ σφαίριον, αἱ δ' ἀρχαὶ ὑπὸ λοβοὺς, ἐπὶ ἰνίον ἀπὸ ἰνίου χιασθεῖσαι περὶ κεφαλὴν, ἐγκύκλιοι ἐπὶ μέτωπον, τὸ δὲ ἄμμα ἐκ πλαγίων τῆς κεφαλῆς.

gulos ducimus, decuſſique formata miniſtro continere imperamus. Alia vero duo capita ſub fibras ad occiput; ab occipite in orbem chiaſmo delineato ad frontem et capitis partem revocamus et quae continebantur ea ad occiput ducta deligamus.

Cap. L. Unum faſciolae medium ſub orbiculo poſitum ſit, capita vero ad externos oculi angulos ac ſinciput et decuſſata retineantur; alterum medium ſub naſi orbiculo; cetera vero capita et ſub fibras aurium et ad occiput connectuntur, tertium medium ſuper frontem, capita vero in orbem ad caput ducantur et ſuper capitis partem nodus fiat.

Cap. LI. Medium ſub naſi orbiculo, capita per externos oculorum angulos ad ſinciput ſimiliter decuſſata contineantur; alterum medium ſuper naſi orbiculum, capita ſub aurium fibras ad occiput. Ab occipite circa caput decuſſatio fiat, ac in orbem ducta ad frontem ferantur; nodus a capitis lateribus fundam finiat.

Ed. Chart. XII. [485.]

Κεφ. νβ'. Τῆς ἑτέρας ἐπ' εὐθείας τῇ ῥινὶ ἐπικειμένης τὸ μὲν ἥμισυ κατὰ τοῦ προκειμένου μετώπου παρειμένον ἐῶμεν. τὸ δὲ ἥμισυ κατὰ τοῦ προσώπου παρειμένον ἐπ' εὐθείας κατὰ κορυφὴν ἐπὶ ἰνίον ἀπάγομεν. τῆς δ' ἑτέρας τὴν μεσότητα ὑπὸ σφαιρίῳ τάξαντες τὰς ἀρχὰς ὑπὸ λόβους ὤτων καὶ ἐπὶ ἰνίον ἄγομεν. χιάσαντες κατ' ἰνίου οὕτω τὴν κατὰ τοῦ προσώπου παρειμένην ἀνακλάσαντες κατὰ τῆς προεμβεβλημένης ἐπὶ κορυφὴν καὶ ἰνίον εὐθείας ἀπάγομεν. διὰ δὲ τῶν κεχιασμένων κατ' ἰνίου καταλαμβανόμενοι τὰς ἀρχὰς μετώπιον συντελοῦμεν.

Κεφ. νγ'. Ἑνὸς ᾖ μεσότης ὑπὸ σφαιρίῳ. αἱ δ' ἀρχαὶ ἐκ πλαγίων τῆς ῥινὸς ἐπὶ μεσόφρυον, ὅπου καὶ χιασθεῖσαι ἀπαγέσθωσαν ἐπ' εὐθείας παρὰ κορυφὴν ἐπὶ ἰνίον κἀκεῖ διακρατείσθωσαν. δευτέρου μεσότης τὸ ὑπὲρ τὸ σφαίριον τῆς ῥινὸς, αἱ δ' ἀρχαὶ ὑπὸ λοβοὺς ὤτων ἐπὶ ἰνίον, κἀκεῖ ἀμματιζέσθωσαν πρὸς ἀλλήλας τε καὶ πρὸς τὰς διακρατουμένας· τρίτου ἡ μεσότης κατὰ μετώπου, αἱ δ' ἀρχαὶ ἐγκύκλιοι περὶ κεφαλήν, τὸ δὲ ἄμμα παρὰ μέρος τῆς κεφαλῆς.

Cap. LII. Altera faſciola recta naſo incumbente ejus medium a projecta fronte demiſſum finimus; alterum vero medium a facie pendulum recta linea per verticem ad occiput adducimus. Alterius autem faſciolae medio ſub naſi orbiculum injecto capita ſub aurium fibras etiam ad occiput ducimus. His in occipite decuſſatis caput a facie demiſſum ſupra prius injectam faſciam recta ad verticem et occiput adducimus; atque per crura ſuper occiput decuſſata capita comprehendentes frontalem conſtruimus.

Cap. LIII. Medium unius faſciae ſub naſi orbiculo ſedeat; capita vero a naſi lateribus ad glabellam ferantur, ubi et decuſſata recta prope verticem ad occiput ducantur, ibique contineantur. Secundae meditullium ſuper naſi orbiculum, capita vero ſub aurium fibras ad occiput vehantur, illicque tum inter ſe tum cum iis quae retinentur nodo devinciantur. Tertiae medium ſuper frontem, capita vero in orbem circum caput, nodus autem ad capitis partem deligationem perficiat.

Ed. Chart. XII. [486.]

[486] *Κεφ. νδ'. Τῆς πρώτης ὁμοίως ταινίας διατιθεμένης καὶ τῆς δευτέρας πάλιν ὁμοίως ἐπὶ ἰνίον ἀγάγῃ τῆς δευτέρας τὰς ἀρχὰς, χιάσαι δὲ καὶ αὐτῶν μετωπιαίων συντελέσαι, τῶν τοῦ πρώτου τελαμῶνος ἀρχῶν ἤτοι κατειλημένων ὑπ' αὐτῶν ἢ καὶ αὐτῶν χιαζομένων κατ' ἰνίον· ἔπειτα ἀγομένων ὑπ' ἀνθερεῶνα κἀκεῖ ἀμμιατίζομεν.*

Κεφ. νε'. Σύμμετρον μέρος ἐπὶ τοῦ ἐπιδέσμου κατὰ τοῦ προσώπου ἐάσαντες κρεμάσαι τοσοῦτον ὅσον ἱκανὸν ἔσται ἐπὶ ἰνίον ἐθελεῖν· εἶτα ἄγομεν τὸ σπείραμα ἐπ' εὐθείας κατὰ ῥινὸς, μεσοφρύου, βρέγματος, κορυφῆς ἐπὶ ἰνίον, ἀπὸ ἰνίου κλάσαντες ἐπὶ λοβὸν ὠτὸς ἀντικείμενον· ἐπὶ ἰνίον διακρατοῦντες τὸ σπείραμα τὴν κατὰ τοῦ προσώπου παρειμένην ἀρχὴν ἀνακλάσαντες, ἐπ' εὐθείας ἄγομεν κατὰ τῆς πρώτης κορυφῆς καὶ ἰνίου, καταλαμβανόμενοί τε ἄγομεν τὸ σπείραμα κυκλοτερῶς ἐπὶ μέτωπον εἶτα ἐπ' ἰνίον καὶ παρὰ μέρος τῆς κεφαλῆς τὸ σπείραμα καταλαμβανόμεθα.

Κεφ. νστ'. Ἀρχὴ κατ' ἰνίου. τὸ σπείραμα λοξῶς ἐπὶ κορυφὴν καὶ βρέγμα, μικρὸν κανθὸν ἐπὶ μῆλα· εἶθ'

Cap. LIV. Primae eodem modo faſciae admotae, ſecundae quoque rurſus ſimiliter ad occipitium deductae ſecunda capita decuſſentur et per ipſa frontales conficiantur, primae faſciae capitibus aut ſub ipſis retentis aut etiam his ad occiput decuſſatis; poſtea ſub mentum adducimus illicque connectimus.

Cap. LV. Commoderatam faſciae partem tantum a facie pendere ſinimus, quanta ut ad occiput perveniat deſiderabitur. Tum recta ſpiram per naſum, glabellam, ſinciput, verticem ad occiput ducimus, ab occipite deflectentes ad auris fibram oppoſitam. Retenta ad occiput ſpira demiſſum a facie caput reflectentes recta ſuper primam verticis et occipitis faſciam ducimus, deprehenſamque ſpiram in orbem ad frontem vehimus; poſtea ad occipitium et a capitis latere ſpiram retinemus.

Cap. LVI. Capita in occipitio exordiantur, ſpira oblique ad verticem, ſinciput, parvum oculi angulum ad

Ed. Chart. XII. [486. 487.]

ὑπὸ σφαίριον ῥινὸς καὶ ἐπὶ τὸ ἀντικείμενον μῆλον παρὰ τὸν ἔξω κανθὸν ἐπὶ βρέγμα, ἐπὶ κορυφὴν ἀντικειμένη τῇ πρώτῃ ἐπὶ ἰνίον· ἀπὸ ἰνίου ἐπὶ λοβὸν ὠτὸς ἀντικειμένου καὶ ἐπὶ ἰνίον ἀπὸ ἰνίου μετωπιαία.

Κεφ. νζ'. Ἀρχὴ κατ' ἰνίου. τὸ σπείραμα λοξῶς παρὰ κορυφὴν ἐπὶ κρόταφον καὶ τὸν ἔξω κανθὸν ὑπὸ σφαίριον ῥινὸς καὶ ὑπὸ λοβὸν ὠτός εἶτα ἐπὶ ἰνίον ἀπὸ ἰνίου κλάσαντες τὴν ἀρχὴν ἄγομεν ἀντικειμένην τῇ πρώτῃ λοξὴν ἐπὶ κρόταφον ὑπὸ σφαίριον ῥινὸς καὶ ὑπὸ λοβὸν ὠτός ἀντικειμένου ἐπὶ ἰνίον· ἀπὸ ἰνίου ἐπὶ λοβὸν ὠτὸς ἐπισφαίριον ῥινὸς καὶ ὑπὸ λοβὸν ὠτὸς, εἶτ' ἐπὶ ἰνίον, ἀπὸ ἰνίου μετωπιαίαν προσαποδίδομιν.

Κεφ. νη' Ἀρχὴ κατ' ἰνίου. τὸ σπείραμα λοξῶς ἐπὶ κορυφὴν, βρέγμα, μεσόφρυον, εἶτ' ἐκ πλαγίων τῆς ῥινὸς [487] παρὰ μίγαν κανθὸν ἐπ' εὐθείας ἐπὶ παρακείμενον πτερύγιον ῥινὸς ἐπὶ χαλινὸν, εἶθ' ὑπ' ἀνθερεῶνα καὶ ὑπὸ λοβὸν ὠτὸς ἐπὶ ἰνίον, ἀπὸ ἰνίου λοξὴ παρὰ κορυφὴν καὶ

genam; deinde ſub naſi orbiculum et ad oppoſitam genam juxta externum canthum ad ſinciput, ad verticem primo circuitui oppoſita ad occiput ducatur. Ab occipite ad auris oppoſitae fibram et ad occiput, ab occipite denique ad frontem fiat deligatio.

Cap. LVII. Caput faſciae ſuper occiput injiciatur, ſpira oblique per verticem ad temporum alterum et externum canthum ſuo naſi orbiculum et ſub auris fibram feratur; deinde ad occiput, ab occipite reflexo capite oppoſitam primae obliquam ad temporum alterum ſub naſi orbiculum et ſub auris oppoſitae fibram ad occiput ducimus; ab occipite ad auris fibram, ad naſi orbiculum et ſub auris fibram, poſtea ad occiput, ab occipite frontalem adjicimus.

Cap. LVIII. Caput faſciae ab occipitio orditur, ſpiram oblique ad verticem, ſinciput et glabellam ducimus; deinde a naſi lateribus juxta magnum canthum recta linea ad accubantem naſi pinnulam ad auris angulum; deinde ſub mentum et ſub auris fibram ad occiput; ab occipite

Ed. Chart. XII. [487.]
ἐπὶ βρέγμα, ἀντικειμένη τῇ πρώτῃ ἐπὶ μεσόφρυον, ὡς κατ' αὐτοῦ χίασμα γίνεσθαι, καὶ ἐκ πλαγίων τῆς ῥινὸς ἀντικειμένη τῇ πρώτῃ ἐπὶ χαλινόν· εἶθ' ὑπ' ἀνθερεῶνα καὶ ὑπὸ λοβὸν ὠτὸς ἀντικειμένου, εἶτ' ἐπὶ ἰνίον, ἀπὸ ἰνίου μετωπιαία καὶ ὑπὸ τὸ ὕψωμα τῆς ῥινός· εἶθ' ὑπὸ λοβὸν ὠτὸς ἀντικειμένου καὶ ἐπὶ ἰνίον. ταύτῃ τῇ ἐπιδέσει ἔνιοι καὶ γενειάδα προστιθέασιν, ἁρμόζει δὲ ἐφ' ὧν μεσόφρυον καὶ τὸ τῆς ῥινὸς ὕψωμα συνεπιδῆσαι θέλομεν.

Κεφ. νθ'. Ἀρχὴ κατ' ἰνίου. τὸ σπείραμα λοξῶς παρὰ κορυφὴν, βρέγμα, ἐπὶ μεσόφρυον, παρὰ μέγαν κανθὸν, ἐπὶ μῆλυν, ὑπὸ λοβὸν ὠτός· ἐπὶ ἰνίον ἀντικειμένη τῇ πρώτῃ, ὡς χίασμα κατὰ μεσόφρυον γίνεσθαι, καὶ λοξὴ παρὰ βρέγμα καὶ κορυφὴν ἐπὶ ἰνίον, ἀπὸ ἰνίου ἐπὶ λοβὸν ὠτός· ὑπὸ τὸ ὕψωμα τῆς ῥινὸς καὶ ἐπὶ τὸν ἀντικείμενον λοβὸν ὠτὸς, εἶτ' ἐπὶ ἰνίον, ἀπὸ ἰνίου μετωπιαία. ταύτῃ τῇ ἐπιδέσει ἔνιοι δὲ εὐπρέπειαν καὶ στεφανιαίαν προστιθέασιν, αὕτη καὶ ἀπὸ

obliqua per verticem et ad ſinciput. Oppoſita primae ad glabellam, quo ſuper ipſam chiaſmus fiat et a naſi lateribus primae oppoſita ad auris angulum; poſtea ſub mentum et auris oppoſitae fibram, mox ad occiput. Ab occipite frontalis fiat et ſub naſi eminentiam; poſtea ſub auris oppoſitae fibram etiam ad occiput. Huic deligationi nonnulli mentinam adjiciunt; ad haec deligatio convenit quibus glabellam et naſi eminentiam convincire volumus.

Cap. LIX. Occipiti faſciae caput aſſideat, circumvolutio oblique per verticem, ſinciput ad glabellam, per magnum canthum ad genam ſub auris fibram verſus occiput primo circuitui oppoſita, quo circa glabellam decuſſis ſtruatur et obliqua per ſinciput et verticem ad occipitium volvatur; ab occipitio ad auris fibram ſub naris eminentiam et ad oppoſitam auris fibram, poſtea ad occiput. Ab occipite ad frontem frontalis ſtruatur. Huic autem nonnulli ornatus gratia etiam coronariam deligationem adji-

Ed. Chart. XII. [487.]
δύο ἀρχῶν ἐπιδεῖσθαι δύναται, ἂν ἀπαιτῇ χρεία. ἁρμόζει δὲ ἐφ' ὧν καὶ ἡ πρὸ ταύτης.

Κεφ. ξ'. Ἀρχὴ κατ' ἰνίου. τὸ σπείραμα ἐπ' εὐθείας κατὰ κορυφὴν ἐπὶ μεσόφρυον παρὰ μέγαν κανθὸν ἐκ πλαγίων τῆς ῥινὸς ἐπ' αὐτὸ τὸ σφαίριον ῥινὸς καὶ παρὰ τὸν τοῦ ἑτέρου μεγάλου κανθοῦ ἐπὶ μεσόφρυον ὡς χίασμα κατὰ μεσοφρύου γίνεσθαι ἐπ' εὐθείας παρακειμένη τῇ πρώτῃ ἐπὶ κορυφὴν καὶ ἰνίον· ἀπὸ ἰνίου κλάσαντες ἄγομεν τὸ σπείραμα ἐπὶ λοβὸν ὠτὸς, ἐπὶ σφαίριον ῥινὸς καὶ ἀντικείμενον λοβὸν ὠτὸς ἐπὶ ἰνίον, ἀπὸ ἰνίου μετωπιαίαν. ἔξεστι δὲ καὶ στεφανιαίαν προστιθέναι· ταύτῃ τῇ ἐπιδέσει ἔνιοι δι' εὐπρέπειαν προστιθέασι τὸ καλούμενον ἡμιῤῥόμβιον οὗ τὴν συντέλειαν παραδεδώκαμεν.

Κεφ. ξα'. Ἀρχὴ κατ' ἰνίου. τὸ σπείραμα ἐπ' εὐθείας ἐπὶ κορυφὴν, βρέγμα, μεσόφρυον, κανθὸν μέγαν ἐκ πλαγίων τῆς ῥινὸς ὑπὸ σφαίριον, εἶθ' ὑπὸ λοβὸν ὠτὸς ἀν-

ciunt. Ipſa quoque a duobus capitibus devinciri poteſt, ſi uſus poſtulet. Quadrat quibus et praecedens.

Cap. LX. Caput faſciae ſuper occiput injiciatur, ſpira recta per verticem ad glabellam ſupra magnum canthum a naſi lateribus ad ipſum naſi orbiculum evolvatur et prope alterum magnum canthum ad glabellam, ut chiaſmus ſuper glabella adſtruatur, faſcia primae obvolutioni incumbens ad verticem et occiput feratur; ab occipite deflectentes ſpiram ad auris fibram, ad naſi orbiculum et oppoſitam auris fibram ad occiput. Ab occipite ad frontem fiat frontalis. Licet vero etiam coronariam adjicere. Hac deligatione nonnulli concinnitatis gratia vocatum ſemirhombum addiderunt, cujus ſtructuram tradidimus.

Cap. LXI. Caput faſciae ab occipite ordiatur, ſpira recta ad verticem, ſinciput, glabellam, magnum canthum a naſi lateribus ſub orbiculum evolvatur; deinde ſub auris oppoſitae fibram et ſuper naſi orbiculum, poſtea ſic

Ed. Chart. XII. [487. 488.]

τικειμένου καὶ ὑπὲρ τὸ σφαίριον ῥινὸς, εἶθ' οὕτως ὑπὸ λοβὸν ὠτὸς, ἐπὶ ἰνίον, ἀπὸ ἰνίου μετωπιαία.

[488] Κεφ. ξβ'. Ἁρμόζει μὲν ἐφ' ὧν ἡ πρὸ ταύτης ἐπίδεσις. ἐπιτελεῖται δὲ οὕτω· δέρματος φοινικίνου τὴν ἀρχὴν ἐπιμηκεστέρου, κόλλῃ ἢ κόμμι χρίσαντες κατακολλῶμεν τῇ ῥινὶ κατ' ἐκεῖνα καθ' ἃ διέστραπται, τὴν δὲ ἑτέραν ἀρχὴν ἀπάγομεν ὑπὸ λοβὸν ὠτὸς ἐπὶ ἰνίου, ἀπὸ ἰνίου ἐπὶ μέτωπον ὅτε καὶ κατὰ μετώπου κολλῶμεν ὁμοίως.

Κεφ. ξγ'. Μεσότης κατὰ τοῦ ὠτός. τῶν δὲ ὑπὸ τὸ οὖς ἀρχῶν χιασθεισῶν, ἡ μὲν ἐπὶ μέτωπον, ἡ δὲ ἐπὶ κορυφὴν, ἐπὶ ἰνίον· ἀπὸ ἰνίου ἡ μὲν ἀπὸ μετώπου κατὰ τοῦ χιάσματος ἀγέσθω, ἡ δὲ παρὰ κορυφὴν ἐπὶ μέτωπον καὶ παρὰ μέρος ἀμματιζέσθωσαν· καὶ τῶν ὑποκειμένων ἀρχῶν χιασθεισῶν, ἡ μὲν ὑπὸ γένειον, ἡ δὲ ὄπισθεν ἰνίον κἀκεῖ ἀμματιζέσθωσαν.

Κεφ. ξδ'. Ἀρχὴ ἡ τοῦ ἐπιδέσμου ταττέσθω πλησίον ἰνίου, ὄπισθεν τοῦ πεπονθότος ὠτὸς· ἡ δὲ ἐπινομὴ καὶ'

ſub auris fibram ad occiput feratur, ab occipite ad frontem frontalis ſtruatur.

Cap. LXII. Congruit quibus praecedens deligatio. Sic autem conſtruitur. Membranulae Phoeniciae oblongioris caput unum glutine aut gummi illitum naſo agglutinamus, qua parte cui obvertitur. Alterum vero caput ſub auris fibram ad occiput adducimus. Ab occipite ad frontem, quod etiam ſuper frontem ſimiliter agglutinamus.

Cap. LXIII. Medium ſuper aurem injiciatur, capitum vero ſub aure decuſſatorum alterum quidem per frontem, alterum vero per verticem ad occiput evolvatur; ab occipite quod a fronte ducitur ſuper decuſſim, quod vero per verticem ad frontem ducatur et prope partem nexu vinciatur. Subjacentium vero capitum decuſſatorum alterum quidem ſub mentum, alterum vero retrorſum ad occiput ibique connectantur.

Cap. LXIV. Caput faſciae prope occiput pone affetam aurem impoſitum ordiatur, ſpira vero ſuper ipſum

Ed. Chart. XII. [488. 489.]
αὐτοῦ γιγνέσθω· ὡς εἰ ἐκ μέρους σκεπασθείη τὸ οὖς καὶ ἀναγέσθω τὸ σπείραμα ἐπὶ βρέγμα πλησίον μετώπου καὶ κατὰ τὰ ἐμπρόσθια πλησίον τοῦ ἀντικειμένου ὠτός· εἶθ' ὑπὸ γένειον καὶ κατὰ τοῦ ὠτὸς ἐπὶ βρέγμα καὶ τὰ ὀπίσθια ἀντικειμένου ὠτὸς καὶ ὑπὸ γένειον καὶ λοβὸν ὠτὸς ἐπὶ ἰνίον καὶ ἀπὸ ἰνίου ἐπὶ μέτωπον καὶ ἐπὶ ἰνίον.

Κεφ. ξε'. Ἀρχὴ ἐπὶ ἰνίῳ, τὸ εἴλημα ὑπὸ λοβὸν ὠτὸς ἀπαθοῦς ἐπὶ βρέγμα καὶ τὰ ἐμπρόσθια τοῦ πεπονθότος ὠτὸς καὶ ὑπὸ γένειον ἀπὸ γενείου ὑπὸ λοβὸν ὠτὸς καὶ ἐπὶ ἰνίον, ἀπὸ ἰνίου λοξὺν κατὰ τοῦ ὠτὸς, εἶτα μετωπιαία.

Κεφ. ξστ'. Ἡ μεσότης κατὰ τοῦ ἐπιδεσμένου τῆς ἐπιδέσεως τῶν ἀρχῶν, ὧν μὲν κατὰ τοῦ τραχήλου κάτω παρειμένων, ὧν δὲ ἄνω οἷς ἐπὶ κεφαλήν· τούτων αἱ μὲν ἐμπρόσθιοι βρέγμα ἀμματιζέσθωσαν. αἱ δὲ μέσαι ἐπὶ κορυφὴν, πρός τε αὐτὰς καὶ πρὸς τὰς κατὰ τοῦ βρέγματος, αἱ δ' ὀπίσθιοι ἐπὶ ἰνίον [489] ἀπαχθεῖσαι χιαζέσθωσαν καὶ κα-

evolvatur, ut ſi ex parte operta ſit auris etiam ſpira ad verticem prope frontem et per anteriora prope aurem oppoſitam deducatur; deinde ſub mentum et ſuper aurem ad ſinciput et poſteriorem auris oppoſitae partem et ſub mentum ſubque auris fibram ad occiput et ab occipite ad frontem et ad occiput.

Cap. LXV. Caput faſciae in occiput injiciatur, circumvolutio ſub auris non affectae fibram ad ſinciput et anteriores auris affectae partes et ſub mentum volvitur; a mento ſub auris fibram et ad occiput, ab occipite oblique ſuper aurem, poſtea fiat frontalis.

Cap. LXVI. Medium faſciae capitibus interjectum ſuper locum vinciendum injiciatur. Ex capitibus aliis a cervice deorſum demiſſis, aliis vero ſurſum, ut ad caput pendulis anteriora ad ſinciput nodo ligantur. Media in vertice tum inter ſe, tum etiam cum anterioribus ſincipiti ſuperpoſitis connectuntur; poſteriora denique ad occiput

Ed. Chart. XII. [489.]

τὰ κύκλον περὶ κεφαλὴν καὶ μέτωπον ταχθεῖσαι παρὰ μέρος τῆς κεφαλῆς ἀμματιζέσθωσαν.

Κεφ. ξζ'. Ἑνὸς ἡ μεσότης κατὰ βρέγματος. αἱ δ' ἀρχαὶ κατὰ παρειῶν ὑπὸ γένειον, ἀπὸ γενείου κατὰ παρειῶν ταῖς πρώταις παράλληλοι ἐπὶ βρέγμα, κἀκεῖ ἀμματιζέσθω. εἰ δὲ τοὺς ὀφθαλμοὺς ἐθέλομεν ἐπιδῆσαι μὴ περὶ τὰς πρώτας, κατὰ δὲ τῶν ὀφθαλμιῶν ἀγέσθωσαν, εἶτ' ἐπὶ βρέγμα καὶ χιασθεῖσαι ἐπὶ ἰνίον ἀγέσθωσαν. δευτέρου δὲ τελαμῶνος ἡ μεσότης κατὰ τοῦ βρέγματος, αἱ δ' ἀρχαὶ παρὰ τοὺς ἔξω κανθοὺς ἐπὶ γένειον κἀκεῖ ἀμματιζέσθωσαν. τρίτου δὲ ἡ μεσότης κατὰ τοῦ ὑψώματος τῆς ῥινός. αἱ δ' ἀρχαὶ ὑπὸ λοβοὺς ἐπὶ ἰνίον καὶ χιασθεῖσαι ἐγκύκλιοι ἐπὶ μέτωπον, τὸ δὲ ἄμμα παρὰ μέρος τῆς κεφαλῆς.

Κεφ. ξη'. Ἀρχὴ κατ' ἰνίου ἐπ' εὐθείας ἐπὶ μέτωπον καὶ μεσόφρυον· εἶτ' ἐπὶ ἰνίον, ἀπὸ ἰνίου μετωπιαία. γίνεται δὲ καὶ ἀπὸ δύο ἀρχῶν.

Κεφ. ξθ'. Τὸ μέσον ὃ καὶ συνεχές ἐστι προστίθεμεν τῷ κάτω χείλει. τῶν δ' ἀρχῶν τὰς ὑπερκειμένας ἄγομεν

adducta decuſſentur ac in orbem circa caput et frontem poſita a capitis latere nodo devinciantur.

Cap. LXVII. Medium unius faſciae ſuper ſinciput injiciatur, capita vero per genas ſub mentum, a mento per genas primis paralella ad ſinciput illicque nectantur. Si vero oculos devincire quoque voluerimus, non per prima, ſed ſuper oculos ducantur; deinde ad ſinciput etiam decuſſata ad occiput adducantur. Alterius faſciae medium ſuper occiput ordiatur, capita vero per externos oculorum angulos ad mentum, illicque nodo ligentur. Tertiae medium ſuper naſi eminentiam, capita vero ſub auris fibram ad occipitium et decuſſata in orbem ad frontem volvantur, nodoque a capitis latere vinciantur.

Cap. LXVIII. Caput ſuper occipitium injiciatur et ſpira ad frontem recta et glabellam ducatur; deinde ad occiput, ab occipite frontalis ex binis capitibus ſtruatur.

Cap. LXIX. Medium faſciae integrum inferiori labis apponimus; ſuperiora vero capita ad mentum ducimus.

Ed. Chart. XII. [489. 490.]

ἐπὶ γένειον, ἀπὸ γενείου ἐπὶ ἰνίον, ἀπὸ ἰνίου καὶ χιάσαντες παρὰ κορυφὴν καὶ βρέγμα κελεύσαντές τε διακρατεῖσθαι αὐτὰς τὰς λοιπὰς αὐτόθι δύο ἀρχὰς λοβοὺς ἐπὶ γένειον ἄγομεν καὶ χιάσαντες ἐπὶ μέτωπον ἃς καὶ ἀσφαλιζόμεθα σὺν καὶ ταῖς διακρατουμέναις.

Κεφ. ο'. Μεσότης κατ' αὐτοῦ. αἱ δ' ὑποκείμεναι ἀρχαὶ παρὰ τοὺς ἔξω κανθοὺς ἐπὶ βρέγμα χιασθεῖσαι ἐπὶ ἰνίον ἀπαγέσθωσαν. αἱ δ' ἄλλαι ἀρχαὶ ὑπὸ λοβοὺς ὠτοῖν ἐπὶ ἰνίον καὶ χιασθεῖσαι ἐπὶ μέτωπον καὶ πρὸς ἀλλήλας καταλαμβανέσθωσαν.

Κεφ. οα'. Ἡ ἀρχὴ κατ' ἰνίου. τὸ σπείραμα ὑπὸ λοβὸν ὠτὸς ἐπὶ τὸ κάτω χεῖλος καὶ ὑπὸ λοβὸν ἐπὶ ἰνίον.

[490] Κεφ. οβ'. Ἡ μεσότης κατὰ τοῦ χείλους, αἱ δ' ἀρχαὶ ὑπὸ λοβοὺς ἐπὶ ἰνίον τε καὶ μετωπιαία.

Κεφ. ογ'. Ἀρχὴ κατ' ἰνίου. τὸ σπείραμα κατὰ λοβὸν ὠτὸς ἐπὶ χεῖλος καὶ λοβὸν ἀντικείμενον ἐπὶ ἰνίον· ἀπὸ ἰνίου παρὰ κορυφὴν καὶ λοξὴν ἐπὶ βρέγμα, κρόταφον, ἔπειτα παρειὰς ὑπὸ γένειον καὶ ἀντικειμένη παρειὰς ἐπὶ βρέγμα,

A mento ad occiput, ab occipite decuſſata ſuper glabellam et ſinciput; quumque ipſa contineri juſſeris, reliqua illic duo capita ſub auris fibras ad mentum et decuſſata ad frontem ducimus, quae et cum iis quae continebantur tuto adſtruimus.

Cap. LXX. Medium faſciae ſupra ipſum labrum injiciatur, inferiora capita ſuper externos oculorum angulos ad ſinciput, decuſſata ad occiput adducantur. Alia vero capita ſub aurium fibras ad occiput et decuſſata ad frontem et inter ſe vincta retineantur.

Cap. LXXI. Caput ſupra occiput, ſpira ſub auris fibram ad inferius labrum et ſub auris fibram ad occiput.

Cap. LXXII. Medium ſuper labrum, capita vero ſub aurium fibras et ad occiput et ad frontem ducantur.

Cap. LXXIII. Caput ad occiput, ſpira per auris fibram ad labium et oppoſitam auris fibram ac occiput; ab occipite per verticem et obliquam ad ſinciput et temporum alterum; poſtea maxillaris ſub mentum et oppoſita

Ed. Chart. XII. [490.]

ἵνα κατ' αὐτοῦ χίασμα γένηται, εἶτ' ἐπὶ ἰνίον καὶ μετωπιαία.

Κεφ. οδ'. Ἀρχὴ κατ' ἰνίου, τὸ σπείραμα λοξῶς ἐπὶ βρέγμα παρὰ τὸν ἔξω κανθὸν ἐπὶ τὸ ἄνω χεῖλος, εἶτ' ἐπὶ κρόταφον ἀντικείμενον καὶ τὸν ἔξω κανθὸν ἐπὶ βρέγμα ἀντικειμένη τῇ πρὸ ταύτης χίασμα ποιοῦσα καὶ βρέγματος, εἶτ' ἐπὶ ἰνίον καὶ μετωπιαία.

Κεφ. οε'. Ἡ μεσότης κατὰ τοῦ ἄνω χείλους· αἱ ἀρχαὶ παρὰ κροτάφους καὶ τοὺς παρακειμένους κανθοὺς ἐπὶ βρέγμα καὶ κατ' αὐτοῦ χίασμα ἐπὶ ἰνίον, ἀπὸ ἰνίου καὶ μετωπιαία καὶ ἐπὶ ἰνίον.

Κεφ. οστ'. Ἡ μεσότης κατ' ἰνίου. αἱ δὲ ὑποκείμεναι ἀρχαὶ ἐπὶ παρειὰς παρὰ τοὺς ἔξω κανθοὺς ἐπὶ βρέγμα κἀκεῖ ἀμφιτίζονται, αἱ δ' ἄλλαι ὑπὸ λοβοὺς ἐπὶ ἰνίον, ἀπὸ ἰνίου χιασθεῖσαι. εἰ μὲν βραχύτεραι εἶεν ἐπὶ ἰνίον πρὸς τὰς πρώτας ἐφάπτονται, εἰ δὲ ἐπιμηκέστεραι εἶεν καὶ τὰ μετώπια προσαποδίδοται. ἀπηρτημένες ἐπὶ κεφαλῆς καὶ

maxillaris ad ſinciput, ut ſuper ipſum decuſſis ſtruatur; mox ad occiput, ac poſtremo ad frontem.

Cap. LXXIV. Caput faſciae ſuper occiput, ſpira oblique ad ſinciput ſuper externum oculi angulum, ad ſuperius labrum; deinde ad oppoſita tempora et externum canthum ad ſinciput oppoſita praecedenti chiaſmum efficiens ad verticem, deinde ad occiput et circa frontem.

Cap. LXXV. Medium faſciae ſuper ſuperius labrum, capita per tempora et adjacentes oculorum angulos ad ſinciput et ſupra ipſum chiaſmo conſtructo ad occiput ferantur; ab occipite etiam frontalis ducatur et ad occiput redeat.

Cap. LXXVI. Media faſcia ſuper occiput injiciatur; ſubjecta vero capita ad genas per externos oculorum angulos ad ſinciput ferantur illicque nexu vinciantur. Reliqua vero ſub aurium fibras ad occiput ducuntur, ab occipite decuſſata ſunt. Quod ſi breviora fuerint, ad occiput primis illigantur; ſic vero longiora fuerint, etiam ad frontem ducta frontalem adjiciunt. Appenſis capiti et

Ed. Chart. XII. [490. 491.]

προσώπου τὰς ὁρμοζούσας ἐπιδέσεις ἁπλᾶς καὶ ποικίλας ἐπὶ τὰς ἑξῆς μεταβαίνωμεν.

[491] Κεφ. οζ'. Εἴρηται μὲν ἀπὸ τῆς πρὸς τοὺς στάχυας ἐμφερείας ἐκ τῆς τῶν ἐπινεμήσεων γινομένης. εὐχρησιεῖ τε ἐπί τε κλειδὸς καταγείσης καὶ ἐπὶ βραχίονος ἐξαρθρήσαντος. ἐπιτελεῖται δὲ τὸν τρόπον τοῦτον· ἔριον μαλακὸν συνελίξαντες τίθεμεν ἐπὶ τῆς μασχάλης τοῦ μέλλοντος ἐπιδεῖσθαι μέρους, ἀναπλήρωμα τοῦ κοίλου ποιοῦντες, ἔπειτα εἰλητοῦ ἐπιδέσμου πλάτος καὶ μῆκος ἀνάλογον τῷ ἐπιδεσμένῳ τὴν ἀρχὴν τάξαντες κατὰ τῆς ἀπαθοῦς μασχάλης τὸ εἴλημα ἄγομεν λοξῶς κατὰ νώτου· ἔπειτα δὲ παρ' ἀκρώμιον ὑπὸ μασχάλην πεπονθότος βραχίονος, εἶτ' ἐπ' ἀκρώμιον ὡς χίασμα κατ' αὐτοῦ γίνεσθαι· εἶτα λοξὴ κατὰ στέρνου ὑπὸ μασχάλην ἀπαθῆ, ἀπὸ μασχάλης λοξὴ κατὰ νώτου ἐπὶ κλεῖδα, ὡς μέρη τινὰ τῆς δευτέρας ἐπινεμήσεως ἐπιπίπτει μέρεσι τῆς προεμβεβλημένης ἀπὸ κλειδὸς ὑπὸ μασχάλην καὶ ἐπὶ κλεῖδα, ὡς χίασμα δεύτερον γίγνεσθαι, εἶτα τὴν μασχάλην ἀπαθῆ, αἱ δ' ἐπινομαὶ κατὰ τῶν αὐτῶν.

faciei idoneis tum ſimplicibus tum multiplicibus deligationibus ad ceteras ſequentes digrediamur.

Cap. LXXVII. Haec deligatio dicta quidem eſt ab ea quae ad ſpicas accedit, ſimilitudine ex ſuis circuitibus prodeunte; confert tum claviculae fractae, tum brachio luxato. Hoc autem modo perficitur. Molli lana convoluta ipſam axillae partis devinciendae imponimus ad cavitatem ejus implendam. Deinde obvolutae faſciae tum latitudine tum longitudine corpori devinciendo analogae caput collocantes ſuper illaeſam axillam oblique per dorſum ſpiram ducimus; poſtea vero per humeri caput ſub affecti brachii axillam, mox ad humeri caput, ita ut ſuper ipſum decuſſis ſtruatur; mox obliqua per pectus ſub alam illaeſam procedit. Ab ala per dorſum obliqua ad claviculam fertur, ita ut partes quaedam circuitus partibus obvoluti ſuperponantur, a clavicula ſub axillam et ad claviculam, quo chiaſmus ſecundus figuretur. Denique ad illaeſam axillam circuitus etiam eadem ratione procedunt.

Ed. Chart. XII. [491. 492.]

Κεφ. οη'. Ἐπὶ συντετελεσμένῳ τῷ ἀστάχυϊ ἑτέρου τελαμῶνος ἡ μεσότης μὲν ὑπὸ πῆχυν ἐγγώνιον ἐσχηματισμένον. αἱ δ' ἀρχαὶ ἐπ' εὐθείας ἐπ' ἀκρώμιον, κἀκεῖ χιασθεῖσαι λοξῶς ἐπὶ μασχάλην ἀπαθῆ, εἶτ' ἐγκύκλιαι περὶ πλευρὰς καὶ βραχίονα πεπονθότα μέχρι τοῦ ὅλου σκεπάσωσι, τὰ δὲ πέρατα ἐπὶ μασχάλην ἀπαθῆ.

Κεφ. οθ'. Ἡ μεσότης ὑπὸ μασχάλην βραχίονος πεπονθότος αἱ ἀρχαὶ ἐπ' ἀκρώμιον χιασθεῖσαι ἀπαγέσθωσαν λοξῶς ἡ μὲν κατὰ νῶτον, ἡ δὲ κατὰ στέρνον ὑπὸ μασχάλην ἀπαθῆ, αἱ δὲ ἐπινομαὶ ὁμοίως.

Κεφ. π'. Ἁρμόζει μὲν ἐφ' ὧν καὶ ὁ στάχυς. ἐπιτελεῖται δὲ οὕτως· μετὰ τὸ ἐπιδῆσαι τὸν στάχυν, μίαν δεῖ ἐγκύκλιον ἐπὶ βραχίονι περιειλῆσαι ἀπὸ βραχίονος· ἀποδόντα τὸ εἴλημα ἀπάγειν λοξῶς ἐπὶ μασχάλην ἀπαθῆ κἀκεῖ ἀσφαλίσασθαι.

Κεφ. πα'. Ἁρμόζει καὶ ἐφ' ὧν ἡ γερανίς. ἐπιτελεῖται δὲ οὕτως· προεπιδήσαντες τὸν στάχυν, μίαν ἀπὸ ἀκρώμιου ἐπι- [492] *νέμησιν ἄγομεν ἐπ' εὐθείας ἐπὶ πῆχυν*

Cap. LXXVIII. In adſtructa ſpica alterius faſciae medium quidem ſub cubitum angulorum delineatum ducatur; capita vero recta ad humeri caput illicque decuſſa oblique ad illaeſam axillam, deinde in orbem ducta per latera et brachium affectum, quoad totum texerint ferantur, faſciae denique extrema ad integram alam.

Cap. LXXIX. Medium faſciae ſub affecti brachii alam, capita ad humeri caput decuſſata adducantur; hinc oblique aliud quidem per dorſum, aliud vero per ſternum ſub illaeſam axillam. Simili quoque modo volvuntur circuitus.

Cap. LXXX. Convenit quibus et ſpica. Ita vero conſtruitur. A ſpica deligata una faſcia in orbem ducta brachio obvolvenda eſt; data vero ſpira ad alam illaeſam oblique adducenda eſt illicque tuto finienda.

Cap. LXXXI. Quadrat quibus et crus. Sic autem conſtruitur. Spica prius deligata unum ab humeri capite circuitum recta ad cubitum angulatum figuratum ducimus;

Ed. Chart. XII. [492.]

ἐγγωνίως ἐσχηματισμένον, κἀκεῖθεν ἐπ᾽ εὐθείας πάλιν ἐπ᾽ ἀκρώμιον, ἀπὸ ἀκρωμίου λοξῶς ἐπὶ μασχάλην ἀπαθῆ· εἶτα ἐγκύκλιον περὶ βραχίονα καὶ πλευρὰς ἐπὶ μασχάλης, κἀκεῖ τὸ πέρας ἀσφαλιζόμεθα.

Κεφ. πβ'. Ἡ μεσότης κατὰ τοῦ πεπονθότος ὤμου, αἱ δ᾽ ἀρχαὶ ἐπ᾽ εὐθείας ἐπὶ πῆχυν πλησίον ἀγκῶνος ὄρθιοι· πάλιν παράλληλοι ταῖς πρώταις κατὰ ἀκρώμιον, ἀπὸ ἀκρωμίου ὑπὸ μασχάλην ἀπαθῆ, εἶτα ἐγκύκλια.

Κεφ. πγ'. Ἡ μεσότης ὑπὸ ἀπαθῆ μασχάλην. αἱ δ᾽ ἀρχαὶ ἐγκύκλιοι περὶ πλευρὰς καὶ βραχίονος ἐπεγκύκλιοι πάλιν ἐπὶ μασχάλην ἀπαθῆ· ἀπὸ μασχάλης λοξαὶ ἐπὶ ἀκρώμιον πεπονθός· ἀπὸ ἀκρωμίου ὄρθιοι παρὰ βραχίονα ἐπ᾽ ἀγκῶνα καὶ πάλιν ἀπ᾽ ἀγκῶνος ἐπ᾽ ἀκρώμιον, ἀπὸ ἀκρωμίου ἐπὶ μασχάλην ἀπαθῆ, εἶτ᾽ ἐγκύκλιοι περὶ βραχίονα.

Κεφ. πδ'. Ἁρμόζει ἐπὶ τῶν κατ᾽ ἀμφοτέρους ὤμους ἐχόντων σίνος. ἐπιτελεῖται δ᾽ οὕτως· ἐπὶ συντετελεσμένῳ τῷ ἁπλῷ στάχυϊ μετὰ τὸ ἐπὶ μασχάλην καταντῆσαι τοὺ

ac poſtea recta rurſum ad humeri caput, ab humeri capite oblique ad alam illaeſam, mox in orbem per brachium et axillam volvimus illicque modo adſtruimus.

Cap. LXXXII. Medium faſciae ſuper axillam affectam injiciatur, capita vero recta ad cubitum flexui vicinum directa; rurſum primis paralella ſuper humeri caput, ab humeri capite ſub illaeſam axillam, deinde in orbem ducantur.

Cap. LXXXIII. Medium ſuper integram axillam injiciatur, capita vero in orbem ad latera et brachium ferantur; ac rurſum in orbem recurrentes ad alam illaeſam; ab ala obliqua ad affectum humeri caput, ab humeri capite arrecti a brachio ad cubiti flexum, rurſusque a cubiti flexu ad humeri caput, ab humeri capite ad alam illaeſam, poſtremo in orbem circa brachium.

Cap. LXXXIV. Congruit utriusque humeri laeſionem ferentibus. Ita vero conficitur. Quum ſimplex ſpica conſtructa fuerit, tum poſtea faſcia in axillam brachii

Ed. Chart. XII. [492.]

ἐπιδεδεμένου βραχίονος ἑξῆς αὐτὴν λοξὴν ἄγομεν ἐφ' ἑτέρου βραχίονος καὶ ἀκρώμιον, ὡς κατ' αὐτοῦ χίασμα γενέσθαι· εἶτα μασχάλην ἀντικειμένην, αἱ δ' ἐπινομαὶ κατὰ τῶν αὐτῶν.

Κεφ. πέ'. Ὠνόμασται μὲν ἁπλῶς οὕτως ἀπὸ τοῦ ἐμφερὴς εἶναι τοῖς παρὰ Ῥωμαίοις θώραξιν, οὓς καταφράκτας καλοῦσιν. εὐθετεῖ δὲ ἐφ' ὧν ἐπιδῆσαι θέλομεν τὰ περὶ τὰς κλεῖδας μέρη καὶ ὠμοπλάτην ἢ στέρνον ἢ μετάφρενον ἢ πλευράς. ἔστι δὲ ἡ ἐπίδεσις κατά τι ὁμοία τῷ διπλῷ στάχυϊ. ἐπιτελεῖται δ' οὕτως· ἀρχὴ ὑπὸ μασχάλην τὸ εἴλημα λοξῶς ἔμπροσθεν κατὰ στέρνου πλησίον τῆς τῶν κλειδῶν πρὸς τὸ ξιφοειδὲς συμβολῆς καὶ παρα τράχηλον ἐπ' ὠμοπλάιην ἀντικειμένου βραχίονος, εἶτα ὑπὸ τὴν παρακειμένην μασχάλην, ἀπὸ μασχάλης ἐπὶ τράχηλον κατὰ τῆς πρώτης, ὡς χίασμα πλησίον τραχήλου γίγνεσθαι καὶ λοξὴ κατὰ ἀντικειμένης ὠμοπλάτης· εἶθ' ὑπὸ μασχάλην, ἀπὸ μασχάλης παρὰ τράχηλον ἐπὶ τὸν τοῦ αὐχένας σφόνδυλον, ὡς κατ' αὐτοῦ χίασμα γενέσθαι, εἶθ' ὑπὸ μασχάλην καὶ λοξὴ πλη-

deligati demittenda, quam deinceps obliquam in alterum brachium et humeri caput ducimus, ita ut ſupra ipſam chiaſmus fiat, deinde ad oppoſitam alam atque ipſis circuitus admoventur.

Cap. LXXXV. Ita quidem ſimpliciter nominata eſt, quod Romanorum thoracibus ſit ſimilis, quos cataphractos vocitant. Iis autem congruit, in quibus clavicularum regiones et ſcapulas aut ſternum aut metaphrenum aut coſtas deligare volumus. Ad haec deligatio partim eſt duplici ſpicae ſimilis. Sic autem conſtruitur. Caput ſub alam, circumvolutio oblique antrorſum per ſternum prope clavicularum cum oſſe pectoris connexionem ducitur et per cervicem ad brachii oppoſiti ſcapulam, moxque ſub adjacentem alam. Ab ala ad cervicem ſuper prius injectam faſciam, ita ut chiaſmus prope cervicem ſtruatur et obliqua ſuper oppoſitam ſcapulam, deinde ſub alam; ab ala per cervicem ad colli vertebram, quo ſuper ipſam decuſſatio facta ſit. Deinde ſub alam prope clavicularum

Ed. Chart. XII. [492. 493.]

σίον κλειδῶν συμβολῆς· ὡς καὶ ἐνταῦθα χίασμα γίγνεσθαι καὶ παρὰ τράχηλον [493] ἐπ᾽ ὠμοπλάτην καὶ ἐπὶ μασχάλην, ἵνα τέσσαρα γένηται χιάσματα, ἓν μὲν ἐκ τῶν ἔμπροσθεν, ἓν δὲ ἐκ τῶν ὄπισθεν, δύο δὲ κατὰ τῶν κλειδῶν. αἱ δὲ ἐπινομαὶ κατὰ τῶν αὐτῶν εἰς ἐγκυκλίους περὶ στῆθος καὶ πλευρὰς, ὡς τὴν ὅλην ἐπίδεσιν θώρακι γίνεσθαι ὁμοίαν.

Κεφ. πστ'. Ἡ μεσόιης ὑπὸ μασχάλην. αἱ ἀρχαὶ κατὰ κλειδὸς παρακειμένης χιαζέσθωσαν πλησίον τραχήλου· εἶτα λοξαὶ ὑπ᾽ ἀντικειμένην μασχάλην, ἀπὸ μασχάλης ἐπὶ παρακειμένην κλεῖδα καὶ κατ᾽ αὐτῆς χίασμα πλησίον τραχήλου καὶ λοξαὶ ἐπ᾽ ἀντικειμένην μασχάλην, εἶτ᾽ ἐγκύκλιοι περὶ θώρακα.

Κεφ. πζ'. Εὐθετεῖ αὕτη ἡ ἐπίδεσις ἐφ᾽ ὧν στέρνον ἢ μετάφρενον ἢ πλευρὰς ἢ θώρακα ἐπιδῆσαι θέλομεν, δύο δὲ τελαμώνων μεσόιητα σύμμετρον κατὰ τῶν ὤμων θέντες τὰς ἀρχὰς ἐπ᾽ εὐθείας κάτω παρίεμεν. ἔπειτα εἰληιῷ ἐπιδέσμῳ κατὰ κύκλον ἐπιδήσαντες τό τε ὅλον σιῆθος καὶ τὰς πλευρὰς ὥστε σκεπάσαι καταλαμβανόμενοι τὸ πέρας ἰὰς

commiſſuram, ut et hic chiaſmus figuretur, et per cervicem ad ſcapulam et ad alam, ut quadruplex chiaſmus conſpiciatur. Unus quidem ex anterioribus, alter vero ex poſterioribus, duo denique prope claviculas. Circuitus autem iisdem modis in orbes circa pectus et coſtas ita feruntur, ut univerſa deligatio thoraci prodeat ſimilis.

Cap. LXXXVI. Medium ſub axillam injiciatur. Capita ſuper claviculam adjacentem prope cervicem decuſſatur; deinde obliqua ſub alam oppoſitam, ab ala ad oppoſitam claviculam et ſuper ipſam decuſſis prope cervicem ſtruatur et obliqua ad alam adjacentem, deinde circum thoracem in orbem ducantur.

Cap. LXXXVII. Haec ipſis congruit deligatio, quibus pectus aut metaphrenum aut latera aut thoracem devincire volumus. Duarum autem faſciolarum medio commenſae longitudinis ſuper humeris poſito capita recta deorſum demittimus; deinde convoluta faſcia ambitu tum totum pectus, tum latera deligamus, quo aperta faſciam

Ed. Chart. XII. [493.]

παρειμένας κάτω ἀρχὰς ὄπισθέν τε καὶ ἔμπροσθεν ταῖς ἐγκυκλίοις προσαπτόμενοι, κἂν ἐπιμηκέστεραι ὦσιν ἀνακλάτες ἐπ' ἀκρώμιον προσασφαλιζόμεθα.

Κεφ. πη'. Οἱ προλεχθέντες τελαμῶνες οὐκ ἐπ' εὐθείας κρέμανται, ἀλλὰ λοξοὶ ὥστε κατ' ἰνίου καὶ τοῦ μεταφρένου χίασμα γίγνεσθαι· τά τε λοιπὰ ὅμοια τῷ ὀρθίῳ συντελεῖται.

Κεφ. πθ'. Ἁρμόζει μὲν ἐφ' ὧν καὶ ὁ μασχαλισιήρ. ἐπιτελεῖται δὲ οὕτως· ἐπικλείσαντες τὸν ἀπὸ δύο ἀρχῶν καταφράκτην, μετὰ πολλὰς ἐγκυκλίους περιβάλλειν ἐπινεμήσεις τῷ θώρακι, ὥστε σκεπάσαι μέχρις ὀμφαλοῦ, τότε τὰς ἀρχὰς πρὸς ἀλλήλας ἀμματίζομεν τὸν λύκον ποιοῦντες βρόχον, ἀπάγοντές τε τὰ λειπόμενα τῶν ἀρχῶν ἐπὶ δεξιὰν καὶ ἀριστερὰν λαγόνα ὑποβύομεν ταῖς ἐγκυκλίοις ἐπινεμήσεσι τὰ πέρατα ἐῶντες κρεμάσθαι ὡσανεὶ τετραδακτυλιαῖα τὸ μῆκος ὄντα, ἵνα αὐτῶν ἡ ὄψις ὡσανεὶ θώρακος κροσσοὶ γίνωνται.

extremam continentes demiſſa deorſum capita tum retrorſum, tum antrorſum faſciae circuitus aſſuimus, atque ſi oblongiora ſint, ad humeri caput converſa adſtruimus.

Cap. LXXXVIII. Praedictae faſciolae non rectae, ſed obliquae pendeant, ut in pectore et metaphreno decuſſis appareat. Cetera vero rectae deligationi ſimilia perficiuntur.

Cap. LXXXIX. His quidem congruit, quibus et axillaris. Sic autem conſtruitur. Celebrata a duobus capitibus cataphracta poſt multos circuitus faſciae diſtributiones thoraci involvendae ſunt, ut ad umbilicum uſque epigaſtrium operiant, ſicque capita inter ſe nexu ligamus ut lupum laqueum conſtruamus. Atque capitum reſidua ad ile dextrum et ſiniſtrum adducta in orbem circuitibus includimus, extrema pendere ſinentes, ac ſi quatuor digitorum longitudinem ſortiantur, quo ipſorum forma tanquam thoracis fimbrias repraeſentet.

Ed. Chart. XII. [494.]

[494] Κεφ. ηʹ. Ἀρχὴ κατὰ λαγόνος δεξιᾶς. τὸ δὲ ἄρμα λοξῶς ἐπὶ πλευρὰς, στέρνον, ὦμον· εἶθ' ὑπὸ ὦμον, ἵνα κατ' αὐτοῦ χίασμα γένηται, εἶτα λοξὴ κατὰ μεταφρένου ἐπὶ λαγόνα κατὰ τῆς προεμβεβλημένης ἀρχῆς, εἶτ' ἐγκύκλιοι περὶ γαστέρα ἐπὶ λαγόνα ἀριστερὰν, κἀκεῖθεν λοξὴ κατὰ μεταφρένου ὡς χίασμα κατ' αὐτοῦ γίγνεσθαι καὶ ἐπ' ὦμον δεξιὸν, εἶθ' ὑπὸ μασχάλην καὶ ἐπ' ὦμον, ἵνα κατ' αὐτοῦ χίασμα γένηται καὶ λοξὴ κατὰ στέρνον καὶ πλευρὰς ἐπὶ λαγόνα ἀριστερὰν, εἶτ' ἐγκύκλιος, αἱ δὲ ἐπινομαὶ κατὰ τῶν αὐτῶν εἰς τὸ σκεπάσαι πάντα τὰ δεόμενα τῆς ἐπιδέσεως.

Κεφ. ηαʹ. Προσεπιδήσαντες τῷ χιαστῷ θώρακι ἑξῆς διὰ στενοῦ τελαμῶνος μίαν ἢ καὶ δευτέραν ἐγκύκλιον περιειλεῖτε κατὰ στέρνου καὶ μεταφρένου καὶ τὸ πέρας ἀγκτῆρι καταλαβοῦ.

Κεφ. ηβʹ. Ἁρμόζει μὲν ἐφ' ὧν καὶ ὁ καταφράκτης. ἐπιτελεῖται δὲ οὕτως· ἀρχὴ κατὰ μεταφρένου τὸ σπείραμα λοξῶς ἐπ' ὠμοπλάτην ἀκρώμιον, ὑπὸ μασχάλην, εἶτ' ἐπ'

Cap. XC. Caput ſuper ile dextrum injiciatur, ſpira vero oblique per latus et ſternum ad humerum ſive ſub axillam, ſive ſub humerum, ut in eo decuſſatio ſit. Mox obliqua per dorſum ad ilia ſuper caput prius injectum, deinde circuitus circa ventrem ad ile ſiniſtrum, illincque obliqua ſuper dorſum, ut in eo decuſſis ſtruatur et ad humerum dextrum, deinde ſub alam et ad humerum, ut ſuper eo decuſſis fiat et obliqua per ſternum et coſtas ad ile dextrum, mox in orbem. Circuitus vero per ipſas partes ducantur, ut ea quae deligatione devincienda ſunt contegantur omnia.

Cap. XCI. Decuſſato thorace deligatione dicta ac ſtructa deinceps anguſta faſciola unum aut alterum circuitum per ſternum et dorſum obvolve et ſpirae extremum fibula retire.

Cap. XCII. Congruit quidem quibus et cataphracta. Sic autem ſtruitur. A dorſo caput orditur, ſpira oblique per ſcapulam ad humeri caput ſub axillam; deinde ad

Ed. Chart. XII. [494. 495.]

ἀκρώμιον ὡς χίασμα κατ' αὐτοῦ γίγνεσθαι καὶ λοξὴ κατὰ μαστοὺς ἐπ' ὀμφαλὸν, ἀπ' ὀμφαλοῦ κλάσαντες ἄγομεν ἐπὶ μαστὸν ἀντικείμενον λοξὴν ἐπ' ἀκρώμιον ὡς χίασμα κατ' αὐτοῦ γίγνεσθαι, εἶτ' ἐπὶ μετάφρενον, εἶτ' ἐν ἐπικυκλίοις περὶ τὰς πλευράς, αἱ δ' ἐπινομαὶ κατὰ τῶν αὐτῶν.

Κεφ. ΜΓ'. Ἁρμόζει μὲν ἐφ' ὧν μετάφρενον ἐπιδῆσαι θέλομεν. ἐπιτελεῖται δὲ οὕτως· ἀρχὴ κατὰ λαγόνος ὡς ἀριστερᾶς τὸ εἴλημα κατὰ μεταφρένου ἐπὶ δεξιὸν ὦμον καὶ ἐπὶ μασχάλην, ἀπὸ μασχάλης ἐπ' ὠμοπλάτην ἀριστεράν· εἶθ' ὑπὸ μασχάλην καὶ ἐπ' ὦμον, ἀπ' ὤμου λοξὴ κατὰ μεταφρένου ἀντικειμένη τῇ πρώτῃ· εἶτ' ἐγκύκλιος περὶ τὰς λαγόνας μιᾷ καὶ δευτέρᾳ καὶ τὸ πέρας προσλαμβάνει ἡ αὐτὴ, ἣ καὶ ἐμπροσθοφανὴς εἶναι δύναται καὶ ἄν τις τὰς αὐτὰς ἐπινεμήσεις μὴ ὄπισθεν, ἀλλ' ἔμπροσθεν τάξῃ.

[495] Κεφ ΜΔ'. Ἁρμόζει μὲν ἐφ' ὧν καὶ ἡ πρὸ αὐτῆς. τελαμῶνα οὖν λαβόντες σύμμετρον μήκει καὶ πλάτει κατὰ τὴν μεσότητα σχίζομεν, ὥστε τὴν κεφαλὴν διελθεῖν. τὰ δὲ πέρατα παρίεμεν, ὁ μὲν κατὰ νώτου, ὁ δὲ κατ'

humeri caput, ut decuſſis ſuper ipſum ſtruatur et obliqua per mammam ad umbilicum. Ab umbilico reflectentes ad oppoſitam mammam ducimus, obliquam ad humeri caput, ut decuſſis ſupra ipſum fiat; deinde ad dorſum, mox in orbem circa latera, denique his circuitus accubent.

Cap. XCIII. Congruit quidem quibus dorſum devincire volumus. Sic autem conſtruitur. Caput ab ilibus ordiatur ut ſiniſtris, circumvolutio per dorſum ad dextrum humerum et ad alam; deinde ſub alam et ad humerum, ab humero obliqua per dorſum primae oppoſita; poſtea in orbem circa ilia ſemel et bis et extremum ipſa contineat. Atque haec ſtella retrorſum ſpectabilis eſſe poteſt, ſi quis ipſos circuitus non retrorſum, ſed antrorſum locaverit.

Cap. XCIV. Iis quadrat quibus et praecedens. Sumptam igitur faſciam longitudine et latitudine congruentem in medio ſcindimus ut caput permeet; extrema vero demittimus pendula, alterum quidem a dorſo, alterum

Ed. Chart. XII. [495.]

ἐπιγαστρίου ἐπιπλέκομέν τε τὸν χιαστὸν καλούμενον θώρακα, τὰ δὲ πέρατα αὐτῆς προϋποτεθέντος τελαμῶνος ἐπισχίσαντες εἰς τέλος κάτω κρεμᾶσθαι ἐῶμεν.

Κεφ. ηε'. Ἁρμόζει μὲν ἐφ' ὧν τὸ ἕτερον μέρος τοῦ τραχήλου ἐπιδῆσαι θέλομεν. ἀρχὴ κατὰ μέσον τοῦ πλευροῦ τὸ εἴλημα λοξῶς κατὰ μεταφρένου ἐπὶ τράχηλον καὶ στέρνον· εἶτ' ἐπὶ πλευρὰν κατὰ τῆς προεμβεβλημένης ἀρχῆς καὶ περὶ θώρακα ἐγκύκλιος.

Κεφ. ηστ'. Ἡ ἀρχὴ ὑπὸ μασχάλην. τὸ εἴλημα λοξῶς κατὰ μεταφρένου ἐπὶ τράχηλον καὶ ἐπὶ στέρνον, μασχάλην καὶ ἐπὶ ἀντικειμένην μασχάλην καὶ λοξὴ ἐπὶ στέρνον καὶ τράχηλον, ὡς χίασμα κατ' αὐτοῦ γενέσθαι καὶ λοξὴ κατὰ μεταφρένου ὑπὸ μασχάλην ἐγκύκλιος. αἱ δ' ἐπινομαὶ κατὰ τῶν αὐτῶν.

Κεφ. ηζ'. Δύο τελαμῶνες πλάτει διδακτυλιαίων μήκει σύμμετροι τὰς μεσότητας καιὰ τῶν ὤμων θέντες, ἀρχὰς μὲν ἐπ' ὀμφαλόν, ἃς δὲ κατὰ νώτου χιάσαντες πρὸς αὐτὰς

vero ab epigaſtrio, atque decuſſatum thoracem appellatum implicamus. Sciſſa vero ipſius prius ſuppoſitae faſciae extrema deorſum ad finem pendere ſinimus.

Cap. XCV. Idonea quidem eſt deligatio, quibus alteram cervicis partem devincire volumus. Caput per lateris medium orditur, circumvolutio oblique a dorſo ad cervicem ac ſternum; deinde ad latus ſuper caput primo injectum, poſtea per thoracem in orbem.

Cap. XCVI. Caput ſub alam injiciatur, ſpira oblique per dorſum ad cervicem, inde ad pectus et alam, ad oppoſitam alam et obliqua ad pectus et cervicem ut ſuper ipſa decuſſis ſtruatur et obliqua per dorſum ad alam in orbem feratur. Hisque modis eant circuitus.

Cap. XCVII. Dentur duae faſciae duorum digitorum latitudine et longitudine commoderatae, quarum meditullis ſuper humeros injectis capita quidem ad umbilicum,

Ed. Chart. XII. [495. 496.]

ἀγκτηρίζομεν, εἶτ' ἐπιπλέκομεν τὴν καλουμένην καλαθοειδῆ γερανῖδα.

Κεφ. ΗΗ'. Εὐθετεῖ μὲν ἐφ' ὧν καὶ ἡ πρὸ ταύτης. συντελεῖται δὲ ἔκ τε τοῦ διπλοῦ τραχηλιστῆρος καὶ τῆς καλαθοειδοῦς γερανίδος προσεπιτελουμένης.

Κεφ. ΗΘ'. Ἀρχὴ κατὰ λαγόνα. ἡ δὲ ἐπινομὴ λοξῶς κατὰ κλειδὸς ἐπ' ὠμοπλάτην, εἶθ' ὑπὸ μασχάλην καὶ ἐπὶ κλεῖδα, ἵνα χίασμα ὑπὲρ τὸ ἀκρώμιον γένηται· εἶτ' ἐγκάρσιος ἐπ' αὐχένα καὶ ἐπ' ἀντικειμένην κλεῖδα ὑπὸ μασχάλην καὶ ἐπὶ [496] κλεῖδα, ἵνα χίασμα καὶ ἐνταῦθα γένηται καὶ λοξὴ παρὰ μαστὸν ἐπὶ λαγόνα ἀντικείμενον, ὥστε καὶ κατὰ στέρνου χίασμα γίγνεσθαι, εἶτ' ἐγκύκλιοι περὶ λαγόνας· εἶτα περὶ μετάφρενον λοξὴ καὶ ἐπὶ ἀκρώμιον, μασχάλην, εἶτ' ἐπ' ἀκρώμιον· εἶτ' ἐγκάρσιος ἐκ τῶν ἔμπροσθεν κατὰ τὴν ἐμβολὴν τῶν κλειδῶν καὶ ἐπ' ἀκρώμιον καὶ λοξὴ κατὰ μεταφρένου ἐπὶ λαγόνα· εἶτ' ἐγκύκλιος ἐπιπλέκεται αὐτῇ, ἤτοι διπλῇ γερανὶς ἢ χιαστὸς τραχηλιστὴρ ἢ ἡ διπλοῦς λεγόμενος.

quae ſupra dorſum decuſſata inter ſe fibula jungimus. Deinde quaſilliformem gruem vocatam obvolvimus.

Cap. XCVIII. Confert ſane quibus et praecedens. Conſtruitur autem tum ex duplici tracheliſtro, tum ex quaſilliformi geranide conſtitutis.

Cap. XCIX. Caput ad ilia. Diſtributio oblique ad claviculam, ad ſcapulam; deinde ſub axillam et ad claviculam, ut decuſſis ſupra humeri caput ſtruatur; mox transverſa ad collum et oppoſitam claviculam ſub alam et ad claviculam, ut decuſſis etiam illic fiat et obliqua per mammam ad ilia oppoſita, ut decuſſis quoque ſuper pectus figuretur; poſtea in orbem circa ilia feratur, mox circa dorſum obliqua et per humeri caput ad alam, ac rurſus ad humeri caput; inde transverſa ex anterioribus per clavicularum commiſſuram etiam ad humeri caput, atque obliquo a dorſo ad ilia, poſtremo in orbem ipſi implicatur crus duplex vel decuſſatus tracheliſter vel etiam duplex dicta deligatio.

Ed. Chart. XII. [496.]

Κεφ. ρ'. Ἁρμόζει μὲν ἐφ' ὧν καὶ τὸ ὑπὸ στέρνον καὶ νῶτον ἐπιδῆσαι θέλομεν. ἐπιτελεῖται δὲ ἔκ τε τῆς ἀκίδος καὶ τοῦ ἀστέρος τῶν περάτων ἃ δὴ ἐπὶ τῆς ἀκίδος πρὸς ἄλληλα ἠγκτηρίζετο κατὰ τὰς λαγόνας παρηγμένων κἀκεῖ καὶ ἀποκρεμαμένων.

Κεφ. ρα'. Προκαταλαβόμενος κατὰ τῶν ὤμων τοὺς τελαμῶνας οὓς ὑπὸ τῆς ἀκίδος ὑπεδείξαμεν, προσαπόδος κατὰ δύο ἤδη τραχηλιστῆρ ὅς ἐστι διπλοῖς, εἶτα τὴν καλαθοειδῆ γερανῖδα.

Κεφ. ρβ'. Θεατρικὴ μὲν ἡ ἐπίδεσις ἐπειδὴ συντελεσθεῖσα ἐμφερὴς γίγνεται ταῖς ὀρθαῖς γωνίαις τῶν βωμίσκων προεπιδεδεμένῳ τῷ καλαθοειδεῖ τραχηλιστῆρι τῇ ὁμοιοσχήμονι γερανίδι προσαποδιδομένην τὴν Σωστράτου στηθοδεσμίδα τὴν ὀρθίαν μετὰ τῶν ἀναληπτρίδων.

Κεφ. ργ'. Καὶ αὐτὴ θεατρικὴ ἁρμόζει μὲν ἐπὶ τῶν αὐτῶν προσεπιδήσαντες καὶ πάλιν τὴν Σωστράτου ὀρθίαν τὴν στηθοδεσμίδα, ἣν τινες τέτρατον καλοῦσι.

Cap. C. Congruit quibus tum ſub pectus, tum dorſum devincire volumus. Haec autem deligatio ex cuſpide et ſtella conſtruitur, extremis, quae ſane in cuſpide inter ſe per fibulam jungebantur, ad ilia adductis illicque ſuſpenſis.

Cap. CI. Praeſumptis ad humerorum capita faſciolis quas in cuſpide explicavimus, adjice duas ſpecies trachelilterem qui duplex eſt, deinde gruen quaſilliformem.

Cap. CII. Quum theatralis deligatio conſtructa eſt rectis arae parvae angulis ſimilis evadat. Primum deligato tracheliſtere quaſilliformi grui conſimili pectoralem Soſtrati deligationem rectam cum ſuſpendentibus faſciolis adjicimus.

Cap. CIII. Ipſa etiam theatralis iisdem congruit deligatio; recta iterum Soſtrati deligatione facta pectoralem deligationem, quam quidem quadrigam vocitant, conſtruimus.

Ed. Chart. XII. [496. 497.]

Κεφ. ρδ'. Δύο τελαμῶνας καὶ τῶν νώτων θέντες ὡς ἐπὶ τῆς ὀρθίας στηθοδεσμίδος ἐπιπλέκομεν τὸν ἁπλοῦν ῥόμβον.

Κεφ. ρε'. Ἀρχὴ κατὰ πλευρᾶς. τὸ εἴλημα λοξῶς κατὰ στέρνον ἐπὶ ἀκρώμιον, εἶτ' ἐγκάρσιον ἐπ' αὐχένος κατ' ἀκρώ-[497] *μιον ἀντικείμενον καὶ ὑπὸ μασχάλην ἐκ τῶν ἔμπροσθεν εἰς τὰ ὀπίσω καὶ ἐπὶ τὸ αὐτὸ ἀκρώμιον καὶ λοξὴ ἐπὶ στέρνον, εἶτ' ἐγκύκλιος κατὰ λαγόνος. ἡ αὐτὴ ὀπισθοφανὴς γίνεται ἐναλλασσόντων ἡμῶν, τὰς μὲν ἐμπροσθίους ἐπινεμήσεις ποιούντων ὀπίσω, τὰς δὲ ὀπισθίους ἔμπροσθεν.*

Κεφ. ρστ'. Ἁρμόζει μὲν ἐφ' ὧν πλευραὶ ἐπιδοῦνται. συντελεῖται δὲ οὕτως· ἡ μεσότης τοῦ ἐπιδέσμου κατ' αὐχένας, αἱ δ' ἀρχαὶ λοξαὶ κατὰ στέρνον εἰς αὐτὰς ἀγκυλωθεῖσαι ὑπὸ μασχάλας ἐπὶ μετάφρενον, κἀκεῖ πάλιν ἀγκυλωθεῖσαι ἀπαγέσθωσαν, οὕτω τε μέχρι τοῦ ὅλον τὸν θώρακα ἐπιδεθῆναι, ὅτε μὲν ὀπίσω, ὅτε δὲ ἔμπροσθεν ἀγκυλούσθωσαν. τὰ δὲ πέρατα πρὸς ἄλληλα ἀμματιζέσθωσαν. ταύτῃ τῇ

Cap. CIV. Duabus faſciolis dorſo ſuperpoſitis, quemadmodum recta Soſtrati deligatione ſimplicem rhombum obvolvimus.

Cap. CV. Caput faſciae a latere ordiatur, ſpira oblique per ſternum ad humeri caput ſub alam volvatur; deinde transverſa ad humeri caput, mox transverſa per collum in oppoſitum humeri caput et ſub axillam a parte anteriori in poſteriorem et ad ipſum humeri caput et obliqua ad ſternum, poſtea in orbem ad ilia. Eadem deligatio retrorſum ſpectabilis redditur nobis immutantibus, anteriores quidem circuitus poſteriores, poſteriores vero anteriores facientibus.

Cap. CVI. Congruit quibus coſtae deligandae ſunt. Sic autem conſtruitur. Medium faſciae in collum injicitur; capita vero obliqua per ſternum ſibi ipſis implicita ſub alas ad dorſum illicque rurſum implicita adducantur. Sicque quoad totum thoracem deligaverint, modo retrorſum, modo antrorſum injiciantur. Faſciae vero extrema

Ed. Chart. XII. [497.]

ἐπιδέσει ἁρματηλάται χρῶνται συνοχῆς χάριν τῶν πλευρῶν. ἀπηρτικότες καὶ τὰς περὶ τὸν θώρακα ἐπιδέσεις καὶ τὰς ἑξῆς λέγωμεν.

Κεφ. ρζ'. Ἁρμόζει μὲν ἐπὶ βουβῶνος. ἐπιτελεῖται δὲ οὕτως· ἀρχὴ κατὰ λαγόνος, ἡ ἀντικειμένη δὲ ἐπινέμησις λοξὴ κατὰ πυγῆς πλησίον τοῦ πεπονθότος βουβῶνος, εἶτ' ἐπὶ περίναιον κάτωθεν ἄνω καὶ λοξὴ ἐπὶ βουβῶνα, εἶτ' ἐγκύκλιος κατὰ ἰσχίον καὶ κατὰ λαγόνα κατὰ τῆς προεμβεβλημένης ἀρχῆς, αἱ δ' ἐπινομαὶ κάτωθεν ἄνω αὐτῶν.

Κεφ. ρη'. Ἀρχὴ κατ' ἐπιγαστρίου τὸ εἴλημα λοξῶς ἐπὶ κοτύλην παρὰ περίναιον ἐπὶ βουβῶνα κάτωθεν ἄνω κατὰ τῆς προεμβεβλημένης ἐπὶ ἰσχίον καὶ βουβῶνα παρὰ περίναιον καὶ κοτύλην κάτωθεν ἄνω καὶ ἐπὶ ἧτρον, αἱ δ' ἐπινομαὶ κατὰ τῶν αὐτῶν ὡς ἀμφότεροι οἱ βουβῶνες σκεπασθῶσιν.

Κεφ. ρθ'. Ἡ μεσότης κατὰ τοῦ βουβῶνος. αἱ δ' ἀρχαὶ ἐπὶ κοτύλην κἀκεῖ χιασθεῖσαι· ἡ μὲν ἐπὶ βουβῶνος, ἡ δὲ ἔξω-

inter ſe nexu ligentur. Hacce deligatione aurigae utuntur coſtarum continendarum gratia. Expoſitis quae thoraci obvolvuntur deligationibus ceteras deinceps recitemus.

Cap. CVII. Idonea quidem eſt inguini devinciendo. Ita vero conſtruitur. Caput faſciae ab ilibus ordiatur; oppoſita vero diſtributio obliqua per clunem inguinis affecti vicinum, deinde ad perinaeum inferne ſurſum et obliqua ad inguen; poſtea in orbem per iſchium et per ilia ſuper caput injectum, circuitus denique inferne ſurſum obvolvuntur.

Cap. CVIII. Caput ſuper epigaſtrium injiciatur, obvolutio oblique per coxam ſuper perinaeum ad inguen infernum ducatur juxta caput primo injectum ad iſchium et inguen per perinaeum et femoris acetabulum inferne ſurſum et ad imum ventrem. Circuitus vero his diſtribuuntur, ut utrumque inguen obtegatur.

Cap. CIX. Medium faſciae ab inguine ducit exordium, capita vero ad femoris acetabulum feruntur illicque decuſſata alterum quidem ad inguen, alterum vero extra;

Ed. Chart. XII. [497. 498.]
θεν. εἶτα ἐπὶ τῷ αὐτῷ ἀναγέσθωσαν, αἱ δ' ἐπινομαὶ κατὰ τῶν αὐτῶν.

[498] ρι'. Τῆς βραχυτέρας ἀρχῆς ὡς ἂν ἢ δύο ἢ τρεῖς τόποι παρίενται κατὰ βουβῶνος. τὸ δὲ εἴλημα ἄγεται κατὰ λαγόνος ἐπὶ ἰσχίον καὶ ἐπιγάστριον, εἶτ' ἐπὶ κοτύλην λοξῶς καὶ βουβῶνα κάτωθεν ἄνω καὶ ἐπὶ λαγόνα καὶ ἰσχίον καὶ ἀντικειμένην λαγόνα καὶ ἐπιγάστριον, ὅτε ἡ παρειμένη ἀρχὴ ἀνακλᾶται ἐπὶ βουβῶνα, ἵνα κατ' αὐτοῦ πτύγμα γένηται ἢ καταλαμβάνηται τῷ εἰλήματι· εἶτ' ἐπιτελεῖται πάλιν βουβῶνι, εἶτ' ἐπὶ ἰσχίον καὶ ἐπιγάστριον καὶ πάλιν ἡ πρώτη ἀρχὴ πτύσσεται ἄνωθεν κάτω καὶ τῷ εἰλήματι καταλαμβάνεται καὶ οὕτως ἐπιδεῖται ἄχρις ἂν συντελεσθῇ ἀεὶ τοῦ μὲν πτυσσομένου, τοῦ δὲ ἐπειλουμένου, τὸ δὲ πέρας ἀγκτηρίζεται.

Κεφ. ριά'. Ταινίας ἡ μεσότης κατ' ὀσφύος. αἱ δ' ἀρχαὶ κατὰ βουβῶνα ὡς ἐπὶ τοῦ ἁπλοῦ παριέντες ἑτέρου ἐπιδέσμου. ἀρχαὶ κατ' ἐπιγαστρίου καὶ συντελεῖται διπλοῦς

deinde in unum adducantur, eadem ratione procedant circuitus.

Cap. CX. Brevioris capitis fere duae tresve partes ſuper inguen demittuntur; ſpira vero per ilia ad iſchium et epigaſtrium ducitur; deinde oblique ad femoris acetabulum et inguen inferne ſurſum et ad ilia et iſchium et oppoſita ilia et epigaſtrium. Quamobrem demiſſum caput ad inguen reflectitur, ut ſuper eo ſinus fiat, qui altera circumvolutione comprehendatur. Deinde etiamnum inguini immittitur, poſtea per iſchium et epigaſtrium, ac deinde primum ſuperne deorſum obvolutae faſciae in ſinus contrahitur et circumvolutione comprehenditur et ita deligatur continuo quoad deligatio peracta fuerit, altera quidem implicata, altera vero ſuper obvoluta; extremum denique fibula nectitur.

Cap. CXI. Medium faſciolae ſuper lumbos injiciatur, capita vero per inguen, quemadmodum in ſimplici altera deligatione remiſimus. Capita vero ſuper epigaſtrium et

Ed. Chart. XII. [498. 499.]

βουβωνίσκος τῶν κάτω παρειμένων ταινιδίων πτυσσομένων ὡς ἐπὶ τοῦ διπλοῦ εἴρηται.

Κεφ. ριβ'. Ταινιδίου μεσότης κατ' ὀσφύος, αἱ δ' ἀρχαὶ κατ' ἐπιγαστρίου ἀμματίζονται, εἶτ' ἐπιδέσμου εἰλητοῦ ἡ ἀρχὴ ὑπὸ τὴν ζώνην τὸ εἴλημα ὑπὸ καυλὸν, εἶτ' ἐπὶ τὴν ζώνην ἄνωθεν κάτω· εἶθ' ὑπὸ καυλὸν καὶ περὶ τὴν ζώνην, εἶτ' ἐπιτελεῖ ὑπὸ τοὺς διδύμους καὶ ὑπὸ τὴν ζώνην.

Κεφ. ριγ'. Μετὰ τὸ περιθεῖναι τὴν ταινίαν ἡ ἀρχὴ τοῦ ἐπιδέσμου ἐπὶ καυλὸν καὶ νομαὶ ἐγκύκλιοι περὶ αὐτὸν ἕως σκεπασθῇ· εἶτα περὶ τὴν ζώνην, εἶτα ὑπὸ καυλὸν καὶ περὶ τὴν ζώνην, εἶθ' ὑπὸ διδύμους καὶ ἐπὶ ζώνην.

[499] Κεφ. ριδ'. Σύμμετρον ῥάκος λαβόντες σχίζομεν εἰς σκέλη τέσσαρα τὸ μέσον συνεχὲς ἐῶντες καὶ ὑποβάλλομεν τῷ καυλῷ, τὰς δὲ ἀρχὰς ἀνάγοντες τὰς περὶ τὸ ἕτερον μέρος πλησίον καυλοῦ ἐπισχίζομεν, διὰ δὲ αὐτοῦ διεκβάλλομεν τὰς ἑτέρας ἐπὶ τὴν ζώνην.

conſtruitur duplex inguinaria deligatio demiſſis deorſum faſciis, quas ut in duplici dictum eſt duplicamus.

Cap. CXII. Medium faſciae lumbis injiciatur, capita ſuper epigaſtrium nexu ligentur; deinde faſciae obvolutae caput ſub zonam, ſpira ſub caulem; deinde ad zonam ſuperne deorſum, poſtea ſub caulem et ad zonam; poſtremo ſub teſticulos et ſub zonam deligationem abſolvit.

Cap. CXIII. Circumvoluta zona faſciae caput ad caulem injiciatur, in circuitus in orbem circa ipſum quoad obtexerit; deinde ad zonam ferantur, mox ſub caulem et ad zonam; poſtremo ſub teſticulos et ad zonam.

Cap. CXIV. Linteum conſentaneum ſumptum in quatuor crura ſcindimus, medium integrum ſinentes cauli ſubjicimus; capita vero ad alteram partem ducentes prope caulem ſcindimus. Per hanc autem partem alias ad zonam ductas trajicimus et trajectas nodo alligamus.

ΕΚ ΤΩΝ ΓΑΛΗΝΟΥ ΥΠΟΜΝΗΜΑΤΩΝ ΠΕΡΙ ΕΠΙΔΕΣΜΩΝ ΒΙΒΛΙΟΝ.

Ed. Chart. XII. [500. 501.]

[500] Σκοποὶ πάσης ἐπιδέσεώς εἰσι πρῶτοι καὶ μέγιστοι τῆς γε δι' ἑαυτὴν παραλαμβανομένης οὐχ ὑπηρεσίας ἕνεκα τῶν ἐπικειμένων τῷ πάσχοντι μορίῳ, τό τε κατέχειν ἀκίνητον, ὡς διεπλάσθη τὸ πεπονθὸς ἀφλέγ- [501] μαντόν τε φυλάττειν. ἐπεὶ δ' οὐ δύναται ταῦτα ποιεῖν ἡ ἐπίδεσις ἄνευ τοῦ διεμμένειν αὐτὴν καὶ μὴ μετακινεῖσθαι πρὸς τὰ κάτω τοῦ σώματος ἢ ἄνω· διὰ τοῦτο τοῖς ἀπαθέσι μορίοις

EX GALENI COMMENTARIIS DE FASCIIS LIBELLUS.

Scopi omnis faſciationis primi ſunt ac maximi, tum ut ipſa per ſe partes devinciendas amplectatur, tum adminiſtrationis rerum affectae parti incumbentium gratia, tum ut partem affectam in propria figura immoratam contineat et inflammationis expertem tueatur. Quia vero haec efficere non poteſt faſciatio, niſi ipſa permaneat neque ad inferas aut ſuperas corporis partes dimoveatur, propterea

Ed. Chart. XII. [501.]

ἀναγκαζόμεθα προσπεριβάλλειν τοὺς ἐπιδέσμους, ὅπως ἔνθα μὲν εἰκὸς ἀναδραμεῖν ἔστιν ὅλην τὴν ἐπίδεσιν, ἀντίληψις αὐτῆς γίγνοιτο ἐπὶ τῶν ταπεινοτέρων, ἔνθα δὲ καταδραμεῖν ἐπὶ τῶν ὑψηλοτέρων, ἐπ᾽ ἐνίων δὲ μορίων ἡ διὰ τῶν ἀντικειμένων ἀντίληψις ὠφελιμωτέρα, καθάπερ ἐπ᾽ ὤμου καὶ βουβῶνος, ἀκριβῶς δ᾽ εἰπεῖν ἐπ᾽ ὤμου μὲν οὐ περὶ τὸν ἕτερον ὦμον, ἀλλὰ τὴν μασχάλην, ἐπὶ βουβῶνος δὲ κατὰ τὸν κενεῶνα περιβάλλεσθαι δεῖ τὸν ἐπίδεσμον. οὔτε γὰρ ὁ ὦμος, οὔθ᾽ ὁ γλουτὸς ἀσφαλῶς φυλάττειν δύναται τὰς περιβολάς, ἀλλ᾽ ἡ μασχάλη καὶ ὁ κενεών. ὡσαύτως δὲ καὶ τῆς κνήμης εὐαπόῤῥυτον ἐχούσης τὴν ἐπίδεσιν διὰ τὴν κυρτότητα τῆς γαστροκνημίας ἡ ἄνω περιβολὴ χρησίμη κατ᾽ ἐκείνας δηλονότι τὰς ἐπιδέσεις καθ᾽ ἃς ἀναγκαῖόν ἐστι τὸ κυρτὸν τῆς γαστροκνημίας περιλαμβάνειν. ἐπεί τοι τὰ κατὰ τὰ σφυρὰ χωρία τὸ μόνιμον τῆς ἐπιδέσεως ἐξ ἑαυτῶν ἔχει μεταξὺ δυοῖν ἐξοχῶν κείμενα. οἷς δὲ μορίοις οὐκ ἔστιν οὔτε παρακείμενόν τι τοιοῦτον ἕτερον μόριον οἷον ἐπὶ κνήμης οὔτ᾽

partibus illaeſis faſcias circumjicere cogimur, quo huc quidem prout decet univerſa excurrat deligatio, ejus comprehenſio ad humiliores fiat partes; illuc vero ad altiores decurrat. In nonnullis autem partibus quae per oppoſitas fit comprehenſio utilior, quemadmodum in humero ac inguine. Abſolute vero dicendum eſt, in humero quidem non ad alterum humerum, ſed axillam; in inguine vero circa ilia faſciam volvendam eſſe. Neque enim humerus, neque clunis faſciarum ſpiras tuto ſervare queunt, ſed axilla et ilia. Eodem vero modo et tibiae volubilem faſciam continentis ob ſurae devexitatem faſciae ſpira ſuperior uſum habet, in illis nimirum deligationibus quibus devexam ſurae partem continere neceſſe eſt. Quandoquidem malleorum regiones inter duas eminentias dejectae per ſe ſtabilem deligationis remoram prae ſe ferunt. Quibus autem non eſt partibus neque appoſita quaedam pars altera talis ut in tibia exiſtit, neque ut in humero ac inguine oppoſita, in his talem efficere deligationem oportet,

Ed. Chart. XII. [501.]

ἀντικείμενον ὡς ἐπ' ὤμου καὶ βουβῶνος, ἐπὶ τούτων τοιαύτην χρὴ ποιεῖσθαι τὴν ἐπίδεσιν ὡς ἐν τῷ ὁμαλωτάτῳ τὰς καταλήψεις γίγνεσθαι, καθάπερ κἀπὶ τῆς κεφαλῆς. εἰ δ' οὐ δέχεται τὴν κεφαλὴν οὕτω καθάπερ τὰ κῶλα περιλαβεῖν ἐν κύκλῳ· κωλύει γὰρ ὁ τράχηλος συμφυὴς ὢν αὐτῇ, διὰ τοῦτ' ἐπ' αὐτῆς ἐάν τε κατὰ τὸ δεξιὸν μέρος, ἐάν τε κατὰ τὸ ἀριστερὸν ᾖ τὸ τῆς ἐπιδέσεως δεόμενον πάθος τὴν κατ' ἰθυωρίαν ἐπίδεσιν αἱρούμεθα διὰ μὲν τῆς κορυφῆς ἀγομένου τοῦ ἐπιδέσμου, καταγομένου δ' ἐντεῦθεν ἐπ' ἄκραν τὴν κάτω γένυν· εἶτα ἀναγομένου πάλιν ἐπὶ τὸ πεπονθὸς, εἶτ' αὖθις ὁμοίως εἴτε δὶς εἴτε τρὶς αὔταρκες εἶναι νομίζομεν, ἑλιττομένου μέχρι τῆς τελευτῆς, αὐτὴ δὲ πάντως κατὰ τῆς κορυφῆς γιγνέσθω, μονιμώτατον γὰρ τὸ χωρίον τοῦτο. λοιπῶν δὲ ὄντων τῆς κεφαλῆς ἑτέρων μερῶν ἐναντίων ἀλλήλοις, ὧν τὸ μὲν ὀπίσω τε καὶ κατ' ἰνίον ἐστὶ, τὸ δὲ πρόσω τε καὶ κατὰ τὸ μέτωπον ἀπὸ δυοῖν ἀρχῶν ἐπιδεῖν χρή. ἔστι δὲ ἀπὸ δυοῖν ἀρχῶν ἐπίδεσις, ὅταν τὸ μέσον

ut in maxime aequabili loco, quemadmodum in capite comprehenſiones. Quod ſi non detur ita caput ut membra ambitu comprehendere: prohibet enim cervix ipſi cognata, propterea in ipſo capite ſive ad dextram ſive ad ſiniſtram partem ſit is qui faſciationem affectus deſiderat, ſecundum rectitudinem deligationem decernimus ducta quidem per verticem faſcia indeque ad ſummam imamque maxillam deducta; deinde rurſum ad affectam partem ſurſum evecta, poſtea ſimiliter bis terve iterata et prout ſatis eſſe exiſtimaverimus aduſque ſui extremum evoluta, ipſa vero ſupra verticem omnino ſit extremitas. Haec enim regio firmiſſima eſt faſciationis remora. Quum autem ſuperſint aliae capitis regiones inter ſe contrariae, quarum una quidem et poſterior eſt et ad occiput fertur, altera vero et anterior et ad frontem porrigitur, a duobus capitibus deligatio molienda eſt. Eſt autem a duobus capitibus deligatio, quum toto faſciae medio ſuper affectam partem

Ed. Chart. XII. [501. 502.]
ὅλον τοῦ ἐπιδέσμου κατὰ τοῦ πεπονθότος ἐρείσαντες ἰσορρόπως ἑκάτερον αὐτῶν τῶν μερῶν ἐπὶ τὸν ἀντικείμενον ἄγομεν τόπον. ὅσαι δὲ τελευταὶ τῶν οὕτως ἐπιδουμένων ἐπὶ τὸ μέτωπον ἄγονται, μονιμώτεραι· τοῦτο γὰρ τὸ χωρίον τοῦ ἰνίου μονιμώτερον, πεπονθότων ὁμοίως τῶν ἀντικειμένων μερῶν, ὡς ἐπειδὰν τὰ καλούμενα καυληδὸν γένηται τὰ κατάγματα, τὴν ἐπίδεσιν ἀπὸ δυοῖν ἀρχῶν ποιήσῃ, καθάπερ ἐπὶ τῶν σκεπαρνηδὸν περιβαλλομένων σπληνῶν. ἐὰν δὲ ἀπὸ μιᾶς ἀρχῆς ἐπιδέῃς τὰ τοιαῦτα, κατὰ τὴν ὁμοιότητα τῆς ἀπὸ δυοῖν ἀρχῶν ἐπιδέσεως ἐλίττων τὸν ἐπίδεσμον, οὕτως ἄξεις ἐπὶ τὸ μόνιμον χωρίον, ὡς ἐνταῦθα τελευτῆσαι· ἥκιστα δὲ λοξῷ τῷ ἐπιδέσμῳ δεῖ χρῆσθαι, διότι τὸ χρησιμώτατον τῆς ἐπιδέσεώς ἐστι, τὴν τελευτὴν αὐτῆς ἀπαρέγκλιτον φυλάττειν, εὐθύτατα περατουμένην· ἤτοι γὰρ ἐπὶ τὸ μέτωπον ἢ τὸ μέσον ὅλης τῆς κεφαλῆς ἔνθα τὸ καλούμενον βρέγμα. τῆς μὲν γὰρ κατ' ἐπανθερεῶνα καταγομένης τῆς ἐπι- [502] δέσεως ἡ τελευτὴ, προσηκόντως ἂν ἐπὶ τὸ μέσον ἀνάγοιτο τῆς κεφαλῆς ἀπαρεγκλίτως ἀνατεινο-

admoto utrumque ipſorum ſegmentorum ad oppoſitum locum aequabiliter adducimus; quae vero ſegmentorum ita deligantium extrema ad frontem adducuntur, ſtabiliora manent. Haec enim occipitis regio ſolidior eſt remora. Affectis autem eodem modo partibus, ut quum quae cauliformes fracturae productae ſunt a duobus capitibus deligationem efficies, quemadmodum in ſpleniis aſciatim convolutis. Si vero ab unico faſciae capite laeſas ejusmodi partes deligaveris ad bicipitis faſciationis ſimilitudinem faſciam volvendo ad ſtatum locum adduces, ut illic deſinat; minime vero obliqua faſcia utendum eſt, quia maximus deligationis uſus eſt, ejus extremum prorſus indeclinatum perquam recta terminatum tueri aut ad frontem aut ad totius capitis medium qua parte ſinciput appellatur. Enimvero deligationis quae ad mentum devolvitur extremum, decenter ad capitis medium citra proclinationem ſurſum porrigendum ducatur. Deligationis vero quae cir-

Ed. Chart. XII. [502.]

μένη. τῆς δὲ κυκλοτερῶς περιβαλλομένης ἐπὶ τὸ μέτωπον, ὁμοίως καὶ αὐτὴ κατὰ μηδὲν ἐγκεκλιμένη. περιαγομένη γὰρ οὕτως ἐλιχθήσεται καὶ τοῖς ὀπίσω μέρεσι περὶ τὸ καλούμενον ἰνίον ὁ μεταξὺ τοῦ τραχήλου καὶ ὀπίσω τῆς κυρτότητός ἐστι τοῦ κρανίου. διὰ τοῦτο δέ φησιν Ἱπποκράτης τὴν ἐσχάτην περιβολὴν τῶν ἐπιδέσμων ἥκιστα λοξὴν εἶναι προσήκει, ὅτι τὰς πρὸ αὐτῆς ἤδη πολλάκις ἐξ ἀνάγκης γιγνομένας λοξὰς, ἕνεκα τοῦ περιλαμβάνεσθαι τὸ πεπονθὸς ἄλλοτε κατ' ἄλλο μέρος ὑπάρχον. ἀλλὰ τάς γε διὰ τὸ πάθος λοξὰς γεγονυίας περιβολὰς ἡ ὑστάτη κατέχει μηδαμόθι λοξουμένη. δῆλον οὖν ὅτι τῇ αὐτῇ ἀφελείᾳ κἀκεῖναι συνδιαμένουσιν ἀμετακίνητοι· ὡς οἷν ἐπὶ τῆς κεφαλῆς, οὕτω καὶπὶ τῆς ἄνω τοῦ γόνατος ἢ κάτω γιγνομένης ἐσχάτης περιβολῆς ἀκριβῶς φυλάττεσθαι χρὴ τὸ ἀπαρέγκλιτον. ἐπὶ μὲν τῶν κατὰ βουβῶνα καὶ ὦμον ἐπιδέσεων, ἐν αἷς ἀναγκαζόμεθα κατὰ τῶν ἀντικειμένων τι μυρίων συγκαταλαμβάνειν αἱ ἐσχάται περιβολαὶ κυκλοτερεῖς ἀπαρέγκλιτοι γίγνεσθαι δέονται. κατὰ τοὺς κενεῶνας μὲν ἀμφοτέρους, ἔνθα

cinato ad frontem circumjicitur extremum peraeque ac illud nullo modo pendulum ſit. Sic enim circumducta volvetur per poſticas partes verſus occiput vocatum, quod cervicem et poſticam cranii curvitatem interjacet. Propterea vero, inquit Hippocrates, ultimam faſciarum ſpiram minime obliquam eſſe convenit, quod jam ante ipſam neceſſario multoties accidat obliquas fieri ſpiras, ut pars affecta interdum ab altera ſuperiori parte contineatur. Verum haſce circumvolutiones ob affectum obliquas factas ultima remoratur nequaquam obliquata. Patet igitur illas ipſa ſecuritate ſimul immutabiles permanere. Quare ut in capite, ſic et ſupra aut infra genu quum ultima ſit circumvolutio, ipſa indeclinabilis accurate ſervanda eſt. In inguinis quidem et humeri deligationibus quibus per oppoſitas defenſiones ſimul deligare cogimur, ultimae ſpirae circulares indeclinabiles fieri debent. Per ilia quidem utraque ubi inguen devincire propoſuimus; poſtremum

Ed. Chart. XII. [502.]
τὸν βουβῶνα δεσμεῖν προαιρούμεθα, κατὰ δὲ τὸ στέρνον ἐφ' ὧν τὸν ὦμον. ἀνάλογον δὲ τούτοις ἥ τε τῆς κατὰ τὸν καρπὸν καὶ τῆς κατὰ τὸν ἀστράγαλον διαρθρώσεως. τῇ μύλῃ δὲ τῇ καλουμένῃ πρός τινων ἐπιγουνατίδι πλατὺν χρὴ περιτετάσθαι τὸν ἐπίδεσμον, ὡς ὅλην αὐτὴν περιλαμβάνειν. ὃ γὰρ μὴ περικείμενος οὕτως ἢ πρὸς τὴν ἄνω χώραν ἐνεχθήσεται ῥᾳδίως ἢ πρὸς τὴν κάτω περισφαλλόμενος ἑφ' ἑκάτερα διὰ τὴν κυρτότητα τῆς μύλης, τῇ δ' ἰγνύῃ συνεσταλμένον τὸν ἐπίδεσμον χρὴ περιβάλλειν, οὔτε γὰρ ὑποδέξασθαι δύναται τὸν εἰς πλάτος ἐκτεταμένον, οὔτε φυλάξαι. οἶδα δέ τινα πάθη μὴ φέροντα τὴν ἐπίδεσιν· ταῦτα δ' ἐστὶν ἐφ' ὧν εἰ καὶ βραχὺ κινηθῇ τὸ πεπονθὸς μόριον, ὀδύνη μεγίστη γίνεται καθάπερ ἐκ καταπτώσεως. οὐ πρὸ πολλοῦ τις οὕτως ἔπεσε κατὰ τὴν ῥάχιν, ὡς μηδὲ βραχύτατον εἰ κινηθείη δύνασθαι φέρειν τὸ μέγεθος τῆς ὀδύνης· ἠναγκάσθημεν οὖν αὐτοῦ τὸν χιτωνίσκον ἀφελεῖν οὐκ ἀποδύσαντες, ἀλλὰ διαῤῥήξαντες μὲν πρῶτον ἁπάσας τὰς ῥαφὰς, μετὰ δὲ ταῦτα παμπόλλοις τοῖς διακρατοῦσιν ὅλον τὸ σῶμα, χρησάμενοι

vero ubi humerum. His autem reſpondet tum quae in carpo, tum quae in aſtragalo propter articulationem fit deligatio. Verum rotulae a quibusdam patellae appellatae latum vinculum obtendi oportet, quo ipſam univerſam complectatur. Quod enim ita non circumjacet, ut ad ſuperiorem aut inferiorem partem facile deducatur, ob rotulae devexitatem utroque oberrans, ſed popliti contractum vinculum admovendum eſt; neque enim illud recipere poteſt in latitudinem extenſum nec conſervare. Ego vero novi quosdam affectus deligationem minime ferentes. Hi vero ſunt in quibus etiamſi paullulum pars affecta ſeſe moverit dolor maximus, quemadmodum ex prolapſione concitatur. Non dudum quidam in ſpinam ita procidit, ut minimum ſi moveretur doloris magnitudinem ferre poſſet. Quocirca ipſius induſium ſubducere coacti ſumus, quod quidem non exuimus; ſed primum omnes futuras per medium rupimus; poſtea vero multis totum corpus

Ed. Chart. XII. [502. 503.]

πρὸς τὸ μετεωρίσαι τὸν ἄνθρωπον ἰσορρόπως. ἡτοιμάσθω δ' ἡμῖν ἐπὶ βάθρου πλατέος ἐκτεταμένον ῥάκος ἐπιβεβλημένην ἔχον ἐρίου πλάκα. ταῦτα μὲν οὖν ἐκελεύσαμεν, ἐπειδὰν ὁ κάμνων ὑπὸ τῶν διακρατούντων ἀπὸ τῆς στρωμνῆς ὑψωθῇ. διὰ ταχέων ἐπιβάλλειν μὲν ἐκείνῃ κατὰ πλάτος, ὑποβάλλειν δὲ τῇ ῥάχει τοῦ μετεωρισθέντος, αὐτοὶ δὲ ἑτέραν ἐρίου πλάκα διαβεβρεγμένην ἔχοντες ἐλαίῳ θερμῷ μετὰ τὴν ἀφαίρεσιν τοῦ χιτωνίσκου ταχέως περιβάλλοντες τῇ ῥάχει κατεκλίναμεν ὑποκειμένης πλακὸς ἅμα τῷ ῥάχει· καὶ οὕτω πρῶτα μὲν ἀνηγάγομεν ἐπὶ τὰ πρόσω τοῦ σώματος τὰ πέρατα τῆς διαβρόχου πλακὸς ἓν ἑκατέρωθεν. ἐπ' αὐτῇ τὰ τῆς ξηρᾶς καὶ μετ' ἐκεῖνα τὰ τοῦ ῥάκους, ἃ καὶ πρὸς ἄλληλα διὰ ῥαχῶν ἐνώσαμεν. ὡσαύτως δὲ κἀπὶ τῶν κατ' ἰσχίον μερῶν ἐπράξαμέν ποτε καὶ τῶν κατὰ μηρὸν ἐπ' ἄλλου καὶ κατὰ βραχίονά γέ ποτε καὶ τοῦ τραχήλου τὴν ὀπίσω χώραν, μετὰ δὲ τὴν ἐπίδεσιν ὑποκειμένοις αὐτοῦ [503] μέρεσιν, ἐφ' ὧν μὲν ἐπιδέσεως οὐ δεόμεθα τῶν ἀντικειμένων μορίων, ὡς ἐπὶ πήχεως καὶ μηροῦ καὶ κνήμης· ἐπὶ τούτων

ſuffulcientibus ad hominem aequabiliter attollendi uſi ſumus. Comparatum vero nobis erat in ſcamno patulo porrectum linteolum proſtratam continens lanae tabulam. Haec itaque imperavimus, quum aegrotus ſuffulcientium manu e ſtrato erectus eſt, celeriter illi quidem ſecundum latitudinem incumbere, ſpinae vero in altum ſublati ſubſternere, ipſi vero aliam lanae tabulam oleo calido inebriatam habentes poſt induſii detractionem quam primum ſpinae circumjacentes decumbere fecimus, ſuppoſita ſimul cum panniculo tabula, ſicque primum quidem ad anteriores corporis partes tabulae madentis extrema utrimque unum adduximus, deinde ſupra ipſam ſiccae tabulae extrema; poſt illa etiam linteoli extrema quae inter ſe futuris non conjunximus. Atque eodem modo in iſchii atque femoris partibus interdum fecimus. Alteri etiam interdum et in brachio et poſtica cervicis regione. At poſt deligationem ſubjectis ejus partibus, in quibus deligatione opus erat nobis admovimus. Quum oppoſitae ſint partes,

Ed. Chart. XII. [503.]

ἀναγκαῖόν ἐστιν, ἤτοι γε ἀπὸ τῶν ἀριστερῶν μερῶν ἐπὶ τὰ δεξιὰ διείρειν τὴν βελόνην ἢ ἀνάπαλιν. ἑκατέρως δὲ πειρᾶσθαι τὴν φορὰν αὐτῆς ἐκκλίνοντα πρὸς τὸ ἄνω συῤῥάπτειν οὕτω τὸ πέρας τῆς ὀθόνης ταῖς ὑποβεβλημέναις περιβολαῖς. ἐφ' ὧν δ' ἐστὶ χρεία καὶ τῶν ἀντικειμένων μορίων, ὡς ἐπ' ὤμου καὶ ἰσχίου πειρᾶσθαι τὴν τελευτὴν τοῦ ἐπιδέσμου ποιεῖσθαι κατὰ τὴν ἄνω φοράν· εἶτ' ἐνταῦθα τὴν βελόνην διείροντα κάτωθεν ἄνω τὴν συῤῥαφὴν οὕτω ποιεῖσθαι μὴ κατασπῶντα τὸ ὑψηλὸν μέρος τῆς ἐπιδέσεως, ἀλλ' ἀναspῶντα τὸ ταπεινόν. ἐγχωρεῖ μὲν γὰρ ἑκάτερον ποιεῖν ἐν τῇ συῤῥαφῇ τῶν ὀθονίων, ἀλλὰ μετὰ τὸ διεκβάλλειν τὸ ῥάμμα κατὰ τῆς βελόνης ἀνατείνειν χρὴ τὸ κάτωθεν αὐτοῦ μέρος πρὸς τὸ ἄνω καὶ μὴ κατατείνειν τὸ ἄνωθεν εἰς τὸ κάτω, σκοπὸν ἔχοντα διὰ τῶν ἄνω μερῶν τῆς ἐπιδέσεως ἀνέλκεσθαι τὰ κάτω. ὡς γὰρ σχῆμα ταὐτὸν φυλάττεσθαι δεῖ τῶν ἐπιδεδεμένων μορίων, οὕτω καὶ τὴν νομὴν τοῦ ἄμματός τε καὶ ῥάμματος, ἀλλὰ τὴν ἀνάτασιν ἴσχειν ἄνω, πρῶτον μὲν τοῦ πέρατος τῆς ἐπιδέσεως ἀσφαλῶς ἀνατεινομένου τε καὶ κρατουμένου, δι'

ut in brachio et femore et tibia, in his ſive a ſiniſtris partibus ad dextras aut contra acum trajicere neceſſe eſt. Utroque vero modo ejus ductum tentare ſurſum vergentem, ita lintei extremum ſubvolutis ſpiris conſuere. In quibus autem eſt ulcus, etiam oppoſitis partibus, ut in humero et iſchio faſciae extremum ad ſuperiorem ductum facere ſtudendum eſt. Deinde iſthic trajecta inferne ſurſum acu ſuturam ita efficere ſublimi deligationis parte minime divulſa, ſed revulſa ima parte. Enimvero utrumque in linteorum ſutura efficere licet. Verum ſutura acu trajecta pars ejus inferior ſurſum porrigenda eſt, neque ſuperne deorſum ſternenda, quum deligationis ſcopus ſit partes inferiores a ſuperioribus trahi. Quemadmodum enim haec deligationis partium figura, ſic etiam tum faſciae tum ſuturae diſtributio ſervanda eſt, imo extenſio ſurſum continenda, primum quidem extremi deligationis quod tuto et per illud et per ipſam totam tum extendi-

Ed. Chart. XII. [503.]

ἐκείνου δὲ καὶ ὅλης αὐτῆς. χρὴ δὲ μήτε κατ' ἐκεῖνο τὸ μέρος τὰς ἀρχὰς τοῦ ῥάμματος, ἐν ᾧ τὸ ἕλκος ἐστὶ, μήτε τὸ ἄμμα κατὰ τὸ ἕλκος γίνεσθαι. θλιφθήσεται γὰρ οὐ μόνον ὑπ' αὐτοῦ τοῦ ἄμματος, ἀλλὰ καὶ τοῦ ἐπιδέσμου πιλουμένου σφοδρότερον ὑπ' αὐτοῦ, δεομένου τοῦ ἄμματος ἐσφίγχθαι βιαιότερον, εἰ μέλλοι κρατήσειν τὸν ἐπίδεσμον. οὗτος δὲ κἂν χωρὶς ῥάμματος ἄμμα γίγνηται, τῶν τοῦ ἐπιδέσμου περάτων ἐπιπλεκομένων ἀλλήλοις ἤ τινος ἔξωθεν κατακλείμματος οὐ χρὴ βάλλεσθαι κατὰ τὸ ἕλκος αὐτά. τότε οὖν ἄμμα τίθεσο μὴ κατὰ τὸ ἕλκος, ἀλλ' ἔνθα δυνήσει τὴν νομὴν αὐτοῦ πρὸς τὴν ἄνω χώραν ποιεῖσθαι, φυλαττόμενος, ὥς φησιν Ἱπποκράτης, τρίβον καὶ ἔργον. τρίβον μὲν οὖν καλεῖ, καθ' ὃ τρίβεταί τι μέρος τοῦ σώματος, ἔργον δὲ καθ' ὃ τὴν ἐνέργειαν ἔχει καμπτομένην ἐκτεινόμενον ἢ εἰς τὰ πλάγια παραγενόμενον. ἔστι δὲ τρίβος τῷ μὲν βαδίζοντι τὸ ἴχνος τοῦ ποδὸς, τῷ δὲ κατακειμένῳ τὸ ἰνίον ἅπαν καὶ μάλιστ' αὐτοῦ τὰ ἐξέχοντα τῆς κεφαλῆς ὀπίσω, τῷ δὲ καθημένῳ τὰ κατὰ τὰς πυγὰς, εἰ δὲ καὶ διὰ τῶν χειρῶν ἐνερ-

tur, tum continetur. Neque vero in illa parte cui ulcus inſidet ſuturae principia facienda ſunt, neque ſuper ulcus copula. Non enim ſolum ab ipſa copula, ſed etiam a faſcia quam premit copula, vehementius comprimetur, quum copula violentius conſtringenda ſit faſciam coercitura. Sic autem et citra ſuturam fit copula extremis faſciae inter ſe connexis aut externo quodam adſtringente, haec in ulcus decumbere non oportet. Tunc igitur non ulceri admoveatur copula, ſed ubi poteris ipſius diſtributionem in ſuperiorem regionem efficere, ſervato, ut pronunciat Hippocrates, cum calle, tum officio. Callem etenim vocat, quo pars aliqua corporis exercetur, officium vero, quo functionem habet flectendi, extendendi aut obligandi. Eſt vero callis incedendi pedis veſtigium decumbenti totum occipitium, ac maxime poſteriores capitis partes eminentes, ſedenti clunium partes. Si quis autem etiam faſciatus operaturus ſit, exploranda eſt tum functio qua ſuncturus

Ed. Chart. XII. [503. 504.]

γεῖν τις ἐπιδεδεμένος μέλλοι, σκέψαι τίνα τε τὴν ἐνέργειαν ἐνεργήσει καὶ περὶ τί τῶν ἔξωθεν. οὕτω γὰρ δυνήσει καὶ τὴν ἐν αὐτῇ τρίβον ἐξευρεῖν, αἱ δ' ἐνέργειαι δῆλον ὅτι κατὰ τὰς διαρθρώσεις γίνονται. φυλάξει τοίνυν αὐτὰς ἀεὶ καὶ μάλιστα τὰς μελλούσας ἐνεργεῖν ἐπιδεδεμένου τοῦ κάμνοντος. εἰ γὰρ τὸ συνέχον ὅλον τὸ ἄμμα τεθείη κατὰ τῶν μάλιστα σχηματιζομένων μορίων ἐν ταῖς κινήσεσιν ἀναγκαῖον ἔσται ποτὲ μὲν χαλαρὰ περαιτέρω τοῦ προσήκοντος, αὖθις δὲ θλίβοντα γίγνεσθαι τὰ ἄμματα, καθ' ἡντινοῦν ἐπιβεβλημένα διάρθρωσιν. τῶν δ' ἐπιδέσμων ἁπλαῖ τρεῖς εἰσιν ἐπιβολαί, ἔγκυκλος μὲν ἡ κατὰ κύκλον ἀπαρέγκλιτος, περιλαμβάνουσα τὸ πεπονθὸς μέρος, ἐφ' ἧς τὰ τῆς δευτέρας καὶ τρίτης ἐπιβολῆς τῶν ὀθονίων τοῦ πλάτους πέρατα κατ' ἀλλήλων ἐπικείσεται, μήτ' ὑπερέχοντός τινος, μήτ' ἐνδέοντος. τὴν δ' ἐπ' ὀλίγον ἐγκεκλιμένην σκέπαρνον ὀνομάζομεν, ὥσπερ [504] γε τὴν ἐπὶ πολὺ σιμήν. τὸ δὲ τῆς ἐπιδέσεως εἶδος ὃ καλοῦμεν ὀφθαλμόν, ἐπ' ὀφθαλμοῦ παραλαμβάνομεν, ἤτοι προπεσεῖν κινδυνεύοντος ἢ κρατήματος ἕνεκα τῶν ἐπικειμέ-

eſt, tum res exterior circa quam ipſa verſatur. Sic enim poterit et ipſum callum in ipſa comperire. Functiones autem articulationibus fiunt. Quare ipſas ſemper ac maxime in deligato laborante actiones obituras tuebitur. Si namque totum callum continens copula ſuper figuratas potiſſimum partes in motionibus definiret, interdum quidem laxiores quam deceat, contra vero articulationem comprimentes fieri copulas, in quamcunque articulationem injectas neceſſe futurum eſt. Ceterum faſciarum ſpirae tres ſunt ſimplices, una quidem orbicularis quae ambitu neutrum in latus deflectens affectam partem circumvolvit, in qua ſecundae et tertiae injectionis linteorum extrema per latitudinem ſibi invicem incumbent neque excedentem neque deficientem. Quae vero ſpira paullulum transverſim propendet, eam ſceparnum faſciam nominamus, quemadmodum et quae multopere eam ſimam. Ea vero deligationis ſpecies eſt quam oculum vocamus, quam pro oculo aſſumimus, ſive is procidere periclitetur, ſive ea

Ed. Chart. XII. [504.]

νων αὐτῷ, τὸν δὲ ῥόμβον ἐπὶ κεφαλῆς, ἤτοι ῥαφὰς κεχαλασμένας βουλόμενοι συναγαγεῖν ἢ ἕλκους ἐκπεπταμένα χείλη, καί ποτε καὶ προστεῖλαι καὶ κολλῆσαι τὸ δέρμα μέχρι πλείονος ἀποσεσυρμένον. ἀνάλογον δὲ τοῖσδε καὶ ἡ τοῦ ἡμιῥόμβιον γίνεται χρεία.

quae ipſi admoventur contineri poſtulent. Rhombum autem in capite admittimus, quum vel laxatas futuras aut diducta ulceris labra conjungere volumus, etiam interdum cutem amplius detractam contrahere et agglutinare deſideramus. His denique conſentaneum eſt ſemirhombi uſus.